
Epistolae diversorum
philosophorum oratorum
Venice, Ald Manutius
1499

H = C. 6659
Pr. 5569.





Vol. I begins after p. 275.

v. Dr Bentley's Dissertations :·

Rob.ts Davies

ΕΠΙΣΤΟΛΑΙ	EPISTOLAE
Βασιλείου τοῦ μεγάλου.	Basilii Magni
Λιβανίου τοῦ σοφιστοῦ.	Libanii Rhetoris.
Χίωνος τοῦ πλατωνικοῦ.	Chionis Platonici,
Αἰσχίνου καὶ	Aeschinis &
Ἰσοκράτους τῶν ῥητόρων.	Isocratis oratorum
Φαλάριδος τοῦ τυράννου.	Phalaridis Tyranni.
Βρούτου ῥωμαίου.	Bruti Romani.
Ἀπολλωνίου τοῦ τυανέως.	Apollonii Tyanensis.
Ἰουλιανοῦ τοῦ παραβάτου.	Iuliani Apostatae.

Aldus Manutius Romanus Antonio Codro Vrceo.S.P.D.

Collegimus nuper Codre doctiſſime quotquot habere potuimus græcas epiſtolas, eás que typis noſtris excuſas, duobus libris publicamus, præter multas illas Baſilii, Gregorii, & Libanii, quas cũ primum fuerit facultas, imprimendas domi ſeruamus. Auctores uero, quorum epiſtolas damus, ſunt numero circiter quíq; & triginta, ut in ipſis libris licet uidere. has ad te, qui & latinas & græcas litteras in celeberrimo Bononiẽſi gymnaſio publice profiteris, muneri mittimus, tum ut à te diſcipulis oſtẽdantur tuis, quo ad cultiores litteras capeſſendas incendantur magis, tum ut apud te ſint Aldi tui μνημόσυνον & pignus amoris. Vale Venetiis quintodecimo calendas maias M.ID.

ΕΠΙΣΤΟΛΑΙ ΑΜΟΙΒΑΙΑΙ. ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ ΚΑΙ ΛΙΒΑΝΙΟΥ ΤΟΥ ΣΟΦΙΣΤΟΥ.

Βασίλειος Λιβανίῳ.

Αἰσχύνομαι καθ' ἕνα σοι προσάγων τοὺς καππαδόκας, ἀλλὰ μὴ πάντας τοὺς ἐν ἡλικίᾳ πείθων, λόγων ἀπολαύσεως ἀντιποιεῖσθαι, καὶ σοὶ καὶ χρῆσθαι τῆς ἀσκήσεως διδασκάλῳ. ἀλλ' ἐπειδὴ πάντων εἰσάπαξ οὐκ τυχεῖν τὰ προσήκοντα σφίσιν αὐτοῖς αἱρουμένων οὐχ οἷόν τε, τοὺς ἑκάστοτε πειθομένους, παραπέμπομαί σοι. τοσοῦτον αὐτοῖς χαριζόμενος, ὅσον καὶ οἱ τοῖς διψῶσι καθηγούμενοι τὰς πηγάς. ὁ δὲ νῦν προσιὼν, μικρὸν ὕστερον ἑαυτοῦ ἕνεκεν σπουδασθήσεται, ἐπειδὰν σοι συγγένηται. νῦν δὲ ἀπὸ πατρὸς γνώριμος μέγα ἐπὶ ὀρθότητι βίου καὶ δυνάμει πολιτικῇ, παρ' ἡμῖν λαβόντος ὄνομα. ὃς καὶ ἐμοὶ εἰς τὴν ἄκραν φιλίαν ἥρμοσται. ἧς ἀμειβόμενος αὐτὸν, τῷ παιδὶ ταύτην τὴν χάριν δίδωμι. σοὶ ποιῶν αὐτὸν γνώριμον. πρᾶγμα, μεγίστης εὐχῆς ἄξιον τοῖς ἀρετὴν ἀνδρὸς κρίνειν ἐπισταμένοις.

Λιβάνιος βασιλείῳ.

Διὰ χρόνου πρὸς ἡμᾶς καππαδόκης ἥκει νέος. ἓν τοῦτο, κέρδος, ὅτι καππαδόκης. ἀλλὰ καὶ τοῦ πρώτου γένους οὗτος ὁ καππαδόκης. δεύτερον τοῦτο κέρδος. ἀλλὰ καὶ γράμμα τοῦ θαυμασίου βασιλείου κομίζων ἡμῖν. τοῦτο μὲν ὅπου τίς ἐστι μεῖζον. ἐγὼ δὲ ὃν ᾤου λεληθέναι σου νομίζεις, καὶ πάλαι νέον ὄντα ᾐσθόμην σωφροσύνῃ τε πρὸς τοὺς γέροντας ἁμιλλώμενον ὁρῶν. καὶ ταῦτα ἐν ἐκείνῃ τῇ πόλει τῇ ταῖς ἡδοναῖς βρυούσῃ. καὶ λόγων ἤδη μοῖραν κεκτημένον μεγάλην. ἐπεὶ

δὴ ᾠήθης δεῖν καὶ τὰς ἀθήνας ἰδεῖν καὶ τὸν κέλσον ἔπειθες, συνέχαιρον τῷ κέλσῳ τῆς σῆς ἐξηρτημένῳ ψυχῆς. ἐπανήκοντος δέ σου καὶ ἔχοντος τὴν πατρίδα, ἔλεγον πρὸς ἐμαυτόν. τί νῦν ἡμῖν ὁ βασίλειος δρᾷ. ἢ πρὸς τίνα βίον ὥρμηκεν. ἆρ' ἐν δικαστηρίοις τρέπεται τοὺς παλαιοὺς ῥήτορας ζηλῶν. ἢ ῥήτορας εὐδαιμόνων πατέρων ἀπεργάζεται παῖδας. ὡς δὲ ἧκόν τινες ἀπαγγέλλοντες ἀμείνω σε πολλῷ τουτωνὶ τῶν ὁδῶν προελέσθαι, καὶ σκοπεῖν, ὅπως ἂν γένοιο θεῷ μᾶλλον φίλος, ἢ συλλέξαις χρυσίον, εὐδαιμόνισα σέ τε καὶ καππαδόκας. σὲ μὲν τοιοῦτον βουλόμενον εἶναι. ἐκείνους δὲ τοιοῦτον δυναμένους δεικνύναι πολίτην. Φιρμῖνος δὲ ἐκεῖνος ὡς πανταχοῦ διετέλεσε κρατῶν, εὖ οἶδα. ἐντεῦθεν γὰρ αὐτῷ τῶν λόγων ἡ δύναμις. πολλῶν δὲ ἐπαίνων ἀπολαύσας, οὐκ οἶδα ὅτι πώποτε τηλικούτων, ἡλίκων νῦν ἐν τοῖς σοῖς ἀκήκοα γράμμασι. τὸ γὰρ μηδένα ἂν τὴν ἐκείνου δόξαν ὑπερβαλέσθαι σὲ τὸν λέγοντα εἶναι, πόσον τι χρὴ νομίζειν ἐκείνῳ. δοκεῖς δέ μοι καὶ τούτους ἀπεσταλκέναι πρὶν ἢ τὸν Φιρμῖνον ἰδεῖν. ἢ γὰρ ἂν αὐτὸν οὐκ εἶχε τὰ γράμματα. καὶ νῦν τί ποιεῖ ἢ τί μέλλει Φιρμῖνος. ἔτ' ἐστὶν ἐν τοῖς τῶν γάμων πότοις. ἢ ἐκεῖνα μὲν πάλαι πέπαυται. βαρεῖα δὲ ἡ βουλή. καὶ πᾶσα ἀνάγκη μένειν. ἢ τινές εἰσιν ἐλπίδες, ὡς αὖθις ἔσται λόγων κοινωνός. ἀποκρινάσθω τί ἡμῖν. καὶ εἴη μέν τι χρηστόν. εἰ δ' οὖν τι καὶ λυπήσει, τοῦ γε βλέπειν ἡμᾶς πρὸς τὰς πύλας ἀπαλλάξει. εἰ δὲ ἀθήνησι νῦν ὁ Φιρμῖνος ἐτύγχανεν ὤν, τί ἂν ἔδρων οἱ βουλεύοντες παρ' ὑμῖν, ἢ τὴν σαλαμινίαν ἔπεμπον ἂν ἐπ' αὐτόν. ὁρᾷς ὅτι καὶ μόνον ὑπὸ τῶν σῶν ὑβρίζομαι πολιτῶν. οὐ μὴν ἔγωγε τοῦ φιλεῖν καὶ ἐπαινεῖν καππαδόκας παύσομαι. ἀλλ' εὔχομαι μὲν αὐτοὺς ἀμείνους γίγνεσθαι περὶ ἐμέ. μένοντος δὲ ἐπὶ τῶν αὐ-

τῶν

τῶν οἴσω. Ἑρμεῖνος δὲ μῆνας ἡμῖν συνεγένετο τέτταρας. ἡμέραν δ' ἤργησεν οὐδὲ μίαν. τὸ δὲ συνειλεγμένον ὅσον ἐστὶν, αὐτὸς εἴσῃ. καὶ ἴσως οὐ μέμψῃ. πρὸς δὲ τὸ πάλιν αὐτὸν δεῦρο δυνηθῆναι ἐλθεῖν, τίνα χρὴ προσπαρακαλεῖν σύμμαχον. εἴπερ γὰρ εὖ φρονοῦσιν οἱ βουλεύοντες, πρέποι δ' ἂν ἀνθρώποις πεπαιδευμένοις, τιμήσουσι τοῖς δευτέροις, ἐπειδὴ τοῖς πρώτοις ἐλύπησαν.

Βασίλειος. Λιβανίῳ.

ι Δούσι καὶ ἕτερος ἥκει Καππαδόκης. υἱὸς ἐμὸς καὶ αὐτός. πάντας γὰρ ἡμῖν εἰσποιεῖ τὸ σχῆμα τοῦτο, ἐν ᾧ νῦν ἐσμέν. ὥστε κατά γε τοῦτο ἀδελφὸς ἂν εἴη τοῦ προλαβόντος καὶ τῆς αὐτῆς σπουδῆς ἄξιος, ἐμοί τε τῷ πατρὶ καὶ σοὶ τῷ διδασκάλῳ. εἴπερ τι πλέον ἔχειν δυνατὸν τοὺς παρ' ἡμῶν ἐρχομένους. τοῦτο δὲ λέγω, οὐχ ὡς οὐκ ἂν τῆς σῆς λογιότητος πλέον τι τοῖς παλαιοῖς τῶν ἑταίρων χαριζομένης. ἀλλ' ὡς ἀφθόνου πᾶσι τῆς ὠφελείας σου προκειμένης. ἀρκοῦν δ' ἂν εἴη τῷ νεανίσκῳ πρὸ τῆς ἐκ τοῦ χρόνου πείρας, ἐν τοῖς οἰκείοις τετάχθαι. ὃν ἀποπέμψαιο ἡμῖν ἄξιον τῶν τε ἡμετέρων εὐχῶν καὶ τῆς σαυτοῦ δόξης, ἣν ἔχεις ἐν τοῖς λόγοις. ἐπάγεται δὲ καὶ ἡλικιώτην τὴν ἴσην ἔχοντα περὶ τοὺς λόγους σπουδήν. Εὐπατρίδην καὶ αὐτὸν καὶ ἡμῖν οἰκεῖον. ὃν οὐδὲν ἔλαττον ἕξειν πιστεύομεν, κἂν πλεῖστον τῶν ἄλλων τοῖς χρήμασιν ἀπολείποιτο.

Λιβάνιος. Βασιλείῳ.

ο Ιδὲ ὅτι τοῦτο πολλάκις γράψεις τὸ, ἰδού σοι καὶ ἕτερος ἥκει Καππαδόκης. πολλοὺς γὰρ οἶμαι πέμψεις. ἀεὶ μὲν τοὺς πανταχοῦ τοῖς κατ' ἐμοῦ χρώμενος ἐγκωμίοις. τούτῳ αὐτῷ τοὺς πατέρας κινῶν καὶ παῖδας. ἀλλ' ὅ γε ἐγένετο περὶ τὴν ἐπιστολήν σου τὴν καλὴν, οὐ καλὸν σιωπῆσαι. παρεκάθηντό μοι τῶν ἐν ἀρχῇ γεγενημένων ἄλλοι τε οὐκ ὀλίγοι καὶ ὁ πάντα ἄριστος Ἀλύπιος.

Ἱεροκλέους αὐτίκα ὡς ἐκείνου. ὡς οὖν ἔδοσαν οἱ φέροντες τὴν ἐπιστολὴν σιγῇ διὰ πάσης ἐλθὼν, νενικήμεθα ἔφην μετ' ὀδύνης τε ἅμα καὶ χαίρων. καὶ τίνα σὺ νενίκησαι νίκην ἤροντο. πῶς οὐκ ἀλγεῖς νενικημένος. ἐν κάλλει μὲν ἐπιστολῶν νενίκημαι. Βασίλειος ἢ κεκράτηκε. φίλος δὲ ὁ ἀνήρ. καὶ διὰ τοῦτο εὐφραίνομαι. ταῦτα εἰπόντος ἐμοῦ, παρ' αὐτῶν μαθεῖν ἠβουλήθησαν τῶν γραμμάτων τὴν νίκην. καὶ ἀνεγίνωσκε μὲν ὁ Ἀλύπιος. ἤκουον δὲ οἱ παρόντες. ψῆφος δὲ ἠνέχθη μηδέν με ἐψεῦσθαι. καὶ τὰ γράμματα ἔχων ὁ ἀναγνοὺς ᾤχετο, δείξων οἶμαι καὶ ἄλλοις. καὶ μόλις ἀπέδωκε. γράφε τοίνυν παραπλήσια καὶ νίκα. τοῦτο γάρ ἐστιν ἐμὲ νικᾶν. καλῶς δὲ ἐκεῖνο εἰκάζεις, ὡς οὐ χρήμασι μετρεῖται τὰ παρ' ἡμῶν, ἀλλ' ἀρκεῖ τῷ μὴ δυναμένῳ δοῦναι, τὸ βουληθῆναι λαβεῖν. κἂν αἴσθωμαί τινα ἐν πενίᾳ λόγων ἐρῶντα, πρὸ τῶν πλουτούντων οὗτος. καίτοι οὐ τοιούτων πεπειράμεθα διδασκάλων. ἀλλ' οὐδὲν κωλύει ταύτῃ γε εἶναι βελτίονας. μηδεὶς οὖν πένης δεῦρο ὀκνείτω βαδίζειν. εἰ ἓν ἐκεῖνο κέκτηται μόνον, τὸ ἐπίστασθαι πονεῖν.

Βασίλειος. Λιβανίῳ.

Τι οὐκ ἂν εἴποι σοφιστὴς ἀνὴρ καὶ σοφιστὴς τοιοῦτος, ᾧ γε ἴδιον εἶναι τῆς τέχνης ὡμολόγηται καὶ τὰ μεγάλα μικρὰ ποιεῖν ὁπότε βούλεται, καὶ τοῖς μικροῖς περιτιθέναι μέγεθος. ὅπερ δὴ σὺ καὶ περὶ ἡμᾶς ἐπεδείξω. τὴν γὰρ ἐπιστολὴν ἐκείνην τὴν ῥυπῶσαν, ὡς ἂν ὑμεῖς οἱ περὶ τοὺς λόγους τρυφῶντες εἴποιτε, οὐδὲν οὖσαν τῶν ἐν ταῖς χερσί σου ταύτης ἀνεκτοτέραν, τοσοῦτον ἦρας τῷ λόγῳ, ὡς ἡττηθῆναι δῆθεν αὐτῆς, καὶ ἡμῖν τῶν πρωτείων τοῦ γράφειν παραχωρεῖν. ὅμοιον ποιῶν τοῖς τῶν πατέρων παιδιαῖς. ὅταν τοῖς παρ' αὐτῶν νίκαις παραχωρῶσι τοῖς παισὶν ἐναβρύνεσθαι. οὔτε

αὐτοὺς

αὐτούς τι ζημιοῦντες. καὶ τῶν παίδων τρέφοντες τὸ φιλότιμον. τῷ ὄντι δὲ καὶ ἀμύθητον ὅσην ἡδονὴν εἶχεν ὁ λόγος ἐν τῇ πρὸς ἡμᾶς παιδιᾷ. οἷον πολυδάμαντός τινος ἢ μίλωνος, παγκρατίου ἢ πάλης ἀγωνίαν παραιτουμένου τὴν πρὸς ἐμὲ αὐτόν. πολλὰ γὰρ περισκεψάμενος, οὐδὲν εὗρον ἀσθενείας ὑπόδειγμα. ὥστε τοὺς τὰς ὑπερβολὰς τῶν λόγων ἐπιζητοῦντας, ἐνταῦθά σε μᾶλλον ἀγασθαι τῆς δυνάμεως, οὕτω δυνηθέντα ταῖς παιδιαῖς πρὸς ἡμᾶς καταβῆναι, ἢ εἰ τὸν βάρβαρον ἦγες ὑπὲρ τὸν ἄθω πλέοντα. ἀλλ' ἡμεῖς μὲν ὦ θαυμάσιε, μωσεῖ καὶ ἠλίᾳ καὶ τοῖς οὕτω μακαρίοις ἀνδράσι σύνεσμεν, ἐκ τῆς βαρβάρου φωνῆς διαλεγομένοις ἡμῖν τὰ ἑαυτῶν. καὶ τὰ παρ' ἐκείνων φθεγγόμεθα. νοῦν μὲν ἀληθῆ. λέξιν δὲ ἀμαθῆ. ὡς αὐτὰ ταῦτα δηλοῖ. εἰ γάρ τι καὶ ἦμεν παρ' ὑμῶν διδαχθέντες, ὑπὸ τοῦ χρόνου ἐπελαθόμεθα. αὐτὸς δὲ ἐπίστελλε ἡμῖν ἄλλας ὑποθέσεις ἐπιστολῶν ποιούμενος. αἳ καὶ σὲ δείξουσι καὶ ἡμᾶς οὐκ ἐλέγξουσι. τὸν υἱὸν ἀνυσίου ἤδη σοι προσήγαγον ὡς ἐμαυτοῦ υἱόν. εἰ δὲ ἐμὸς οὗτος παῖς, τοῦ πατρὸς οὗτος τὸ παιδίον. πένης ἐκ πένητος. συνίειμον δὲ τὸ λεγόμενον ἀνδρὶ σοφῷ τε καὶ σοφιστῇ.

Λιβάνιος Βασιλείῳ.

Εἰ πάνυ πολὺν χρόνον ἐσκόπεις, πῶς ἂν ἄριστα συνείποις τοῖς περὶ τῶν σῶν γραμμάτων ἡμετέροις γράμμασιν, οὐκ ἂν ἄμεινον τοῦτο ποιῆσαι ἐδόκεις, ἢ τοιαῦτα γράφων, ὁποῖα νῦν ἔγραψας. καλεῖς μὲν γάρ με σοφιστήν. τοῦ δὲ τοιούτου εἶναι φής, τὸ δύνασθαι τὰ μικρὰ μεγάλα ποιεῖν, καὶ τὰ μεγάλα μικρά. καὶ δὴ τὴν ἐμὴν ἐπιστολὴν βεβλῆσθαι φὴς δεῖξαι τὴν σὴν καλὴν οὐκ οὖσαν, καλήν. εἶναί τε οὐδὲν ἧς νῦν ἔπεμψας βελτίω.

ὅλως τε οὐδὲ μίαν εἶναι παρὰ σοὶ λόγων δύναμιν. τῶν μὲν νῦν ὄν-
των ἐν χερσὶ βιβλίων τοῦτο οὔπω σοι ὄντων, ὧν δὲ εἶχες πρότερον λό-
γων διερρυηκότων. καὶ ταύτῃ πείθειν ἐπιχειρῶν οὕτω καλὴν καὶ
ταύτην, ἣν λέγεις κακῶς, εἰργάσω τὴν ἐπιστολὴν, ὡς οἱ παρόντες
ἡμῖν οὐκ εἶχον μὴ πηδᾶν ἀναγινωσκομένης. ἐθαύμασα οὖν ὅτι ταύ-
τῃ τὴν προτέραν καθελεῖν ἐπιχειρήσας, τῷ φαίνεσθαι ταύτῃ τὴν
προτέραν ἐοικέναι, ταύτῃ τὴν προτέραν ἐκόσμησας. χρῆν δὲ ἀ-
γαθὸν τοῦτο βουλόμενον, χείρονα ποιῆσαι ταύτην ὑπὲρ διαβολῆς
τῆς πρόσθεν. ἀλλ' οὐκ ἦν οἶμαι σὸν, ἀδικῆσαι τὴν ἀλήθειαν. ἠδίκητο
δ' ἄν, γράφοντος ἐξεπίτηδες φαυλότερα τοῦ δυναμένου τοῖς οὖ-
σι. τοῦ αὐτοῦ τοίνυν ἂν εἴη τὸ μήτε ψέγειν ἃ δίκαιον ἐπαινεῖν ἵνα μήσε
τὸ πρᾶγμα φέρον εἰς σοφιστὰς ἐμβάλῃ, πειρώμενον τὰ ταπεινὰ τὰ
μεγάλα ποιεῖν. βιβλίων μὲν οὖν ὧν φῂς εἶναι, χείρω μὲν τὴν λέ-
ξιν, ἀμείνω δὲ τὴν διάνοιαν, ἔχου σε οὐδεὶς κωλύει. τῶν δὲ ἡμετέ-
ρων μὲν ἀεὶ, σῶν δὲ πρότερον, αἱ λέξεις μένουσί τε καὶ μενοῦσιν ἕως
ἂν ᾖς. καὶ οὐδεὶς μήποτε αὐτὰς ἐκτέμοι χρόνος, οὐδ' ἂν ἥκιστα
ἀρδοίης.

Λιβάνιος Βασιλείῳ.

ὅ Υπῶμοι τῆς λύπης ὑφῆκας; ὥστε μεταξὺ γράφοντα
τρέμειν; ἀλλ' εἰ μὲν ὑφῆκας, τί οὐκ ἐπιστέλλεις ὦ ἄριστε;
εἰ δὲ κατέχεις ἔτι, ὃ πάσης λοιπᾶς ψυχῆς, καὶ τῆς σῆς ἀλλότριον,
πῶς ἄλλοις κηρύττων μέχρι δυσμῶν ἡλίου μὴ χρῆναι φυλάτ-
τειν λύπην, ἐν πολλοῖς ἡλίοις ἐφύλαξας; ἢ τάχα ζημιῶσαί με
προείλου. τιμωρεῖσθαί με βούλει τῆς μελιχρᾶς σου φωνῆς ἀποστε-
ρῶν. μὴ σύγε ὦ γενναῖε. ἀλλὰ γενοῦ πρᾶος. καὶ δὸς ἀπολαύειν τῆς
παγχρύσου σου γλώττης.

Βασί-

Βασίλειος λιβανίῳ.

ο Ι πρὸς τὸ ῥόδον ἔχοντες ὡς τοὺς φιλοκάλους εἰκὸς, οὐδὲ πρὸς αὐτὰς τὰς ἀκάνθας ὧν τὸ ἄνθος ἐκφύεται δυσχεραίνουσι, καί τινος ἤκουσα τοιοῦτόν τι περὶ αὐτῶν παίζοντος τάχα ἢ καὶ σπουδάζοντος· ὅτι καθάπερ ἐρωτικά τινα κνίσματα τοῖς ἐρασταῖς, τὰς λεπτὰς ἐκείνας ἀκάνθας ἡ φύσις τῷ ἄνθει προσέφυσε· πρὸς μείζονα πόθον τοῖς ἀπλήκτοις κέντροις τοὺς δρεπομένους ὑπερεθίζουσα· τί μοι δὴ βούλεται τοῖς γράμμασι τὸ ῥόδον ἐπεισαγόμενον· πάντως οὐδένα σε χρὴ διδαχθῆναι τῆς ἐπιστολῆς μεμνημένον τῆς σῆς· ἣ τὸ μὲν ἄνθος εἶχε τοῦ ῥόδου ὅλον ἡμῖν τὸ ἔαρ τῆς εὐγλωττίας διαπετάσασα· μέμψεσι δέ τισι καὶ ἐγκλήμασι καθ' ἡμῶν ἐξηκάνθωτο. ἀλλ' ἐμοὶ τῷ σῶν λόγων καθηδύνῳ ὄντι καὶ ἡ ἄκανθα πρὸς μείζονα πόθον τῆς φιλίας ἐκκαίουσα.

Λιβάνιος βασιλείῳ.

ε Ι ταῦτα γλώττης ἀργοτέρας, τίς ἂν εἴης αὐτὴν ἀκονῶν. σοῦ μὲν γὰρ ἐν τῷ στόματι λόγων οἰκοῦσι πηγαὶ κρείσσους ναμάτων ὑπερροῆς· ἡμῖν δ' εἰ μὴ καθ' ἡμέραν ἀρδοίμεθα, λείπεται τὸ σιγᾶν.

Βασίλειος λιβανίῳ.

τ Ο μὴ συνεχῶς με γράφειν πρὸς τὴν σὴν παίδευσιν, πείθουσι τό, τε δέος καὶ ἡ ἀμαθία. τὸ δὲ σὲ καρτερικώτατα σιωπᾶν, τί τῆς μέμψεως ἐξαιρήσεται. εἰ δέ τις λογίσαιτο τὸ καὶ ἐν λόγοις σε βιοῦντα ὀκνεῖν ἐπιστέλλειν, καταψηφιεῖ τοῦ σου λήθην τὴν πρὸς ἡμᾶς. ᾧ γὰρ τὸ λέγειν πρόχειρον, καὶ τὸ ἐπιστέλλειν οὐκ ἀνέτοιμον. ὁ δὲ ταῦτα κεκτημένος εἶτα σιγῶν, δῆλον ὡς ὑπεροψία ἢ λήθη τοῦτο ποιεῖ. ἐγὼ δέ σου τὴν σιωπὴν ἀμείψομαι προσρήσει. χαῖρε τοίνυν τιμιώτατε καὶ γράφε εἰ βούλοιο. καὶ μὴ γράφε εἰ τοῦτό σοι προσφιλές.

μ Ἄλλου ὅτι μὴ πάλαι σοι γράφειν ἠρξάμην οἶμαί σοι δεῖν ἀπολογίας, ἢ νῦν παραιτήσεως, ὅτε τοῦτο ποιεῖν ἠρξάμην. ἐγὼ δ' ἐκεῖνος ὁ προσθέων ὁπότε φανείης καὶ ὡς ἥδιστα ὑπέχων τὰ ὦτα τῷ ῥεύματι τῆς γλώττης, τῷ λέγοντι εὐφραινόμενος, τὸ μόλις ἀπαλλαττόμενος, καὶ πρὸς τοὺς ἑταίρους λέγων, ὡς οὗτος ἀνὴρ τοσούτῳ καλλίων τῶν Ἀχελώου θυγατέρων, ὅσῳ θέλγει μὲν ᾗπερ ἐκεῖναι, βλάπτει δ' οὐχ ὥσπερ ἐκεῖναι. καὶ μικρόν γε τὸ μὴ βλάπτειν, ἀλλ' ὅτι τὰ τοιάδε μελικέρδος τῷ δεξαμένῳ. τὸν οὖν οὕτως ἔχοντά με γνώμης, νομίζοντα δὲ καὶ φιλεῖσθαι, λέγειν δὲ δοκοῦντα μὴ τολμᾶν ἐπιστέλλειν, ἐξαιτήσ' ἀργίας. καί τοι ταῦτ' ἂν εἴη ἅμα ζημιοῦντος αὐτόν. δῆλον γὰρ ὡς ἀμείψει μου τὴν ἐπιστολὴν τὴν μικρὰν καὶ φαύλην καλῇ τε καὶ μεγάλῃ. καὶ φυλάξῃ δήπου μή με καὶ δεύτερον ἀδικῇς. οἶμαι δὲ πολλοὺς βοήσεσθαι πρὸς τὸ ῥῆμα καὶ περιστήσεσθαι πρὸς τὰ πράγματα κεκραγότας. Βασίλειος ἀδικεῖ κἄν τι καὶ σμικρόν; οὐκοῦν ὁ Αἰακὸς καὶ Μίνως. καὶ ὁ τούτου δὲ ἀδελφός. ἐγὼ δέ σε τῇ μὲν ἄλλῃ νενικηκέναι συγχωρῶ. τίς δὲ ἰδών σε καὶ οὐ φθονῶν. ἓν δέ τι σοὶ ἡμαρτῆσθαι πρὸς ἡμᾶς. καὶ σέ τοι τἀναμνήσω, πεῖθε τοὺς ἀγανακτοῦντας μὴ βοᾶν. οὐδείς σοι προσελθὼν καὶ δοῦναι χάριν ἐπαγγείλας ἣν δοῦναι ῥᾷστον, ἀτυχὴς ἀπῆλθεν. εἰμὶ τοίνυν τῶν χάριν αἰτησάντων μέν, οὐ λαβόντων δέ. τί οὖν ᾔτουν; πολλάκις ἐν στρατηγοῦσί σοι συνιζανόμενος, ἠβουλήθην διὰ τῆς σῆς σοφίας εἰς τὸ βάθος τῆς ὁμήρου μανίας εἰσελθεῖν. εἰ δὲ τὸ πᾶν οὐ δυνατόν, σὺ δ' ἀλλ' εἰς μέρος ἡμᾶς εἰσάγαγε τοῦ κλήρου. μέρους δὲ ἐπεθύμουν, ἐν ᾧ τῶν ἑλλήνων κακῶς πεπραγότων, ὃν ὕβρισεν Ἀγαμέμνων ἐθεράπευε δώροις. ταῦτ' ἐμοῦ λέγοντος, ἐγέλας. ἀρνεῖσθαι μὲν οὐκ ἔχων ὡς

οὐκ ἂν δύναιο βουληθείς. διορίσασθαι δὲ οὐκ ἐθέλων, ἀφράσι καὶ τοῖς ἀγανακτοῦσιν ὅπως ἔφην ἀδικεῖν, ἢ ἀδικεῖσθαι δοκῶ.

Λιβάνιος. βασιλείῳ.

ε Εἰ μέν τι περὶ τοὺς λόγους τοῖς νέοις οἷς ἔπεμψας προσεθήκαμεν, αὐτὸς κρινεῖς. ἐλπίζω δὲ αὐτὸ κἂν μικρὸν ᾖ, μεγάλου λήψεσθαι δόξαν, διὰ τὴν πρὸς ἡμᾶς φιλίαν. ὃ δὲ πρὸ τῶν λόγων ἐπαινεῖς τὴν σωφροσύνην, καὶ τὸ μὴ παραδοῦναι τὰς ψυχὰς ταῖς οὐ καλαῖς ἡδοναῖς, πάνυ τούτου πεποίηνται πρόνοιαν. καὶ διήγαγον ὡς εἰκὸς ἦν τοῦ πέμψαντος μεμνημένοι. δέχου δὴ τοὺς σεαυτοῦ. καὶ ἐπαίνει τοὺς σέ τε κἀμὲ τῷ τρόπῳ κεκοσμηκότας. παρακαλεῖν δέ σε πρὸς τὸ βοηθεῖν, ὅμοιον ἦν, ὥσπερ πατέρα τοῖς παισὶ παρακαλεῖν βοηθεῖν.

Λιβάνιος βασιλείῳ.

π Πᾶς μὲν ἐπίσκοπος πρᾶγμα δυσχρημάτιστον. σὺ δὲ ὅσῳ τοὺς ἄλλους παρελήλυθας λογιότητι, τοσούτῳ καὶ φόβον μοι παρέχεις, μήπως ἔξαρνος ᾖς πρὸς τὴν αἴτησιν. κἀπειδὴ στρωτήρων δέομαι, κάμακας δ' ἂν ἢ χάρακας ἄλλος εἶπε σοφιστής, οὐ χρήζων, ἀλλὰ τοῖς ῥηματίοις ἐγκαλλωπιζόμενος, ἢ τῆς χρείας γινόμενος. ἐγὼ δὲ εἰ μὴ σὺ παράσχοιο, ὕπαιθρος διαχειμάσω.

Βασίλειος Λιβανίῳ.

τ Τὸ κερδαίνειν τοῦτο χρηματίζειν λέγεται, καὶ ταύτην ἔχει τὴν σημασίαν ἡ λέξις, ἣν ἐκ τῶν Πλάτωνος ἀδύτων, ἡ σοφιστική σου ἡμῖν προεχειρίσατο, σκόπησον ὦ θαυμάσιε, τίς μᾶλλόν ἐστι δυσχρημάτιστος. ἡμεῖς οἱ οὕτω δι' ἐπιστολιμαίας δυνάμεως ἀποχαρακούμενοι, ἢ τὸ τῶν σοφιστῶν γένος, οἷς τέχνη τὸ τελωνεῖν τοὺς λόγους ἐστί. τίς τῶν ἐπισκόπων τοὺς λόγους ἐφορολόγησε.

πρὸς τοὺς μαθητευομένους μισθοφόρους κατέστησεν. ὑμεῖς οἱ προστιθέντες τοὺς λόγους ὤνια, ὥσπερ οἱ τοῦ μέλιτος ἑψηταὶ τὰ μελίπηκτα. ὁρᾷς ὡς καὶ τὸν γέροντα ὑποσκιρτᾶν παρεκίνησας. ἐγὼ δὲ σοὶ τῷ ταῖς μελέταις ἐμπομπεύοντι, ἰσαρίθμους τοῖς ἐν θερμοπύλαις ἀγωνιζομένοις στρατιώταις, σωτῆρας χρηματίσαι προσέταξα. ἅπαντας εὐμήκεις κατὰ τὸν σὸν ὅμηρον δολιχοσκίους οὓς ὁ ἱερὸς εὐστάθιος ἀποκαταστήσειν κατεπηγγείλατο.

Λιβάνιος. βασιλείῳ.

Οὐ παύσῃ βασίλειε τὸ ἱερὸν τοῦτο τῶν μουσῶν σκηνὸν, μεστὸν ποιῶν καππαδοκῶν. καὶ ταῦτα ἀποζόντων κνίσης καὶ χιόνων καὶ τῶν ἐκεῖθεν κακῶν; μικροῦ δέ με καὶ καππαδόκην ἔθηκαν ἀεί μοι τὸ προσκυνῶ σε προσάδοντες. δεῖ δὲ ὅμως ἀνέχεσθαι βασιλείου κελεύοντος. ἴσθι τοίνυν ὡς τῆς μὲν χώρας τοὺς τρόπους διασκευάζων, τὴν δὲ εὐγλυφίαν καὶ τὸ ἐμμελὲς τῆς ἐμῆς καλλιόπης, μεταμφιέσω τοὺς ἄνδρας. ἵν' ὀφθεῖεν ὑμῖν ἀντὶ φασσῶν περιστεραί.

Βασίλειος. Λιβανίῳ.

Ἐλυπήσας τὸ εὔθυμον. τοῦτο γὰρ ἔστω τῆς ἐπιστολῆς τὸ προοίμιον. σὺ δὲ σκῶπτε καὶ διάσυρε τὰ ἡμέτερα, εἴτε γελῶν εἴτε σπουδάζων. τί δὲ χιόνος ἢ κνίσης ἐμνημόνευσας παρὸν ἐν τρυφαῖς ἡμῶν τοῖς σκώμμασιν. ἐγὼ δ' ὦ λιβάνιε ἵνα σοι καὶ πλατὺν κινήσω τὸν γέλωτα, ὑπὸ παραπετάσματι καλυπτόμενος χιόνος, τὴν ἐπιστολὴν ἔγραψα. ἣν δεξάμενος ψαύων χερσὶ, γνώσῃ ὡς κρυερά τις αὕτη καὶ τὸν πέμψαντα χαρακτηρίζει ἐμφωλεύοντα

καὶ

καὶ μὴ δυνάμενοι ἔξω τῶν δωματίων προκύπτειν. τάφους γὰρ τοὺς οἴκους κεκτήμεθα μέχρις ἐπιλάβοι τὸ ἔαρ. καὶ νεκροὺς ἡμᾶς ὄντας πρὸς ζωὴν ἐπανάξει πάλιν τὸ εἶναι ὥσπερ φυτοῖς χαριζόμενον.

Βασίλειος. Λιβανίῳ.

π Ολλοὶ περιτυχόντες ἡμῖν τῶν αὐτόθι, ἐθαύμασαν σου τὴν ἐν τοῖς λόγοις ἀρετήν. ἔλεγον γὰρ ἐπίδειξίν τινα γεγενῆσθαι λαμπρὰν ἄγαν. καὶ ἀγῶνα ὡς ἔφασκον μέγιστον ὡς πάντας μὲν συνδραμεῖν καὶ μηδένα ἕτερον ἐν τῇ πόλει φανῆναι, ἢ μόνον λιβάνιον ἀγωνιζόμενον. καὶ πᾶσαν ἡλικίαν ἀκροωμένην. οὐ γὰρ ἠξίου τις ἔξω τῶν ἀγώνων γενέσθαι οὐκ ἀξιώματος ὄγκῳ συνών. οὐ στρατιωτικοῖς καταλόγοις ἐμπρέπων. οὐ βαναύσοις τέχναις σχολάζων. ἤδη δὲ καὶ γυναῖκες παρεῖναι κατηπείγοντο τοῖς ἀγῶσι. τίς δὲ ὁ ἀγών τίς δὲ ὁ λόγος ὁ τὴν πάνδημον συναγείρας πανήγυριν. καὶ δῆμοι ἤγγειλαν δυσκόλου τρόπου ἀνδρὸς τὸν λόγον ἐνστήσασθαι. ὃν οὕτω θαυμασθέντα μὴ κατόκνει μοι πέμψαι. ἵνα κἀγὼ τῶν λόγων ἐπαινέτης εἴην τῶν σῶν. ὁ γὰρ λιβάνιον ἐπαινῶν καὶ τῶν ἔργων ἐκτὸς, τίς ἂν γένωμαι νῦν ὑπόθεσιν ἐπαίνων εὑρόμενος.

Λιβάνιος Βασιλείῳ.

ι Δοὺ πέπομφα τὸν λόγον ἱδρῶτι περιρρεόμενος. πῶς γὰρ οὐκ ἔμελλον, ἀνδρὶ τοιούτῳ πέμπων τὸν λόγον, ὃς ἱκανός ἐστι τὴν πλάτωνος σοφίαν καὶ δημοσθένους δεινότητα δεῖξαι θρυλλουμένας μάτην. τὸ δ' ἐμὸν τοιοῦτον, οἷον κώνωψ ἐλέφαντι παραβαλλόμενος. ὅθεν πέφρικα καὶ τρέμω τὴν ἡμέραν λογιζόμενος, καθ' ἣν σκέψῃ τοὺς λόγους. μικροῦ δὲ καὶ τῶν φρενῶν ἐκπέπτωκα.

Βασίλειος. Λιβανίῳ.

α Νένυφα τὸν λόγον σοφώτατε καὶ ὑπερτεθαύμακα. ὦ μοῦσαι καὶ λόγοι καὶ ἀθῆναι, οἷα τοῖς ἐρασταῖς δωρεῖσθε. οἵους κομίζονται τοὺς καρποὺς, οἱ βραχύν τινα χρόνον ὑμῖν συγγινόμενοι. ὦ πηγῆς πολυχεύμονος, οἵους ἔδειξε τοὺς ἀρυομένους. αὐτὸν γὰρ ἐδόκουν ὁρᾶν ἐν τῷ λόγῳ τὸν λάλῳ συνόντα γυναίῳ. ἔμπνουν παρὰ λόγον τῶν χρονὸς λιβάνιος ἔγραψεν, ὃς μόνος τοῖς λόγοις ψυχὴν ἐχαρίσατο.

Λιβάνιος. Βασιλείῳ.

υ Υνέγνων εἶναι ὃ λέγομαι. βασιλείου γάρ με ἐπαινέσαντος, κατὰ πάντων ἔχω τὰ νικητήρια. καὶ τὴν ψῆφον δεξαμένῳ τὴν σὴν ἔξεστι βαδίζειν μετὰ σοβαροῦ τοῦ βαδίσματος οἷά τις ἀλαζὼν τοὺς πάντας περιφρονοῦν. ἐπεὶ οὖν καὶ σοὶ κατὰ μέθοδον λόγος πεποίηται, βουλόμεθα τούτῳ περιτυχεῖν. ἀλλὰ κομψὸν μέντι λέγειν οὐκ ἐθέλω. ὁ δὲ λόγος ὀφθεὶς, διδάξει με τὴν τοῦ λόγου τέχνην.

Λιβάνιος. βασιλείῳ.

ᾶ Ρᾳ βασίλειε μὴ τὰς ἀθήνας οἰκεῖς, καὶ λέληθας σεαυτόν. οὐ γὰρ τῶν καισαρέων οἱ παῖδες ταῦτα ἀκούειν ἠδύναντο. ἡ γλῶττα γάρ μοι τούτων ἐθὰς οὐκ ἦν. ἀλλ᾽ ὥσπερ ἐπί τινα κρημνὸν διοδεύοντος πληγεῖσα τῇ τῶν ὀνομάτων καινοτομίᾳ, ἐμοί τε τῷ πατρὶ ἔλεγε, πάτερ οὐκ ἐδίδαξας. ὅμηρος οὗτος ἀνήρ. ἀλλὰ πλάτων. ἀλλ᾽ ἀριστοτέλης. ἀλλὰ σουσαρίων ὁ τὰ πάντα ὢν. σὰ μένος. καὶ ταῦτα μὲν ἡ γλῶττα. σὲ δὲ εἴη βασίλειε τοιαῦτα ἡμᾶς ἐπαινεῖν.

Βασίλειος. λιβανίῳ.

δ Ἔχω μὲν οἷς μὲν ἡμῖν ἀγράφεις χαρά, ἄπειρον μὲν οἷς δὲ πρὸς ἃ γράφεις ἀντεπιστέλλειν, ἀγών. τί γὰρ ἂν εἴποι μὲν

πρὸς οὕτως ἀττικίζουσαν γλῶτταν. πλὴν ὅτι ἁλιέων εἰμὶ μαθητὴς, ὁμολογῶ καὶ φιλῶ.

Βασίλειος. Ανδρονίκῳ Ηγεμόνι.

Εἰ μὲν οὕτως εἶχον σώματος, ὥστε ῥᾳδίως ὑπομένειν ὁδοιπορίας δύνασθαι, καὶ τὰ τοῦ χειμῶνος δυσχερῆ φέρειν, οὐκ ἂν ἐπέστελλον. ἀλλ' αὐτὸς πρὸς τὴν σὴν μεγαλοψυχίαν ἐβάδιζον. δυεῖν ἕνεκεν. τοῦτε παλαιᾶς ὑποσχέσεως ἐκτίσαι χρέος. οἶδα γὰρ ὁμολογήσας παρέσεσθαι τῇ σεβαστείᾳ καὶ ἀπολαύσειν σου τῆς τελειότητος. ὅπερ ἐποίησα μὲν, διήμαρτον δὲ τῆς συντυχίας, μικρὸν καιρῶν τῆς σῆς καλοκαγαθίας παραγενόμενος. ἑτέρου δὲ τοῦ τὴν πρεσβείαν δι' ἐμαυτοῦ πληρῶσαι, ἣν ὑποστῆναι τέως ἀπώκνουν. μικρότερον ἐμαυτὸν κρίνων ἢ ὥστε τοιαύτης τυγχάνειν χάριτος. καὶ ἅμα λογιζόμενος ὅτι οὔτε ἄρχοντα οὔτε ἰδιώτην ὑπὲρ οὐδενὸς ἄν τις λέγειν διὰ γραμμάτων πείσειεν οὕτως, ὡς αὐτὸς παρών. καὶ τὰ μὲν ἀπολυόμενος τῶν ἐγκλημάτων, τὰ δὲ ἱκετεύων. τοῖς δὲ συγγνώμην παραιτούμενος ἔχειν. ὧν οὐδὲν ἂν ῥᾳδίως δι' ἐπιστολῆς γένοιτο. πᾶσιν οὖν τούτοις ἀντιθεὶς σὲ τὴν θείαν κεφαλὴν, καὶ ὅτι ἐξαρκέσει τὴν γνώμην ἐνδείξασθαί σοι, ἣν περὶ τοῦ πράγματος ἔχομεν, τὰ δὲ λοιπὰ προσθήσεις παρὰ σεαυτοῦ, πρὸς τὴν ἐγχείρησιν οὐκ ἀπώκνησα. ἀλλ' ὁρᾷς ὅπως κύκλῳ περίειμι ὀκνῶν καὶ ἀναδυόμενος τὴν αἰτίαν ἐκφαίνειν ὑπὲρ ὧν ποιοῦμαι τοὺς λόγους. Δομετιανὸς οὗτος ἐπιτήδειος ἡμῖν ἐστιν ἐκ τῶν γονέων ἄνωθεν. ὥστε ἀδελφοῦ μηδοτιοῦν διαφέρειν. τί γὰρ ἄν τις μὴ τἀληθῆ λέγοι. εἶτα τὴν αἰτίαν μαθόντες ἀφ' ἧς ταῦτα πέπονθεν, ἄξιον εἶναι τοῦ παθεῖν οὕτως ἔφαμεν. μηδὲ γὰρ ἔσω μηδεὶς, ὃς μικρὸν ἢ μεῖζον εἰς τὴν σὴν ἀρετὴν ἁμαρτήσας, τὴν τιμωρίαν ἐκφύγοι. ἀλλ' ὁρῶντες τοῦτον περι

δεῶς καὶ ἀδόξως ζῶντα τὸ ἐπὶ τῇ σῇ ψήφῳ πεποιημένου αὐτοῦ τὴν σωτηρίαν, ἀρκοῦσαν αὐτὸν ἔχειν τὴν δίκην ἐκείνα μέν. μεγαλόψυχόν τε ὁμοῦ τὸ φιλάνθρωπον διανοηθῆναι σε περὶ αὐτοῦ ἱκετευομένου. τὸ μὲν γὰρ τοὺς ἀντιτείνοντας ὑπὸ χεῖρα λαμβάνειν, ἀνδρείου τε τοῦ ἄρχοντος ὡς ἀληθῶς. τὸ δὲ τοῖς ὑποπεπτωκόσι χρηστὸν εἶναι καὶ πρᾶον, μεγαλοφροσύνῃ πάντων καὶ ἡμερότητι διαφέροντος. ὥστε ὑπάρξουσι βουληθέντι ἐν τῷ αὐτῷ τήν τε πρὸς τὸ ἀμύνασθαι καὶ τὴν ἐπὶ τὸ σώζειν, ὡς ἂν ἐθέλῃς, ἐπιδείξασθαι μεγαλοψυχίαν. τοῦτο μέτρον ἀρκοῦν δομετικῷ τῆς κολάσεως, τῶν προσδοκωμένων ὁ φόβος. καὶ ὧν ἄξιον οἶδεν ἑαυτὸν παθεῖν ὄντα, τούτοις μηδὲν εἰς τιμωρίαν προσθεῖναι αὐτῷ ἱκετευομένῳ. καὶ γὰρ ἐκεῖνο σκόπει, ὅτι κύριοι μὲν τῶν ἠδικηκότων, πολλοὶ τῶν πρότερον ἤδη γεγόνασιν. ὧν οὐδεὶς πρὸς τοὺς ὕστερον διεπέμφθη λόγους. ἀφῆκαν δὲ τὴν ὀργήν, οἱ φιλοσοφίᾳ τοὺς πολλοὺς ὑπεράραντες. ὧν ἀθάνατος ἡ μνήμη τῷ χρόνῳ παντὶ παραδέδοται. προσκείσθω δὴ καὶ τοῖς τοιούτοις περὶ σοῦ διηγήμασι. δὸς ἡμῖν τοῖς ὑμνεῖν προαιρουμένοις τὰ σά, τὰς ἐν τοῖς ἄνω χρόνοις ᾀδομένας φιλανθρωπίας ὑπερβαλέσθαι. οὕτω καὶ κροῖσος τῷ παιδοφόνῳ τὴν ὀργὴν ἀφεῖναι λέγεται, ἑαυτὸν παραδόντι εἰς τιμωρίαν. καὶ κῦρος ὁ μέγας αὐτῷ τούτῳ τῷ κροίσῳ φίλος γενέσθαι μετὰ τὴν νίκην. τούτοις σε συναριθμήσομεν. καὶ ὅση δύναμις ἡμετέρα, ταῦτα ἀναγορεύσομεν, εἴπερ μὴ μικροί τινος εἶναι παντάπασιν ἀνδρὸς τοσούτου κήρυκος νομισθείημεν. ἐκεῖνο δὲ ἐπὶ πᾶσιν εἰπεῖν ἀναγκαῖον, ὅτι τοὺς ὁπουοῦν ἀδικοῦντας, οὐχ ὑπὲρ τῶν ἤδη τεγενημένων κολάζομεν. τίς γὰρ ἂν γένοιτο μηχανὴ μὴ γεγονέναι τὰ πεπραγμένα. ἀλλ' ὅπως ἂν ἢ αὐτοὶ πρὸς τὸ λοιπὸν ἀμείνους γένοιντο,

ἢ τοῖς

ἢ ἑτέροις ὑπάρξειν τοῦ σωφρονεῖν παράδειγμα. τούτων τοίνυν οὐδέτερον ἐνδεῖν αὐτοῖς ἐν τῷ παρόντι φήσειεν. αὐτός τε γὰρ καὶ μετὰ τὸν θάνατον, τούτων μεμνήσεται· τούς τε λοιποὺς τεθνάναι τῷ δέει πρὸς τοῦτον ἀφορῶντας οἴομαι. ὥστε δ' ὅπερ ἂν προσθῶμεν τῇ τιμωρίᾳ τὴν ὀργὴν ἡμῶν ἀποπιμπλάναι δόξομεν. ὃ πολλοῦ δεῖν περὶ σοῦ ἀληθὲς εἶναι φαίην ἂν ἔγωγε. καὶ οὐδὲν αὐτὸ ὑπὸ τοῦ λόγου προήχθην εἰπεῖν, εἰ μὴ μείζονα τῷ διδόντι τὴν χάριν ἐνόρων ἢ τοῖς λαμβάνουσιν. οὐδὲ γὰρ ὀλίγοις ἔσει καταφανὴς ἡ μεγαλοψυχία τοῦ τρόπου. Καππαδόκαι γὰρ ἅπαντες ἀποσκοπήσουσι τὸ μέλλον. οἷς εὐξαίμην ἂν μετὰ τῶν λοιπῶν ἀγαθῶν τῶν προσόντων σοι καὶ ταύτην ἀπαριθμήσασθαι. ὀκνῶ δὲ τοῦ γράφειν παύσασθαι, ἡγούμενός μοι ζημίαν οἴσειν τὸ παρεθέν. τί οὖν τό γε μὴν προσθήσω· ὅτι πολλῶν ἐπιστολὰς ἔχων δέξασθαι τουμόνον αὐτὸν, πασῶν ἡγήσατο προτιμοτέραν εἶναι τὴν παρ' ἡμῶν. οὐκ οἶδ' ὅπως μαθών. εἶναί τινα ἡμῶν λόγον, παρὰ τῇ σῇ τελειότητι. ὅπως οὖν μήτε αὐτὸς ψευσθῇ τῶν ἐλπίδων, ἃς ἐφ' ἡμῖν ἔσχε, καὶ ἡμῖν ὑπάρξῃ πρὸς τοὺς ἐνταῦθα σεμνολογεῖσθαι, παρακέκλησο δέσποτα ἀνυπέρβλητε, ἐπινεῦσαι πρὸς τὴν αἴτησιν. πάντως γὰρ οὐδενὸς χεῖρον τῶν πώποτε φιλοσοφησάντων, ἐπέσκεψαι τὰ ἀνθρώπινα. καὶ οἶσθας ὡς καλὸς θησαυρὸς πᾶσι τοῖς δεομένοις ὑπουργεῖν προαποκείμενος.

Βασίλειος Εὐσταθίῳ φιλοσόφῳ.

α Πεφρικότα με ἤδη πρὸς τοὺς παρὰ τῆς λεγομένης τύχης ἐπηρείας, παρ' ἧς ἀεί τι πρὸς τὸ μὴ συγγενέσθαι σοι ἐμπόδιον ἐγεγόνει, θαυμαστῶς πως ἀνεκαλέσω καὶ παρεμυθήσω.

τοῖς γράμμασι, καὶ γάρ πως ἤδη καὶ κατ' ἐμαυτὸν ἔστρεφον, μήποτε ἀληθές ἐστι τὸ παρὰ τῶν πολλῶν θρυλλούμενον. ὅτι ἀνάγκη τίς ἐστι καὶ εἱμαρμένη ἣ καὶ τὰ μικρὰ καὶ τὰ μείζω τῶν ἡμετέρων ἄγουσα. αὐτοὶ δὲ οὐδενὸς ἐσμὲν οἱ ἄνθρωποι κύριοι. ἢ εἰ μὴ τοῦτο, τύχη τίς πάντως τὸν ἀνθρώπινον ἐλαύνει βίον. καὶ τούτων πολλὴν συγγνώμην ἕξεις τῶν λογισμῶν, ἐπειδὰν τὰς αἰτίας, ὑφ' ὧν εἰς αὐτοὺς προήχθην, μάθῃς. ἐγὼ κατέλαβον τὰς ἀθήνας κατὰ φήμην τῆς φιλοσοφίας, ὑπεριδὼν τῶν ἐκεῖ. παρέδραμον δὲ τὴν ἐφ' ἑλλησπόντῳ πόλιν ὡς οὐδεὶς ὀδυσσεὺς σειρήνων μέλη. καὶ τὴν ἀσίαν ἐθαύμασα μέν, πρὸς δὲ τὴν μητρόπολιν τῶν ἐν αὐτῇ καλῶν ἠπειγόμην. ἐπειδὴ δὲ κατέλαβον τὴν πατρίδα, καὶ σὲ ἐν αὐτῇ τὸ μέγα ὄφελος ζητήσας οὐχ εὗρον, ἐντεῦθέν μοι λοιπὸν αἱ πολλαὶ καὶ ποικίλαι ἀφορμαὶ τῶν ἀδοκήτων ἐπιγεγόνασι κωλυμάτων. ἢ γὰρ ἀσθενεῖν πάντως ἔδει καὶ διὰ τοῦτο ἀπολείπεσθαι, ἢ ἐπὶ τὴν ἑῴαν βαδίζοντι συναπαίρειν μὴ δύνασθαι. ὅτε δὲ πέντε μυρίοις πόνοις τὴν συρίαν καταλαβόντα, οὐκ ἔχειν συνεῖναι τῷ φιλοσόφῳ πρὸς αἰγυπτίους ἀπαίροντι. πάλιν οὖν ἔδει αἴγυπτόνδ' ἰέναι δολιχὴν ὁδὸν ἀργαλέαν τε. καὶ οὐδ' ἐνταῦθα τὸ σπουδαζόμενον ἔχειν. ἀλλ' οὕτω δύστερος ἦν, ὥστε ἢ τὴν ἐπὶ πέρσας βαδίζειν ἔδει καὶ συμπροϊέναι εἰς ὅ,τι μήκιστον τῶν βαρβάρων. ἦλθες γὰρ κἀκεῖσε. τοσαύτη τίς ἦν φιλονεικία τοῦ δαίμονος, ἢ αὐτοῦ καθῆσθαι ἢ ἐπὶ τῶν Ἀλεξάνδρου, ὅπερ οὖν καὶ συνέβη. δοκῶ γάρ μοι εἶναι ὥσπερ τι θρέμμα θαλλῷ προσδεικνυμένῳ ἑπόμενος ἀπηγόρευσα, ἐπέκεινα αὐχὶς καὶ ὑδάτης τῆς ἰνδικῆς ἐλθεῖν ἀγόμενον. καὶ ἔτι ἔσχατον τῆς καθ' ἡμᾶς οἰκουμένης χωρίον, καὶ τούτῳ ἐπιπλανηθῆναι. καὶ τί δεῖ τὰ πολλὰ λέγειν. ἀλλὰ τὸ τελευταῖον νῦν ἐπὶ τῆς αὐτῆς χώρας δια-

ζοντι συγγενέσθαι ἔτι ἐξεγίνετο, μακραῖς ἀρρωστίαις ἐξειργομένῳ· καὶ εἰ μὴ τὸ λοιπὸν μετριώτερα γένοιντο, οὐδὲ κατὰ τὸν χειμῶνα τῇ λογιότητί σου συνεσόμεθα. ταῦτα οὐχ εἱμαρμένης ἔργα ὡς ἂν αὐτὸς εἴποις; ταῦτα οὐκ ἀνάγκης; ταῦτα οὐχὶ μικροῦ δεῖν καὶ τοὺς τῶν ποιητῶν ἐπὶ Ταντάλῳ μύθους ὑπερέβαλλετο; ἀλλ' ὅπερ ἔφην, ῥᾷον γέγονα τοῖς γράμμασι καὶ οὐκ ἔτι ἐπὶ τῆς αὐτῆς εἰμὶ γνώμης. φημὶ δὲ χρῆναι, διδόντι μὲν τὰ ἀγαθὰ, τῷ θεῷ χάριν εἰδέναι. ταμιευομένῳ δὲ μὴ δυσχεραίνειν. καὶ δὴ οὖν καὶ ἡμῖν εἰ μὲν παράσχοι τὸ συνεῖναί σοι, ταῦτα εἰς τὰ τεόμου καὶ ἥδιστα ἡσόμεθα. εἰ δὲ ἀναβάλλοιτο, πρᾴως οἴσομεν τὴν ζημίαν. ἄμεινον γάρ που πάντως ἢ ὡς ἂν ἡμεῖς προελοίμεθα, διοικεῖ τὰ ἡμέτερα.

Ἰουλιανῷ.

Ὡς σοι τὸ ἐν τῷ μέσῳ τοῦτον χρόνον τὸ σῶμα ἔσχεν. εἰ καθαρῶς ἀπέλαβες τῆς χειρὸς τὴν ἐνέργειαν. πῶς δὲ τὰ λοιπὰ τοῦ βίου πράγματα. εἰ κατὰ γνώμην χωρεῖ σοι, ὥσπερ εὐχόμεθα καὶ ὡς ἔστιν ὀφειλόμενον τῇ σῇ προαιρέσει. καὶ γὰρ οἷς μὲν εὔκολος πρὸς μεταβολὴν ἡ διάνοια, τούτοις οὐδὲν ἀπεικὸς καὶ τὸν βίον εἶναι μὴ τεταγμένον. οἷς δὲ πεπηγυῖα ἡ γνώμη καὶ ἀεὶ ἑστῶσα καὶ ἡ αὐτή, τούτοις ἀκόλουθον συμφώνως τῇ προαιρέσει τὴν ζωὴν διεξάγειν. τῷ ὄντι γὰρ κυβερνήτῃ μὲν, οὐκ ἐφεῖται γαλήνην ποιεῖν ὅτε βούλεται. ἡμῖν δὲ ἀκύμονα ἑαυτοῖς καταστῆσαι τὸν βίον καὶ πάνυ ῥᾴδιον, ἐὰν τοὺς ἔνδοθεν ἐκ τῶν παθῶν ἐπανισταμένους ἡμῖν θορύβους κατασιγάσωμεν. καὶ τῶν ἔξωθεν προσπιπτόντων ὑψηλοτέραν τὴν γνώμην καταστησώμεθα. καὶ γὰρ οὔτε ζημίαι, οὔτε ἀρρωστίαι, οὔτε αἱ λοιπαὶ δυσχέρειαι τοῦ βίου, ἅψον-

ται τοῦ σπουδαίου, ἕως ἂν ἔχῃ τὴν διάνοιαν τῷ θεῷ συμπορευομένην· καὶ τὸ μέλλον ἀποσκοποῦσαν· καὶ τῆς χαμόθεν ἐγειρομένης ζάλης κούφως καὶ εὐσταλῶς ὑπεραίρουσαν. ἐπεὶ οἵ γε σφοδρῶς ταῖς τοῦ βίου μερίμναις κατειλημμένοι, οἷον ὄρνιθες πολύσαρκοι εἰκῇ τὸ πτερὸν ἔχοντες, κατωφερεῖς σύρονται μετὰ τῶν βοσκημάτων. σὲ δὲ τοσοῦτον ὑπὸ τῶν πραγμάτων ἰδεῖν ἐπετράπημεν, ὅσον οἱ ἐν πελάγει ἀλλήλους παραμειβόμενοι. πλὴν ἀλλ' ἐπειδὴ καὶ ἐξ ὄνυχός ἐστιν ὅλον συνιδεῖν τὸν λέοντα, ἐκ βραχείας τῆς πείρας ἡγούμεθά σε ἱκανῶς ἐγνωκέναι. ὅθεν καὶ μέγα ποιούμεθα τὸ ἐν λόγῳ σε τινὶ τὰ καθ' ἡμῶν τίθεσθαι. καὶ μὴ ἀπεῖναί σου τῆς διανοίας. ἀλλὰ διηνεκῶς σοι συνεῖναι διὰ τῆς μνήμης. δεῖγμα δὲ μνήμης τὸ γράφειν. ὅπερ ὅσῳ ἂν συνεχέστερον ποιῇς, τοσούτῳ πλέον ἡμῖν χαριῇ.

Εὐσταθίῳ Ἰατρῷ.

Εἴ τι ὄφελος ἡμετέρων γραμμάτων, μηδένα χρόνον διαλίπῃς ἐπιστέλλων ἡμῖν, καὶ διεγείρων ἡμᾶς πρὸς τὸ γράφειν. αὐτοὶ μὲν γὰρ προδήλως ἡδίους γινόμεθα, ἐντυγχάνοντες ταῖς ἐπιστολαῖς συνετῶν ἀνδρῶν ἀγαπώντων τὸν κύριον. εἰ δὲ καὶ αὐτοί τι ἄξιον σπουδῆς εὑρήσετε παρ' ἡμῖν, ὑμέτερον εἰδέναι τῶν ἐντυγχανόντων. εἰ μὲν οὖν μὴ ὑπὸ τοῦ πλήθους τῶν ἀσχολιῶν ἀπειργόμεθα, οὐκ ἂν τῆς ἐκ τοῦ γράφειν συνεχῶς εὐφροσύνης ἀπειχόμεθα. ὑμεῖς δὲ οἷς ἐλάττους αἱ φροντίδες, ὁσάκις ἂν οἷόν τε ᾖ, κατακηλεῖτε ἡμᾶς τοῖς γράμμασι. καὶ γὰρ τὰ φρέατα φασὶν ἀντλούμενα, βελτίω γίνεσθαι. ἐοίκασι δέ σου αἱ ἐξ ἰατρικῆς παραινέσεις εἰς πάρεργον χωρεῖν οὐχ ἡμῶν ἐπαιόντων τὸν σίδηρον. ἀλλ' ἑαυτοῖς ἐμπίπτοντες τῷ ἀπο-

ζισμένων. ὁμολογῶ οὖν τῷ στωϊκῷ λόγῳ ἐπειδή φησι μὴ γίνεται τὰ πράγματα ὡς βουλόμεθα, ὡς γίνεται βουλώμεθα. ἐγὼ δὲ τὴν μὲν συνῳμίαν τοῖς πράγμασι συγκατατίθεσθαι οὐ καταδέχομαι. τὸ δὲ ἀβουλήτως τινὰς ποιεῖν τι τῶν ἀναγκαίων, οὐκ ἀποδοκιμάζω. οὔτε γὰρ ὑμῖν τοῖς ἰατροῖς τὸ καίειν τὸν ἄρρωστον, ἢ ἄλλως ποιεῖν ἀλγεῖν, βουλητόν. ἀλλ' οὖν καταδέχεσθε πολλάκις τῇ δυσχερείᾳ τοῦ πάθους ἑπόμενοι. οὔτε οἱ πλέοντες ἑκουσίως ἐκβάλλουσι τὰ ἀγώγιμα. ἀλλ' ὥστε διαφυγεῖν τὰ ναυάγια, ὑφίστανται τὴν ἐκβολήν. τὸν ἐν πενίᾳ βίον, τοῦ ἀποθανεῖν προτιμῶντες. ὥστε καὶ ὑμᾶς οἴου ἀλγεινῶς μὲν καὶ μετὰ μυρίων ὀδυρμῶν φέρειν τὸν χωρισμὸν τῶν ἀφισταμένων. φέρειν δ' οὖν ὅμως. ἐπειδὴ τοῦ θεοῦ καὶ τῆς ἐπ' αὐτῷ ἐλπίδος, οὐδὲν τοῖς ἀληθείας ἐρασταῖς προτιμότερον.

Βασίλειος Διοδώρῳ περὶ τοῦ πῶς χρὴ συντάσσειν τὰς βίβλους.

ἐ Νέτυχον τοῖς ἀποσταλεῖσι βιβλίοις παρὰ τῆς τιμιότητός σου. καὶ τῷ μὲν δευτέρῳ ὑπερήσθην οὐ διὰ τὴν βραχύτητα μόνον ὡς εἰκὸς ἦν τὸν ἀργῶς πρὸς πάντα καὶ ἀσθενῶς λοιπὸν διακείμενον, ἀλλ' ὅτι πυκνόν τε ἅμα ἐστὶ ταῖς ἐννοίαις καὶ εὐκρινῶς ἐν αὐτῷ ἔχουσιν αἵ τε ἀντιθέσεις τῶν ὑπεναντίων καὶ αἱ πρὸς αὐτὰς ἀπαντήσεις. καὶ τὸ τῆς λέξεως ἁπλοῦν καὶ ἀκατάσκευον, πρέπον ἔδοξέ μοι προθέσει χριστιανοῦ, οὐ πρὸς ἐπίδειξιν μᾶλλον ἢ κοινὴν ὠφέλειαν γράφοντος. τὸ δὲ πρότερον, τὴν μὲν δύναμιν ἔχον τὴν αὐτὴν ἐν τοῖς πράγμασι, λέξει δὲ πολυτελεστέρᾳ καὶ σχήμασι ποικίλοις καὶ διαλογικαῖς χάρισι κεκομψευμένον, πολλοῦ μοι ἐφάνη καὶ χρόνου πρὸς τὸ ἐξελθεῖν, καὶ πόνου διανοίας πρὸς τὸ καὶ συλλέξαι τὰς ἐννοίας καὶ παρακατασχεῖν αὐτὰς τῇ μνή-

μηδεόμενον· καὶ γὰρ ἐν τῷ μεταξὺ παρεμβαλλόμεναι διαβολαὶ τῶν ὑπεναντίων, καὶ συστάσεις τῶν ἡμετέρων, εἶτα γλυκύτητάς τινας ἐπεισάγειν δοκοῦσι διαλεκτικὰς τῷ συγγράμματι, ἀλλ' οὖν τὴν σχολὴν καὶ διατριβὴν ἐμποιεῖν, διασπῶσι μὲν τὸ συνεχὲς τῆς ἐννοίας. καὶ τοῦ ἐναγωνίου δὲ λόγου τὸν τόνον ὑποχαυνοῦσιν. ἐκεῖνο γὰρ πάντως συνεισδύσεται ἡ ἀγχίνοια· ὅτι καὶ τῶν ἔξωθεν φιλοσόφων οἱ τοὺς διαλόγους συγγράψαντες, ἀριστοτέλης μὲν καὶ θεόφραστος, οὐ θὺσ αὐτῶν ἥψαντο τῶν πραγμάτων διὰ τὸ συνειδέναι ἑαυτοῖς τῶν πλατωνικῶν χαρίτων τὴν ἔνδειαν· πλάτων δὲ τῇ ἐξουσίᾳ τοῦ λόγου, ὁμοῦ μὲν τοῖς δόγμασι μάχεται, ὁμοῦ δὲ καὶ παρακωμῳδεῖ τὰ πρόσωπα. θρασυμάχου μὲν τὸ θρασὺ καὶ ἰταμὸν διαβάλλων. ἱππίου δὲ τὸ κοῦφον τῆς διανοίας καὶ χαῦνον. καὶ πρωταγόρου τὸ ἀλαζονικὸν τε καὶ ὑπέρογκον. ὅπου δὲ ἀόριστα πρόσωπα ἐπεισάγει τοῖς διαλόγοις, τῆς μὲν εὐκρινείας ἕνεκα τῶν πραγμάτων, κέχρηται τοῖς προσδιαλεγομένοις. οὐδὲν δὲ ἕτερον ἐκ τῶν προσώπων ἐπεισκυκλεῖ ταῖς ὑποθέσεσιν. ὅπερ ἐποίησεν ἐν τοῖς νόμοις. δεῖ οὖν καὶ ἡμᾶς τοὺς οὐ κατὰ φιλοτιμίαν ἐρχομένους ἐπὶ τὸ γράφειν, ἀλλ' ὑποθήκας καταλιμπάνειν ὠφελίμων λόγων τῇ ἀδελφότητι προελομένους, ἐὰν μέν τι πᾶσι προκεκηρυγμένον ἐπ' αὐθεντείᾳ τρόπου πρόσωπον ὑποβαλλώμεθα, χρή τινα καὶ ἀπὸ τῆς τοῦ προσώπου ποιότητος παραπλέκειν τῷ λόγῳ. ἐπεὶ ὅλως ἐπιβάλλει ἡμῖν διαβάλλειν ἀνθρώπους τῶν πραγμάτων ἀφεμένοις. ἐὰν δὲ ἀόριστον ᾖ τὸ διαλεγόμενον, αἱ πρὸς τὰ πρόσωπα διατάσεις, τὴν μὲν συνάφειαν διακόπτουσι. πρὸς οὐδὲν δὲ πέρας χρήσιμον ἀπαντῶσι. ταῦτ' εἶπον ἵνα δείξω, ὅτι οὐκ εἰς κόλακος χεῖρας ἀπέστειλάς σου τοὺς πόνους. ἀλλ' ἀδελφῷ τῷ συνησω

τὰ τῷ ἐκοινώνησας τῶν καμάτων. ἦν δὲ οὐ πρὸς ἐπανόρθωσιν τῶν γεγραμμένων, ἀλλὰ πρὸς φυλακὴν τῶν μελλόντων. πάντως γὰρ ὁ τοσαύτῃ περὶ τὸ γράφειν ἕξει καὶ σπουδῇ κεχρημένος, οὐκ ἀποκνήσει γράφων. ἐπειδὴ καὶ οἱ τὰς ὑποθέσεις παρέχοντες οὐκ ἀπολήγουσιν. ἡμῖν δὲ ἀρκέσει μὲν ἀναγινώσκειν τὰ ὑμέτερα. τοῦ δὲ δύνασθαι γράφειν, τοσοῦτον ἀποδέομεν, ὅσον μικροῦ δέω λέγειν καὶ τοῦ ὑγιαίνειν. ἢ καὶ τοῦ μετρίαν σχολὴν ἄγειν ἀπὸ τῶν πραγμάτων. ἀπέστειλα δὲ νῦν διὰ τοῦ ἀναγνώστου τὸ μεῖζον καὶ πρότερον, ἐπελθὼν αὐτὸ ὡς ἐμοὶ δυνατόν. τὸ δὲ δεύτερον παρακατέσχον, βουλόμενος αὐτὸ μεταγράψαι, καὶ μὴ εὐπορῶν τέως τινὸς τῶν εἰς τάχος γραφόντων. μέχρι γὰρ τοσαύτης ἦλθε πενίας τὰ ἐπίφθονα καππαδοκῶν.

Λεοντίῳ σοφιστῇ.

Χρόνια μὲν ὅσα καὶ τὰ παρ' ἡμῶν γράμματα. οὐ μὴν χρονιώτερα τῶν αὐτόθεν. καίτοι πολλῶν καὶ συνεχῶν τῶν ἐπιδημησάντων ἡμῖν ἀπὸ τῆς ὑμετέρας. οἷς εἰ πᾶσιν ἐφεξῆς γράμματα ἐπετίθεις, οὐδὲν ἦν τὸ κωλῦον αὐτῷ σοι δοκεῖν συνεῖναι ἡμᾶς. καὶ οἱονεὶ παρόντας καὶ συνόντας ἀπολαύειν. οὕτω συνεχὲς ἦν τὸ πλῆθος τῶν πρὸς ἡμᾶς ἀφικνουμένων. ἀλλὰ τί οὐκ ἐπιστέλλεις. καίτοι γε οὐδὲν ἔργον σοφιστοῦ ἢ τὸ γράφειν. μᾶλλον δὲ εἰ καὶ τῆς χειρὸς ἔχεις ἀργῶς, οὐδὲ γράφειν δεήσει. ἄλλος γάρ σοι διακονήσει. γλώττης δὲ χρεία μόνης. ἣ κἂν ἡμῖν μὴ διαλέγηται, ἀλλ' ἔνι γε πάντως τῶν συνόντων λαλήσει. κἂν μηδεὶς παρῇ, ἐφ' ἑαυτῆς διαλέξεται. σιωπήσει δὲ οὐδαμῶς σοφιστική γε οὖσα καὶ ἀττική. οὐ μᾶλλόν γε ἢ αἱ ἀηδόνες, ὅταν τὸ ἔαρ αὐτὰς πρὸς ᾠδὴν ἀναστήσῃ.

ἡμῖν μὲν γὰρ τὸ πικρὸν τῆς ἀσχολίας τοῦτο ἐν ᾧ νῦν ἐσμὲν καὶ παραί-
τησιν ἐνέγκοι τυχὸν πρὸς τὴν ἔνδειαν τῶν γραμμάτων. καὶ τὸ οἱ-
ονεὶ ἐρρυπώδης λοιπὸν ἢ κατηγορεῖ συνηθείας πρὸς ἰδιωτισμόν,
ὄκνον εἰκότως ἐμποιεῖ, προσφθέγγεσθαι ὑμᾶς τοὺς σοφιστάς. οἳ εἰ μή
τι ἄξιον τῆς ὑμετέρας αὐτῶν σοφίας ἀκούσεσθε, δυσχερανεῖτε καὶ
οὐκ ἀνέξεσθε. σὺ δέ που τὸ ἐναντίον εἰκὸς ὑπὲρ πάσης προφάσεως δη-
μοσιεῦσαι σαυτοῦ τὴν φωνήν. ὡς ἐπιτήδειον ὄντα εἰπεῖν ὧν αὐτὸς οἶδας ἐλ-
λήμων. οἶδας γὰρ ὡς οἶμαι τοὺς ὀνομαστοτάτους τῶν ἐν ὑμῖν. ὥστε
οὐδὲ μία παραίτησις σιωπῶντι. καὶ ταῦτα μὲν εἰς τοσοῦτον. ἀ-
πέσταλκα δέ σοι τὰ πρὸς Εὐνόμιον. ἃ εἴτε παιδιὰν χρὴ καλεῖν, εἴτε
μικρῷ παιδιᾶς σπουδαιότερα, αὐτῷ σοι κρίνειν παρίημι. ὡς πρὸς
μὲν τὰ οἰκεῖα σαυτοῦ οὐκ ἔτι οἶμαι χρήζεις. πρὸς δὲ τῶν ἐνδιαστρό-
φων τοὺς ἐντυγχάνοντας, οὐκ ἀγεννές σοι ὅπλον ἔσεσθαι προσ-
δοκῶμεν. οὐ τῇ δυνάμει τοῦ συντάγματος καταπιστεύοντες τοσοῦ-
τον. ἀλλ' ἀκριβῶς γνωρίζοντες ἀπὸ ὀλίγων ἀφορμῶν ἐπὶ πολλά σε
ὄντα εὑρετικόν. ἐὰν δέ τί σοι καὶ ἀσθενέστερον ἔχειν τῆς χρείας κατα-
φανῇ, μὴ κατοκνήσῃς ἐλέγξαι. τούτῳ γὰρ μάλιστα φίλος κό-
λακος διενήνοχε, τῷ τὸν μὲν πρὸς ἡδονὴν ὁμιλεῖν. τὸν δὲ μηδὲ τῶν
λυπούντων ἀπέχεσθαι.

Βασίλειος. Εὐνομίῳ.

Εἴ τις ἦν εἶναι λέγων τῶν ὄντων τὴν εὕρεσιν, ὁδῷ τινι πάν-
τως καὶ ἀκολουθίᾳ διὰ τῆς τῶν ὄντων γνώσεως παρέβα-
λεν ἑαυτοῦ τὴν διάνοιαν. καὶ τοῖς εὐλήπτοις τε καὶ μικροτέροις
ἐγγυμνασθεὶς, διὰ τῆς καταλήψεως οὕτως καὶ εἰς τὴν ἐπέκεινα
πάσης ἐννοίας προήγαγεν ἑαυτὸν καταληπτικὴν φαντασίαν. οὐκ
οὖν ὁ τὴν περὶ τῶν ὄντων εὕρησιν κατειληφέναι μεγαλαυχού-
μενος,

μένοις τὸ σμικρότατον τῶν προφαινομένων ὅπως ἔχει φύσεως ἑρμηνευσάτω· καὶ τίς ἡ τοῦ μύρμηκος φύσις, εἰπάτω. εἰ πνεύματι ἢ ἄσθματι συνέχεται αὐτοῦ ἡ ζωή. εἰ ὀστέοις τὸ σῶμα διείληπται. εἰ νεύροις συνδέσμοις τὰς ἁρμονίας τετόνωται. εἰ μυῶν περιβολῇ τε καὶ ἀδένων ἡ τῶν νεύρων περικρατεῖται φύσις. εἰ τοῖς νωτιαίοις σπονδύλοις ἐκ τοῦ βρέγματος ἄχρι τοῦ οὐραίου ὁ μυελὸς συμπαρατείνεται. εἰ τῇ περιοχῇ τοῦ νευρώδους ὑμένος, τοῖς κινουμένοις μέλεσι τὴν ὁρμητικὴν ἐνδίδωσι δύναμιν. εἰ ἔστιν ἐν αὐτῷ τὸ ἧπαρ. καὶ τὸ χοληδόχον ἀγγεῖον ἐπὶ τοῦ ἥπατος. νεφροί τε καὶ καρδία. καὶ ἀρτηρίαι. καὶ φλεβῶν. ὑμένων καὶ διαφράγματα. εἰ ψιλόν ἐστιν ἢ περιτρίχωται. μονώνυχόν ἐστιν, ἢ πολυσχιδεῖς ἔχει τὰς βάσεις. πόσον δὲ βιοῖ τὸν χρόνον. καὶ τίς αὐτοῖς ὁ τρόπος τῆς ἐξ ἀλλήλων γεννήσεως. ἐπὶ πόσον δὲ κυΐσκεται τὸ τικτόμενον. καὶ πῶς οὔτε πεζοὶ πάντες οἱ μύρμηκες, οὔτε ὑπόπτεροι πάντες. ἀλλ' οἱ μὲν τῶν χαμαὶ ἐρχομένων εἰσίν, οἱ δὲ δι' ἀέρος διαφέρονται. ὁ τοίνυν τῶν ὄντων τὴν γνῶσιν ἐπικομπάζων, τέως τὴν τοῦ μύρμηκος φύσιν εἰπάτω. εἶθ' οὕτως φυσιολογείτω τὴν πάντα νοῦν ὑπερέχουσαν δύναμιν. εἰ δὲ τοῦ βραχυτάτου μύρμηκος οὔπω περιέλαβες τῇ γνώσει τὴν φύσιν, πῶς τὴν ἀκατάληπτον τοῦ θεοῦ δύναμιν μεγαλαυχεῖς φαντάζεσθαι.

Ὀλυμπίῳ.

ὁ Ια κριεὶς ὦ θαυμάσιε τὴν φίλην ἡμῖν πενίαν καὶ φιλοσοφίας τροφὸν, τῆς ἐσχατιᾶς ἀπελαύνων. οἶμαι γὰρ ὥσπερ καὶ ἐξ ὅλης γραφὴν ὑπ' αὐτῆς φθέγγεσθαι, εἴ τις αὐτῇ προσγένοιτο λόγος, ὅτι τούτῳ συνοικεῖν εἱλόμην ἐγώ, νῦν μὲν τὸν Ζήνωνα ἐπαινοῦντι· ὃς ναυαγῷ πάντα ἀποβαλὼν, οὐδὲν ἀγεννὲς ἐφθέγξατο. ἀλλ' εὖ γε ἐ-

πεν ὦ τύχῃ συνελαύνεσθαι ἡμᾶς εἰς τὸ τριβώνιον. νῦν δὲ τὸν κλεάνθην, μισθῷ ὕδωρ τοῦ φρέατος ἀπαντλοῦντα ὅθεν αὐτός τε διέζη καὶ τοῖς διδασκάλοις μισθοὺς ὑπετέλει. τὸν δὲ Διογένην οὐδὲ ἐπαύσατό ποτε θαυμάζων, τοῖς παρὰ τῆς φύσεως μόνοις ἀρκεῖσθαι φιλοτιμούμενον. ὡς καὶ τὸ κισσύβιον ἀπορρῖψαι, ἐπειδή περ παρὰ παιδὸς ἐδιδάχθη κοίλαις ταῖς χερσὶν ἐγκύπτων πίνειν. ταῦτα αὖθις καὶ τὰ τοιαῦτα ἡ σύνοικος ἡμῖν πενία μέμψαιτο, ταῖς μεγαλοδωρεαῖς ἐξοικειωθεῖσα νῦν. προσθείη δὲ καὶ ἀπειλήν τινα. ὅτι εἴ σε ἐν τῇ ἰδίᾳ πάλιν λάβοιμι, σικελικὴν ἢ ἰταλιῶτιν τρυφὴν ἀποδείξω τὰ πρότερα. οὕτω σε ἀκριβῶς τοῖς παρ' ἐμαυτῆς ἀμυνοῦμαι. καὶ ταῦτα μὲν δὴ τοιαῦτα. ἥσθην δὲ ἀκούσας ἦρχθαί σε τῆς θεραπείας ἤδη. καὶ εὔχομαί σοι ὁρᾶσθαι αὐτῆς. πρέποι δ' ἂν τῇ ἱερᾷ σου ψυχῇ, ἄλυπος ὑπηρεσία σώματος.

Τῷ αὐτῷ.

κ Αἱ τοῖς γράμμασιν ἐντυχὼν τῆς τιμιότητός σου, ἡδίων ἐμαυτοῦ καὶ εὐθυμότερος ἐγενόμην. καὶ τοῖς ποθεινοτάτοις ἥκειν εἰς ὁμιλίαν ἐλθών, αὐτόν σε ἔδοξα καθορᾶν. οἱ πάνυ μου τὴν ψυχὴν κεκακωμένην παραλαβόντες οὕτω διέθηκαν, ὥστε ἐπιλαθέσθαι με τοῦ παρ' ὑμῖν κωνείου. ὃ οἱ ὀνοφροῦλοι καὶ ὀνοφροκάπηλοι, εἰς τὴν τῶν ἐκμισθωσαμένων αὐτοὺς χάριν, καθ' ἡμῶν περιφέρουσιν. ἐπιστολὰς δὲ τὰς μὲν, ἔπεμψα. τὰς δέ, καὶ εἰς ὕστερον δώσομεν ἐὰν ἐθέλῃς. μόνον εἴη τι ὄφελος παρ' αὐτῶν τοῖς λαμβάνουσι.

Τῷ αὐτῷ.

ε Γράφων ἡμῖν πρότερον μὲν ὀλίγα. νῦν δὲ οὐδὲ ὀλίγα. ἔοικεν ἡ βραχυλογία προϊοῦσα τῷ χρόνῳ, παντελὴς γίνεσθαι ἀφωνία. ἐπάνελθε τοίνυν ἐπὶ τὸ ἔθος. ὡς οὐκ ἔτι σοι μεμψό

μεθα λακωνίζοντι πρὸς ἡμᾶς διὰ γραμμάτων. ἀλλὰ καὶ τὰ μι-
κρὰ γράμματα σύμβολα ὄντα τῆς μεγάλης σου διαθέσεως, πολ-
λοῦ ἄξια ποιησόμεθα. μόνον ἐπίστελλε ἡμῖν.

Τῷ αὐτῷ.

Ὥσπερ τῶν ἄλλων ὡραίων ἕκαστον ἐν τῇ οἰκείᾳ ὥρᾳ ἀπαν-
τᾷ, ἐν ἦρι μὲν τὰ ἄνθη. ἐν θέρει δὲ οἱ στάχυες, τῷ δὲ μετοπώ-
ρῳ τὸ μῆλον, οὕτω χειμῶνος καρπός εἰσιν οἱ λόγοι.

Κανδιδιανῷ.

Τέως χεῖρας ἔλαβον τὴν ἐπιστολήν σου, ἔπαθόν τι ἀκοῆς
ἄξιον. εὐλαβήθην αὐτὴν ὥστε δημόσιον προσαγγέλλουσαν.
καὶ παρ' ὃν ἐξέλυον καιρὸν τὸν κηρὸν, ἐφοβούμην προσβλέπων.
ὡς οὐδεὶς ἐν αἰτίαις ὢν σπαρτιάτης λακωνικὴν σκυτάλην. ἐπεὶ
δὲ ἔλυσα καὶ πάνθ' ἕκαστα ἐπεξῆλθον, γελάσαι μοι ἐπῆλθε. τοῦτο μὲν
ὑφ' ἡδονῆς, τὸ μηδὲν ἀκοῦσαι νεώτερον. τοῦτο δὲ πρὸς τὰ τοῦ δη-
μοσθένους τὰ σὰ κρίναντι. ὅτι ὁ μὲν, ἐπειδὴ ὀλίγοις τισὶ χορευταῖς
καὶ αὐληταῖς ἐχορήγει, οὐκ ἔτ' ἠξίου δημοσθένης, ἀλλὰ χορηγὸς
ὀνομάζεσθαι. σὺ δὲ αὐτὸς εἶ, καὶ χορηγεῖν καὶ μὴ χορηγῶν μυρίοις πλεί-
οσι μυριάσι στρατιωτῶν, ἢ ὅσοις ἀνδράσιν ἐκεῖνος παρεῖχε τὰ ἐπιτή-
δεια. ὅς γε οὐδ' ἡμῖν ἀπὸ τοῦ σχήματος ἐπιστέλλεις, ἀλλὰ τὸν εἰωθό-
τα τρόπον. καὶ τῆς περὶ λόγους σπουδῆς, οὐδὲν ὑφίεσαι. ἀλλὰ τὸ τοῦ πλά-
τωνος, ἐν χειμῶνι καὶ ζάλῃ πραγμάτων, οἷον ὑπὸ τειχίῳ τινὶ καὶ προβό-
λῳ ἀποστὰς, οὐδενὸς θορύβου τὴν ψυχὴν ἀναπίμπλασαι. μάλιστα δὲ οὐδὲ
ἑτέρας τὸ γε σαυτοῦ μέρος. καὶ τὰ μὲν σὰ τοιαῦτα μεγάλα καὶ θαυμα-
στὰ, τοῖς συνορᾶν δυναμένοις. καὶ πάλιν οὐ θαυμαστὸν ὡς πρὸς τὴν προαίρε-
σιν τοῦ βίου κρίνοντι. ἀκούει δὴ καὶ τὰ ἡμέτερα παράδοξά περ ὄντα καὶ ἀκο-

λουθῶς ἡμῖν ἁπάντων τῶν τε. ἀνήρ τις ἀγροικὸς τῶν συνοικούντων ἡμῖν ἐν Ἀννήσοις, οἰκέτου μου τελευτήσαντος, συμβόλαιόν τι πρὸς αὐτὸν εἰπὼν ἐσχηκέναι, οὐ προσελθών μοι, οὐκ ἐπαιτιασάμενος οὐ παρ᾽ ἑκόντος ἀξιώσας λαβεῖν, οὐκ ἀπειλήσας εἰ μὴ λάβοι βιάσασθαι, ἀθρόον μετά τινων ὁμοίων αὐτῷ τὴν ἀπόνοιαν, ἐπιθέμενος ἡμῶν τῇ οἰκίᾳ, τά, τε γύναια τὰ φυλάττοντα συνέτριψε τύπτων. καὶ καταρρήξας τὰς θύρας, ἐξεφόρησεν ἅπαντα. τὰ μὲν αὐτὸς λαβών. τὰ δὲ εἰς διαρπαγὴν τοῖς βουλομένοις προθείς. ἵν᾽ οὖν μὴ ὁ ἔσχατος ὅρος ἡμεῖς τῆς ἀσθενείας ὦμεν, καὶ παντὶ δόξωμεν ἐπιτήδειοι πρὸς ἐπιχείρησιν, τὴν ἐν πᾶσι τοῖς πράγμασιν ἡμῶν σπουδὴν ἐπιδεῖξαι, καὶ νῦν εἰσενεγκεῖν παρακλήθητι. μόνως γὰρ ἂν ἡμῖν οὕτως τὸ ἄπραγμον σώζοιτο, εἰ ὑπὸ σῷ δραστηρίῳ συντεταγμένοι εἴημεν. γένοιτο δ᾽ ἂν ἡμῖν ἀρκοῦσα δίκη, εἰ διὰ τοῦ πυγάρχου συλληφθεὶς, ἐν τῷ δεσμωτηρίῳ βραχὺν κατακλεισθείη χρόνον. καὶ γὰρ οὐχ ὑπὲρ ὧν πεπόνθαμεν ἀγανακτοῦμεν μόνον, ἀλλὰ καὶ τῆς πρὸς τὸ λοιπὸν ἀσφαλείας δεόμεθα.

Φιρμίνῳ.

κ Αἱ σπάνιαί σου τὰ γράμματα καὶ μικρὰ ταῦτα. ἢ ὄκνῳ τοῦ γράφειν, ἢ ἄλλως τὸν ἐκ τοῦ πλήθους κόρον διαφεύγειν οἰκονομοῦντος. ἤ πού καὶ πρὸς βραχυλογίαν ἑαυτὸν συνεθίζοντος. ἡμῖν μέντοι οὐδὲν ἐξαρκεῖ. ἀλλὰ κἂν ὑπερβάλλῃ τῷ πλήθει, τῆς ἐπιθυμίας ἐστὶν ἐλάττω, διὰ τὸ βούλεσθαι πάνθ᾽ ἕκαστα μανθάνειν περὶ σοῦ. πῶς μέν σοι τὸ σῶμα ἔχει. ὅπως δέ σοι τὰ τῆς ἀσκήσεως. καὶ πότερον ἐπιμένεις τοῖς ἐξ ἀρχῆς ἐγνωσμένοις, ἤ τι καὶ μετεβουλεύσω πρὸς τὰ συμπίπτοντα τὴν γνώμην μεταθέμενος. εἰ μὲν οὖν ὁ αὐτὸς διέμενες σεαυτῷ, οὐκ ἂν πλήθους γραμμάτων ἐπεζητοῦ-

μεν. ἀλλ' ἤρκει ἡμῖν τοσοῦτον. ὁ δεῖνα τῷ δεῖνι. ὑγιαίνειν ἡμᾶς ἴσθι
καὶ ἔρρωσο. ἐπεὶ δὲ ἀκούομεν ἃ καὶ λέγειν αἰσχυνόμεθα, καταλιπόν-
τα σε τὴν τῶν μακαρίων προγόνων τάξιν, περὶ τὴν πρὸς πατρὸς πάππ-
ον αὐτομολεῖν, καὶ βρεττάνιον σπουδάζειν γενέσθαι ἀντὶ Φιρμίνου
ἐπιζητοῦμεν αὐτὰ ταῦτα, ἀκοῦσαι καὶ τοὺς λογισμοὺς μαθεῖν
καθ' ἣν ἐπὶ ταύτην ἐλθεῖν τοῦ βίου τὴν ὁδὸν ὑπέσχης. ἀλλ' ἐπειδὴ
αὐτὸς ἀπεσιώπησας αἰδοῖ τοῦ βουλεύματος, ἡμεῖς σε παρακα-
λοῦμεν, μήτε βουλεύεσθαι αἰσχύνης ἄξια, καὶ ἔτι ὑποδραμένου
τὸν νοῦν, ἀπελάσαντα τοῦτο τῆς διανοίας, σεαυτοῦ γενέσθαι πάλιν,
καὶ μακρὰ χαίρειν εἰπόντα στρατείᾳ καὶ ὅπλοις, καὶ ταῖς περὶ στρα-
τοπέδου ταλαιπωρίαις, καταλαβεῖν τὴν πατρίδα· ἀρκοῦν πρὸς
ἀσφάλειαν βίου καὶ πρὸς πᾶσαν περιφάνειαν τὸ ἐξ ἴσου τοῖς προ-
γόνοις κρατῆσαι τῆς πόλεως ἡγησάμενον. ὅπερ ἀπόνως σοι παρα-
γενήσεσθαι πεπιστεύκαμεν. πρός τε τὴν ἐκ φύσεως ἐπιτηδειότητα
ἀφορῶντες, καὶ πρὸς τὴν ἐρημίαν τῶν ἐνισταμένων. εἴτε οὖν μὴ
γέγονεν ἐξ ἀρχῆς ἡ γνώμη, εἴτε γενομένη πάλιν ἐκβέβληται, δή-
λωσον ἡμῖν ἐν τάχει. εἰ δὲ ὃ μὴ γένοιτο, τὰ αὐτὰ μένει βουλεύματα,
αὐτὰ γὰρ ἄγγελος ἡμῖν ἡκέτω ἡ συμφορά. γραμμάτων δὲ οὐ δεόμεθα.

Ἰουλίττῃ. Ἐλευθέρᾳ.

Τεχνητίς ἐστι περιστερῶν θηρευτικὴ τοιαύτη. ὅταν μιᾶς ἐ-
γκρατεῖς γένωνται, οἱ τὰ τοιαῦτα σπουδάζοντες, χειροήθη
τε ταύτην καὶ ὁμόσιτον ἀπεργάσωνται ἑαυτοῖς, τότε μύρῳ τὰς
πτέρυγας αὐτῆς χρίσαντες, ἐῶσι συναγελάζεσθαι ταῖς ἔξωθεν.
ἡ δὲ τοῦ μύρου ἐκείνη εὐωδία, τὴν αὐτόνομον ἐκείνην ἀγέλην, κτῆ-
μα ποιεῖται τῶν κεκτημένων τὴν τιθασόν. πρὸς γὰρ τὰς εὐπνοούσας
καὶ αἱ λοιπαὶ συνεφέλκονταί τε καὶ εἰσοικίζονται. τί δὲ βουλόμενος,

ἐντεῦθεν ἄρχομαι τοῦ γράμματος· ὅτι λαβὼν τὸν υἱὸν Διονυσίου τὸν ποτὲ Διομήδην, καὶ τῷ θείῳ μύρῳ τὰς διὰ ψυχῆς αὐτοῦ πτέρυγας διαχρίσας, ἐξέπεμψα πρὸς τὴν σὴν σεμνοπρέπειαν. ὥστε καὶ σεαυτὴν συναναπτῆναι αὐτῷ. ἢ καταλαβεῖν τὴν καλιάν. ἣν παρ' ἡμῖν ἐπήξατο ὁ προειρημένος. ἐὰν οὖν ταῦτα ἴδοιμι ἐπὶ τῆς ἐμῆς ζωῆς, καὶ τὴν σὴν σεμνοπρέπειαν πρὸς τὸν ὑψηλὸν βίον μεταθεμένην, πολλῶν προσώπων ἀξίων τοῦ θεοῦ δεηθήσομαι, τὴν κεχρεωστημένην τιμὴν ἀποπληρῶσαι αὐτῷ.

Ἀνεπίγραφος.

ὅ Τι σε φιλῶ, οἷς ἐπιστέλλω μάθε. ὅτι με μισεῖς, οἷς σιωπᾷς ἔγνων. γράφε δὲ καὶ τοῦ λοιποῦ. καλάμῳ καὶ μέλανι καὶ βραχεῖ χάρτῃ φιλοῦντας φιλῶν.

Ἄλλη ἀνεπίγραφος.

ἐ Νδεισμα τοῦ ζῆν ὁ λόγος. πῶς δὲ σὺ ὑπὲρ γῆς εἶναι νομισθείης, μηδέποτε φθεγξάμενος. ἀλλ' ἄπωσαι τὴν σιωπήν σου γράψας ἡμῖν καὶ ἐμφανίσας σαυτὸν ὅτι περιζῇς.

Νοταρίῳ.

ὁ Ι λόγοι τὴν φύσιν ὑπόπτερον ἔχουσι. διὰ τοῦτο σημείων χρήζουσιν, ἵνα ἱπταμένων αὐτῶν, λάβῃ τὸ τάχος ὁ γράφων. σὺ οὖν ὦ παῖ τὰ χαράγματα τέλεια ποίει. καὶ τοὺς τόπους ἀκολούθως κατάστιζε. ἐν γὰρ μικρᾷ πλάνῃ πολὺς ἡμάρτηται λόγος. τῇ δὲ ἐπιμελείᾳ τοῦ γράφοντος κατορθοῦται τὸ λεγόμενον.

Ἡγεμόνι.

ο Ἴσθι μεγίστην καὶ πρώτην σπουδὴν οὖσαν τῇ τιμιότητι σου πάντα τρόπον χαρίζεσθαι τῷ δικαίῳ. δευτέραν δὲ τὸ καὶ τοὺς φίλους εὖ ποιεῖν· καὶ τῶν προσφευγόντων τῇ προστασίᾳ τῆς σῆς μεγαλονοίας ἀντιποιεῖσθαι. πάντα κρίνω εἰς ταυτὸν συνέδραμεν ἐπὶ τῆς παρούσης ὑποθέσεως. τό γὰρ δίκαιόν ἐστι τὸ πρᾶγμα ὑπὲρ οὗ τὴν πρεσβείαν ποιούμεθα, καὶ ἡμῖν κεχαρισμένον, οὓς ἐν τοῖς φίλοις ἀριθμεῖν τοῖς σεαυτοῦ κατηξίωσας. καὶ ὀφειλόμενον τοῖς τὴν στερρότητα σου, εἰς τὴν ὑπὲρ ὧν πεπόνθασι βοήθειαν ἐπικαλουμένοις. σῖτον δὲ ὃν μόνον εἶχε πρὸς τὴν ἀναγκαίαν τοῦ βίου διαγωγὴν ὁ τεθνεὼς τούτοις ἀδελφὸς Δωρόθεος, ἀνήρπασάν τινες ἐν βηρείσοις τῶν τὰ δημόσια διοικεῖν πεπιστευμένων. εἴτε ἀφ' ἑαυτῶν ἐλθόντες ἐπὶ τὴν βίαν, εἴτε καὶ ἑτέρων αὐτοῖς ὑποθεμένων. πλὴν οὐδαμόθεν αὐτοῖς τὸ πρᾶγμα ἀνέγκλητον. τί γὰρ ἧττον ἀδικεῖ ὁ οἴκοθεν πονηρός, ἢ ὁ ἑτέρων κακίᾳ ὑπηρετούμενος. τοῖς πεπονθόσιν ἡ ζημία ὁμοία. τοῦτο ἀξιοῦμεν, δι' ὧν ἀφῃρέθημεν ἀπολαβεῖν. τὸ μὴ ἐξεῖναι αὐτοῖς ἐπὶ ἑτέρους τὴν αἰτίαν τῶν τετολμημένων ἀναφέρειν. ὅσου δὲ ἄξιον, τὸ τὴν ἐκ τῆς σιτοδείας διαφυγεῖν ἀνάγκην, τοσοῦτον τὴν χάριν τιμησόμεθα τὴν παρὰ τῆς σῆς μεγαλοφυΐας ἐὰν ἄρα δοῦναι καταξιώσῃς.

Γρηγορίῳ ἑταίρῳ.

ε Τοῦ ἀδελφοῦ μοι ἐπιστείλαντος Γρηγορίου πάλαι σε βούλεσθαι ἡμῖν συντυχεῖν, προσθέντος δὲ ὅτι καὶ σοὶ αὐτὸ τοῦτο δεδογμένον ἐστὶ, τὸ μέν τι καὶ διὰ τὸ πολλάκις ἀπατηθῆναί με ὀκνηρῶς ἔχων πρὸς τὸ πιστεύειν, τὸ δέ τι καὶ ὑπὸ ἀσχολιῶν περισπώμενος, ἐπιμεῖναι οὐκ ἠδυνήθην. δεῖ γάρ με ἤδη ἀπελαύνειν

περὶ τὸν ἴριν, ἐν ᾧ τάχα ποτὲ τοῦ θεοῦ βουληθέντος, τῆς πλάνης λήξομεν. μόλις γὰρ ἀπέστην τῶν ματαίων ἐλπίδων, ἃς ἐπὶ σοὶ εἶχον ποτέ, μᾶλλον δὲ τῶν ὀνείρων, εἰ δεῖ ἀληθὲς εἰπεῖν, ἐπαινῶ γὰρ τὸν εἰπόντα τὰς ἐλπίδας εἶναι γρηγορούντων ἐνύπνια, κατὰ βίου ζήτησιν περὶ τὸν πόντον ἀπῆλθον. ἔνθα δή μοι ὁ θεὸς χωρίον ὑπέδειξεν ἀκριβῶς συμβαῖνον τῷ ἐμῷ τρόπῳ. ὥστε οἷον πολλάκις εἰώθαμεν ἀργοῦντες ἅμα καὶ παίζοντες τῇ διανοίᾳ συμπλάττειν, τοιοῦτον ἐπὶ τῆς ἀληθείας καθορᾶν. ὄρος γάρ ἐστιν ὑψηλὸν βαθείᾳ ὕλῃ κεκαλυμμένον, ψυχροῖς ὕδασι καὶ διαφανέσιν εἰς τὸ κατ᾽ ἄρκτον κατάρρυτον. τούτου ταῖς ὑπωρείαις, πεδίον ὕπτιον ὑπεστόρεσται, ταῖς ἐκ τοῦ ὄρους νοτίσι διηνεκῶς πιαινόμενον. ὕλη δὲ τούτῳ αὐτομάτως περιφυεῖσα ποικίλων καὶ παντοδαπῶν δένδρων, μικροῦ δεῖν αὐτῷ ἕρκος αὐτοῦ γίνεται. ὡς μικρὰν εἶναι πρὸς τοῦτο καὶ τὴν καλυψοῦς νῆσον. ἣν δὴ πασῶν πλέον ὅμηρος εἰς κάλλος θαυμάσας φαίνεται. καὶ γὰρ οὐδὲ πολὺ ἀποδεῖ τοῦ νῆσος εἶναι, ἕνεκά γε τοῦ πανταχόθεν ἐρύμασι περιείργεσθαι. φάραγγες μὲν γὰρ αὐτῷ βαθεῖαι κατὰ δύο μέρη περιερρώγασι. κατὰ πλευρὰν δὲ ἀποκρημνοῦ ὁ ποταμὸς ὑπορρέων, τεῖχός ἐστι καὶ αὐτὸς διηνεκὲς καὶ δυσέμβατον. ἐκ δὲ τοῦ ἐπὶ θάτερα, τεταμένον τὸ ὄρος, δι᾽ ἀγκώνων μηνοειδῶν ταῖς φάραγξιν ἐπιζευγνύμενον, τὰ βάσιμα τῆς ὑπωρείας ἀποτειχίζει. μία δέ τις εἴσοδος ἐπ᾽ αὐτῆς, ἧς ἡμεῖς ἐσμὲν κύριοι. τήν τε μὴν οἴκησιν αὐχήν τις ἕτερος ὑποδέχεται. ὑψηλόν τινα ἐπὶ τῆς ἄκρας αὐχῶν τείνονται. ὥστε τὸ πεδίον τοῦτο ὑφηπλῶσθαι τοῖς ὄψεσι. καὶ ἐκ τοῦ μετεώρου ἐξεῖναι καὶ τὸν ποταμὸν περιρρέοντα καθορᾶν. οὐκ ἐλάττονα τέρψιν ἔμοιγε δοκεῖν παρεχόμενον, ἢ τοῖς ἐκ τῆς ἀμφιπόλει τὸν χειμῶνα καταμανθάνουσιν. ὁ μὲν γὰρ σχολαιοτέρῳ τῷ

ῥεύματι

τῷ ῥεύματι περιλιμνάζων, μικροῦ δεῖν καὶ τὸ ποταμὸς εἶναι ὑπὸ τῆς ἡσυχίας ἀφῄρηται. ὁ δὲ ὀξύτατα ὧν ἐγὼ οἶδα ποταμῶν ῥέων, βραχύ τι τῇ γείτονι πέτρᾳ παρατραχύνεται. ἀφ' ἧς ἀναχεόμενος, εἰς δίνην βαθεῖαν περιειλεῖται. ὃ μὲν τὲ ἥδιστην ἐμοὶ πασῶν θεατῇ παρεχόμενος, καὶ χρείαν τοῖς ἐπιχωρίοις αὐταρκεστάτην. ἰχθύων τὲ πλῆθος ἀμύθητον ταῖς δίναις ἐντρέφει. τί δεῖ λέγειν τὰς ἐκ τῆς γῆς ἀναπνοάς. ἢ τὰς ἐκ τοῦ ποταμοῦ αὔρας. τὸ γὰρ μὴν τῶν ἀνθέων πλῆθος ἢ τῶν ᾠδικῶν ὀρνίθων, ἄλλος μὲν ἄν τις θαυμάσειεν. ἐμοὶ δὲ οὐ σχολὴ τούτοις προσέχειν τὸν νοῦν, ὃ δὲ μέγιστον εἰπεῖν ἔχομεν τοῦ χωρίου, ὅτι πρὸς πᾶσαν ὑπάρχον καρπῶν φορὰν ἐπιτήδειον, διὰ τὴν καιρίαν τῆς θέσεως ἥδιστον ἐμοὶ πάντων καρπῶν τὴν ἡσυχίαν τρέφει. οὐ μόνον καθότι τῶν ἀστικῶν χωρίων ἀπήλλακται, ἀλλ' ὅτι οὐδὲ ὁδίτην τινὰ παραπέμπει πλὴν τῶν κατὰ θήραν ἐπιμισγομένων ἡμῖν. πρὸς γὰρ αὖ τοῖς ἄλλοις καὶ θηροτρόφος ἐστὶν οὐκ ἄρκτων ἢ λύκων τῶν ὑμετέρων. μὴ γένοιτο. ἀλλ' ἐλάφων ἀγέλας καὶ αἰγῶν ἀγρίων. καὶ λαγωοὺς βόσκει καὶ εἴ τι τούτοις ὅμοιον. ἆρ' οὖν οὐκ ἐνθυμῇ παρ' ὅσον ἦλθον κινδύνου ὁ μάταιος ἐγώ, τὸ τοιοῦτον χωρίον τὴν Τιβερηνὴν τὸ βάραθρον τῆς οἰκουμένης φιλονεικῶν ἀνταλλάξασθαι. πρὸς ὅπερ νῦν ἐπειγομένῳ συγγνώσῃ. πάντως γὰρ οὐδὲ Ἀλκμαίων τὰς Ἐχινάδας εὑρὼν ἔτι τῆς πλάνης ἠνέσχετο. Ἔρρωσο.

solit. & recessu.

Τῷ αὐτῷ περὶ τῆς κατ' ἐρημίαν διατριβῆς actio in vita.

Πέμπω σοι τὴν ἐπιστολήν, ὥσπερ οἱ τοὺς τῶν φίλων παῖδας ἐκ τῆς ἐπιφαινομένης αὐτοῖς ὁμοιότητος πρὸς

τοὺς τεκόντας ἐπιγινώσκουσι. τὸ γὰρ μὴ μέγα ἐμφῆσαι τὴν τοῦ τόπου κατασκευὴν πρὸς τὸ ἐμποιῆσαι ὁρμήν τινα τῇ ψυχῇ σου εἰς τὸν μεθ' ἡμῶν βίον, πρὶν ἂν περὶ τοῦ τρόπου τι μάθοις καὶ τῆς διαγωγῆς, σὸν ἦν ὄντως τὸ διανόημα καὶ τῆς σῆς ψυχῆς, τῆς πάντα τὰ τῇδε μηδὲν τιθεμένης, πρὸς τὴν ἐν ἐπαγγελίαις ἀποκειμένην ἡμῖν μακαριότητα. ἐγὼ δὲ ἃ μὲν ποιῶ αὐτὸς ἐπὶ τῆς ἐσχατιᾶς ταύτης νυκτὸς καὶ ἡμέρας, γράφειν αἰσχύνομαι. κατέλιπον μὲν γὰρ τὰς ἐν ἄστει διατριβάς, ὡς μυρίων κακῶν ἀφορμάς. ἐμαυτὸν δὲ οὔπω ἀπολιπεῖν ἠδυνήθην. ἀλλ' ὅμοιός εἰμι τοῖς ἐν θαλάσσῃ ὑπὸ τῆς κατὰ τὸν πλοῦν ἀπειρίας ἀπολλυμένοις καὶ ναυτιῶσιν, οἳ τῷ μεγέθει τοῦ πλοίου δυσχεραίνουσιν ὡς πολὺν σάλον παρεχομένῳ· κἀκεῖθεν ἐπὶ τὸν λέμβον ἢ τὸ ἀκάτιον μεταβαίνοντες, πανταχοῦ ναυτιῶσι καὶ ἀποροῦνται. συμμετέρχεται γὰρ αὐτοῖς ἡ ἀηδία καὶ ἡ χολή. τοιοῦτον οὖν τι καὶ τὸ ἡμέτερον. τὰ γὰρ ἔνοικα πάθη συμπεριφέροντες, πανταχοῦ μετὰ τῶν ὁμοίων θορύβων ἐσμέν. ὥστε οὐδὲν μέγα τῆς ἐρημίας ἀπωνάμεθα ταύτης. ἃ μέντοι ποιεῖν ἔδει, καὶ ὅθεν ἡμῖν τῶν ἰχνῶν ἔχεσθαι τοῦ πρὸς σωτηρίαν καθηγησαμένου, εἴ τις γάρ φησι θέλει ὀπίσω μου ἐλθεῖν ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι, ταῦτά ἐστιν. ἐν ἡσυχίᾳ τὸν νοῦν ἔχειν πειρᾶσθαι προσήκει. ὡς γὰρ ὀφθαλμὸν περιαγόμενον συνεχῶς καὶ νῦν μὲν ἐπὶ τὰ πλάγια περιφερόμενον, νῦν δὲ πρὸς τὰ ἄνω καὶ κάτω πυκνὰ μεταστρεφόμενον ἰδεῖν ἐναργῶς οὐχ οἷόν τε, ἀλλὰ χρὴ προσερεισθῆναι τὴν ὄψιν

τῷ ὁρωμένῳ, εἰ μέλλοι ἐναργῆ αὐτοῦ ποιεῖσθαι τὴν θέαν, οὕτως καὶ νοῦν ἀνθρώπου ὑπὸ μυρίων τῶν κατὰ τὸν κόσμον φροντίδων περιελκόμενον, ἀμήχανον ἐναργῶς ἐνατενίσαι τῇ ἀληθείᾳ. ἀλλὰ τὸν μὲν οὔπω τοῖς δεσμοῖς τοῦ γάμου συνεζευγμένον, λυσσώδεις ἐπιθυμίαι καὶ ὁρμαὶ δυσκάθεκτοι καὶ ἔρωτές τινες δυσέρωτες ἐκταράσσουσι. τὸν δὲ ἤδη κατειλημμένον ὁμοζύγῳ, θόρυβος φροντίδων ἐκδέχεται. ἐν ἀπαιδίᾳ, παίδων ἐπιθυμία. γυναικὸς φυλακή. οἴκου ἐπιμέλεια. οἰκετῶν προστασίαι. αἱ κατὰ τὰ συμβόλαια βλάβαι. οἱ πρὸς τοὺς γείτονας διαπληκτισμοί. αἱ ἐν τοῖς δικαστηρίοις συμπλοκαί. τῆς ἐμπορίας οἱ κίνδυνοι. αἱ τῆς γεωργίας διαπονήσεις. πᾶσα ἡμέρα ἰδίαν ἥκει φέρουσα τῆς ψυχῆς ἐπισκότησιν. καὶ αἱ νύκτες τὰς μεθημερινὰς φροντίδας παραλαβοῦσαι, ἐν τοῖς αὐτοῖς φαντασίαις ἐξαπατῶσι τὸν νοῦν. τούτων δὲ φυγὴ μία, ὁ χωρισμὸς ἀπὸ τοῦ κόσμου παντός. κόσμου δὲ ἀναχώρησις, οὐ τὸ ἔξω αὐτοῦ γενέσθαι σωματικῶς. ἀλλὰ τῆς πρὸς τὸ σῶμα συμπαθείας τὴν ψυχὴν ἀπορρῆξαι. καὶ γενέσθαι ἄπολιν. ἄοικον. ἀνίδιον. ἀφιλέταιρον. ἀκτήμονα. ἄβιον. ἀπράγμονα. ἀσυνάλλακτον. ἀμαθῆ τῶν ἀνθρωπίνων διδαγμάτων. ἕτοιμον ὑποδέξασθαι τῇ καρδίᾳ τὰς ἐκ τῆς θείας διδασκαλίας ἐγγινομένας διατυπώσεις. ἑτοιμασία δ᾽ ἡ καρδίας, ἡ ἀπομάθησις τῶν ἐκ πονηρᾶς συνηθείας προκατασχόντων αὐτὴν διδαγμάτων. ὅτε γὰρ ἐν κηρῷ γράψαι δυνατὸν μὴ καταλεάναντα τοὺς ἐγκειμένους χαρακτῆρας, οὔτε ψυχῇ δόγματα θεῖα παραθέσθαι, μὴ τὰς ἐκ τοῦ ἔθους προ

λήψεις αὐτῆς ἐξελόντα. πρὸς δὴ τοῦτο μέγιστον ὄφελος ἡμῖν ἡ ἐρημία παρέχεται, κατευνάζουσα ἡμῶν τὰ πάθη καὶ σχολὴν διδοῦσα τῷ λόγῳ παντελῶς αὐτὰ τῆς ψυχῆς ἐκτεμεῖν. ὡς γὰρ τὰ θηρία εὐκαταγώνιστά ἐστι καταψηχθέντα, οὕτως ἐπιθυμίαι καὶ ὀργαὶ καὶ φόβοι καὶ λῦπαι τὰ ἰοβόλα τῆς ψυχῆς κακὰ κατευνασθέντα διὰ τῆς συνηθείας καὶ μὴ ἐξαγριαινόμενα τῷ συνεχεῖ ἐρεθισμῷ, εὐκαταγωνιστότερα τῇ δυνάμει τοῦ λογισμοῦ γίνεται. ἔστω τοίνυν τὸ χωρίον τοιοῦτον, οἷόν περ ἐστὶ τὸ ἡμέτερον, ἐπιμιξίας ἀνθρώπων ἀπηλλαγμένον, ὡς μὴ ὑπὸ μηδενὸς τῶν ἔξωθεν τὸ συνεχὲς τῆς ἀσκήσεως διακόπτεσθαι. ἄσκησις δὲ εὐσεβείας, τὴν ψυχὴν τρέφει τοῖς θείοις διανοήμασι. τί οὖν μακαριώτερον τοῦ τὴν ἀγγέλων χορείαν ἐν γῇ μιμεῖσθαι. εὐθὺς μὲν ἀρχομένης ἡμέρας εἰς εὐχὰς ὁρμῶντα, καὶ ὕμνοις καὶ ᾠδαῖς γεραίρειν τὸν κτίσαντα. εἶτα ἡλίου καθαρῶς διαλάμψαντος ἐπὶ ἔργα τραπόμενον, πανταχοῦ αὐτοῖς τῆς εὐχῆς συμπαρούσης, καὶ τοῖς ὕμνοις ὥσπερ ἅλατι παραρτύειν τὰς ἐργασίας. τὸ γὰρ ἱλαρὸν καὶ ἄλυπον τῆς ψυχῆς κατάστημα, αἱ τῶν ὕμνων παρηγορίαι χαρίζονται. ἡσυχία οὖν ἀρχὴ καθάρσεως τῇ ψυχῇ. μήτε γλώττης λαλούσης τὰ τῶν ἀνθρώπων, μήτε ὀφθαλμῶν εὐχροίας σωμάτων καὶ συμμετρίας περισκοπούντων, μήτε ἀκοῆς τὸν τόνον τῆς ψυχῆς ἐκλυούσης, εἰς ἀκροάσεις μελῶν πρὸς ἡδονὴν πεποιημένων, μήτε ῥήμασιν εὐτραπέλων καὶ γελοιαστῶν ἀνθρώπων, ὃ μάλιστα λύειν τῆς ψυχῆς τὸν τόνον πέφυκε. νοῦς γὰρ μὴ σκεδαννύμενος ἐπὶ τὰ ἔξω, μηδὲ ὑπὸ τῶν αἰσθητηρίων ἐπὶ τὸν κόσμον διαχεόμενος, ἐπάνεισι μὲν πρὸς ἑ-

Vid. etiam August. De Opere monachorum, libro uno.

αὐτὸν. δι' ἑαυτοῦ πρὸς τὴν περὶ θεοῦ ἔννοιαν ἀναφαίνει. κἀκείνῳ τῷ κάλλει περιλαμπόμενός τε καὶ ἐλλαμπόμενος, καὶ αὐτῆς τῆς φύσεως λήθην λαμβάνει. μήτε πρὸς τροφῆς φροντίδα, μήτε πρὸς περιβολαίων μέριμναν τὴν ψυχὴν καθελκόμενος. ἀλλὰ σχολὴν ἀπὸ τῶν γηΐνων φροντίδων ἄγων, τὴν πᾶσαν αὐτοῦ σπουδὴν ἐπὶ τὴν κτῆσιν τῶν αἰωνίων ἀγαθῶν μετατίθησι, πῶς μὲν κατορθωθῇ αὐτῷ ἡ σωφροσύνη καὶ ἡ ἀνδρία. πῶς δὲ ἡ δικαιοσύνη καὶ φρόνησις καὶ αἱ λοιπαὶ ἀρεταί, ὅσαι ταῖς γενικαῖς ταύταις ὑποδιαιροῦνται, καθηκόντως ἕκαστα ἐπιτελεῖν τῶν κατὰ τὸν βίον ὑποβάλλουσι τῷ σπουδαίῳ. μεγίστη δὲ ὁδὸς πρὸς τὴν τοῦ καθήκοντος εὕρεσιν καὶ ἡ μελέτη τῶν θεοπνεύστων γραφῶν. ἐν ταύταις γὰρ καὶ αἱ τῶν πράξεων ὑποθῆκαι εὑρίσκονται. καὶ οἱ βίοι τῶν μακαρίων ἀνδρῶν, ἀνάγραπτοι παραδεδομένοι, οἷον εἰκόνες τινὲς ἔμψυχοι τῆς κατὰ θεὸν πολιτείας τῷ μιμήματι τῶν ἀγαθῶν ἔργων πρόκεινται. καὶ τοίνυν περὶ ὅπερ ἂν ἕκαστος ἐνδεῶς ἔχοντα ἑαυτὸν αἰσθάνηται, ἐκείνῳ προσδιατρίβων οἷον ἀπό τινος κοινοῦ ἰατρείου, τὸ πρόσφορον εὑρίσκει τῷ ἀρρωστήματι φάρμακον. καὶ ὁ μὲν ἐραστὴς τῆς σωφροσύνης, τὴν περὶ τοῦ ἰωσὴφ ἱστορίαν συνεχῶς ἀνελίττει. καὶ παρ' αὐτοῦ τὰς σωφρονικὰς ἐκδιδάσκεται πράξεις, εὑρίσκων αὐτὸν οὐ μόνον ἐγκρατῶς πρὸς ἡδονὰς ἔχοντα, ἀλλὰ καὶ ἑκτικῶς πρὸς ἀρετὴν διακείμενον. ἀνδρίαν δὲ παιδεύεται παρὰ τοῦ ἰώβ. ὃς οὐ μόνον πρὸς τὰ ἐναντία τοῦ βίου μεταπεσόντος αὐτῷ, πένης ἐκ πλουσίου, καὶ ἄπαις ἀπὸ καλλίπαιδος ἐν μιᾷ καιροῦ ῥοπῇ γενόμενος, διέμεινεν ὁ αὐτός, ἀταπείνωτον πανταχοῦ

τὸ τῆς ψυχῆς φρόνημα διασώζων. ἀλλ' οὔτε τῶν φίλων τῶν εἰς παραμυθίαν ἡκόντων ἐπεμβαινόντων αὐτῷ καὶ συνεπιτεινόντων τὸ ἄλγημα παρωξύνθη. πάλιν σκοποῦντι πῶς ἂν πρᾶος ἐν ταὐτῷ καὶ μεγαλόθυμος γένοιτο, ὥστε τῷ μὲν θυμῷ κατὰ τῆς ἁμαρτίας κεχρῆσθαι, τῇ δὲ πρᾳότητι πρὸς τοὺς ἀνθρώπους, εὑρήσει τὸν Δαβὶδ γενναῖον μὲν ἐν τοῖς κατὰ πόλεμον ἀνδραγαθήμασι, πρᾶον δὲ καὶ ἀκίνητον ἐν ταῖς τῶν ἐχθρῶν ἀντιδόσεσι. τοιοῦτος ἦν καὶ Μωσῆς, μεγάλῳ μὲν τῷ θυμῷ κατὰ τῶν εἰς θεὸν ἐξαμαρτανόντων διανιστάμενος, πρᾳείᾳ δὲ τῇ ψυχῇ τὰς καθ' ἑαυτοῦ διαβολὰς ὑποφέρων. καὶ πανταχοῦ ὥσπερ οἱ ζωγράφοι, ὅταν ἀπὸ εἰκόνων εἰκόνα γράφωσι, πυκνὰ πρὸς τὸ παράδειγμα ἀποβλέποντες, τὸν ἐκεῖθεν χαρακτῆρα πρὸς τὸ ἑαυτῶν σπουδάζουσι μεταθεῖναι φιλοτέχνημα, οὕτω δεῖ καὶ τὸν ἐσπουδακότα ἑαυτὸν πᾶσι τοῖς μέρεσι τῆς ἀρετῆς ἀπεργάσασθαι τέλειον, οἱονεὶ πρὸς ἀγάλματά τινα κινούμενα καὶ ἔμπρακτα, τοὺς βίους τῶν ἁγίων ἀποβλέπειν. καὶ τὸ ἐκείνων ἀγαθὸν, οἰκεῖον ποιεῖσθαι διὰ μιμήσεως. εὐχαὶ πάλιν τὰς ἀναγνώσεις διαδεχόμεναι νεαρωτέραν τὴν ψυχὴν καὶ ἀκμαιοτέραν τῷ πρὸς θεὸν πόθῳ κεκινημένην παραλαμβάνουσιν. εὐχὴ δὲ καλὴ ἡ ἐναργῆ ἐμποιοῦσα τοῦ θεοῦ ἔννοιαν τῇ ψυχῇ. καὶ τοῦτό ἐστι τοῦ θεοῦ ἐνοίκησις, τὸ διὰ τῆς μνήμης ἔχειν ἐνιδρυμένον ἐν ἑαυτῷ τὸν θεόν. οὕτω γινόμεθα ναὸς θεοῦ ὅταν μὴ φροντίσι γηΐναις τὸ συνεχὲς τῆς μνήμης διακόπτηται. μὴ δὲ τοῖς ἀπροσδοκήτοις πάθεσιν ὁ νοῦς ἐκταράττηται. ἀλλὰ πάντα ἀποφυγὼν ὁ φιλόθεος ἐπὶ θεὸν ἀναχωρῇ. ἐξελαύνων τὰ προκαλούμενα ἡμᾶς εἰς ἀκρασίας πάθη, καὶ τοῖς πρὸς ἀρετὴν ἄγουσιν ἐπιτηδεύ-

μασιν

μασιν ἐνδιατρίβειν. καὶ πρὸ τούτων πάντων σπουδάζειν προσήκει
περὶ τὴν τοῦ λόγου χρῆσιν μὴ ἀμαθῶς ἔχειν. ἀλλ' ἐρωτᾶν μὲν
ἀφιλονείκως, ἀποκρίνεσθαι δὲ ἀφιλοτίμως, μὴ διακόπτοντα τὸν
προσδιαλεγόμενον, ὅταν χρήσιμον λέγῃ, μηδὲ ἐπιθυμοῦντα τὸν ἑ-
αυτοῦ λόγον ἐπιδεικτικῶς παρεμβάλλειν, μέτρα ὁρίζοντα λόγῳ
καὶ ἀκοῇ. μανθάνειν δὲ ἀνεπαισχύντως, διδάσκειν ἀνεπιφθόνως.
κἂν ἔτι παρ' ἑτέρου δεδιδαγμένος ᾖ, μὴ ἐπικρύπτειν ὥσπερ αἱ φαῦλαι
τῶν γυναικῶν, τὰ νόθα ὑποβαλλόμεναι, ἀλλὰ κηρύσσειν εὐ-
γνωμόνως τὸν πατέρα τοῦ λόγου. τόνος δὲ φωνῆς ὁ μέσος προ-
τιμητέος, ὡς μήτε διαφεύγειν τὴν ἀκοὴν ὑπὸ σμικρότητος,
μήτε φορτικὸν εἶναι τῷ μεγέθει τῆς διατάσεως. προεξετάσαν-
τα δὲ ἐν ἑαυτῷ τὸ ῥηθησόμενον, οὕτω δημοσιεύειν τὸν λόγον. εὐπρο-
σήγορον ἐν ταῖς ἐντεύξεσι. γλυκὺν ἐν ταῖς ὁμιλίαις. οὐ διὰ τῆς εὐ-
τραπελίας τὸ ἡδὺ θηρώμενον, ἀλλὰ διὰ τῆς εὐμενοῦς παρακλή-
σεως τὸ προσηνὲς ἔχοντος. πανταχοῦ τὸ τραχὺ κἂν ἐπιτιμῆσαι
δέῃ, ἀπωθούμενον. προκαταλαβὼν γὰρ ἑαυτὸν διὰ ταπει-
νοφροσύνης, οὕτως εὐπαράδεκτος ἔσῃ τῷ δεομένῳ τῆς θεραπεί-
ας. πολλάκις δὲ χρήσιμος ἡμῖν καὶ ὁ τοῦ προφήτου τρόπος τῆς
ἐπιπλήξεως. ὃς τῷ Δαβὶδ ἁμαρτόντι, οὐ παρ' ἑαυτοῦ ἐπήγαγε
τὸν ὅρον τῆς καταδίκης. ἀλλ' ὑποβολῇ προσώπου χρησάμενος, αὐ-
τὸν ἐκεῖνον ἐκάθισε δικαστὴν τοῦ ἰδίου ἁμαρτήματος. ὥστε αὐτὸν καθ' ἑαυ-
τοῦ προεξενεγκόντα τὴν κρίσιν, μηδὲν ἔτι μέμφεσθαι τῷ ἐλέγξαν-
τι. ἐπεὶ δὲ τῷ ταπεινῷ καὶ καταβεβλημένῳ φρονήματι, ὄμμα σύ-
ννουν, εἰς γῆν νενευκός. σχῆμα ἠμελημένον. κόμη αὐχμηρά. ἐσθὴς ῥυ-
πῶσα. ὥστε ἃ ποιοῦσιν οἱ πενθοῦντες κατ' ἐπιτήδευσιν, ταῦτα ἐκ τοῦ
αὐτομάτου ἡμῖν ὑποφαίνεσθαι. χιτὼν διὰ ζώνης προσεσταλμένος

τῷ σώματι· τὸ μέχρι ζώσματα μήτε ἄνω τῶν λαγόνων· γυναικῶδες γάρ· μήτε χαῦνον ὥστε διαρρεῖν τὸν χιτῶνα· βλακικὸν γάρ· τὸ βάδισμα μήτε νωθρόν, ὡς ἔκλυσιν τῆς ψυχῆς κατηγορεῖν· μηδ' ὑπὸ σφοδρότητος σεσοβημένον· ὡς ἐμπλήκτους αὐτῆς τὰς ὁρμὰς ὑποφαίνειν. σκοπὸς ἐσθῆτος εἷς· κάλυμμα εἶναι σαρκὸς πρὸς χειμῶνα καὶ θέρος αὐταρκές. μήτε δὲ ἐν χρώματι τὸ ἀνθηρὸν διωκέσθω· μήτε ἐν τῇ κατασκευῇ τὸ λεπτὸν καὶ μαλακόν· τὸ γὰρ τὰς ἐν ἐσθῆτι διχροίας περισκοπεῖν, ἴσον ἐστὶ γυναικείῳ καλλωπισμῷ, ὃν ἐκεῖναι ἐπιτηδεύουσιν ἀλλοτρίῳ ἄνθει, παρειὰς καὶ τρίχας ἑαυτῶν καταβάπτουσαι. ἀλλὰ μὴν καὶ παχύτητος οὕτως ἔχειν ὁ χιτὼν ὀφείλει, ὡς μὴ δεῖσθαι κοινωνοῦ πρὸς τὸ θάλπειν τὸν ἐνδυόμενον. ὑπόδημα δὲ τὸ εὐτελὲς μὲν κατὰ τὴν ἀξίαν, ἀνενδεῶς δὲ τὴν χρείαν ἀποπληροῦν. ἁπαξαπλῶς ὥσπερ ἐν τῷ ἐνδύματι ἡγεῖσθαι προσήκει τὸ χρειῶδες, οὕτω καὶ ἐν τροφῇ ἄρτος ἐκπληρώσει τὴν χρείαν, ὕδωρ θεραπεύσει τὴν δίψαν τῷ ὑγιαίνοντι· ὅσα ἐκ σπερμάτων παροψήματα πρὸς τὰς ἀναγκαίας χρείας τὴν ἰσχὺν τῷ σώματι δύναται διασώσασθαι. ἐσθίειν δὲ μὴ λυσσώδη γαστριμαργίαν ἐμφαίνοντα· ἀλλὰ πανταχοῦ τὸ εὐσταθὲς καὶ πρᾶον καὶ περὶ τὰς ἡδονὰς ἐγκρατὲς διασώζοντα. μὴ δὲ τότε τὸν νοῦν ἀργὸν ἐν τῇ περὶ θεοῦ ἐννοίᾳ ἔχοντα· ἀλλ' αὐτὴν τῶν βρωμάτων τὴν φύσιν καὶ τὴν τοῦ ὑποδεχομένου σώματος κατασκευήν, ἀφορμὴν ποιεῖσθαι δοξολογίας· πῶς ποικίλα εἴδη τροφῶν τῇ ἰδιότητι τῶν σωμάτων ἁρμόζοντα, παρὰ τοῦ πάντα οἰκονομοῦντος ἐπινενόηται. εὐχαὶ πρὸ τροφῆς, ἀξίως γινέσθωσαν τῶν τοῦ θεοῦ παροχῶν· ὧν τε νῦν δίδωσι καὶ ὧν πρὸς τὸ

μέλλον

μέλλον ἐταμιεύσατο· εὐχαὶ μετὰ τροφῶν, εὐχαριστίαν τῶν δεδομένων ἔχουσαι καὶ αἴτησιν τῶν ἐπηγγελμένων· ὥρα μία τροφῆς ἀποτεταγμένη, ἡ αὐτὴ κατὰ περίοδον ἀπαρτῶσα· ὡς ἐκ τῶν εἰκοσιτεσσάρων ὡρῶν τοῦ ἡμερονυκτίου, μόλις εἶναι ταύτην τὴν προσαναλισκομένην τῷ σώματι· τὰς δὲ λοιπὰς ἐν τῇ κατὰ νοῦν ἐργασίᾳ ἀπασχολεῖσθαι τὸν ἀσκητήν. Ὕπνοι δὲ κοῦφοι καὶ διαπάλλακτοι φυσικῶς ἀκολουθοῦντες τῷ συμμέτρῳ τῆς διαίτης· κατ᾽ ἐπιτήδευσιν δὲ ταῖς περὶ τῶν μεγάλων μερίμναις διαβοσκόμενοι· τὸ γὰρ βαθεῖ κάρῳ κατακρατεῖσθαι λυομένων αὐτοῦ τῶν μελῶν, ὥστε σχολὴν ἀτόποις φαντασίαις παρέχειν, ἐν καθημερινῷ θανάτῳ ποιεῖ τοὺς οὕτω καθεύδοντας. ἀλλ᾽ ὅπερ τοῖς ἄλλοις ὁ ὄρθρος ἐστί, τοῦτο τοῖς ἀσκηταῖς τὸ μεσονύκτιον· μάλιστα σχολὴν τῇ ψυχῇ τῆς νυκτερινῆς ἡσυχίας χαριζομένης· οὔτε ὀφθαλμῶν, οὔτε ὤτων βλαβερὰς ἀκοὰς ἢ θέας ἐπὶ καρδίαν παραπεμπόντων, ἀλλὰ μόνου καθ᾽ ἑαυτὸν τοῦ νοῦ τῷ θεῷ συνόντος· καὶ διορθουμένου μὲν ἑαυτὸν, τῇ μνήμῃ τῶν ἡμαρτημένων· ὅρους δὲ ἑαυτῷ τιθέντος πρὸς τὴν ἔκκλισιν τοῦ κακοῦ· καὶ τὴν παρὰ θεοῦ συνεργίαν, εἰς τὴν τελείωσιν τῶν σπουδαζομένων ἐπιζητοῦντος.

Βασίλειος Καλλιγράφῳ.

Ὀρθὰ γράφε καὶ χρῶ τοῖς στίχοις ὀρθῶς· καὶ μήτε αἰωρείσθω πρὸς ὕψος ἡ χείρ· μήτε φερέσθω κατὰ κρημνῶν· μηδὲ βιάζου τὸν κάλαμον λοξὰ βαδίζειν ὥσπερ τὸν παρ᾽ Αἰσώπῳ καρκίνον· ἀλλ᾽ εὐθὺ χώρει ὥσπερ ἐπὶ στάθμης βαδίζων τεκτονικῆς, ἣ πανταχ

χοῦ φυλάττει τὸ ἴσον. καὶ πᾶν ἀναιρεῖ τὸ ἀνώμαλον. τὸ γὰρ λοξόν, ἀπρεπές. τὸ δὲ εὐθύ, τερπνὸν τοῖς ὁρῶσιν· οὐκ ἐῶν ἀναρμόστως καὶ καταδύειν ὥσπερ τὰ κηλώνεια τοὺς ὀφθαλμοὺς τῶν ἀναγινωσκόντων. Ὁποῖόν τι κἀμοὶ συμβέβηκε τοῖς γράμμασιν ἐντυχόντι τοῖς σοῖς. τῶν γὰρ στίχων κειμένων κλιμακηδόν, ἡνίκα ἔδει μεταβαίνειν ἀφ' ἑτέρου εἰς ἕτερον, ἀνάγκη ἦν διορθοῦν πρὸς τὸ τέλος τοῦ προσιόντος· ἐν ᾧ μηδαμοῦ φαινομένης τῆς ἀκολουθίας, ἀνατρέχειν ἔδει πάλιν καὶ τὴν τάξιν ἐπιζητεῖν, ἀναποδίζοντα καὶ παρεπόμενον τῷ αὔλακι καθάπερ τὸν Θησέα τῷ μίτῳ τῆς Ἀριάδνης φασί. γράφε τοίνυν ὀρθῶς. ἵνα μὴ πλανᾷ τὸν νοῦν τῷ πλαγίῳ ἢ λοξῷ τῶν γραφομένων.

Τοῦ αὐτοῦ.

Ράμμα ἦλθέ μοι πρώην παρὰ σοῦ ἀκριβῶς σόν. οὐ τοσοῦτον τῷ χαρακτῆρι τῆς χειρός, ὅσον τῷ τῆς ἐπιστολῆς ἰδιώματι. ὀλίγα γὰρ ἦν τὰ γράμματα, πολλὴν διάνοιαν παριστῶντα. πρὸς ἃ αὐθὺς μὲν οὐκ ἀπεκρινάμεθα, διότι αὐτοὶ μὲν ἀπεδημοῦμεν. ὁ δὲ γραμματηφόρος εἷς τῶν ἐπιτηδείων ἡμῖν ἐπιδοὺς τὴν ἐπιστολήν, ἀπιὼν ᾤχετο. ἀλλὰ νῦν δι' ἑτέρου προσφθεγγόμεθά σε. ὁμοῦ μὲν ἀποτιννύντες τῆς προσηγορίας τὸ χρέος, ὁμοῦ δὲ ἀφορμὴν δευτέρων γραμμάτων παρέχοντες. πάντως δὲ οὐδεὶς πόνος λακωνικῆς ἐπιστολῆς, ὁποῖαι εἰσὶν αἱ παρὰ σοῦ ἑκάστοτε πρὸς ἡμᾶς ἀφικνούμεναι.

ΤΕΛΟΣ.

ΕΠΙΣΤΟΛΑΙ ΧΙΩΝΟΣ. ΜΑΤΡΙΔΙ.

Δέδωκέ μοι Λῦσις τὴν ἐπιστολὴν τρίτην ἡμέραν ἤδη περὶ Βυζάντιον διατρίβοντι. δι' ἧς τὴν σαυτοῦ σύγχυσιν ἐπὶ πάσης τῆς οἰκίας, ἐδήλους μοι. ἄλλος μὲν οὖν ὅσοις ἔνεστι παραμυθήσασθαί σε, ταῦτα διεξῄει. καὶ τὰς ἐκ τῆς ἀποδημίας ἐλπίδας ἐξηγούμενος. καὶ ταύταις ἐπὶ παντὶ ἔρρωσεν λύπης εὐφροσύνην καθίστατο. ἐγὼ δὲ τὸ τοιοῦτο ἀξιῶ παρ' ὑμῶν γενέσθαι. ὅπως ἆθλόν μοι τῆς ἐλπιζομένης ἀρετῆς καταστήσητε, τὸ μακαρίους ὑμᾶς κριθῆναι γονέας. ἀλλὰ μὴ τὸ παραμυθίαν ἐκ τῆς ἐμῆς παιδείας προσδέχεσθαι μὴ λυπουμένους δὲ εὐτυχίαν. ἀμείνω μὲν δὲ ὥσπερ ἀθλοφόρῳ μείζονά μοι προσθεῖναι τὰ ἆθλα. ἵνα κρείττων ἐπὶ ταῦτα ἀγωνιστὴς γένωμαι. οὕτως οὖν διάκεισο ὦ πάτερ καὶ παραμυθοῦ τὴν μητέρα. ὥσπερ ἄρα ἐκείνην μὲν ἐν τοῖς παρηγορουμένοις, σὲ δὲ ἐν τοῖς παρηγοροῦσι τετάχθαι προσήκει.

Τῷ αὐτῷ

Θράσων ἐμπορεύεται μὲν τὸν Πόντον. χρηστὸς δὲ μᾶλλον ἢ κατὰ τὴν ἐπιτήδευσιν εἶναί μοι δοκεῖ. καὶ νῦν ἐν Βυζαντίῳ γενόμενος, ἔχω τινὰ αὐτῷ χάριν. θεάσασθαι γάρ μοι βουλομένῳ τὰ περὶ χώραν ἄξια θέας ὄντα, ἡγεμὼν τῆς ὁδοῦ ἐγένετο. καὶ τἆλλα ἐπεμελήθη, ὅπως μὴ πονηρά τις ἡμῖν ἡ ὁδὸς καὶ κινητική γένοιτο. ἀλλὰ ὀχημάτων τε χάριν καὶ τῆς ἄλλης παρασκευῆς ἁβροτέρα. τοῦτον ὡς ὑμᾶς πλέοντα ᾠήθην ταύτῃ τῇ μαρτυρίᾳ συμπαραπέμψαι δεῖν. θέας μὲν οὖν οὐδὲν οἶμαι χρῄζει. κατεστρατευμένος ἐκ πολλοῦ χρόνου τὸν Πόντον. εἰς δὲ τὴν οἰκίαν δῆλον, ὡς κατὰ τὸ σεαυτοῦ ἦθος ὑποδέξῃ προθύμως αὐτόν. ἐγὼ δ' ὥρμημαι μὲν ἐκπλεῖν, ἀνέμου δὲ οὐκ ἐπιτυγχάνω.

Τοῦ αὐτοῦ.

Πολλὴν χάριν οἶδα τοῖς ἐπισχοῦσιν ἡμᾶς ἀνέμοις καὶ τὴν ἐν Βυζαντίῳ διατριβὴν βιασαμένοις. καίτοι τὸ πρῶτον ἠχθόμην αὐτοῖς ἐπειγόμενος. ἀλλὰ γὰρ ἀξία πρόφασις καὶ χρονιωτέρας μονῆς ἐφάνη Ξενοφῶν ὁ Σωκράτους γνώριμος. οὗτος γὰρ ὁ Ξενοφῶν εἷς τῶν ἐπὶ Ἀρταξέρξην στρατευσαμένων Ἑλλήνων, Κύρῳ δὲ συμμάχων ἦν. καὶ τὸ μὲν πρῶτον μετά τινος τῶν στρατηγῶν ἦν οὐδὲν πολυπραγμονῶν ὅτι μὴ στρατιώτην ἔχειν. ὥσπερ εἷς ὢν τῶν Κύρῳ τιμίων. ὡς δὲ Κῦρός τε ἀπέθανεν ἐν τῇ πρώτῃ μάχῃ καὶ οἱ στρατηγοὶ τῶν Ἑλλήνων παρασπονδηθέντες ἀπετμήθησαν τὰς κεφαλάς, ἡρέθη στρατηγὸς ἀνδρίας τε ἕνεκα καὶ τῆς ἄλλης σοφίας, δοκῶν ἄριστα ἂν διαπράξασθαι τὴν σωτηρίαν τοῖς Ἕλλησι. καὶ οὐκ ἔψευσεν αὐτοὺς τῆς ἐλπίδος. ἀλλὰ διὰ μέσης πολεμίας γῆς, ὀλίγην στρατιὰν ἄγων περιεσώσατο. ἑκάστης ἡμέρας τοῖς βασιλέως στρατηγοῖς παραστρατοπεδευόμενος. θαυμαστὰ μὲν οὖν καὶ ταῦτα. πολὺ δὲ τούτων θαυμασιώτερόν τε καὶ μεῖζον, ὅπερ αὐτὸς ἐγὼ νῦν ἐθεασάμην. τετρυμμένοι γὰρ οἱ Ἕλληνες πολυχρονίῳ καὶ χαλεπῇ στρατείᾳ καὶ μηδὲν ἄλλο εὑρημένοι τῶν κινδύνων ἆθλον πλὴν τῆς σωτηρίας, δεξαμένων αὐτοὺς κατὰ φόβον τῶν Βυζαντίων, ἔγνωσαν διαρπάσαι τὴν πόλιν. καὶ πολὺς τάραχος αἰφνιδίως κατεῖχε τοὺς Βυζαντίους. ἐπειδὴ δὲ ὡπλίζοντό τε οἱ ξένοι καὶ ὁ σαλπιγκτὴς ἐσήμαινεν, ἐγὼ μὲν ἀσπίδα καὶ λόγχην ἁρπάσας, ἔδραμον ἐπὶ τὸ τεῖχος, οὗ τῶν ἐφήβων τινὰς συνεστηκότας ἑώρων, ἦν δὲ ἡ φυλακὴ τῶν τειχῶν οὐδὲν ὠφέλιμος πολεμίων κατεχόντων τὴν πόλιν. ἀλλ' ὅμως ῥᾷον ἐνομίζομεν ἀμύνεσθαι πολεμεκτοῦντες τοῦ τόπου. ἢ ἀπολέσθαι γε βραδύτερον. καὶ τούτῳ

ταραττομένων τῶν ἑλλήνων, ἑωρῶμεν κομήτην ἄνδρα καλὸν
πάνυ καὶ πρᾶον ἰδέσθαι δεξιοῦντα μὲν δι' αὐτῶν καὶ παύοντα τῆς ὁρ-
μῆς ἕκαστον. οὗτος δὲ ἦν ὁ ξενοφῶν. ὡς δὲ ἐκ τῶν ἐναντίων παρε-
κάλουν αὐτὸν οἱ στρατιῶται ἕνα ὄντα πολλοῖς πείθεσθαι καὶ ἀνα-
παῦσαί ποτε αὐτοὺς τῆς ταλαιπώρου καὶ χαλεπῆς ζάλης, ἀνά-
γετε οὖν ἐπὶ πόδα ἔφη καὶ βουλεύσασθε. οὐ γὰρ δέος μὴ διαφύγῃ
βουλευομένους τὸ πρᾶγμα ἐφ' ἡμῖν κείμενον. ὡς δὲ τοῦτό γε αὐτῷ
ἀπιθεῖν ἠδέσθησαν, εἰς μέσον καταστὰς ὁ ξενοφῶν, θαυμαστοὺς λό-
γους διέθετο. ὡς τὸ τέλος αὐτοῦ ἐδήλωσεν. τὰ γὰρ ἡμῖν ἀσαφῶς ἐξη-
κούοντο. τοὺς γοῦν πρὸ μικροῦ διαρπάζειν ἐγνωκότας τὴν πό-
λιν, μετρίους κατὰ τὴν ἀγορὰν ἑωρῶμεν ὠνουμένους τὰ ἐπι-
τήδεια ὡς τῶν ἄλλων βυζαντίων ἕκαστος. καὶ μηδὲν ἔτι ἐκείνου
τοῦ ἀδίκου καὶ ἁρπακτοῦ ἄρεος πνέοντας. αὕτη δὲ ἡ ὄψις ἐπί-
δειξις ἦν τῆς ξενοφῶντος ψυχῆς, ὅπως καὶ φρονεῖν καὶ λέγειν
ἠδύνατο. οὐ μὴν ἔγωγε ἡσυχίᾳ τὸν ἄνδρα παρελθεῖν ὑπέμεινα.
καὶ ταῦτα ὁμοίως βυζαντίοις εὖ πεπονθὼς ὑπ' αὐτοῦ. ἐπεὶ διὰ τοὺς
ἀνέμους καὶ αὐτὸς εἷς ἦν τῶν διαρπασθησομένων. ἀλλ' ἐγνώρισα αὐ-
τῷ ἐμαυτόν. ὁ δὲ καὶ τῆς σῆς πρὸς σωκράτη φιλίας ἀνεμιμνή-
σκετο. καί με φιλοσοφεῖν παρείστατο. καὶ τἆλλα οὐ στρατιωτικῶς
μάλα ἀλλὰ καὶ πάνυ φιλανθρώπως διελέγετο. νῦν δὲ εἰς θρᾴκην
ἄγει τὸ στράτευμα. σεύθης γὰρ ὁ τῶν θρᾳκῶν βασιλεὺς πρός τινας
ὁμόρους πολεμῶν, μετεπέμψατο, ἐν τελῇ μισθὸν αὐτοῖς ὑπι-
σχόμενος. οἱ δὲ, ὑπήκουσαν. οὐ γὰρ ἄποροι διαλυθῆναι βούλονται
ἀλλὰ καὶ κτήσασθαί τι ἐκ τῶν πόνων ἕως ἔτι στράτευμά εἰσιν. ἴσθι
δὴ πολύ με εἶναι προθυμότερον εἰς ἀθήνας πλεύσεσθαι φιλο-
σοφήσοντα. μέμνησαι γὰρ δήπου ὅτι προὔτρεπόν με συνεχῶς ἐπὶ

φιλοσοφίαν καὶ θαυμαστὰ διεξιὼν περὶ τῶν καθ' ὁτιοῦν σπουδασάντων περὶ αὐτὴν μέρος, τἆλλα μὲν εἶχες πειθόμενον, ἐκεῖνο δὲ καὶ πάνυ φοβούμενον· ἐδόκει γάρ μοι τὰ μὲν λοιπὰ οὕτως σπουδαιοτέρους ποιεῖν ὅσων ἐφάψαιτο. καὶ γὰρ τὸ σῶφρον καὶ τὸ δίκαιον οὐκ ἄλλοθεν ἀρύεσθαι τοὺς ἀνθρώπους ἢ φιλοσοφίας ᾤμην· τὸ δὲ πρακτικὸν καὶ σφοδρὸν διαλύειν τῆς ψυχῆς καὶ μαλθάσσειν ἐπὶ τὸ ἥσυχον· ἀπραγμοσύνη γὰρ καὶ ἠρεμία τὰ θαυμαστὰ ὥς μοι ἔλεγες ἐγκώμια φιλοσόφου. δεινὸν οὖν μοι κατεφαίνετο εἰ φιλοσοφήσας, τἆλλα μὲν ἀμείνων ἔσομαι· θαρραλέος δὲ οὐκέτι οὔτε στρατιώτης εἶναι δυνήσομαι οὔτε ἀριστεὺς εἰ δέοι· ἀλλὰ μεθήσω πάντα ταῦτα ὥσπερ ἐπιλήσμονί τινι ἐπῳδῇ παντὸς ἔργου λαμπροτέρου κηληθεὶς τῇ φιλοσοφίᾳ. ἠγνόουν δ' ἄρα ὅτι καὶ πρὸς ἀνδρίαν εἰσὶν ἀμείνους οἱ φιλοσοφήσαντες. καὶ μόλις γε αὐτὸ παρὰ Ξενοφῶντος ἔμαθον. οὐκ ἐπειδὴ διελέχθη μοι περὶ αὐτοῦ, ἀλλ' ἐπεί γε οὗτος ὢν ἐφάνη ὁποῖος δεῖ. μάλιστα δὲ δὴ μεταλαχὼν τῶν Σωκράτους λόγων, ἀρκεῖ στρατεύματά τε καὶ πόλεις σώζειν. καὶ οὐδὲν αὐτὸν ἐποίησε φιλοσοφία αὐτῷ τε καὶ τοῖς φίλοις ἀχρειότερον. ἡσυχία μὲν οὖν ποιητικωτέρα τάχα εὐδαιμονίας. ἤδη μέντοι καὶ πράξει καλῶς ἕκαστα ὁ καλῶς ἠρεμεῖν δυνάμενος. ἐπεὶ καὶ μείζων ἂν εἴη τοῦ πολεμοῦντος ὁ πλεονεξίαν καὶ ἐπιθυμίαν καὶ τἆλλα πάθη χειρούμενος· ὧν καὶ οἱ νικῶντες τοὺς πολέμους ἡττῶνται. κἀγὼ οὖν ἐλπίζω φιλοσοφήσας, τά τε ἄλλα κρείττων ἔσεσθαι, καὶ οὐδὲν ἧττον ἀνδρεῖος, ἀλλ' ἧττον θρασύς. ταῦτα μὲν οἶμαι οὐ τοῦ ἱκανοῦ μόνον, ἀλλὰ καὶ τοῦ πάνυ πέρα. γίνωσκε δέ με ἤδη πρὸς τὸ πλεῖν ὄντα· καὶ γὰρ δὴ γέγονε καὶ τὰ τῶν ἀνέμων αἰσιώτερα.

Τῷ αὐτῷ.

Ἐπιτυχόντες τοῦ περὶ σίμωνα κατ' ἐμπορείαν ὡς ὑμᾶς πλέοντος ἔγνωμεν καὶ τὰ ἐν περίνθῳ συντυχόντα δηλῶσαι. ἦν μὲν γὰρ ζέφυρος ἑσπερία δύσις. κἀγὼ προέλεγον τοῖς ἐν ἡμῖν ναύταις ἐπισχεῖν τὸν ἔκπλουν. καὶ ταῦτα ἐν βυζαντίῳ διατρίβειν δυναμένοις. οἱ δ' οὐκ ἐπείθοντο, ἀλλὰ καὶ πάνυ μου τὴν πρόρρησιν ἐχλεύασαν, προσεκβληθῆναί μοι μόνον τινὰ ἀστρονομίας ὑπὸ ἀρχεδήμου τοῦ ἀστρονόμου λέγοντες. κἀγὼ μέχρι μέν τινος ἀντεῖχον. καταναυμαχούμενος δ' ὑπ' αὐτῶν εἶξα. καὶ ταῦτα οὐδὲ αὐτὸς εἰδὼς εἴ τι ἀληθὲς αὐτοῖς προλέγοιμι. ἅμα δὲ πνεῦμα οὔριον καὶ καλὸς πλοῦς προφαινόμενος, ἀπιστότερά μου ἐποίει τὰ προαγορεύματα. ὡς δὲ ἀνήχθημεν, ἕως μὲν συλληβρίαν παραλλάξαι, κατεγελώμην ἐφ' οἷς προεῖπον. εὐχόμενός γε καὶ μέχρι τῆς ἀποβάσεως γελᾶσθαι. ὡς δὲ τριάκοντά που σταδίους ἀπὸ τῆς προεκόψαμεν, δεινὸς ἡμᾶς χειμὼν κατέλαβε. καὶ πολὺν μὲν χρόνον οὐδαμοῦ καθορμίσαι τὴν ναῦν δυνάμενοι, πονήρως πάνυ διεκείμεθα. μόλις δέ ποτε ἐπιδόντες τὴν πέρινθον, ἐβιαζόμεθα πρὸς αὐτήν, κωπηλάται ἀγαθοὶ γενόμενοι. τοῖς μὲν γὰρ ἱστίοις οὐ φορητὸς ἦν ὁ ἄνεμος. καὶ δεινὰ παθόντες ἵνα μὴ λέγω τὰ μεταξύ, μέσων νυκτῶν κατήχθημεν εἰς πέρινθον. καὶ τότε μὲν κατεδάρθομεν. ὑπελείπετο δὲ ἡμῖν καὶ ἕτερος χειμὼν οὐδὲν τοῦ θαλαττίου μετριώτερος. περίνθιοι γὰρ ὑπὸ θρᾳκῶν ἐπολεμοῦντο. καὶ τοῦτο οἱ πάντα ἀγνοήσαντες ἡμεῖς οὐκ ἐπυθόμεθα καίπερ δώδεκα ἡμέρας ἐν βυζαντίῳ διατρίψαντες. ἄλλως εἰκὸς αἰφνίδιος ἡ καταδρομὴ τῶν βαρβάρων ἐγένετο. ἀναστάντες οὖν ἐξῄειμεν οἰόμενοι τὴν πό-

λιμ ὡς ᾠόμεθα ἐγώ τε καὶ ἡρακλείδης καὶ ἀγάθων ὁ χρηστός. εἵποντο δὲ ἡμῖν καὶ τῶν θεραπόντων βάτυλος καὶ ποδάρκης καὶ φίλων ὁ θρασύς. ἡμεῖς μὲν ἄνοπλοι. τῶν δὲ θεραπόντων παρήρτητο ἑκάστῳ μάχαιρα. φίλων μὲν γὰρ καὶ δόρυ ἐκόμιζε. μικρὸν δὲ προελθόντες ἀπὸ τοῦ λιμένος, ὁρῶμεν στρατόπεδόν τε οὐ πρόσω τῆς πόλεως, καὶ τὸ δεινότερον ἱππέας τρεῖς οὐ πόρρω ἡμῶν. καὶ φίλων μὲν δύσμοι τὴν λόγχην ἵν' αὐτὸς ᾖ δρομικώτερος, ἐπὶ τὴν ναῦν ἔφυγεν. ἐγὼ δὲ οὐκ ἐλπίζων ὠκύτερον ἵππου ἐμαυτὸν εἶναι, περὶ τὸν βραχίονα ἑλίξας θοἰμάτιον καὶ τὴν λόγχην διηγκυλωμένος ἔμενον. τὸ αὐτὸ δὲ ἐποίουν καὶ οἱ θεράποντες. ἡρακλείδης δὲ καὶ ἀγάθων λίθους ἔχοντες ὄπισθεν ἡμῶν ἐκρύπτοντο. προσελάσαντες δὲ οἱ θρᾶκες πρὶν εἰς ἐφικτὸν ἐλθεῖν ἠκόντισαν τρεῖς λόγχας ἕκαστος. καὶ αἱ μὲν, μικρὸν πρὸ ἡμῶν ἔπεσον. οἱ δὲ, ἀναστρέψαντες ὡς δὴ τετελεσμένου αὐτοῖς τοῦ ἔργου, ἤλαυνον εἰς τὸ στρατόπεδον. ἀνελόμενοι οὖν ἡμεῖς τὰς λόγχας ἀνεχωρήσαμεν ἐπὶ τὴν ναῦν. καὶ λύσαντες τὰ ἀπόγεια ἐπλέομεν. νῦν δ' ἐν χίῳ ἐσμὲν, πάνυ ἐπιεικῶς τῶν ἀνέμων ἡμῖν περὶ πάντα τὸν πλοῦν χρησαμένων. λέγε οὖν ἀρχεδήμῳ ὅτι ἐρίφων ἐπ' ἐρείᾳ δύσις οὐ κατὰ θάλατταν μόνον σημαίνει χαλεποὺς χειμῶνας, ἀλλὰ καὶ κατὰ γῆν χαλεπωτέρους. ἔχεις γὰρ ἐκ τῆς ἡμετέρας συντυχίας παῖξαι πρὸς αὐτόν. Τῷ αὐτῷ.

α φίγμεθα εἰς ἀθήνας καὶ πλάτωνι τῷ σωκράτους γνωρίμῳ διαλεγόμεθα. τά τε ἄλλα πάντως σοφὸς ἀνήρ ἐστι, καὶ τὴν φιλοσοφίαν οὐκ ἄπρακτον ἔργῳ τοῖς γνωρίμοις ποιεῖ, ἀλλὰ καὶ πάνυ ἀμφήκη πρός τε τὸ πρακτικὸν τοῦ βίου καὶ πρὸς ἡσυχίαν ἀπράγμονα. ἔγραφες δέ μοι καὶ περὶ τῆς σῆς πρὸς αὐτὸν φιλίας

λίας

λίας ὅτι οὐ μικρὸν πλεονέκτημα τὴν πρὸς σωκράτη συνουνήθειαν εἰς αὐτὸν ἔχοιμι. ἴσθι οὖν ὅτι πάντων μὲν πλείστου λόγου καὶ τὴν μίαν ἡμέραν ὁμιλησάντων σωκράτει. οὐδενὶ δ' οὕτως αὐτὸν οἰκεῖοι, ὡς τῷ μάλιστα ἀπολαύειν αὐτοῦ δυναμένῳ. καὶ κατὰ τοῦτο γοῦν ἑαυτοῦ δύναμιν μὴ μειονεκτεῖν τῆς πλάτωνος φιλίας. ἀλλ' ἐντυγχάνοις τετάχθαι ὑφ' ὧν εὖ πάσχειν φησὶν, ἔπι αὐτοὺς εὖ ποιεῖν, δύναται. οὐ γὰρ ἧττον ἂν εὐδαιμονίαν εἶναι λέγει, τὸ ἀγαθοὺς ποιεῖν τοῦ ἀγαθὸν γίνεσθαι. τὸ μὲν οὖν ὠφελεῖσθαι τοῖς δυναμένοις τῶν φίλων αὐτὸς παρέχει. τὸ δ' ὠφελεῖν, οὐχ ἧττον λαμβάνει παρὰ τῶν ὠφελεῖσθαι δυναμένων. Τῷ αὐτῷ.

ε Κόμισέ μοι φαίδιμος τὰ ἐκ τοῦ ῥόδιαν, καὶ μέλιτος ἀμφορέας πέντε. καὶ τοῦ μερσίνου οἴνου κεράμια εἴκοσι. καὶ πρὸς τούτοις τρία ἀργυρίου τάλαντα. καὶ τῆς μὲν πίστεως ἐκεῖνον ἐπαινῶ. τῆς δὲ ἐπιμελείας σὲ ἐπιγινώσκω. ἤδη μέντοι τῶν ἐπιχωρίων γεννημάτων ὥσπερ ἀπαρχὰς βουλοίμην ἄν σε ἀποστέλλειν εἴ τι ἐπιτρέποι ὁ καιρός. τούτοις γὰρ καὶ τοὺς ἄλλους φίλους τέρπειν ἔνεστι. καὶ πλάτωνα σοφίζεσθαι ἀδωροδόκητον ὄντα. χρημάτων δὲ οὐδεὶς ἔμοιγε πόθος. καὶ μάλιστα ἐν ἀθήναις τε ὄντι καὶ πλάτωνι διαλεγομένῳ. ἐπεὶ καὶ ἄγροικον ἴσως πεπαιδευκέναι μὲν ἡμᾶς εἰς τὴν ἑλλάδα, ἵνα ἧττον φιλοχρήματοι γινώμεθα. μηδὲν δὲ ἧττον καὶ ἐκ τῶν ἴσων πλεῖν πρὸς ἡμᾶς τὴν φιλοπραγμοσύνην. χαριέστερον οὖν ποιήσεις ταῦτα πέμπων, ὅσα τῆς πατρίδος ἡμᾶς, οὐχ ὅσα πλοῦτον ἀναμνήσει. Τῷ αὐτῷ.

α Ἀρχέπολις λήμνιος μὲν ἐστὶν ὡς λέγει τὸ γένος. φαῦλος δὲ καὶ ἀτέκμαρτος ἄνθρωπος. καὶ στασιαστὴς πρὸς πάντας. μάλιστα δὲ πάντων πρὸς ἑαυτόν. σὺν δὲ τούτοις καὶ λελυμένος τὴν

ἀποπληξίαν· καὶ πᾶν ὃ ἂν ἐπιθείη λέγων. νοεῖ δ' ἀεὶ τὰ μωρότατα.
οὗτος γὰρ μὲν πρῶτον ὥς πυνθάνομαι ταμίας τε ἐν Λήμνῳ γενό-
μενος καὶ τὰς ὁμοίας μετιὼν ἀρχάς, οὐκ εὐπρεπῶς ἀπωθεῖτο· ὡς
δὲ ἔδοξεν αὐτῷ καταφρονῆσαι καὶ φιλοσοφίας, εἰς Ἀθήνας κα-
τέπλευσε κἀκεῖ πολλὰ μὲν Πλάτωνι δυσηρέστησε· πολλὰ δὲ εἰς ἡμᾶς
ἐβλασφήμησεν. οὐδὲν γὰρ αὐτῷ χρήσιμοι ἐφαινόμεθα, περὶ ἀρετῆς,
ἀλλ' οὐ περὶ χρηματισμοῦ τὰς διαλέξεις ποιούμενοι. νῦν δὲ εἰς
τὸν Πόντον ἐμπορεύεσθαί φησιν, οὐκ ἀφρόνως. εἰ δὴ τοῦτο μόνον
ἑαυτῷ προσήκειν λελόγισται, ἀλλὰ τὸ ἀστάθμητον αὐτοῦ καὶ πεφορη-
μένον οὐδὲ ταύτην ἐπιδέχεται τὴν φρόνησιν· ἵνα ὅ,τι ἐστὶν εἰδῇ,
καὶ εἰ ὁ χρήσιμος. πρὸς δὲ τὸ ἀεὶ φανταζόμενον μετεωρίζεται.
οὗτος ἐπιλαθόμενος τῶν βλασφημιῶν, προσῆλθέ μοι καὶ ἐδεή-
θη, συγγράψαι περὶ αὐτοῦ. ἐγὼ δὲ ἐκείνῳ μὲν ἵνα μὴ ἀναξίῳ ὄντι
Βελλεροφόντου σχῆμα περιθῶ, ἑτέραν ἐπιστολὴν ἔδωκα. οὐδὲ ἐ-
κεῖ τι ὁμοίως ψευσάμενος. ταύτην δὲ προαναγνώσῃ Λύσιδι ἐνεχεί-
ρισα. οἶμαι δὴ πάσῃ φιλανθρωπίᾳ δέξασθαί σε δεῖν τὸν ἄνθρωπον. ἣν
εἶπεν ἐπὶ τέλει, ὅτι οὕτως ἀμείβεται Χίων τοὺς βλασφημήσαν-
τας. τοῦτο γὰρ ἔνδειξιν τῶν μαθημάτων αὐτοῦ ἃ σὺ ἐχλεύαζες, τὸ
μηδένα κακὸν ἀμύνεσθαι μέχρι τοῦ μὴ αὐτὸν ἀγαθὸν εἶναι. τοῦ-
το δὲ ἔσται ἐὰν εὐποιΐαις αὐτοὺς ἀμυνώμεθα. οἶδα μὲν οὖν ὅτι οὐ-
δὲν πείσεται ἄνθρωπος τὴν ψυχὴν ὑπὸ μωρίας. ὅμως δ' οὖν ἡμῶν
αὐτῶν χάριν, γενέσθω τοῦτο τὸ πολίτευμα. τὰ δὲ περὶ αὐτοῦ λελυμένως
καὶ ἀπροκαλύπτως ἐδήλωσα πρὸς ἄλλον μὲν οὐδὲν βλασφημή-
σας τῶν ὄντων οὐδένα, πρὸς σὲ δὲ τὸν ἐμὸν νοῦν ὑπὸ μηδενὸς πα-
ραμπεχόμενον λόγον, ἁπλοῦν καὶ σαφῆ δίκαιον εἶναι.

ὀ Ἀποδιδούς σοι τὰ γράμματα Ἀρχέπολις ὁ ἡμῖν ἐμπορευό-
μενος εἰς τὸν πόντον, ἐδεήθη μου ὅπως αὐτὸν συστήσαιμί σοι. ἐγὼ δὲ ἄσμενος ἐδεξάμην. καὶ γὰρ οὐδὲ φίλος μοι ὢν ἐτύγχανε. κέρδος οὖν μέγα ᾠήθην ἀφορμὴν λαβεῖν τοῦ ποιήσασθαί τινα φίλον μὴ ὄντα πρότερον. εἰς ὃ κέρδος συλλήψῃ μοι καὶ σὺ φιλανθρώπως αὐτὸν εἰσδεξάμενος. πείθομαι δὲ τὸν μέτριον ἔμπορον εἶναι. καὶ γὰρ φιλοσοφήσας πρότερον, εἶτα ἐμπορεύεται.

Βίωνι.

ὀ Λιγωρίαν μέν σου τοσαύτην περὶ ἐμοῦ οὐκ ἂν ἤλπισα ἔσεσθαι, ὥστε ἐβουλόμην προσδέξασθαι. θαυμάζω δὲ τὴν συντυχίαν δι' ἣν οὐδέν πως ἧκέ μοι παρὰ σοῦ γράμματα, καὶ ταῦτα συνεχῶς γραφόντων ἄλλων. ὑπὲρ μὲν οὖν τῶν γενομένων ἐγὼ αὐτὸς ὑπὲρ σοῦ ἀπολογήσομαι. τὸ δὲ λοιπὸν εἴτε οἱ μὴ ἀποδιδόντες αἴτιοι γεγόνασι, φύλαξαι τοῦ γε τῷ συνεχῶς γράφειν. οὕτω γὰρ καὶ τῶν ἀποδωσόντων ἐπιτεύξῃ. εἴτε σὺ μὴ γράφων, φύλαξαι τὸ τοῦτο ῥᾳδίαν δόξειν αὐτοῦ φυλακήν. καίτοι γε ἦν τῇ ἡμετέρᾳ φιλίᾳ τοσοῦτον, ὅσον καὶ τὰ δυσχερῆ νικᾶν δύνασθαι. ἢ ἐπιλέλησαι τοῦ ἡραίου καὶ τοῦ καλλιχόρου καὶ τῶν παρὰ Καλλιθέῳ διατριβῶν καὶ ὅσοις ἄλλοις τὰς ἑαυτῶν ψυχὰς ἐκεράσαμεν. ἢ αὐτὸς μὲν οὐκ ἐπιλέλησαι, ἐμὲ δὲ φιλοσοφίας γευσάμενον ἀμνημονεῖν αὐτῶν ὑπολαμβάνεις. ἀλλ' οὐ προσήκει σοι οὔτε αὐτὸν φαύλως ἔχειν περὶ τὴν φιλίαν, οὔτε περὶ ἐμοῦ φαῦλα εἰκάζειν. ἀλλὰ καὶ ὡς μεμνημένου αὐτῆς, καὶ ὡς μεμνημένῳ γράφειν συνεχέστερον.

π λάτωνι ἀδελφιδῶν θυγατέρες εἰσὶ τέσσαρες. τούτων τὴν πρεσβυτάτην ἐδίδου Σπευσίππῳ πρὸς γάμον καὶ μετρίαν προῖκα τριάκοντα μνᾶς. ἐπέπομφε δὲ αὐτῷ ταύτας Διονύσιος. ἐγὼ οὖν ἀσπαστὸν ἡγησάμενος τὸν καιρόν, τάλαντον προσετίθην τῇ προικί. καὶ μέχρι μὲν πολλοῦ ἠναίνετο. ἐξεπολιορκήσαμεν δ᾽ αὖ τὸν πάνυ ἀληθεῖ καὶ δικαίῳ λόγῳ. ἔφαμεν γὰρ ὅτι οὐκ εἰς πλοῦτον, εἰς δὲ φιλανθρωπίαν σοι συμβαλλόμεθα. τὰς δὲ τοιαύτας δωρεὰς δέχεσθαι δεῖ. αὗται γὰρ τιμὰς αὔξουσι. αἱ δὲ ἄλλαι ἀτιμάζουσι. τιμᾶς μὲν οὖν φιλανθρωπίαν. ἀτιμάζεις δὲ πλοῦτον. ἥρμοσαι δὲ καὶ τὰς ἄλλας παῖδας ἤδη τοῖς χαριεστάτοις Ἀθήνησιν. ἀλλ᾽ οἱ μὲν πλουτοῦσι. Σπεύσιππος δὲ χαριέστερος ὢν πένεται. τοῦτο οὖν τὸ κέρδος ὠνήθην δηλῶσαί σοι. οὗ μεῖζον ἡμῖν οὐκ οἶδ᾽ εἴ τι περιγενέσθαι ἐν παντὶ τῷ βίῳ δύναται.

Τῷ αὐτῷ

ἐ Κομισάμην παρὰ Βιάνορος τὴν ἐπιστολήν, ἐν ᾗ με ἀνακομίζεσθαι παρεκάλεις. ἱκανὸν γὰρ εἶναι πρὸς ἡμῖν τὴν ἀποδημίαν πέντε ἐτῶν χρόνον. ἐκ τοῦ δὲ τὴν ἐμὴν ξενιτείαν ἄρχεσθαι. ἐμὲ δὲ ὅσος μὲν πόθος ἔχει καὶ ὑμῶν καὶ τῆς πατρίδος, αὐτοὶ σαφῶς ἴστε. ἔοικε δ᾽ οὖν αὐτὸς οὗτος ὁ πόθος καὶ βιάζεσθαί με πλείω χρόνον διατρίβειν Ἀθήνησιν. ὠφελιμώτερος γὰρ εἶναι ἢ συμπαθεῖν βούλομαι. τοῦτο δὲ τὸ κράτος μόνη ἔχει φιλοσοφία. πάντα τῆς δὲ χειρὸς ὥσπερ οὐχ ὅπως φιλοσοφοῦσιν ἀπαρκεῖν ἔμοιγε φαίνεται, ἀλλ᾽ οὐδὲ τοῖς ἐμπορευομένοις ἐπιμελέστερον. καίτοι γε οἱ μὲν ἐπὶ τὰ εὐτελέστερα στέλλονται. ἡμεῖς δὲ ἀρετὴν ἐμπορευόμεθα οὐδενὸς ἄλλου πλὴν φύσεως καὶ φιλοπονίας καὶ χρόνου ὠνίου. ὧν τὰ μὲν οὐ παντελῶς ἡμῶν ἀπολείπεται. χρόνου μέντοι δεό-

μεθα

μεθαδιατρίψαντες δὲ τὴν ἄλλην πενταετίαν ἀναστρέψομεν θεοῦ σώζοντος. σὲ δὲ ὧν λογισμῶν ἐκπέμπων ἡμᾶς ὑπέμεινες, τούτων χρὴ καὶ χρονιζόντων μὴ ἄχθεσθαι. καὶ ταῦτα εἰδότα ὡς οὐχὶ τὸ ἐκπλεῦσαι ἐπὶ παιδείαν ἀγαθοὺς ποιεῖ· τὸ δὲ χρονίσαι περὶ παιδείαν σπουδάζοντας.

Τῷ αὐτῷ

Πρότερον μὲν ὥσπερ ἔγραφον δεκαετίαν ἐκπληρώσας, οὕτως ἐπανέρχεσθαι πρὸς ὑμᾶς ἐβουλόμην. νῦν δὲ ἀκούσας τὴν τυραννίδα, οὐκ ἂν ἔτι ὑπομείναιμι ἐν ἀσφαλεστέρῳ τῆς πόλεως εἶναι, ἀλλ᾽ ἅμα ἀρχῇ τοῦ ἔαρ πλευσοῦμαι θεοῦ σώζοντος. νῦν μὲν γὰρ μεσοῦντος ἔτι τοῦ χειμῶνος, οὐκ ἐδυνάμην. ἐπεὶ καὶ τελέως ἄτοπον ὁμοίους ἡμᾶς εἶναι, τοῖς ἐπεισδραμούσῃ ταραχῇ, τῆς πατρίδος ἀποδιδράσκουσιν ὅποι τύχοι. ἀλλὰ μὴ τότε μάλιστα παρεῖναι ὅτε ἀνδρῶν ὠφελησόντων δεῖται. εἰ δὲ καὶ παντάπασιν ἀδύνατον εἴη τὸ ὠφελεῖν, τὸ γοῦν μετέχειν βλάβης ἑκόντα, ἀρετῇ μὲν παραπλήσιά μοι δοκεῖ. χάριεν δὲ ἴσως ἐνδεεστέρα. θαρραλεώτερον δὲ συνέγραφα, ἐπεὶ καὶ Λύσις τὴν ἐπιστολὴν ἐκόμιζεν.

Τῷ αὐτῷ.

Ἴσως Κλέαρχος ὥσ μοι ἔγραφες, οὐχ οὕτω σειλωὸν δὲ ἔοικε κατειληφότα αὐτοῦ τὸ φρούριον, ὡς ἡμᾶς φιλοσοφοῦντας. ἐπ᾽ ἐκεῖνον μέν γε οὐκ ἐπέστειλε τέως τοὺς πολιορκήσοντας ὡς πυνθάνομαι. ἐπ᾽ ἐμὲ δὲ ἧκέ τις θρᾷξ δορυφόρος αὐτοῦ γενόμενος. ἔγνων γὰρ μετὰ ταῦτα. ὃς μικρὸν ὕστερον ἢ γραφῆναί σοι τὴν περὶ τῆς νόσου παρ᾽ ἡμῶν ἐπιστολήν, ἐπεχείρησεν. ἀνειλήφειν δὲ ἐμαυτὸν ἱκανῶς ἤδη. καί μοι περὶ ἕκτην ὥραν μόνῳ περιπατοῦντι ἐν τῷ ᾠδείῳ καὶ περί τινος σκέμματος φροντίζοντι, ἐξαιφνιδίως προσῆξεν. ἐγὼ δὲ εὐθέως μὲν ὑπενόησα ὥσπερ ἦν. ὡς δὲ ξιφίδιον τι ὁρῶ κακῶς μεταλαμβανόμενον, βοήσας αὐτόν τε ἐξέπληξα.

προσδραμὼν τὴν δεξιὰν αὐτοῦ μετειληφότος ἤδη τὸ ἐγχειρίδιον, καταλαμβάνω. καὶ τὸ λοιπὸν δὴ λακτίζων καὶ περιαγνύων τὸν βραχίονα ἐξέβαλον αὐτοῦ τὸ ξίφος. καὶ ἐξώθουν μὲν κατενεχθέντος αὐτοῦ ἐπὶ τὸν πόδα. οὐ χαλεπῶς δὲ ὅμως. ἐκ τούτου δὴ ἰλιγγιῶντα ἔδησα τῷ ἰδίῳ ζώματι ἀποστρέψας εἰς τοὐπίσω τὼ χεῖρε. καὶ πρὸς τοὺς στρατηγοὺς ἄγω. κἀκεῖνος μὲν ἔτι δέδεται. ἐγὼ δὲ οὐδὲν δειλότερος εἰς τὸν πλοῦν γέγονα, ἀλλὰ τῶν ἐτησίων παυσαμένων ὅπως ἂν ἔχω πλεύσομαι. ἄτοπον γὰρ τυραννουμένης τῆς πατρίδος, ἡμᾶς δημοκρατεῖσθαι. καὶ τὰ μὲν ἐμὰ ὅσα ἂν ἔχῃ, ἀσφαλῶς ἔχει. ἀγαθὸς γὰρ καὶ ζῶν καὶ ἀποθνήσκων ἔσομαι. ὅπως δέ τι καὶ ὑπὲρ τῆς πατρίδος πολιτευώμεθα, πεῖθε τὸν Κλέαρχον ὅτι φιλοσοφήσαντες, ἡσυχίας γλιχόμεθα. καὶ τελέως ἀπηλίθιοι τὰς ψυχάς ἐσμεν. ταῦτα δὲ καὶ διὰ Νύμφιδος πεῖθε αὐτόν. ὃς ἡμῖν μὲν φίλος. ἐκείνῳ δὲ καὶ συγγενής ἐστιν. οὕτω γὰρ ἂν ἀπορρωτάτω πάσης ὑποψίας ἀπάγοιτο. ἀπροκαλύπτως δέ σοι γράφομεν, ἐπειδὴ πιστοῖς ἐπιτιθέμεθα ἀνδράσι τὰς ἐπιστολάς. ὁ Κλέαρχος ὡς ἐδήλους, καλῶς ποιῶν περὶ γοῦν ταῦτα οὐ πολυπραγμονεῖ. Τῷ αὐτῷ.

ἐ Ισ Βυζαντίου θρασυτέρῳ μὲν, τύχῃ δ' οὖν ἁπλῷ διασωθείς, ἔγνων αὐτός τε ἐπιμεῖναι χρόνον ὃν ἄν μοι καλῶς ἔχειν δοκῇ, καὶ πρὸς ὑμᾶς ἐκπέμψαι Κρώβυλον τὸν θεράποντα, ἵνα τὴν κάθοδον πράττωμεν ὠφελίμως τῇ πατρίδι. τὸ μὲν γὰρ ἡμέτερον ἀσφαλές, οὐκ ἐπὶ Κλεάρχῳ ἐστί. βούλομαι δ' ἐπεὶ προήχθην ἅπαξ, καὶ καθόλου σοι τὴν ἐμὴν γνώμην δηλῶσαι. ἐμοὶ γὰρ δοκεῖ τῇ μὲν πατρίδι ὁ μέγιστος εἶναι κίνδυνος μετὰ τῆς τυχίας ἤδη παρούσης. νῦν τε γὰρ ὡς πυνθάνομαι σφαγάς τε ἀνθρώπων καὶ φυγὰς ὑπομένει. στερομένη μὲν τῶν ἀρίστων πολιτῶν. τοῖς δὲ ἀσεβεστάτοις δουλεύουσα. καὶ

εἰωθόσιν οὐχ ὁ τυχὼν αὐτῇ κίνδυνος· μήποτε ἐκ τῆς περὶ τούτων δυστυχίας, οἷς μὲν, πόθος τοῦ τυραννεῖν· οἷς δὲ συνήθεια δουλείας γίνηται· καὶ τὸ λοιπὸν εἰς μοναρχίαν ἀκατάλυτον περιστῇ τὰ πράγματα. μικροῦ γὰρ δὴ ὁπόσαι καὶ τῶν πολυχρονίων, σχεδὸν εἰπεῖν ἀπαύστων ἄρχουσι κακῶν, καὶ ἔστι ταῦτα ὁμοιοῦντι τοῖς νοσήμασι τῶν σωμάτων. ὥσπερ γὰρ ἐκεῖνα περὶ μὲν τὰς ἀρχὰς ῥᾷον ἀπολύεται τῶν ἀνθρώπων. ἐνισχύσαντα δὲ δυσίατα, καὶ τελέως ἀνίατα γίνεται, οὕτω καὶ τὰ ἐν ταῖς πολιτείαις νοσήματα, μέχρι μὲν μνήμη τε ἐλευθερίας ἰσχύει καὶ ἐπέρχεται τοῖς δουλευομένοις παράταξις, λύσις ὀχυρὰ γίνεται προσβουλόμενον τὸ πλῆθος. ἐπειδὰν δὲ ἅπαξ ὑπερσχῇ τὸ κακὸν, καὶ μηκέτι ᾖ τοῖς ἀνθρώποις λόγος, ὅπως αὐτὸ ἀπαλλάξωσιν ἑαυτῶν, ἀλλ' ὅπως ἂν ῥᾷστα ἐν αὐτῷ διάγοιεν, τότε ὁπαντελὴς ὄλεθρος γίνεται. ἡ μὲν οὖν πατρὶς ἐν τοιούτοις κακοῖς καὶ κινδύνῳ ἐστίν. ἐγὼ δὲ, εἰ μὲν αὐτὸ ἐφ' ἑαυτοῦ βούλοιο τοὐμὸν σκέπτεσθαι, καὶ πάνυ ἀσφαλής εἰμι. δουλείαν γὰρ ταύτην ἔγωγε νομίζω, ἢ μετὰ τῶν σωμάτων καὶ τὰς ψυχὰς ὑφ' ἑαυτὴν ἔχει. ἡ δὲ τῆς μὲν ψυχῆς οὐδ' ὅτι οὖν ἁπτομένη, τὸ δὲ σῶμα μόνον ἔχουσα, ταῖς δουλεία τυγχάνειν ἐμοί γε δοκεῖ. τεκμήριον δὲ ὅτι γὰρ δουλείας κακὸν, τοῦτο ἐπὶ ψυχὴν καταβαίνει· ἐπεὶ καὶ ἄλγος τὸ καὶ κακὸν λέγοιτο ἄν. φόβος γὰρ τοῦ παθεῖν τι. καὶ ἐκ τοῦ παθεῖν, λύπη. τὰ δεινότατα τοῖς μὴ ἐλευθέροις. τί οὖν. ἄν τις μὴ φοβῆται μέλλον κακὸν, μηδὲ ἐπὶ τῷ γενομένῳ ἄχθηται, δουλεύσει. καὶ πῶς ὅ γε μὴ ἔχων τὰ δουλείας κακά. ἴσθι τοίνυν με ὑπὸ φιλοσοφίας γενόμενον, ὁποῖον κἂν δήσῃ Κλέαρχος, κἂν ὁτιοῦν δράσῃ τῶν χαλεπῶν, οὐδέποτε ποιήσει δοῦλον· οὐδέποτε γάρ μου τὴν ψυχὴν χειρώσεται, ἐν ᾗ τὸ δοῦλον ἢ τὸ ἐλεύθερον. ἐπεὶ σώματί γε ἀεὶ δυστυχίας ἧττον, κἂν ὑπ' ἀνδρὶ μὴ τῷ ἧττον δεσπότῃ. κἂν δέ με ἀπο-

κτείνῃ γ' ὅτε καὶ τὴν τελείαν ἐλευθερίαν χαριεῖταί μοι. ἣν γὰρ οὐδὲ τὸ περιέχον σῶμα ᾠκείωσε τῇ ἑαυτοῦ δουλείᾳ, ταύτῃ τινὰ οἰκονομίαν ἐλλείψειν δοκεῖς κεχωρισμένῃ τοῦ σώματος. οὐ μόνον δὲ ἐγὼ ὃ ἂν πάσχω ἐλεύθερος, ἀλλὰ καὶ Κλέαρχος ὃ ἂν διαθῇ με δοῦλος γενήσεται. φοβούμενος γὰρ διαθήσει. δέος δὲ οὐδὲν ἔχει ψυχῆς ἐλευθερία. τὰ μὲν οὖν ἐμὰ ἐφ' ἑαυτῷ σκοπεῖν ὡς ὁρᾷς ἀσφαλέστερα εἰς τὸ παθεῖν, ἢ Κλεάρχῳ εἰς τὸ δρᾶσαι. καὶ τό γε ἐμὸν οὐκ ἐπιμελείας, ἀλλ' ὀλιγωρίας δεῖται. τὸ γὰρ ἀρχὴν φροντίζειν περὶ αὐτοῦ, ἀνδρός ἐστιν οὐ πάνυ ἐλευθέρου. τὰ δὲ τῆς πατρίδος συνημμένα μοι, οὐκ ἐπιτρέπει τὴν αὐτόνομον ταύτην ἐλευθερίαν. ἄγειν καὶ πολιτεύεσθαι ἀναγκάζει καὶ κινδυνεύειν ἔχειν. κινδυνεύω δὲ οὐχὶ μὴ αὐτός τι πάθω, ἀλλ' ἵνα μὴ πάσχουσάν τι τὴν πατρίδα οὐκ ὠφελήσω. διὰ τοῦτό μοι ἀνάγκη καίπερ μὴ φοβουμένῳ, θάνατον προνοεῖν. ὅπως μὴ πρότερον ἀποθάνω, ἢ ὑπὲρ τῆς πατρίδος ἀποθανεῖν δυνήσωμαι. πολιτεύου δὴ πρὸς τὸν τύραννον ἃ καὶ πρότερόν σοι ἔγραφον, πείθων αὐτὸν ὅτι ἡσυχίας ἐρασταί ἐσμεν. καὶ γράφε ἡμῖν ἐὰν καὶ ἄλλο τί σοι δοκῇ πρὸς τὴν αὐτόθι πολιτείαν ἀνήκειν. ἐπεὶ ἀνάγκη μοι εἰς τὴν τῆς πατρίδος ἐλευθερίαν, ὑφαιρεῖν τι τῆς ἐμαυτοῦ φροντίζοντι περὶ τούτων καὶ βουλευομένῳ.

Τῷ αὐτῷ

ε πὶ μὲν τῷ συμπείθεσθαι τὸν τύραννον οἷς περὶ ἐμοῦ πρὸς αὐτὸν ἔλεγες, συγχαίρω τῇ πατρίδι. γράφω δὲ καὶ αὐτὸς ὡς συνεβούλευσας, ἀπαιτῶν αὐτὸν ἀπὸ τοῦ πλήθους ὡς μάλιστα ἔνεστι. τοὐναντίον γὰρ αὐτῷ ἰὼν, ψευσαίμην τοὺς ἐμαυτοῦ πολίτας καὶ φίλους ὧν ἐξ ἐμοῦ ἤλπισαν, καὶ ταῦτα οὐκ ἀξίους ὄντας ἀπατᾶσθαι. τὸ δὲ εἶναι τὸν τύραννον τελέως καὶ χαλεπὸν, ὠφελιμώτερον ἔγωγε ἡγοῦμαι τῇ πόλει ἢ τὸ δημοκοπεῖν αὐτὸν καὶ προκαλύπτεσθαι δόξαν μετρι

ότητος. τὸ δὲ αἴτιον, ὅτι οἱ μὲν χαλεποὶ διαφθείρονται τάχιστα καὶ ἂν μὴ καταλυθῶσι, μῖσος ὅμως τυραννίδος κατέλιπον τῷ πλήθει καὶ παντελῶς τὴν μοναρχίαν ἐφ' ἑαυτῶν διέβαλον. οὕτως οὖν συμβαίνει τὸν λοιπὸν χρόνον φυλακτικωτέρους γίνεσθαι καὶ προνοητικωτέρους τῆς δημοκρατίας ἅπαντας. ὅταν δέ τις δουλωσάμενος ἐκ δημοκοπίας ἢ τοὺς δουλωθέντας κἂν ἀναιρεθῇ τάχιστα, πολλὰ ὅμως ἐγκαταλείπει τυραννίδος ἐν ἑκάστοις κακά. ὧν οἱ μὲν δή τι ποθοῦντες πείσεσθαι. οἱ δὲ ἄλλως δημαγωγηθέντες, τυφλοὶ τῶν κοινῇ συμφερόντων εἰσί. καὶ τόν τε ἀναιρεθέντα οἰκτείρουσιν ὡς δὴ μέτριον καὶ τὴν τυραννίδα οὐχ ὡς ἀνήκεστόν τι φυλάττονται κακόν. ἀγνοοῦντες ὅτι ἂν πάντα τις ᾖ μέτριος τύραννος, διὰ τοῦτο καταλυτέος ἐστὶν ὅτι ἔξεστιν αὐτῷ καὶ χαλεπῷ εἶναι. Κλέαρχος δὴ ὠμὸς ὤν, αὐτός τε δυσχείρωτος ἔσται μισούμενος, καὶ τοῖς ἄλλοις δυσκατορθωτέραν ποιήσει τὴν τυραννίδα. προσποιούμενος δὲ εἶναι μέτριος, αὐτός τε ἂν ταύτην τὴν δόξαν ἐκπεριποιήσαιτο, τοῖς τε βουλομένοις ὕστερον εὐέμβατον ἀπολείποι τὴν ἀκρόπολιν. ἀλλὰ ταῦτα μὲν καὶ σοὶ δηλαδὴ φανερά. τὸν δὲ τρόπον τῆς γραφῆς καὶ ἀποδόσεως τῶν ἐπιστολῶν χαίρω. ὅτι δὴ σύ τε ἀσφαλῆ ἐνόμισας, καὶ τὸ τέλος μαρτυρεῖ μὴ ἀτόπως εὑρῆσθαι. ἔπεμψα δέ σοι καὶ τὸ ἀντίγραφον τῆς πρὸς τὸν Κλέαρχον ἐπιστολῆς διθυραμβικωτέραν ποιήσας ἐπίτηδες αὐτήν. ἵν' ἡμῶν καταφρονῇ ὡς λογομανούντων τελέως. Κλεάρχῳ.

Ν Ἀθήναις μοι φιλοσοφίας χάριν διατρίβοντι τῶν τε κοινῶν τινες φίλων καὶ ὁ πατὴρ ἐπέστειλαν ὡς δι' ὑποψίας εἴην πρὸς σέ. καὶ αἰτίας ἐκέλευον ἀπολύσασθαι. τοῦτο γὰρ δίκαιον εἶναι καὶ αὐτῷ μοι ἄμεινον. ἐγὼ δὲ ὅτι μὲν ὀρθῶς παρῄνουν ταῦτα, σαφῶς ᾔδειν. ἠγνόουν δὲ ἀφ' ὧν διεβλήθην. καὶ τοῦτό μοι πρὸς

τὴν ἀπολογίαν ἦν εὔπορον. οὐδὲ γὰρ αὐτὸς παρῆν ὅτε περιε-
βάλλετο τὴν ἀρχὴν, οὔτε ἀπὼν ἐδυνάμην ἐναντιοῦσθαι. οὐδ᾽ ὅλως
ἢ λόγος, ἢ ἔργον τι τῶν ἐμῶν, ἐπιμιξίαν τινὰ εἶχε πρὸς τὰ αὐτόθι
πράγματα. τίνες οὖν αἱ διαπόντιοι πρὸς μόναρχον ἐναντιώσεις
ἀνθρώπου μετ᾽ ὀλίγων οἰκετῶν ἀποδημοῦντος, οὐκ ἐγὼ εὕρισκον.
καὶ διὰ τοῦτό γε ἠπόρουν ἀπολογίας, ὅτι οὐδὲν ἑώρων τὸ κατηγορού-
μενον. οὐκ ἠπόρουν δὲ πάλιν τῷ μηδὲν ἐννοεῖσθαι τοιοῦτον ὁποῖ-
ον ἴσως ὑποπτεύομαι, ἀλλὰ καὶ πάνυ ἔχων πείθειν σε ὅτι ἡ ἐμὴ
ψυχὴ οὐδενὶ εὐέμβατός ἐστι, τῶν τοιούτων βουλευμάτων. οἶμαι
μὲν οὖν εἰ καὶ μὴ πεφιλοσοφήκειν, ἱκανὸν ἂν γίνεσθαι τεκμήριον
τοῦ μὴ ἀπεχθῶς ἔχειν πρὸς σὲ, τὸ μηδὲ ἠδικῆσθαί τι ὑπὸ σοῦ. οὐδὲ
γὰρ οἱ ἀφιλοσόφητοι μὴ παντάπασί γε μανέντες, καθ᾽ ἡδονήν τινα
τὰς ἀπεχθείας ἐπαναιροῦνται. οὐδ᾽ ἐρωτὰς τιμᾶς ὡς τῶν παιδικῶν ἐπι-
τηδευμάτων, οὕτω καὶ μίσους λαμβάνουσι. πολλοῦ δέω· ἀλλὰ καὶ πάνυ εὖ
πέπεισμαι, ὅτι οὐδὲν αὐτοῖς ἀπεχθείας ἀνιαρότερον. ὅταν γὰρ ὑπ᾽ αὐτῆς ἑκάστου τι-
νὸς διαιρεθῶσιν ἀπ᾽ ἀλλήλων τὰς ψυχὰς, τότε ἀπεχθάνονται. καὶ οὐδὲ
τό τε ἑκόντες ἡμῖν ἢ μέχρι τῆς νῦν ἡμέρας οὐδὲν οὔτε μέγα οὔτε μικρὸν
ὑπῆρκται πρὸς ἀλλήλους ἀπεχθείας ἔργον. ἀλλὰ σοὶ μὲν οὐδὲν πλέον ὑ-
πονοίας καὶ λόγου. ἐγὼ δὲ καθαρεύω τὴν ψυχὴν καὶ ἀπὸ τούτων. τί
οὖν βουλόμενος ἐξαίφνης στασιάζω πρὸς σέ. καὶ ταῦτα μηδέπω καὶ τή-
μερον ἑωρακὼς ἀρχομένην ὑπὸ σοῦ τὴν πατρίδα. ἢ μὴν διὰ φυσῶ-
σί με αἱ πολλαὶ τριήρεις καὶ οἱ ἱππεῖς· ἵνα εἰ μηδὲν ἄλλο, ὑποπτεύῃς
τόσε δύνασθαί με ἐχθρὸν εἶναι. ἀλλὰ ἀπεδημήσαμεν σὺν ὀκτὼ θερά-
πουσι καὶ φίλοις δύο Ἡρακλείδῃ καὶ Ἀγάθωνι. ἀναλύω δὲ δύο
τῶν οἰκετῶν ἀποκαλῶν. ταῦτα δὲ οὐκ οἶδ᾽ ὅπως πείθουσί σε ἱκανὴν
εἶναι παρασκευὴν ἐπὶ σέ. ἐκεῖνο δ᾽ οὖν σκοπεῖς ὅτι εἰ συνῄδειν ἐ-

μαυτῷ

μαυτῷ δικαίως ἐπιβουλευομένῳ, ἢ καὶ αὐτός τε ἑκὼν ἐμαυτὸν ἐνεχείριζον τῷ ἐπιβουλεύοντι. ἢ οὕτω τις ἐραστὴς ἀπεχθειῶν εἰμι, ὥστε μηδὲ τὴν πρὸς ἐμαυτὸν φυλάττειν φιλίαν, ἀλλ' ἑκόντι ἐγχειρίζειν τὸ σῶμα τοῖς δικαίως αὐτὸ τιμωρησομένοις. ἀλλὰ ταῦτα μὲν δὴ τοῖς μὴ φιλοσοφήσασιν, ἱκανὴ μᾶλλον δὲ πέρα τοῦ ἱκανοῦ ἀπολογία. ἐγὼ δὲ οὐδ' ἄλλως ἀφυὴς γενόμενος πρὸς τὰ ἐκ τῆς φιλοσοφίας ἀγαθὰ, συνέλαιον τῇ φύσει ὡς μάλιστα ἐμήν. καὶ νεανίας γενόμενος, οὐκ ἀρχὰς οὐδὲ φιλοτιμίας εἱλόμην, ἀλλ' εὐθέως αὐτῆς ἤρων τῆς φύσεως τῶν λόγων. καὶ οὗτός με ὁ ἔρως ἤγαγεν εἰς Ἀθήνας καὶ Πλάτωνι ἐποίησε φίλον. καὶ μέχρι γε νῦν, οὔπω αὐτοῦ πεπλήσμαι. φύσεως μὲν οὖν οὕτως ἔχων πρὸς ἡσυχίαν, ὡς ἔτι παντελῶς νέος ὢν, καταφρονῆσαι πάντων, ὅσα ἄρχειν τοῦ πρακτικωτέρου βίου δύναται. ἐλθὼν δὲ εἰς Ἀθήνας, οὔτε ἐκυνηγέτουν, οὐδὲ ναύτης εἰς Ἑλλήσποντον ἐπὶ Λακεδαιμονίους σὺν Ἀθηναίοις ἔπλεον. οὐδὲ ταῦτα ἐπαιδευόμην ἀφ' ὧν τυράννοις καὶ βασιλεῦσιν ἐχθρὸς ἔσομαι. ἀλλ' ἀνδρὶ ἡσυχίας ἐραστῇ διελεγόμην τὸν ἔγγιστα θεῷ λόγον παιδευόμενος. καί μοι πρῶτον παρ' αὐτοῦ παρηγγέλθη ἡσυχίαν ποθεῖν. ταύτην γάρ τοι κατὰ φιλοσοφίαν λόγου φῶς εἶναι. τὴν δὲ πολιτείαν καὶ πολυπραγμοσύνην, ὥσπερ ζόφον τινὰ ἐπικαλύπτειν. καὶ ἀνεύρετον ποιεῖν τοῖς ἐρευνῶσιν. ὡς δὲ οὔτε πεφυκέναι κακὸς ἐδόκουν πρὸς αὐτήν, οὔτε πείθεσθαι ῥᾳδίως περὶ αὐτῆς, τὴν ἱκαυτοῦ ἤδη θεὸν πάντων ἐπόπτην, καὶ κόσμου κατασκευὴν ἐμάνθανον, καὶ φύσεως ἀρχὰς ἑώρων. καὶ δικαιοσύνην τιμᾶν ἐδιδασκόμην. καὶ ὅσα τοιαῦτα, ἄλλα παιδεύει φιλοσοφία. καὶ οὐδὲν οὐχ ὅπως τοι εἰδέναι ταῦτα, ἀλλ' οὐδὲ τοι ζητεῖν τιμιώτερον. τί γὰρ κάλλιον

ἢ ἄνθρωπον ὄντα θνητῆς φύσεως καὶ θεοῦ κεκραμένον μοίρᾳ, μό-
νοις δὴ χαίρειν τοῖς ἀθανάτοις ἑαυτοῦ. καὶ ταῦτα, πρὸς τὸ συγγε-
νὲς ἄγειν. συγγενῆ δὲ τῷ θείῳ τὰ θεῖα λέγω. ταῦτα ηὐχόμην τε καὶ
ἐσπούδαζον μαθεῖν. πολιτείας δὲ ἀνέξῃ καὶ μετὰ παρρησίας μου
λέγοντος, οὐδὲ μεμνῆσθαι ἠξίωσα. ἔμαθον δὲ ἄλλα τε πολλὰ καὶ
ταῦτα οἷς νῦν χρήσομαι πρὸς σέ. τὸν μὲν μὴ ἀδικοῦντα τιμᾶν. τὸν
δὲ ἀδικοῦντα ἄριστον μὲν εὐεργεσίαις ἀμείβεσθαι. εἰ δὲ μή γε ἡσυχίᾳ. τὸ
φίλον μὲν τιμιώτατον ἡγεῖσθαι, ἐχθρὸν δὲ μηδένα ἑαυτῷ κατασκευά-
ζειν. τὸν ὄντα, φίλον ποιεῖσθαι. καὶ μηδὲν τηλικοῦτον νομίζειν κακὸν
ὅσον ἂν πράξειε τὴν ψυχὴν καὶ τοῦ οἰκείου ἔργου ἀποστρέψειε πρὸς ἕτερα.
ἆρά γε ἐπιβουλῶ μοι νομίζεις χρῆσθαι ταῦτα εἰδότι, μηδαμῶς. ἀλλὰ σοὶ
μὲν ἀρκείσθω πολέμων ἔργα καὶ πολιτειῶν. ἡμῖν δὲ τῆς σῆς τοσοῦτον
ἀπονεμήσθω τυραννίδος, ὅσον ἀπράγμονι ἀνδρὶ δοκεῖ ἡσυχάσαι. πεί-
θομαι ὅτι ἢν τὸ διαλέγεσθαί με ἀφῇς τοῖς φίλοις, ἠρεμαίους ἂν αὐτοὺς
ποιήσαιμι τὸ ἀπολιπόντους ὧν σὺ βούλει διεξιὼν τὰ ἀεὶ ἡμῖν μελετώ-
μενα φιλοσοφίας ἐγκώμια. ἐπεὶ καὶ τελέως ἂν εἴην μὴ ταῦτα
φρονῶν ἀχάριστος. φέρε γὰρ εἴ μοι παραστωμένῳ τινῶν σὺ ὑπο-
πτεύεις, ἡ πραεῖα ἐπιστολὴ θεὸς ἡσυχία, καὶ ταῦτα λέγοι, ἀχάριστος
εἶ καὶ πονηρὸς ὦ Χίων. καὶ οὔτε τῶν καλῶν ἐκείνων μαθημάτων,
οὔτε ὅλως σεαυτοῦ μνήμην ἔχεις. ἐμοὶ χρώμενος δικαιοσύνην ἤ-
σκησας καὶ σωφροσύνην ἐκτήσω. καὶ θεὸν ἔμαθες καὶ τὴν σεαυτοῦ
πρὸς αὐτὸν συγγένειαν ἀνεμεώσω. καὶ τῶν ταπεινοτέρων τού-
των, θαυμαστῶν δὲ τοῖς ἄλλοις κατεφρόνησας φιλοτιμίας
καὶ πλούτου καὶ ὅσα τούτοις ὅμοια. εἶτα νῦν ὅτε ἀποδιδό-
ναι σε δεῖ τὴν χάριν, μείζονι ἤδη νόμῳ καὶ κρείττονι ψυχῇ συν-
όντα μοι καὶ διαλεγόμενον ἀπολείψεις με, οὐδὲ μεμνημένος

ὅπου

ὅτι οὐ τὰ ἄλλα μόνον ἐκ φιλοσοφίας ἔμαθες, ἀλλὰ καὶ τὸ ζητεῖν δεξιῶς ἃ μήπω οἶδας. καὶ πῶς ἂν σύ γε ζητήσειας ἢ εὕροις ἐμοῦ στερόμενος· ταῦτ' εἰ λέγοι, τί ἂν ἀποκριναίμην πρὸς αὐτὴν δίκαιον. ἐγὼ μὲν γὰρ οὐδὲν ὁρῶ. ἀλλὰ μὴν εὖ ἴσθι ὡς ἐγὼ ταῦτα πρὸς ἐμαυτὸν ἀεὶ λέγω. λέγει γὰρ ἕκαστος πρὸς ἑαυτὸν ἃ φρονεῖ. καὶ οὐκ ἄν ποτε αὐτῶν ἀπολειφθείην. ὥστε οὐδένα σοι δέος ἐξ ἡμῶν εὔλογον. οὐδὲ γὰρ οὐδὲ ἔσται τῶν σῶν πραγμάτων ἡ ἐμὴ ἡσυχία.

Πλάτωνι.

Ἐν ἡμέραις τῶν Διονυσίων ἔμπροσθεν τοὺς πιστοτάτους μοι τῶν θεραπόντων Πυλάδην καὶ Φιλόκαλον ἔπεμψα ὡς σέ. μέλλω γὰρ τοῖς Διονυσίοις ἐπιτίθεσθαι τῷ τυράννῳ, κελεύσαντός με ἐκ πολλοῦ ἀνύποπτος αὐτῷ γενέσθαι. πέμπεται δὲ ἐν ταύτῃ τῇ ἡμέρᾳ πομπὴ τῷ Διονύσῳ. καὶ δοκεῖ ὀλιγωρότερον ἕξειν διὰ τὴν τοῦ τῶν δορυφόρων. εἰ δὲ μή γε καὶ δέῃ διὰ πυρὸς ἐλθεῖν, οὐκ ὀκνήσομεν. οὐδὲ καταισχυνοῦμεν οὔτε ἑαυτοὺς οὔτε τὴν σὴν φιλοσοφίαν. καὶ τὰ τῶν συνωμοτῶν δέ ἐστιν ἡμῖν ὀχυρά. πίστει δὲ καὶ πλήθει ὀχυρώτερα. οἶδα μὲν οὖν ὡς ἀναιρεθήσομαι. τελειώσας δὲ μόνον τυραννοκτονίαν, τοῦτο παθεῖν εὔχομαι. μετὰ παιᾶνος γὰρ ἂν καὶ νικητηρίων ἀπολείποιμι τὸν βίον, εἰ καταλύσας τὴν τυραννίδα ἐξ ἀνθρώπων ἀπελεύσομαι. σημαίνει γάρ μοι καὶ ἱερὰ καὶ οἰωνίσματα καὶ πᾶσα ἁπλῶς μαντεία θάνατον, κατορθώσαντι τὴν πρᾶξιν. ἐθεασάμην δὲ καὶ αὐτὸς ἐναργέστερον ἢ κατ' ὄνειρον ὄψιν. ἔδοξε γάρ μοι γυνὴ θεσπέσιόν τι χρῆμα κάλλους καὶ μεγέθους ἀναδεῖν με κοτίνῳ καὶ ταινίαις. καὶ μετὰ μικρὸν ἀποδεῖξαί τι μνῆμα περικαλὲς καὶ εἰπεῖν. ἐπειδὴ κέκμηκας ὦ Χίων, ἴθι εἰς τοῦτο τὸ μνῆμα ἀναπαυσόμενος. ἐκ τούτου τοῦ ὀνείρατος εὔελπίς εἰμι καλοῦ θανάτου τυχεῖν. νομίζω γὰρ

μηδὲν κίβδηλον εἶναι ψυχῆς μάντευμα. ἐπεὶ οὖν οὕτως ἔχω σκέψεως. εἰ δὲ καὶ ἀληθεύσειεν ἡ μαντεία, μακαριώτατον ἐμαυτὸν ἡγοῦμαι γενέσθαι. εἰ ὁ βίος μοι μετὰ τὴν τυραννοκτονίαν εἰς γῆρας ἐδίδοτο. καὶ γάρ μοι μεγάλα διαπραξαμένῳ πρότερον δὲ αὐτῶν ἀπαλλάττεσθαι, ἢ χρόνου τι συναπολαῦσαι. καὶ ἃ ἂν δράσωμεν, πολὺ νομισθήσεται μείζονα, οἷς πεισόμεθα. καὶ αὐτοὶ τιμιώτεροι ἐσόμεθα τοῖς δὲ παθοῦσιν, ἢ τῷ ἰδίῳ θανάτῳ τὴν ἐλευθερίαν αὐτοῖς ὠνησόμεθα. μείζων γὰρ ὠφέλεια τοῖς δωρηθεῖσιν εἶναι φαίνεται, ἧς ὁ δράσας οὐ μεταλαμβάνει. οὕτως μὲν δὴ προθύμως ἔχομεν πρὸς τὴν μαντείαν τοῦ θανάτου.

Σὺ δὲ χαῖρε ὦ πλάτων καὶ
εὐδαιμονοίης εἰς τέλεον
γῆρας. προσα
γορεύω δέ
σε
ὕστατα
ὡς
πείθομαι.

Τέλος τῶν Χίωνος
ἐπιστολῶν.

Plutar. in Demosth. pa. 8.

ΕΠΙΣΤΟΛΑΙ ΑΙΣΧΙΝΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ ΦΙΛΟΚΡΑΤΕΙ.

Ὑ´σαντες ἐκ μουνυχίας ἑσπέρας λαμπρῷ σφόδρα σκίρωνι περὶ μέσην ἡμέραν, κατήχθημεν εἰς κορησσὸν τὴν κέων. Καθίσαντες δὲ ἡμέρας ἐννέα σκαιὸς γὰρ ἦν ὁ ἄνεμος, εἶτα πάλιν λύσαντες ἅμα τῇ ἕῳ εἰς Δῆλον ἤλθομεν. δήλιοι δὲ ἐνόσουν λοιμώδη τινὰ νόσον. τὰ μὲν πρόσωπα ἐπίμπλαντο λεύκης. καὶ τὰς τρίχας λευκοὶ ἐγίνοντο. ὁ δὲ τράχηλος αὐτῶν καὶ τὰ στέρνα ᾤδει. πυρετοὶ δ᾽ οὐκ ἐπῆσαν. οὐδὲ ἀλγηδόνες μεγάλαι. οὐδὲ τὰ κάτω μέρη παρήλαττεν οὐδέν. ταῦτα δὲ ἐπύθοντο κατὰ μῆνιν ἀπόλλωνος αὐτοῖς συμβεβηκέναι, ταφόντος ἐν τῇ νήσῳ τινὸς τῶν ἐπιφανῶν, οὐ πρότερον εἰωθός. Ἐκ τούτου οὖν προσβάλλειν αὐτοῖς τὸν θεὸν τὴν νόσον ταύτην ὑπελάμβανον. ἡμεῖς δὲ ὥσπερ τι ἔθνος ἀλλόφυλον. ἢ νῆσον ἐν τῇ ἔξω θαλάττῃ ἀφιγμένοι, καὶ ἰδόντες ἐξαίφνης χρῶμα ποικίλων ἀνθρώπων, νυκτὸς ἀποφεύγοντες ᾠχόμεθα πυνθανόμενοι ἀλλήλων κατὰ τὸν πόρον, εἰ τὸ χρῶμα ἔχοι ἕκαστος οἷον ἐκόμιζεν οἴκοθεν καὶ τὰς τρίχας. Ζάλη δὲ καὶ ἄνεμος ἐξώστης ἐμπεσὼν, ἀπήνεγκεν ἡμᾶς ὑπὲρ κρήτην. πλησίον ψαμαθοῦντος. ὡς δὲ ἐν ἀπόπλῳ ἦμεν ἤδη, ἀντιπνεῖ πνεῦμα λιβυκόν. εἶτα πνεύσαντος ἡμῖν ἀπαρκτίου, πάλιν ἐφερόμεθα πέντε νύκτας ἐν θαλάττῃ γινόμενοι, ἐν αἷς προσέχομεν ἀθρόως. ἵνα μάθωμεν μὴ πολυπραγμονεῖν, εἴτις ἐν τῇ ἑαυτοῦ πατρίδι κατὰ τοὺς νόμους ἢ μὴ, στεφανοῦται. κἀκεῖθεν τέτταρσιν ἡμέραις, ἀφικόμεθα εἰς ἐπίνειόν τι τῆς ῥοδίας, ὅπου νοσησείμοι συνέβη τὴν περὶ τὸ ἆσθμα

νόσου· ὡς δὲ ἐπιμείναντός μου αὐτόθι, οὐκ ἐνεδίδου ἡ νόσος, διέπλευσα εἰς Ῥόδον· καὶ ἐδέξατο ἡμᾶς εὐμενῶς ὁ τόπος. εὐθὺς γὰρ ὡς διέβην τοῦ πλοῦ, ῥάων ἐγενόμην. ταυτὶ μὲν ἔχω μέν σοι πῶς ἐπιστέλλειν. τὰ δ' ἄλλα ὡς ἂν ἕκαστα συμβαίνοι, δηλώσομεν. εὐτύχει. καὶ μήτε πρόσκρουε μήτε τοῖς πλέον σοῦ μήτε τοῖς ἔλαττον δυναμένοις. Κτησιφῶντι.

ε Ἐπέστειλεν ἡμῖν, Νικόστρατος ὁ πρὸς μητρὸς θεῖος. ὡς ἐπηρεάζοις μὲν εἰς αὐτὸν οὐ μετρίως. ἐμοὶ δ' ὀνειδίζοις τὴν διὰ σέ μοι συμβᾶσαν συμφοράν. ἐγὼ δὲ θαυμάζω τί παθών. ἠξιοῦσα μὲν οἴκοθεν ἡμῖν, τοσαῦτα διειλέχθης, ὥστε πεισθῆναί με, μηδὲν ὧν διειλέχθης ἐπιλαθέσθαι σε. μηδ' ἄλλως φρονεῖν, βλέποντα πρότερον μὲν εἰς τὴν ἐμὴν ξυμφοράν, ἣν οὐκ ἀπεικὸς εἶναι καὶ τοὺς ἐχθροὺς ἐλεεῖν ὑπελάμβανον· ἔπειτα δὲ καὶ εἰς τὸ σκυθρωπὸν καὶ ὅμοιον δεδακρυμένῳ. ὥστε γ' ὥστε καὶ ἐπέσκηψα ἐνίοις τῶν προσηκόντων ἡμῖν, εἴ του δέοιντο, προσιέναι σοι καὶ μηδενὸς ὑστερήσειν ὑπεσχόμην αὐτοῖς. καὶ αὐτὸς δὲ ἐπέστειλα περὶ ὧν ἐχρημάτιζον Ἀθήνησί μοι γενέσθαι πολλάκις. νῦν δὲ οὐκ ἐμποδὼν ἔτι οὖσιν ἡμῖν οὔτε διενοχλοῦσί σοι οὔτε ἄλλῳ τινὶ Ἀθηναίων, ἐπηρεάζεις. οὔτε εἰς τὴν τύχην ἀποβλέπεις. οὔτε εἰς ἄλλο τι τῶν ἀνθρωπίνων. ἀλλ' ἐπεγχρονίζῃ ἔτι, καὶ ἐκπεπτωκόσι τῆς πατρίδος. καὶ ἀπεστερημένοις ἐπιθυμίας καὶ πόλεως καὶ πολιτῶν καὶ φίλων. καὶ ὅσα μὲν εἰς ἐμὲ ἅπαντα ἐβλασφήμεις, σοὶ μὲν ἴσως φέροι ἄν τινα εἰκότως καὶ φθόνον καὶ μῖσος. ὥσπερ ἂν εἴ τινα τῶν τεθνεώτων ἐπιβάλλοιο βλασφημεῖν, ἐν οὕτω χρηστῇ καὶ φιλανθρώπῳ πόλει. ἐγὼ δέ, οὐκ ἂν διὰ ταῦτα φαυλότερος νομισθείην ἅπασιν ὑπὸ σοῦ λοιδορούμενος. ἀτυχέστερος μέντοι καὶ ἐλεεινότερος ἴσως νομισθείς, πότε μὲν οὐδὲν ἧττον, νῦν δὲ οὐδὲ μίαν ὑπὲρ αὐτοῦ φωνὴν ἐκπέμ-

πειν

πεῖν ἀλλ' οὐδὲ ἀκούειν λοιδορουμένους δύναμαι. τὸ δὲ γέροντα ἐν πενίᾳ ὑβρίζεσθαι μηδὲ μίαν ἐλπίδα ἔτι ἔχοντα τοῦ δυνήσεσθαί ποτε ἀμύνασθαι, ὅς γε τὴν σύμπασαν ἐλπίδα ἐφ' ἡμῖν αὐτοῖς ἀκμὴν ἔχει τοῖς μηδὲ αὐτοὺς σώζειν ἔτι δυναμένοις, πῶς οὐκ αἰσχρόν ἐστιν. ἀλλὰ μὴ πρὸς τοῦ Διὸς μὴ σύ γε ὦ Κτησιφῶν· μηδὲ εἰ τὰ μάλιστα ἡμᾶς ἀνιᾶν βούλει. Καὶ εἰ μὴ πεπλήρωκέ σε μηδὲν τῶν ἡμετέρων κακῶν, μίασμα τοῦτο προσθῇς σαυτῷ τε καὶ τοῖς παισὶν οὓς τρέφεις, βοηθοὺς ἔσεσθαί σοι δηλονότι τοῦ γήρως σου προσδοκῶν. καὶ μέμνησο ὅτι οὐδὲ αἰσχίνης εἰς τοῦτό ποτε ἀφίξεσθαι ἤλπισεν. οὐδ' ἄλλοι πολλοὶ καὶ ἔτι μᾶλλον ἀκμάσαντες ἐν τῇ ἑαυτῶν πατρίδι καὶ πολλοὶ λαμπρότεροι ἐμοῦ τε καὶ σοῦ γενόμενοι.

ο Ι μὲν ἄλλοι πάντες ὅσοι φεύγουσιν ἀδίκως ἢ δέονται τῶν πολιτῶν ὅπως ἐπανέλθωσιν, ἢ διαμαρτάνοντες τούτου λοιδοροῦσι τὰς ἑαυτῶν πατρίδας ὡς φαύλως αὐτοῖς προσφερομένας. ἐγὼ δὲ ἐπείπερ ἀναξίως ὧν ἐπολιτευσάμην ἔτυχον, καὶ κατηγορῶν ἄλλων αὐτὸς ἑάλων, ἄχθομαι μὲν, ὥσπερ εἰκός ἐστιν. ἀγανακτῶ δὲ οὐδέν. οὐ γὰρ οὕτως ἔγωγε ἠλίθιός εἰμι, ὥστε ἐξ ἧς πόλεως θεμιστοκλῆς ὁ τὴν ἑλλάδα ἐλευθερώσας ἐξηλάθη, καὶ ὅπου μιλτιάδης ὅτι μικρὸν ὦφλε τῷ δημοσίῳ γέρων ἐν τῷ δεσμωτηρίῳ ἀπέθανε, ταύτῃ τῇ πόλει αἰσχίνην τὸν ἀτρομήτου φεύγοντα ἀγανακτεῖν οἴεσθαι δεῖν, εἴτι τῶν εἰωθότων ἀθήνησιν ἔπαθεν. ἀλλ' ἔγωγε καὶ λαμπρὸν εἰκότως νομίσαιμ' ἂν αὐτὸ γενέσθαι. τὸ μετ' ἐκείνων ἐν ἀδοξίᾳ παρὰ τοῖς ἔπειτα ἀνθρώποις καὶ ἄξιος τοῦ ὅμοια παθεῖν ἐκείνοις γεγονέναι.

ε Πειδή σοι δοκεῖ πυνθάνεσθαι περὶ κλεοκράτους, ὅστις ἐστὶν ὁ κλεοκράτης ἄκουε. παύσῃ γὰρ οὕτω προῖκα πολυπραγμονῶν

οὐδ' ἂν ἐπεὶ πρὶν μακρᾶς ἀκοῦσαι διηγήσεως. τὸ μὲν γὰρ γένος ἐστὶν ἁπάντων ἀνθρώπων Ἑλλήνων, οὐκ ἐν ἀφανέσι τοῖς. ἀείφρονα τὸν ἐκ Δαμαγήτου εἴπου πυνθάνοιο, ὃν καὶ ὁ μέγας αἴρει Πίνδαρος. ἀλλ' ὅπως μὴ γέλωτα ὄφλῃς σκαιὸς ζητῶν ὅστις ἐστὶν ὁ Πίνδαρος. τουτὶ μὲν γὰρ οἶμαι ὅτι καὶ παρὰ Μαντίᾳ τῷ γραμματιστῇ ἅμα ἐμοί ποτε ἔμαθες τὸ γράμμα, καὶ εἰ μηδενὸς ἔτι τῶν παρὰ Μαντίᾳ μνημονεύεις, ἐν γοῦν ταῖς ἐκκλησίαις Μελανίππου ἑκάστοτε ἀκούεις λέγοντος, αἵ τε λιπαραὶ καὶ ἀοίδιμοι Ἑλλάδος ἔρεισμ' Ἀθᾶναι, καὶ ὅτι Πινδάρου τοῦ Θηβαίου τὸ ἔπος τοῦτό ἐστι λέγοντος, καὶ ὅτι ἐζημίωσαν αὐτὸν Θηβαῖοι τοῦτο ποιήσαντα τὸ ἔπος. οἱ δὲ ἡμέτεροι πρόγονοι διπλῆν αὐτῷ τὴν ζημίαν ἀπέδοσαν μετὰ τοῦ εἰκόνι χαλκῇ τιμῆσαι. καὶ ἦν αὕτη καὶ εἰς ἡμᾶς ἔτι πρὸ τῆς βασιλείου στοᾶς, καθήμενος ἐνδύματι καὶ λύρᾳ ὁ Πίνδαρος, διάδημα ἔχων, καὶ ἐπὶ τῶν γονάτων ἀνειλιγμένον βιβλίον. οὗτος δὴ ὁ Πίνδαρος, Δαμάγητον ἄγει ἐκεῖνον, εἰς ὃν ἀνατείνει τὸ Κλεοκράτους γένος. λέγει δέ που ὁ αὐτὸς Πίνδαρος καὶ τὰ περὶ τοὺς Διαγορείους ἢ τὰ περὶ τὴν πρεσβῦτιν· ἧς τὸ μητρῷον αὐτοῦ γένος ἀπήρτηται. ἢ εἰ μὴ σφόδρα ᾔδειν τὴν ὑπέρφρονα ὄντα σε, καὶ τὰ ἀγοραῖα ταῦτα καὶ τὰ ἀπολέσαντα ἡμᾶς ἐπιτηδεύματα μᾶλλον περιέποντα, κἂν ἀπέχρη ὑπελάμβανον σε ὑπομνῆσαι μόνον τὰ περὶ τοὺς Διαγορέους ἔπη ἐκ τῶν Πινδάρου. νῦν δ' οἶδα ὅτι μάτην σοι ταύτην τὴν λύραν λέξομεν. δοκεῖ οὖν μοι ἀνάγκην εἶναι διηγήσασθαί σοι τὸ διήγημα τοῦτο. ἄξιον γὰρ ἀκοῦσαι, ἐπεὶ καὶ μὴ προσήκει Κλεοκράτει. λέγεται γάρ ποτε γυνὴ πρεσβῦτις Ὀλυμπιάσι παρελθοῦσα εἰς τὸ στάδιον, ἑστάναι τε ἅμα τοῖς ἀνδράσι, καὶ θεάσασθαι τοὺς ἀγωνιζομένους. ἐπιστάντων δὲ αὐτῇ τῶν Ἑλλανοδικῶν ὅτι ἐτόλμησε παρελθεῖν εἰς τὸ στάδιον, ἀποκρίνασθαι· τίνι γὰρ ἄλλῃ τοῦτο γυναικὶ δέδωκε καυχήσασθαι οὐ-

τως ἔθεος. ὅτι καὶ πατέρα καὶ τρεῖς ἀδελφοὺς ὀλυμπιονίκας ἔχουσα καὶ υἱὸν εἰς Ὀλυμπίαν ἄγοι. ταύτης οὖν τῆς πρεσβύτιδος καὶ τούτου τοῦ γένους ἀπορρώξ ἐστιν ὁ Κλεοκράτης, ὥστ' ἔστι μᾶλλον πάντων ἢ αὐτοῦ πυθέσθαι. καὶ πλείω μὲν οὐ βούλομαι λέγειν, μὴ οὐ μηνύσαιμι σοι ὅπερ ἠξίωσας ὅστις ἐστὶν ὁ Κλεοκράτης βούλεσθαι μου, ἀλλὰ καὶ ἐγκεκωμιακέναι αὐτὸν ὥσπερ καὶ Θρασύμαχος τὸν ξένον συντετάχθαι, καὶ ἀπαιτεῖν ταύτην τὴν χάριν τοῦ λαμπρῶς ἑστιᾶσθαι δοκῶ. τοσοῦτο μέντοι εἴποιμ' ἂν ὅτι ἡ πρεσβῦτις ἐκείνη, εἰ τοῦτον ἐγνώκει τὸν Κλεοκράτη, πολὺ ἂν μᾶλλον ἐπὶ τούτῳ ἢ ἐπὶ τοῖς πέντε ὀλυμπιονίκαις ἐσεμνύνετο.

Μὲν Ἰουλιάδης ὁ μάλιστ' ἐπεπείθεις, οὔτε ὅτε ἀφίγμεθα ἐς Ῥόδον, παρὼν ἔτυχεν, ἀλλὰ περὶ Λίνδον ἦν. οὔτε ἐπανελθὼν εἰς Ῥόδον περιττῶς ἠσμένισεν ἡμᾶς. ἔξω δὴ τοῦ τὰ κοινὰ ταῦτα προσπαῖξαι λέγειν ἐτίμων χρῄζομεν. ὁ δὲ Κλεοκράτης οὐδὲ μὰ τοὺς θεοὺς ἐπιστεῖλαί σοι δυναίμην ἂν αὐτάρκως τὴν ὑπερβολὴν τῆς φιλανθρωπίας, ὅσῃ κέχρηται περὶ ἐμέ. καὶ ἣ οἰκίαν παρεσκεύασέ μοι δημοσίᾳ δοθῆναι. καὶ χωρίον ἐν Καμείρῳ. καὶ αὐτὸς δὲ ἔπεμψεν ἡμῖν τὰ ἐπιτήδεια καὶ εἰς ἐνιαυτὸν ἄφθορα οὐκ ἐμοὶ μόνον, ἀλλὰ καὶ τῷ θεράποντι καὶ ὁπλιστίᾳ, τὰ μὲν ἄλλα εἰ καὶ φαυλότερα τῶν Ἀθήνησιν, ὥσπερ ἔλαιον καὶ μέλι, ἀλλ' οἴων παρόντων, οὐδὲν ἂν τῶν ἐκεῖσε δεχθείημεν. οἶνόν γε μὴν καὶ πολὺ ἀμείνω τοῦ παρ' ὑμῖν. καὶ ἐκ στροβίλου ἅμα καὶ ἀλεύρων καὶ ἀρωμάτων πεποιημένα ἐντύποις μάγματα. ὧν καὶ πέπομφά σοι. ταῦτα δ' ἡμῖν ἔπεμψε, καὶ πυρῶν μεδίμνους. ὅσοις ἐγὼ μεδίμνοις οὐχ ὅπως ἐμαυτόν, ἀλλὰ καὶ πάντας κοθωκίδας διαρκέσαι ἂν ἠδυνάμην. καὶ πολλὰ δὲ ἄλλα πρὸς τούτοις ἄγραφειν.

αἰσχύνομαι. ἵνα μή τινα δηλοῦν ἐμὴν μικρολογίαν δόξω. τὸ μὲν γὰρ τὰ μικρὰ πάνυ ὑπεραστάζεσθαι, μικρολογίας μέν τινος εἶναι φημὶ καὶ ἀπειροκαλίας. φιλοφρονημάτων δὲ καὶ μικρῶν πάνυ ἔγωγε ἡττᾶσθαι ὁμολογῶ. παρέχει δὲ ἡμῖν καὶ ἄλλα καλλίω συνοῦντε ἀγρίων καὶ δορκάδων τὴν πέραθεν ἀπολαύματα. ἔτι δὲ αὐτὸς ἡμῖν σύνεστιν ὁσημέραι. καὶ μεταδίδωσι τῆς αὐτοῦ σοφίας. ἣ σοφωτέρα ἢ καθ' ἡμᾶς ἐστιν. ἃ γὰρ ἐγὼ παθὼν ἐδιδάχθην, ταῦτα πρὶν παθεῖν φυλάττεται σοφία. καὶ οὐχ ὥσπερ οἱ ἄφρονες πείρᾳ διδάσκει ὅμηρος. οὐ γὰρ πολιτεύεται. καὶ ὅσον γε τῷ κλεοκράτει οὐδὲ μιᾶς πόλεως ἄλλης οὐδὲ ἀνθρώπων ἐπιθυμῶ. ἀλλὰ καὶ σφόδρα ἀσμενίζω τῇ συμφορᾷ. καὶ ἀρχὴ δοκεῖ μοι τοῦ βίου ἡ ἀπαλλαγὴ τῆς αὐτόθι πολιτείας. καὶ οὕτω μὲν ὑπεραγαπῶ τὰ παρόντα καὶ ὅπερ φασὶ σοφοκλέα ἤδη γέροντα ὑπὲρ ἄλλης ἡδονῆς εἰπεῖν, ὥσπερ κυνὸς λυττώσης ἀπηλλάχθαι, ποιεῖ τῆς τοῦ πολιτεύεσθαι ἡδονῆς. ᾧ καὶ ὅταν ὁ νοῦς ἐπικρατῇ, ζῇς εὐδαίμων ἔγωγε ἐμαυτῷ τῆς ψυχῆς καὶ φρόνω φαίνομαι. ὅταν δ' αὖ πάλιν ὑπέλθωσί μοι λογισμοί τε καὶ μνήμη τῶν αὐτόθι, οὐχ ἑταίρων μόνον, ἀλλὰ καὶ συγγενῶν καὶ ἐκκλησίας καὶ κολυττοῦ, ἐν ᾧ πέντε καὶ τετταράκοντα ἔτη ᾤκησα, καὶ τοῦ ἄλλου χωρίου. καὶ τῶν ἐκεῖ μοι μετὰ σοῦ καὶ φιλίνου διατριβῶν γενομένων, μεταρρεῖ ἅπαν τὸ αἷμα ἀλλοσέ ποι τῶν σπλάγχνων πάλιν. καί μοι δή γε καὶ λοιδορίας ἃς ἐλοιδορούμην ὑπὸ δημοσθένους ἡδεῖαι δοκοῦσι. καὶ σκώμματα ἐφ' οἷς οὐδεὶς ἔξω τῆς ἰφῶντος ἐγέλασε πώποτε. ἀλλὰ καὶ ἅλις μὲν ἡμῖν δακρύων. σὺ δ' εὐτυχοίης. καὶ μὴ μόνον πολιτείαν ἅπασαν ἀγάκλε πτήριν φεῦγε. ὅτι πρὸς ἡμᾶς ἔχει φιλαπεχθημόνως. καὶ ὅτι τἄλλα τοιοῦτός ἐστιν οἷον περιεῖναι μὲν μηδένα λαμπρότερον.

ἡττᾶσθαι

Πλούταρχ. περὶ φιλοπλουτ. Σοφοκλῆς ἐρωτηθεὶς εἰ δύναται γυναικὶ πλησιάζειν, εὐφήμει, ἄνθρωπε εἶπεν, ἐλεύθερος γέγονα, λυττῶντας καὶ ἀγρίους δεσπότας διὰ τὸ γῆρας ἀποφυγών. Cic. de Senect. 87. Plat. 1. τῆς πολιτείας.

ἡ πλάνη δὲ ἀδοξότατον. καὶ μάλιστα μὲν παραινῶ, φεῦγε τὰς μετ' αὐτοῦ διατριβάς· εἰ δ' αὖ συνέλθοις ἐντύχῃς καὶ καθ' ἡμῶν λέγοντί τι, πειρῶ σιωπᾶν ἂν ἰσχύῃς καὶ γελᾶν. ἀλλ' ὁ μὲν δίδωσιν ἀπεχθῶσαν δίκην τὸ πᾶσιν ἀνθρώποις καὶ γέλωτος εἶναι δοκεῖν ἅμα καὶ μίσους ἄξιος. σὺ δὲ εἰ μὴ πάνυ φοβῇ τὴν θάλατταν, ἀφίκοιο παρ' ἡμᾶς ποτε. καὶ παραχθὼν σεαυτὸν ἡμῖν ἰδεῖν, ἐπανήκοις πάλιν.

Ῥίσων οὗτος ὁ κομίζων σοι τὴν ἐπιστολήν, ὁ πρῶτος ὅσιν ἡμᾶς ὑποδεξάμενος ἐν Ῥόδῳ. πέπλευκε δὲ Ἀθήναζε κατὰ χρείαν κηδεστοῦ γέροντος ἀργύριον εἰσπράξων παρὰ τοῦ τραπεζίτου Χαρμόλα. σκόπει δὲ ὅπως αὐτὸν ὑποδέξῃ φιλοφρόνως. ἔστι δὲ κομιδῇ εὐτελὴς τὴν δίαιταν καὶ πρέπων ἡμῖν. ᾧ καὶ τὰ ἄλλα συμπράξεις. ὡς μάθῃ ὡς οὐ παντελῶς ἔρημον φίλων ὑπέλαβεν. ἀλλ' ἔστι τις Ἀθήνησιν Αἰσχίνου λόγος καὶ μνήμη.

Τῇ βουλῇ καὶ τῷ δήμῳ.

Πυθόμενος τὰ ῥηθέντα Μελανώπῳ πρὸς ὑμᾶς. καὶ τὴν μὲν ὑμετέραν ἀπεδεξάμην φιλανθρωπίαν. Μελανώπῳ δὲ οὐκ ἐπανελθὼν μόνον πρὸς ὑμᾶς νομίζω τοῖς βεβιωμένοις αὐτῷ πρέπουσαν ἀποδώσειν χάριν, ἀλλὰ τυχὸν ἔτι καὶ τῆς πατρίδος ἐστερημένος, ὅμως ἀρκέσαι πειράσομαι. ἐγὼ δ' ὦ Μελάνωπε κατὰ μὲν τοὺς νόμους ὁμολογῶ ταύτῃ κεχρῆσθαι τῇ συμφορᾷ. φημὶ μέντοι βοηθῶν ταῦτα τοῖς νόμοις πεπονθέναι. καὶ ὑπὲρ τοῦ μηδένα στεφανοῦσθαι παρ' αὐτοὺς ἀγωνιζόμενος. ἐμοὶ μὲν οὖν τὸ δεδυστυχηκέναι πολιτευομένῳ, κοινὸν οὐδέν ἐστι πρὸς Θεμιστοκλέα καὶ Ἀριστείδην καὶ ἄλλους πολλοὺς τῶν λαμπροτάτων ἐν τῇ πόλει γενομένων. σοὶ δὲ τὸ μέχρι μὲν χθὲς καὶ πρῴην θεσμοθετοῦντος, ἤδη σου προεστάναι τὴν μητέρα, ζεῦγος ἐμπεσεῖν τὸν πατέρα σου εἰς τὸ δεσμω

τὸ θεῖον. σὲ ἢ πραθέντα δισχιλίων δραχμῶν τὴν ἀκμὴν συνηταιρηκέναι τοῖς περὶ Τίμαρχον μόνοις, οὐ κοινὰ ταῦτ' εἶναι, πρὸς Θεμιστοκλέα καὶ Ἀριστείδην τοὺς δικαίους ὑπολαμβάνω ἀγα μελανώπω μὲν αὖθις ἐὰν ὑμῖν ποτε δόξῃ διαλέξομαι παρών. νυνὶ δὲ τῆς μὲν εὐνοίας ἣν ἀπόντι μοι παρέχεσθε, θορυβοῦντες καὶ μὴ θέλοντες ἀκροάσασθαι τῶν λοιδορούντων ἡμᾶς, πολλὴν χάριν ἔχω. δικαιότερον μέντοι καὶ ἄμεινον, ἐμαυτὸν ἐᾶσαι πρὸς τοὺς λοιδοροῦντας λέγειν ψηφισαμένους ἃ πολλάκις πολλοῖς ἤδη ἐψηφίσασθε τὰ μέγιστα ἁμαρτοῦσιν εἰς ὑμᾶς. εἰ δὲ μὴ τό γε δεύτερον ἂν δεηθείην ἀνέχεσθαι πολὺ μᾶλλον τῶν λοιδορούντων ἡμᾶς, ἢ χαρίζεσθαι δοκοῦντας, ὅτι τῶν βλασφημούντων οὐκ ἀκροᾶσθε, μείζω τὴν ὑποψίαν τῶν δυναμένων λέγεσθαι ποιεῖν.

σ

ὺ μὲν οὐδέπω καὶ νῦν ἀφῖξαι πρὸς ἡμᾶς. ἀλλὰ καὶ νόσους καὶ δίκας καὶ πάντα μᾶλλον τοῦ μὴ βούλεσθαι ἐλθεῖν πρὸς ἡμᾶς αἰτιᾷ. νικίας δὲ ἀφῖκται πάλαι καὶ ἀνδρωνίδας. εἰ μὲν οὖν νῦν γε σὺν Φιλίνῳ πυνθάνομαι γὰρ αὐτὸν ἐξιέναι δὲ συνοικίας ἀφικνεῖσθαι πρὸς ἡμᾶς, τάχα ἂν εἴη σοι ἔτι ἀπλοΐα. καὶ λυθείη ὁ πόλεμος. εἰ δὲ οὐδὲ σὺν ἐκείνῳ διὰ συνοικίας ἐξιέναι, σὺ μὲν ἐπιτελεῖς διὰ παντὸς ἡμῖν ἀφίξεσθαι. ἐγὼ δὲ ἅπαξ αἰτιάσομαι.

Ἐρασθεὶς ἐπὶ Φύσκον, ἡσυχάσας ἐκείνην τὴν ἡμέραν, οὐχ ὑπ' ἀργίας ἀλλὰ μηκύνειν ἔδοξεν ἡ περὶ τὰ Ἀθυμάνδου ὁδὸς ὥστε τὴν νύκτα ἐνέδωκε καὶ ῥᾴων ἐγενόμην, βαδίσας εἰς τὴν ἄμμον, ἐπεῖδον τὰ χωρία. καί μοι ἔδοξε καλὰ μὲν ἄλλως καὶ ποικίλα εἶναι τὰ χωρία. ἦν γὰρ ἐλαιῶν ἦν καὶ τὰ ἄλλα φυτὰ καὶ ἄμπελοι συχναί. καὶ σπέρμα πλεῖστα καὶ νομαὶ καλαί. ἐπαύλιον δὲ οὐ

δὲ

δὲ μέτριον· ἀλλὰ πάντα ἐρείπια. ἐδέξατο ἡμᾶς ὁ Μυρωνίδης φιλανθρώπως σφόδρα. τὼ μέντοι χωρία δυοῖν ταλάντοιν ἐπριάμην. καὶ νῦν ἐπαύλιόν τι μηχανῶμαι τοιοῦτον, οἷον ἐμηχανώμην ἐγὼ Κελευθῇ, μέντοι βραχύ. καὶ μέλλω ὅμως οἰκεῖν ἐνθάδε μὰ τοὺς θεοὺς οὐχ ἡδέως ἐπὶ τῇ στερήσει τῆς ἐμαυτοῦ πόλεως, καὶ μάλιστα τοιαύτης, ἐν ᾗ δύναιτ᾽ ἄν τις ἥδιον ἀλγεῖν ὑπολαμβάνων οἰκεῖν.

δὲ Κίμων οἷα κατὰ πόλιν ἑκάστην καὶ ἁπαλὸν ἡμᾶς δέδρακεν οὐκ ἡδέως οὐ νόμου φειδόμενος οὐδενός, ὅτε κατὰ θέαν εἰς Ἴλιον ἀφικόμην τῆς τε γῆς καὶ θαλάττης. ἃ μὲν εἶδον αὐτόθι γράφειν ἐπεὶ δοκεῖ ὕλην ἔχειν ἄφθονον σιωπήσω. δέδοικα γὰρ μὴ ποιητικῆς λαβόμενος φλυαρίας, ἀπειροκαλίας δόξω. τὰ δὲ Κίμωνος ἔργα καὶ τὴν ἀκρασίαν οὐδ᾽ εἴ μοι δέκα μὲν γλῶτται εἶεν, οἶμαι ἀρκέσαι λέγων. διατριβόντων γὰρ ἡμῶν πλείους ἡμέρας ἐν Ἰλίῳ, καὶ μὴ πληρουμένων τῆς θέας τοῦ Περγάμου, ἣν δέ μοι γνώμη μένειν ἕως ἅπαντα διεξέλθω τὰ ἐν τῇ Ἰλιάδι ἔπη πρὸς αὐτοῖς ἑκάστοις ὑπὲρ ὧν τὰ ἔπη δεῖ γεγενημένα, ἐμπίπτει ἡμέρα ἐν ᾗ πειρῶνται τοὺς γάμους οἱ πλεῖστοι τῶν θυγατέρων ὅσων ἐπιτρέπει ὁ νόμος ποιεῖν καὶ ὥρα. ἐγένοντο δὲ συχναὶ αἱ γαμούμεναι. νενόμισται ἐν τῇ Τρῳάδι, τὰς γαμουμένας παρθένους ἐπὶ τὸν Σκάμανδρον ἔρχεσθαι. καὶ λουσαμένας ἀπ᾽ αὐτοῦ τὸ ἔπος τοῦτο ὥσπερ ἱερόν τι ἐπιλέγειν· λαβέ μου Σκάμανδρε τὴν παρθενίαν. ἐν δὴ ταῖς ἄλλαις Καλλιρόη ὄνομα παρθένος μεγάλη παῖς ἦν, τῶν ἐπιφανῶν, ἐπὶ τὸν ποταμὸν ἧκε λουσομένη. καὶ ἡμεῖς ἅμα τε τοῖς οἰκείοις τῶν γαμουμένων καὶ τοῖς ἄλλοις ὄχλοις πόρρωθεν τὴν ἑορτὴν καὶ τὰ λουτρὰ τῶν παρθένων ᾗ θέμις αὐτοῖς ἐξωτέρω ὁρᾶν, ἐθεώμεθα. ὁ δ᾽

ἐπιβουλή

καλὸς κἀγαθὸς κίμων, ἐγκρύπτεται εἰς θάμνον τοῦ σκαμάνδρου
καὶ στέφει ἑαυτὸν δόνακι. ἦν δὲ αὐτῷ δηλαδὴ τὸ στρατήγημα τοῦ-
το καὶ ὁ λόχος ἐξ ἡμέρας ἐπὶ τὴν καλλιρόην ηὐτρεπής. λουομέ-
νης δὲ καὶ τὸ εἰωθὸς ἔπος, ὡς μετὰ ταῦτα ἐπυθόμην λεγούσης, λα-
βέ μου σκάμανδρε τὴν παρθενίαν, ἐκθορὼν ἐκ τῆς θάμνου ὁ σκάμαν-
δρος κίμων, ἡδέως ἔφη δέχομαι καὶ λαμβάνω καλλιρόη σκάμανδρος
ὤν. καὶ πολλὰ ἀγαθὰ ποιήσω σοι. ταῦτα ἅμα λέγων καὶ ἁρπά-
σας τὴν παῖδα, ἀφανὴς γίνεται. οὐ μὴν καὶ τὸ πρᾶγμα ἀφα-
νὲς γίνεται. ἀλλὰ τέτταρσιν ὕστερον ἡμέραις πομπὴ μὲν ἦν ἀ-
φροδίτης. ἐπόμπευον δὲ αἱ νεωστὶ γεγαμημέναι καὶ ἡμεῖς τὴν πομ-
πὴν ἐθεώμεθα. ἡ δὲ νύμφη ἰδοῦσα τὸν κίμωνα ὡς μηδὲν αὑτῇ κα-
κὸν συνειδότα ἅμα ἐμοὶ θεώμενον, προσεκύνησε. καὶ ἀποβλέψασα
πρὸς τὴν τροφὸν, ὁρᾷς ἔφη τίτθη τὸν σκάμανδρον, ᾧ τὴν παρ-
θενίαν ἔδωκα; ἡ τίτθη ἀκούσασα ἀνέκραγε. καὶ τὸ πρᾶγμα ἔκ-
πυστον γίνεται. ὡς δὲ οἴκαδε εἰσέρχομαι, καταλαμβάνω τὸν κίμω-
να. καὶ οἷα ἦν εἰκὸς ἐργάζομαι, καλῶν ἀνόσιον καὶ δι᾽ αὐτὸν ἀπολω-
λέναι λέγων ἡμᾶς. ὁ δὲ οὐδὲν δι᾽ αὐτὸ ἔδεισεν. οὐδὲ ᾐσχύνθη τοῖς
πεπραγμένοις. ἀλλὰ μύθους ἐπελάβετο λέγειν μακροὺς τοὺς ἁ-
πανταχόθι προχώρων ἄξια εἰργασμένους καταλεγόμενος.
ἐν γὰρ μαγνησίᾳ τοῦ περὶ μαίανδρον τὸν ποταμὸν ἔφη γε-
νέσθαι, ὑπό τινος τῶν ἐκεῖ νέων. ἀφ᾽ οὗ καὶ ἔτι σήμερον ἄτταλον τὸν
ἀθλητὴν ὅπερ ἔφη οὐχ ἑαυτοῦ υἱὸν, ἀλλὰ τοῦ μαιάνδρου εἶναι
πείθεται. καὶ διὰ τοῦτο αὐτὸν οὕτω παρονομίζει σαρκοῦντε καὶ
ῥώμης οὖν ἔχειν. ἐπειδὰν δὲ πολλὰς λαβὼν πληγὰς ἀπειπάμενος
ἐξίῃ, τὸν ποταμὸν αὐτῶν ἐμέσησαι λέγει ὅτι μηνίσας ὁ πατέρα

ἀνηγέρθησεν αὐτήν· οὐκ ἄρα ἀπορεῖ γε ἡ Τρωὰς ὡς ἔοικε προφάσεως. καὶ περὶ Ἐπίδαμνον ὁμοίως πάλιν. Κάτιον δέ ἔφη μουσικὸν ὑπό τινος θείας πεπεῖσθαι, ὅτι Ἡρακλέης εἴη τοῦ ἐκ μοιχοῦ γενομένου αὐτῷ παιδίου. ἐγὼ δὲ οὐκ ἐπαιδοποιησάμην ἔφη ἅπαξ δὲ διελέχθην παιδὶ ὑπερώρῳ τε ἤδη καὶ λουομένην αὐτὴν μετὰ μιᾶς γραὸς ἰδών. καὶ ἄλλως δὲ δοκεῖ μοι ἔφη, ὡς μὴ παρ' ταῦτα πάσι τὰ ἐν Ἰλίῳ τραγικὰ καὶ φοβερὰ ᾖ, παθεῖν δεῖν καί τι ἡμᾶς καὶ οἷον ἐν κωμῳδίαις περὶ τὸν Σκάμανδρον ἐργάσασθαι. Κἀγὼ μὲν ἄλλο οὐδὲν ἢ τοῦ λῆξαι ἡ τοσαύτη ἀναισχυντία προσμένων, λίθινος ὑπὸ ἀπιστίας ἐγεγόνειν. ὁ δὲ ἐῴκει καὶ τὴν Ἀπόλλωνος καὶ Διονύσου μοιχείαν ἐπάξων. ἕως ἰδὼν ἐγὼ ὄχλον προσιόντα τῇ θύρᾳ, τοῦτ' ἐκεῖνο ἔφην κατα πρήσοντες ἡμᾶς πάρεισι. καὶ διὰ ποδοδόμου τινὸς εὐθέως πρὸς Μελανιππίδην φεύγων ᾠχόμην. ἐκεῖθεν δὲ ἑσπέρας ἐπὶ θάλατταν εἰς τὸ ἔμπροσθεν, εἶτα ὡς τὸν Ζεφύρου ἀνέμῳ κατήχθημεν. οὐ μηδεὶς ἂν ἄλλος ἢ φεύγων τὸν Κυμώνειον ἄξιος ὑπομεῖναι πλέων. τοιαῦτα μὲν παθὼν δεῖν σοι γράφειν ὡς καὶ ἐμοῦ σχετλιάσοντι μᾶλλον ᾤμην. σὺ δὲ ἂν ἱκανῶς οἶμαι γελάσειας.

Τῇ βουλῇ καὶ τῷ δήμῳ τῶν Ἀθηναίων.

Ἃ μὲν ἄλλα δεῖν ὑμῖν ἐπιστέλλειν περὶ ὧν ἐβουλόμην πρότερον ᾠόμην. οὐ γὰρ ἀφῃρῆσθαί γε τοῦτο ἀτυχήσαντα τῶν παρ' ὑμῖν ὑπελάμβανον. συμβουλεύειν δὲ καὶ πολυπραγμονεῖν, οὐ μικρᾶς ἐμοί γε ἀκρασίας ἐφαίνετο ἔργον εἶναι δεδωκότι τηλικαύτην δίκην τοῦ πολιτεύεσθαι. πλὴν εἴ τι δέοι, καλοῦ-

τῶν ἡμῶν. ἄλλως δὲ μὴ ῥᾴδια τισὶ τῶν ἐπιτηδείων, οὐχ ὅτι πόλει συμβουλεύειν ᾤομην. ὑμῖν τε ἑώρων ἄλλους καὶ λέγειν καὶ πράττειν δυναμένους τὰ κοινά. κατέλιπον γὰρ οὐκ ὀλίγους. ἐπεὶ δὲ οἱ μὲν τεθνᾶσι, πολλοὶ δὲ ἠτυχήκασιν ὥσπερ ἐγώ, περιέστηκε δὲ ἡ πόλις εἰς ἐρημίαν τῶν πολιτευομένων, ἀκούω δὲ τοὺς μὲν αὐτοὺς παρόντας, τοὺς δὲ καὶ δι' ἐπιστολῶν κινεῖν τι τῶν τῆς πόλεως πραγμάτων, ἕτοιμος ἤδη τὰ δοκοῦντα τῇ πόλει συμφέρειν, ὡς μόνον ἔξεστί μοι δι' ἐπιστολῶν λέγειν. εἰ δὲ καὶ νῦν τὰ μακεδόνων φρονεῖν ἐροῦσί με καὶ παραπρεσβείας γράφονταί τινες ἀπόντα με δίκην, ἢ προδοσίαν τῆς ἑλλάδος, ἕτοιμος ἤδη ἐκ ῥόδου καὶ τῆς ἁπάσης ἑλληνίδος πρόσω φεύγειν ἐὰν βούλωνται. ἐκ πρὸς τὸν ἐν πέρσαις ἀπιέναι καὶ μήδοις βασιλέα. καίτοι τὰ περσῶν τε καὶ μήδων οὐδεὶς ἔφη με ποτὲ φρονεῖν. καὶ πάντων ἥκιστα δημοσθένης. ἀλλ' οὐδ' ἐκεῖσε παύσομαι γράφων, ἃ τῇ πόλει δόξει συμφέρειν, οὐ χαρίζεσθαι μέλλων ὑμῖν ὥσπερ ἄλλοι τινές, ἀλλ' ἐλευθέρως νουθετεῖν. εὖ γὰρ εἰδέναι χρὴ ὅτι τῶν πολιτευομένων οἱ μᾶλλον ἐπιπλήττειν ἢ χαρίζεσθαι θέλοντες ὑμῖν δοκεῖν, οὗτοι καὶ μάλιστα πρὸς ἡδονὴν λέγουσι, τὴν ὑπὸ πρόσχημα τῆς παρρησίας ὁδὸν τοῦ κολακεύειν ἑλόμενοι. καὶ γὰρ αὕτη τίς ἐστι τοῦ χαρίζεσθαι πολίταις καὶ ἡγεμόσι πολὺ κακουργοτέρα προαίρεσις. ἣν βαδίζουσί τινες ἀθήνησι καὶ παρόντος ἐμοῦ παρ' ὑμῖν, οὕτω γάρ με χρὴ λέγειν, καὶ νῦν ὅσον ἐφ' ὑμῖν τεθνεῶτος, αἰτιῶνται μὲν ὑμῶν τὴν ὀλιγωρίαν ὡς οὐκ ἐθελόντων ἄρχειν τῆς ἑλλάδος. προτρέπονται δὲ ἐπὶ τὴν ἡγεμονίαν ὡς δυναμένους. ὑμεῖς δὲ μετὰ τοῦ δοκεῖν ἀργοὶ γεγονέναι, δύνασθαι τῶν ἑλλήνων ἄρχειν, νομίζεσθαι θέλετε

μᾶλ

μᾶλλον ἢ μετὰ τοῦ μένειν ὑμῶν τὰς προθυμίας, ἐν δὲ εἶναι τῆς δυνάμεως. πυνθάνομαι γὰρ τελευτήσαντος ἀλεξάνδρου προτρέπειν τινὰς ὑμᾶς, καινοτέρων ἅπτεσθαι πραγμάτων. ἐγὼ δὲ βουλοίμην ἂν ταῦτα συμβουλεύειν ὑμῖν, ἃ μετὰ ταῦτα συμφέρει. οὐ γὰρ ἠγνόουν μὰ τὸν δία καὶ τοὺς ἄλλους θεοὺς, ὅτι λαμπρόν ἐστι τὸ τοῖς μὲν βαρβάροις ἀεὶ πολεμεῖν, τοὺς δὲ ἕλληνας ἐλευθεροῦν. καὶ τοῦτό γε τοὺς πατέρας ἡμῶν προελομένους. ἀλλ' εἰς μὲν τὸ βούλεσθαι τὰ κράτιστα, τὴν γνώμην ἱκανὴν οὖσαν. εἰς δὲ τὸ δύνασθαι καὶ τύχης ἀγαθῆς ὑμᾶς δεομένους. προσήκει οὖν μεμνῆσθαι καὶ ὑμᾶς ὑπολαμβάνουν ὅτι ἀθηναίοις μὲν ἐπιστέλλομεν. ἀθηναίοις δὲ, οὐκ ἐν οἷς θεμιστοκλῆς ἐπολιτεύσατο. ἀλλ' οἱ τὰς μὲν γνώμας ἐκείνων οὐ χείρους εἰσί. τὰς δὲ πρὸς τοὺς πολέμους ἀφορμὰς οὐχ ὁμοίας ἔχουσιν. ἐπεὶ δότωσαν μὲν ἡμῖν τριακοσίας τριήρεις οἵας τῆς ἑλλάδος ἄξια γράφοντες ἡμῖν. δότωσαν δὲ τρισμύρια τάλαντα ἀργυρίου. καὶ χρυσίου ἀπέφθου τρισχίλια. δότωσαν δὲ ἀνδρῶν ἐν ἥβῃ νέων τοσοῦτον πλῆθος, ἤδη γεγυμνασμένων ἐν ὅπλοις. καὶ μηκέτι συμβουλευέτωσαν. αὐτοὶ γὰρ εἰδήσομεν ἃ χρὴ πράττειν. δυνάμενοι τὰ δόξαντα πράττειν. μὴ δὲ ῥαψῳδείτωσαν μάτην ἐπαινοῦντες ἡμῶν τοὺς προγόνους τε καὶ τὴν χώραν. ὅτι ἐγένοντο ἐν αὐτῇ. καὶ ὑπὲρ αὐτῆς εἰσεγένοντο ἐν αὐτῇ οἱ θεοί. ἐπεὶ πύθεσθε αὐτῶν τί ἐν τῇ περὶ χαιρώνειαν μάχῃ τὴν πόλιν ὤνησε τῶν ἀθηναίων, ὅτι ἄρης πρὸς ποσειδῶνα ὑπὲρ ἁλιρροθίου ἐν ἀρείῳ πάγῳ ἐκρίθη. ἀλλ' εἰ πρὸς ἀντίπατρον ἢ ὅστις ἄλλος μακεδόνων βασιλεὺς ἱκανοί ἐσμεν ἀγωνίσασθαι, τοῦτο χρὴ σκοπεῖν. κἂν ἱκανοὶ ὦμεν, ἀγαθῇ τύχῃ ἀναλαβόντες ὅπλα εὐθέως

ἐλευθεροῦμεν τοὺς ἕλληνας· εἰ δὲ τούτου μὲν ὀλιγωρήσομεν, κακουόμενοι δὲ ἡσθησόμεθα, πῶς οὐ μετὰ τοῦ δοκεῖν ἑαυτοῖς αἴτιοι γεγονέναι τῶν συμφορῶν, ὃ μόνον οὐδὲ παραμυθίαν ἔχει τοῖς κακῶς πράττουσιν ἀτυχήσομεν. ἔστι δὲ καὶ πόλεως καὶ ἀνδρὸς εὖ φρονοῦντος ἔργον δεῖν πρὸς τὰς παρούσας ἀφορμὰς ὑπὲρ τῶν παρόντων βουλεύσασθαι. τὸ δὲ τὴν μὲν τόλμαν εἰς τὰ πράγματα, οἷς ἐπιχειρεῖ, ἐκ τῆς πρόσθεν ἰσχύος ἔχειν. τὴν δὲ ἰσχὺν πάλαι ἀπεστηκέναι μεγάλην, ὅμοιά γε φαίνεται, ὥσπερ ἂν εἴ τις ὀλυμπιάσι νικήσας πολλάκις, ὕστερον γέρων ὢν ἀπογράφοιτο ἔτι καὶ προκαλοῖτο τοὺς ἀντιγράφους ἀναμιμνησκόμενος ἧς ἔσχηκεν, οὐ τῆς παρούσης δυνάμεως. ἄξιον δὲ καὶ ἃ λέγειν αὐτοὺς πυνθάνομαι, λογίσασθαι μεθ' ὑμῶν, ὡς καινὰ καὶ θαυμαστὰ ὄντα εἰς ἃ βούλονται τῇ πράξει συλλαβεῖν δυνάμενα. φάσκειν ὑμᾶς ὁμονοεῖν· ὥσπερ ὑμᾶς οὐκ ἐπισταμένους ὅτι τοῦτο μὲν πᾶσι καὶ πολεμεῖν καὶ εἰρηνεύειν βουλομένοις κράτιστόν ἐστιν ἡμῖν δὲ τοῦτο δεῖ σκοπεῖν. εἰ ὁμονοητέον πολεμοῦσιν. ὁμονοητέον γὰρ καὶ πολεμοῦσι καὶ μὴ παντὸς ἕνεκα ἀλλ' ἐκείνου βουλομένοις πολεμεῖν καὶ ὁμονοεῖν, ὡς ἴσμεν ἅπαντες, αὐτάρκης ἐστὶν ἡ δύναμις. ἕως δ' ἂν μήτε συστρατείας πολεμοῦντες ἔχωμεν, μήτε χρημάτων πόρους δεικνύωσιν, ἀλλὰ τὴν ἀθηναίων ἐγγύην διδῶσι τοῦ πολέμου, μηδὲν διαφέρειν αὐτοὺς αὐτίκα νομίσομεν. ἀλλ' ἐκεῖνον μὲν ὥσπερ ἂν ἄξιος παραπλὴξ τὴν διάνοιαν ὤν, κατελύσατε εἰκότως. τούτοις δὲ ἀπόχρη τὸ μηδὲν παθεῖν κακὸν παραδόξους λόγους μελετῶσι καὶ μηδὲ λείψανον ἐῶσιν ὑμῖν τι τῶν πραγμάτων. ἀλλὰ καὶ τούτων φθονοῦσι πράττειν ἃ δεῖ βουλομένοις. ἕως ἂν τὸ Θηβαίων πολι ταὐτὸ τὸ πολίτευμα, μηλόβοτον ὑμῶν γενέσθαι τὴν χώραν. καὶ κατα

σκαφῆναι

σκαφῆναι τὴν πόλιν ἀναγκάσαντες. οὐ γὰρ εἰ κακῶς ἔχει τὰ πράγματα διὰ τοῦτο μηδὲν ὅπως μὴ χεῖρον ἕξει φροντιστέον.

Τῇ βουλῇ καὶ τῷ δήμῳ τῶν ἀθηναίων.

Ἐγὼ προσῆλθον τῷ πολιτεύεσθαι, γεγονὼς ἔτη τρία καὶ τριάκοντα. μὰ δί' οὐ τριταγωνιστεῖν μαθὼν ὡς δημοσθένης ἔλεγεν. ἀλλὰ καὶ γράφειν ἐλευθερίως, καὶ παιδείας φροντίσας τὰ μέτρια καὶ λόγους οἵους λέγειν ἐν ἀθηναίοις ἔπρεπε· τούτοις οὐκ εἰς συκοφαντίαν γυμνάσας. οὐδέ τινι τῶν πολιτῶν δίκην δικασάμενος, εὑρεθήσομαι λαβὼν ἀργύριον. οὐδ' ὕβρεως ἀποδόμενος. ἀλλ' οὐδὲ ὑβρισθεὶς ὅλως. οὐδ' ἀφορμὴν προπηλακισμοῦ παρασχών. οὐδ' εἰς δίκην τινὰ τῶν πολιτῶν καταστήσας, ἔξω τιμάρχου μόνου. καὶ οὐκ ἀλαζονεύομαι πρὸς ὑμᾶς ὡς πολλὰ πάνυ λαβεῖν ἀξιούμενος χρήματα μὴ λαβών. ἀλλ' ὅσ' ἦν προσῆκον δίκαιον κατὰ τοὺς νόμους λαβών. καὶ μετὰ ταῦτα πάλιν Κτησιφῶντα πολλὰ μὲν ὑπ' αὐτοῦ παθών, πολλὰ δὲ ὑπὸ δημοσθένους, παρανόμων ἐγραψάμην, δικαιοτάτην ὦ θεοὶ γραφήν. καὶ οὐδὲν θαυμαστὸν εἰ καὶ τῶν νόμων τῶν ὑμετέρων καὶ τῶν ἐμῶν λόγων ἡ δημοσθένους δεινότης κρείττων ἐγένετο. ἐφάνη δ' ἴσως ἐφ' οἷς κατηγορήθην πρότερον ὑπὸ δημοσθένους πολὺ μείζοσι δῆλον ὅτι τούτων οὖσι δι' ἃ νῦν ἐξέπεσον, οὐ μικρὸν εἰς ὑμᾶς δεῖγμα τοῦτο τοῦ καλῶς ἐμὲ πολιτεύεσθαι. ὅτι οὐδὲ δημοσθένους κατηγοροῦντος ἑάλων. μετὰ δὲ ταύτην τὴν συμφορὰν καὶ τέλεον καταφανὴς πᾶσι τοῖς ἕλλησιν οὐχ ὅπως μόνοις ὑμῖν ἐμαυτὸν οἴομαι γεγονέναι. τίς γὰρ οὐκ οἶδεν ὅτι ἀποθανόντες οἱ ἄνθρωποι, οὕτω καὶ φεύγοντες ἐκ τῶν πατρίδων, τότε δὴ καὶ μάλιστα τίνες ὁποῖοι τοὺς τρόπους ἐγένοντο διαδείκνυνται. παρ' ἃ συνέκρυπτον αὐτοὶ πρότερον.

ἐκ μέσου γενομένων ἀναφαίνεται καθαρῶς. αἰτιᾶται γὰρ πολὺ μᾶλλον τῶν ἐχθρῶν ἕκαστος αὐτοὺς οὐδὲν ἀντειπεῖν δυναμένους. οἱ δὲ δὴ φυγόντες ἐπὶ τοιαύταις αἰτίαις ὡς τὰ τῶν πολεμίων ἀεὶ προαιρούμενοι, παντελῶς διακινδυνεύουσι τοῖς τρόποις, καὶ τὰς ἐν τῷ πολιτεύεσθαι γενομένας αὐτοῖς γνώμας καταφανεῖς. καὶ γὰρ ὅπως φέρουσι τὰς συμφοράς, καὶ ὡς διάκεινται πρὸς τὰς ἑαυτῶν πατρίδας, ἐξετάζονται σαφῶς. ἆρ' οὖν ὡς καὶ Φιλίππῳ προδοὺς τὴν ἐμαυτοῦ πατρίδα, ἢ παραπρεσβεύσας τοιαῦτα κατὰ τῆς πόλεως ὡς δὴ θεραπεύσας Μακεδόνας, ἐπειδὴ τάχιστα φεύγων παρ' ὑμῶν ᾠχόμην, πρὸς Ἀλέξανδρον ἀπηλλάγην, χάριν τε ὧν παρεσχόμην αὐτῷ κομιούμενος, καὶ προμηθείας δηλονότι τευξόμενος παρ' αὐτοῦ; καὶ οὐκ ἔσθ' ὅπως οὐχ ἑώρων τὰ μὲν ἐν Βοιωτίᾳ πανδοκεῖα δημάδην ἔχοντα, καὶ χωρία ζευγῶν εἴκοσιν ἀροῦντα. καὶ χρυσᾶς ἔχοντα φιάλας. ἡγήμονα δὲ καὶ Καλλιμέδοντα, τὸν μὲν, ἐν Πέλλῃ. τὸν δὲ, ἐν Βεῤῥοίᾳ. καὶ δωρεὰς ἅμα εἰληφότας. καὶ γυναῖκας εὐπρεπεστάτας γεγαμηκότας. καὶ μὴν οὐδὲ πρὸς Θηβαίους οὐδ' εἰς Θετταλίαν ᾠχόμην παρ' ὑμῶν. οὐδὲ πρὸς ἄλλους τινάς, παρ' οἷς ἢ λοιδορεῖν ἔδει με τὴν πατρίδα τὴν ἐμὴν ἢ λοιδορουμένην αὐτὴν ἀκούειν. ἀλλ' εἰς Ῥόδον ἀφικόμενος οὔτε μὰ τὸν Δία δυσμενῶν ὑμῖν, οὔτ' ἄλλως φιλαπεχθημόνων ἀνθρώπων πόλιν. τὸ μὲν γὰρ ἄγχιστα τῆς ἑαυτῶν πατρίδος ἑστάναι, κατειρωνευομένων ἔμοιγε τῆς συμφορᾶς εἶναι μᾶλλον ἢ στεργόντων ἐδόκει τὴν πόλιν. ὡς πορρωτάτω γὰρ μᾶλλον αὐτῆς ἐχρῆν ἀπιέναι. καὶ μηδὲν ἐν τοῖς ὀφθαλμοῖς ὑπόμνημα ἔχειν. ὃ τὴν γνώμην ἀμύξει. καὶ γὰρ οὐδὲν ταῦθα μείνας ἐν Ῥόδῳ φανείην ἄν. ἀλλὰ τῆς στερρᾶς ἑλόμενός τι μικρὸν φρούριον ἄμμον, καὶ ταῦτα πριάμενος χωρία τοσούτων ταλάντων δυοῖν, ὅσων εἰκὸς

ἦν τὸν

ὑπὸ τὸν Φιλίππου μὲν πρότερον, εἶτ' Ἀλεξάνδρου μισθωτὸν ὕστερον γενόμενον καὶ Φωκέας προδόντα καὶ τὴν τῶν ἑλλήνων ἐλευθερίαν μακεδόσι, κάθημαι μεθ' ἑπτὰ θεραπόντων ἐνταῦθα καὶ δυοῖν μόνοιν συνοφείμων καὶ τῆς μητρὸς ἢ τρίτον ἔχουσα καὶ ἑβδομηκοστὸν ἔτος, ἔπλευσε σὺν ἐμοὶ μεθέξουσα τῆς δι' ὑμᾶς μοι συμφορᾶς γενομένης. καὶ μετὰ γυναικός, ἣ συνεξέπεσέ μοι κωλύοντος αὐτὴν τοῦ πατρὸς καὶ μένειν ἴσως ἀναγκαζόντων τῶν νόμων τὸν τρόπον τῆς πόλεως μᾶλλον ἢ τοὺς νόμους ἐπισταμένη. καὶ μετὰ τριῶν παίδων οὐδέπω καὶ νῦν τῶν ἑαυτῶν συμφορᾶς ἐπαισθομένων. οὐδὲ ὁποίαν αὐτοῖς ὁ θεὸς ἔδωκε γενομένοις πατρίδα τὴν ἀθηναίων πόλιν, ὁποίαν δὲ τῶν θεῶν γενομένων ἀφῄρηνται πόλιν. καὶ ἕτεροι μὲν ὡς ἔοικε τοὺς ἑαυτῶν παῖδας ἢ τοὺς ἐν βοιωτίᾳ γεννηθέντας ἢ ἐν αἰτωλίᾳ, πρὸς ὑμᾶς πέμπουσι, τῆς αὐτόθι παιδείας μεθέξοντας. οἷς δὲ ταῦτα παρὰ τῆς φύσεως ὑπῆρξεν, οὐ δημοτικοῦ πατρὸς οὖσιν, οὐδὲ ταὐτὰ τοῖς ἀρχαίοις ἑαλωκότος, φεύγουσιν ἔτι νήπιοι. καὶ τρέφονται πένητες, ἐν ἐρημίᾳ τε καὶ φυγῇ πατρῴᾳ. καὶ περὶ μὲν τῶν λυκούργου παίδων δημοχάρης ὑμῖν ἐπιστέλλει. καὶ δεῖται καλῶς ποιῶν χαρίζεσθαι τὸ πατρῷον αὐτοῖς ὄφλημα. καὶ ὑμεῖς οὐδὲν ἀλλ' ἢ ἀθηναίων ἔργον, ἐλεήσαντες αὐτοὺς καὶ χαρισάμενοι ἐποιήσατε. καὶ γὰρ ὀργίζεσθαι ῥᾳδίως ὑμῖν ἔθος ἐστὶ καὶ χαρίσασθαι πάλιν. ἐγὼ δὲ ὑπὲρ τῶν ἐμαυτοῦ παίδων οὐκ ἂν ὑμᾶς πεισαίμην, δεόμενος ὥς μοι μὴ μόνον ἐν ὀρφανίᾳ τραφῶσιν, ἀλλ' ὀρφανοὶ ἅμα καὶ φυγάδες ὦσιν οὔτε ἀδικήσαντες παῖδες ὄντες, ἀλλ' οὐδὲ ἄλλως ἑαλωκότες. τὰ μέντοι τῶν ἑαλωκότων, πάντα πεπονθότες. εἶτα τελευτήσαντες ἀναμνήσθητέ μου καὶ χαρίσασθε τὰς δεήσεις νῦν προσέχοντες ἡμῖν. ἀλλὰ καὶ πρᾶξαι, ἄνδρες ἀθηναῖοι. καὶ πείσθητε τὰ συνήθη ὑμῖν

αὐτοῖς· καὶ μέτρια ποιοῦντες. οὐ γὰρ ἂν δὴ τρόπων ἀποσταίητε. καὶ καταλύσαιτε τὴν τῆς πόλεως δόξαν ἣν ἐπὶ χρηστότητι μείζω καὶ φιλανθρωπίᾳ διὰ παντὸς εἶχεν. ἢ ταῖς ἄλλαις ἁπάσαις ἦν πόλεσιν. οὐδ' ἂν μελάνωπος ἴσχυε πλεῖον, κωλύων ὑμᾶς μιμεῖσθαι τὴν ἑαυτῶν χρηστότητα καὶ φιλανθρωπίαν, ἢ παρακαλῶν. ἀγοῦν αἰσχύνης οὐδαμῶς μὰ τοὺς θεούς. οὐ γὰρ αὐτάρκης, οὐδ' εὐπειθὴς πείθειν ἔγωγε τὴν πατρίδα τὴν ἐμήν. καὶ μάλιστα νῦν ἐμαυτοῦ χάριν πείθειν δοκῶν. ἀλλ' ὁ τῆς πόλεως τρόπος καὶ τὸ πάλαι ὑμῶν ὄνομα. καὶ τὸ τῶν προγόνων ἦθος ὧν ἀναγκαιότερον οὐδέπουθεν ἢ μελανώπῳ καθ' ἡμῶν δεομένῳ προσέχειν.

Τῶν αἰσχίνου τοῦ ῥήτορος ἐπιστολῶν τέλος.

ὑπόθεσις τῆς πρώτης ἐπιστολῆς.

ΙΣΟΚΡΑΤΟΥΣ ΕΠΙΣΤΟΛΑΙ

ΦΙΛΙΠΠΩ.

Εἰ μὲν νεώτερος ἦν, οὐκ ἂν ἐπιστολὴν ἔπεμπον, ἀλλ' αὐτὸς ἄν σοι πλεύσας ἐνταῦθα διελέχθην. ἐπειδὴ δὲ οὐ κατὰ τοὺς αὐτοὺς χρόνους, ὅ, τε τῆς ἡλικίας τῆς ἐμῆς καιρὸς καὶ ὁ τῶν πραγμάτων συμβέβηκεν, ἀλλ' ἐγὼ μὲν προαπείρηκα, τὰ δὲ, πράττεσθαι νῦν ἀκμὴν εἴληφεν, ὡς οἷόν τέ ἐστιν ἐκ τῶν παρόντων, οὕτω σοι πειράσομαι δηλῶσαι περὶ αὐτῶν. οἶδα μὲν οὖν ὅτι τοῖς συμβουλεύειν ἐπιχειροῦσι, πολὺ διαφέρει μὴ διὰ γραμμάτων ποιεῖσθαι τὴν συνουσίαν, ἀλλ' αὐτοὺς πλησιάσαντας. οὐ μόνον ὅτι περὶ τῶν αὐτῶν πραγμάτων ῥᾷον ἄν τις παρὼν πρὸς παρόντας φράσειεν, ἢ δι' ἐπιστολῆς δηλώσειεν, οὐχ ὅτι πάντες τοῖς λεγομένοις μᾶλλον ἢ τοῖς γεγραμμένοις πιστεύουσι, καὶ τῶν μὲν ὡς εἰσηγημάτων, τῶν δ' ὡς ποιημάτων ποιοῦνται τὴν ἀκρόασιν, ἀλλὰ πρὸς τούτοις ἐν μὲν ταῖς συνουσίαις, ἢν ἀγνοηθῇ τι τῶν λεγομένων ἢ μὴ πιστευθῇ, παρὼν ὁ τὸν λόγον διεξιὼν, ἀμφοτέροις τούτοις ἐπήμυνεν. ἐν δὲ τοῖς ἐπιστελλομένοις ἄν τι συμβῇ τοιοῦτον, οὐκ ἔστιν ὁ διορθώσων. ἀπόντος γὰρ τοῦ γράψαντος, ἔρημα τοῦ βοηθήσοντός ἐστιν. οὐ μὴν, ἀλλ' ἐπειδὴ σὺ μέλλεις αὐτῶν ἔσεσθαι κριτὴς, πολλὰς ἐλπίδας ἔχω φανήσεσθαι λέγοντας ἡμᾶς τι τῶν δεόντων. Ἡγοῦμαι δὲ ἀπάσας ἀφελόντα σε τὰς προειρημένας δυσχερείας, αὐταῖς ταῖς πράξεσι προσέχειν τὸν νοῦν. καίτοι τινὲς ἤδη με τῶν σοὶ πλησιασάντων, ἐκφοβεῖν ἐπεχείρησαν λέγοντες, ὡς δὴ τοὺς μὲν κολακεύοντας τιμᾷς, τῶν δὲ συμβουλευόντων καταφρονεῖς. ἐγὼ δ' εἰ μὲν ἀπεδεχόμην τοὺς λόγους τοὺς ἐκείνων, πολλὴν ἂν ἡσυχίαν εἶχον. νῦν δ' οὐδεὶς ἄν με πείσειεν ὡς οἷόν τ' ἐστὶ το-

ζ

οὐ τοῦτον καὶ ταῖς πράξεσι καὶ τῇ γνώμῃ διενεγκεῖν, ἐὰν μή τις τῶν μὲν μαθητὴς, τῶν δ' ἀκροατὴς, τῶν δ' εὑρετὴς γένηται. καὶ πανταχόθεν προσπορίζηται καὶ συλλέγηται, δι' ὧν οἷόν τ' ἐστὶν ἀσκῆσαι τὴν αὑτοῦ διάνοιαν. ἐπήρθην μὲν οὖν ἐπιστεῖλαί σοι διὰ ταῦτα. Λέξειν δὲ μέλλων περὶ πραγμάτων καὶ μεγάλων, καὶ περὶ ὧν οὐδενὶ τῶν ὄντων ἀκοῦσαι μᾶλλον ἢ σοὶ προσήκει, νομίζω δεῖν με προθύμως οὕτω σε παρακαλεῖν, ἵνα γένῃ συγγράμματος ἀκροατής. οὐ γὰρ οὔτ' ἐγὼ τυγχάνω φιλοτίμως διακείμενος, οὔτε σὺ λανθάνεις ἡμᾶς πλήρης ὢν τῶν τοιούτων. πρὸς δὲ τούτοις κἀκεῖνο πᾶσι φανερὸν, ὅτι τοῖς μὲν ἐπιδείξεως δεομένοις αἱ πανηγύρεις ἁρμόττουσιν. ἐκεῖσε γὰρ ἄν τις ἐν πλείστοις τὴν αὑτοῦ δύναμιν διασπείρειε. τοῖς δὲ διαπράξασθαί τι βουλομένοις, πρὸς τοῦτον διαλεκτέον, ὅστις τάχιστα μέλλει τὰς πράξεις ἐπιτελεῖν, τὰς ὑπὸ τοῦ λόγου δηλωθείσας. εἰ μὲν οὖν μιᾷ τινι τῶν πόλεων εἰσηγούμην, πρὸς τοὺς ἐκείνης προεστῶτας τοὺς λόγους ἂν ἐποιούμην. ἐπειδὴ δ' ὑπὲρ τῆς τῶν ἑλλήνων σωτηρίας παρεσκεύασμαι συμβουλεύειν, πρὸς τίν' ἂν δικαιότερον διαλεχθείην, ἢ πρὸς τὸν προέχοντα τοῦ γένους, καὶ μεγίστην ἔχοντα δύναμιν; καὶ μὴν οὐδ' ἀκαίρως φανησόμεθα μεμνημένοι περὶ τούτων. ὅτε μὲν γὰρ λακεδαιμόνιοι τὴν ἀρχὴν εἶχον, οὐ ῥᾴδιον ἦν ἐπιμεληθῆναί σοι τῶν περὶ τὸν τόπον τὸν ἡμέτερον. οὐδὲ τούτοις ἐναντία πράττειν. πράττουσιν, ὥστ' ἀγαπᾶν ἢν τὴν χώραν τὴν αὑτῶν ἔχωσιν. ἡ δ' ἡμετέρα πόλις, ἡδέως ἂν αὐτήν σοι παράσχοι συναγωνιζομένην ἥντινα πράττῃς ὑπὲρ τῆς ἑλλάδος ἀγαθόν. πῶς οὖν ἂν παραπέσοι καλλίων καιρὸς τοῦ νῦν παρόντος; μὴ θαυμάζῃς εἰ μήτε δημηγορῶν μήτε στρατηγῶν, μήτ' ἄλλως δυνάστης ὤν, οὕτως ἐμβριθὲς αἱροῦμαι πρᾶγμα καὶ δυοῖν ἐπιχειρῶ τοῖν μεγίστοιν, ὑπέρ τε τῆς

ἑλλάδος

ἄλλα δεῖ λέγειν καὶ σοὶ συμβουλεύειν· ἐγὼ γάρ τοι μὲν προαιρεῖσθαι τὰ τῶν κοινῶν
εὐθὺς ἐξέστην· διὰ δὲ τῆς προφάσεως, πολὺ ἂν ἕτερον λέγειν. διὰ δὲ τῆς
φύσεως τῆς τῶν μὲν μικρῶν καταφρονούσης, τῶν δὲ μεγάλων
ἐφιέσθαι πειρωμένης, οὐκ ἂν φανείην ἄπειρος γεγενημένος. ὡς
τοῦ δὲν ἄγαν ἔτι τῶν συμφερόντων ἰδεῖν ἂν μᾶλλον δυνηθείην. τῶν ἐ-
κεῖ μὲν πολιτευομένων μεγάλην ἤδη δόξαν ἐσχηκότων· δηλώσομεν δ' οὐκ
εἰς ἀναβολάς, εἴ τινος ἄξιοι τυγχάνομεν ὄντες, ἀλλ' ἐκ τῶν ῥηθήσεσθαι
μελλόντων.

Ἰσοκράτης τοῖς Ἰάσονος παισὶ χαίρειν.

Ἀπήγγελλέ τίς μοι τῶν πρεσβευσάντων ὡς ὑμᾶς, ὅτι κα-
α λέσαντες αὐτὸν ἄνευ τῶν ἄλλων, ἠρωτήσατε εἰ πεισθεί-
ην ἀποδημῆσαί τε καὶ διατρίψαι παρ' ὑμῖν. ἐγὼ δὲ ἕνε-
κα μὲν τῆς Ἰάσονος καὶ πολυάκους ξενίας, ἡδέως ἂν ἀφικοίμην ὡς
ὑμᾶς. οἶμαι γὰρ ἂν τὴν ὁμιλίαν τὴν γενομένην ἅπασιν ἡμῖν συνενεγ-
κεῖν. ἀλλὰ γὰρ ἐμποδίζει με πολλά. μάλιστα μὲν τὸ μὴ δύνασθαι πλα-
νᾶσθαι. ἔτι τὸ μὴ πρέπειν ἐπιξενοῦσθαι τοῖς τηλικούτοις. ἔπειτα δ' ὅ-
τι πάντες οἱ πυθόμενοι τὴν ἀποδημίαν, δικαίως ἄν μου καταφρο-
νήσειαν. εἰ προῃρημένος τὸν ἄλλον χρόνον ἡσυχίαν ἄγειν, ἐπὶ γήρως
ἀποδημεῖν ἐπιχειροίην, ὅτε εἰκὸς εἰ καὶ πρότερον ἀλλοσέ ποι διέτριβον, νῦν
οἴκαδε σπεύδειν, οὕτως ὑπογύου μοι τῆς τελευτῆς οὔσης. πρὸς δὲ τού-
τοις φοβοῦμαι καὶ τὴν πόλιν· χρὴ γὰρ τἀληθῆ λέγειν. ὁρῶ γὰρ
τὰς συμμαχίας τὰς πρὸς αὐτὴν γινομένας, ταχέως διαλυο-
μένας. εἰ δή τι συμβαίη καὶ πρὸς ὑμᾶς τοιοῦτο, πῶς ἂν ἔτι τὰς αἰ-
τίας ἔτι τοὺς κινδύνους διαφυγεῖν δυνηθείην; ὃ χαλεπόν ἐστιν. ἀλλ' οὐ-
κ αἰσχυνθείην ἂν εἴτε διὰ τὴν πόλιν δόξαιμι τισὶν ἀμελεῖν ὑμῶν· εἴ-
τε δι' ὑμᾶς τῆς πόλεως ὀλιγωρεῖν. μὴ κοινοῦ δὲ τοῦ συμφέροντος ὄντος ἔτι

οἶδ᾽ ὅπως ἀμφοτέροις ἀρέσκειν δυνηθείην. αἱ μὲν οὖν αἰτίαι δι᾽ ἃς
οὐκ ἔξεστί μοι ποιεῖν ἃ βούλομαι, τοιαῦται συμβεβήκασιν. οὐ μὴν
περί γε τῶν ἐμαυτοῦ μόνον ἐπιστείλας, οἴομαι δεῖν ἀμελῆσαι τῶν ὑ-
μετέρων. ἀλλ᾽ ἅπερ ἂν παραγγενόμενος πρὸς ὑμᾶς διελέχθην, πει-
ράσομαι καὶ νῦν περὶ τῶν αὐτῶν τούτων ὅπως ἂν δύνωμαι διεξελ-
θεῖν. μηδὲν δ᾽ ὑπολάβητε τοιοῦτον, ὡς ἄρ᾽ ἐγὼ ταύτην ἔγραψα τὴν
ἐπιστολὴν, οὐχ ἕνεκα τῆς ὑμετέρας ξενίας, ἀλλ᾽ ἐπίδειξιν ποι-
ήσασθαι βουλόμενος. οὐ γὰρ εἰς τοῦθ᾽ ἥκω μανίας, ὥστ᾽ οὐ συνοεῖν ὅτι κρεῖτ-
τω μὲν γράψαι τῶν πρότερον διαδεδειγμένων, οὐδ᾽ ἂν δυναίμην
τοσοῦτον τῆς ἀκμῆς ὑστερῶν. χείρω δ᾽ ἐξενεγκὼν, πολὺ φαυλοτέραν
ἂν λάβοιμι δόξαν τῆς νῦν ἡμῖν ὑπαρχούσης. ἔπειτ᾽ εἴπερ ἐπιδείξει
προσεῖχον τὸν νοῦν, ἀλλὰ μὴ πρὸς ὑμᾶς ἐσπούδαζον, οὐκ ἂν ταύτην
ἐξ ἁπασῶν προειλόμην τὴν ὑπόθεσιν. περὶ ἧς οὐ χαλεπόν ἐστιν ἐπι-
εικῶς εἰπεῖν. ἀλλὰ πολὺ καλλίους ἑτέρας ἂν εὗρον καὶ μᾶλλον
λόγον ἐχούσας. ἀλλὰ γὰρ οὔτε πρότερον οὐδεπώποτε ἐφιλοτιμή-
θην ἐπὶ τούτοις, ἀλλ᾽ ἐφ᾽ ἑτέροις μᾶλλον, ἃ τοὺς πολλοὺς διαλέλη-
θεν, οὔτε νῦν ταύτην ἔχων τὴν διάνοιαν ἐπραγματευσάμην. ἀλλ᾽ ὑ-
μᾶς μὲν ὁρῶν ἐν πολλοῖς καὶ μεγάλοις πράγμασιν ὄντας, αὐτὸς δὲ
ἀποφήνασθαι βουλόμενος, ἣν ἔχω γνώμην περὶ αὐτῶν, ἡγοῦμαι
συμβουλεύειν μὲν ἀκμὴν ἔχειν. αἱ γὰρ ἐμπειρίαι παραγίνονται τοῖς
τηλικούτοις, καὶ δοκοῦσι μᾶλλον τῶν ἄλλων δύνασθαι καθορᾶν τὸ
βέλτιστον. εἰπεῖν δὲ περὶ τῶν προτιθέντων ἐπιχαρίτως καὶ μουσικῶς
καὶ διαπεπονημένως, οὐκέτι τῆς ἡμετέρας ἡλικίας ἔργον ἐστίν. ἀλ-
λ᾽ ἀγαπῴην ἂν εἰ μὴ παντάπασιν ἐκλελυμένως διαλεχθείην πε-
ρὶ αὐτῶν. μὴ θαυμάζητε δὲ ἄν τι φαίνωμαι λέγων, ὧν πρότερον ἀ-
κηκόατε. τῶν μὲν γὰρ ἴσως ἄκων ἂν τύχοιμι. τὸ δὲ καὶ προειδὼς εἰ-

πρέπον ἐστὶ, λέγειν προσλάβοιμι. καὶ γὰρ ἂν ἄτοπος εἴην εἰ τοὺς ἄλλους ὁρῶν τοῖς ἐμοῖς χρωμένους, αὐτὸς μόνος ἀπεχοίμην τῶν ὑπ' ἐμοῦ πρότερον εἰρημένων. καὶ ταῦτα, δ' ἕνεκα ταῦτα προεῖπον, ὅτι τὸ πρῶτον τῶν φαινομένων ἐν τοῖς θρυλλουμένοις ἐστίν. εἴθισμαι γὰρ λέγειν πρὸς τοὺς περὶ τὴν φιλοσοφίαν τὴν ἡμετέραν διατρίβοντας, ὅτι τοῦτο πρῶτον δεῖ σκέψασθαι, τί τῷ λόγῳ καὶ τοῖς μέρεσι τοῦ λόγου διαπρακτέον ἐστίν. ἐπειδὰν δὲ τοῦθ' εὕρωμεν καὶ διακριβωσώμεθα, ζητητέον εἶναί φημι τὰς ἰδέας δι' ὧν ταῦτα ἐξεργασθήσεται καὶ λήψεται τέλος ὅπερ ὑπεθέμεθα. καὶ ταῦτα φράζομεν περὶ τῶν λόγων. ἔστι δὲ τοῦτο τὸ στοιχεῖον καὶ περὶ τῶν ἄλλων ἁπάντων καὶ περὶ τῶν ὑμετέρων πραγμάτων. οὐδὲν οἷόν τ' ἐστὶ πραχθῆναι νοῦν ἐχόντως, ἐὰν μὴ τοῦτο πρῶτον μετὰ πολλῆς προνοίας λογίσησθε καὶ βουλεύσησθε· πῶς χρὴ τὸν ἐπίλοιπον χρόνον ὑμῶν αὐτῶν προστῆναι. καὶ τίνα βίον προελέσθαι καὶ ποίας δόξης ὀρεχθῆναι. καὶ ποτέρας τῶν τιμῶν ἀγαπῆσαι. πότερον τὰς παρ' ἑκόντων γινομένας ἢ τὰς παρ' ἀκόντων τῶν πολιτῶν. ταῦτα δὲ διορισαμένους τὰς πράξεις τὰς καθ' ἑκάστην τὴν ἡμέραν σκεπτέον, ὅπως συντείνωσι πρὸς τὰς ὑποθέσεις τὰς ἐξ ἀρχῆς γινομένας. καὶ τοῦτον μὲν τὸν τρόπον ζητοῦντες καὶ φιλοσοφοῦντες, ὥσπερ σκοποῦ κειμένου στοχάσεσθε τῆς ψυχῆς. καὶ μᾶλλον ἐπιτεύξεσθε τοῦ συμφέροντος. ἐὰν δὲ μηδεμίαν ποιήσησθε τοιαύτην ὑπόθεσιν, ἀλλὰ τὸ προσπίπτον ἐπιχειρῆτε πράττειν, ἀναγκαῖόν ἐστιν ὑμᾶς τὰς διανοίας πλανᾶσθαι καὶ πολλῶν διαμαρτάνειν πραγμάτων. ἴσως οὖν αὐτός τις τῶν εἰκῇ ζώντων εἰρημένων, τοὺς μὲν τοιούτους λογισμοὺς διασύρειν ἐπιχειρήσειεν. ἀξιοίη δ' ἂν νουθετεῖν με συμβουλεύειν περὶ τῶν προειρημένων. ἔστιν οὖν οὐκ ὀκνητέον ἀποφήνασθαι περὶ αὐτῶν ἃ τυγχάνω γινώσκων. ἐμοὶ

γὰρ ἀσφαλέστερος βίος εἶναι δοκεῖ καὶ βελτίων ὁ τῶν ἰδιωτευόντων ἢ τῶν τυραννούντων. καὶ τὰς τιμὰς καὶ περὶ τούτων λέγειν ἐπιχειρήσω. καίτοι με οὐ λέληθεν ὅτι πολλοὺς ἕξω τοὺς ἐναντιουμένους. καὶ μάλιστα τοὺς περὶ ὑμᾶς ὄντας. οἶμαι γὰρ οὐχ ἥκιστα τούτους περὶ τὴν τυραννίδα προτρέψειν ὑμᾶς. σκοποῦσι γὰρ οὐ πάντα χρὴ τὴν φύσιν τοῦ πράγματος, ἀλλὰ παραλογίζονται σφᾶς αὐτούς. τὰς μὲν γὰρ ἐξουσίας καὶ τὰ κέρδη καὶ τὰς ἡδονὰς ὁρῶσι, καὶ τούτων ἀπολαύσεσθαι προσδοκῶσι. τὰς δὲ ταραχὰς καὶ τοὺς φόβους καὶ τὰς συμφορὰς τὰς τοῖς ἄρχουσι συμπιπτούσας, καὶ τοῖς φίλοις αὐτῶν οὐ θεωροῦσιν. ἀλλὰ πεπόνθασιν ὅπερ οἱ τοῖς αἰσχίστοις καὶ παρανομωτάτοις τῶν ἔργων ἐπιχειροῦντες. καὶ γὰρ ἐκεῖνοι τὰς μὲν πονηρίας τὰς τῶν πραγμάτων οὐκ ἀγνοοῦσιν. ἐλπίζουσι δὲ ὅσον ἀγαθόν ἐστιν ἐν αὐτοῖς, τοῦτο μὲν ἐκλήψεσθαι, τὰ δὲ δεινὰ πάντα τὰ προσόντα τῷ πράγματι καὶ τὰ κακὰ, διαφεύξεσθαι καὶ διοικήσειν τὰ περὶ σφᾶς κινδύνων ὄντας ὑπὲρ ῥᾳ. τῶν ὠφελειῶν ἐστί. τοὺς μὲν οὖν ταύτην ἔχοντας τὴν διάνοιαν, ζηλῶ τῆς ῥᾳθυμίας. αὐτὸς δὲ αἰσχυνθείην ἄν, εἰ συμβουλεύων ἑτέροις, ἐκείνων ἀμελήσας, τὸ ἐμαυτῷ συμφέρον ποιοίην. καὶ παντάπασιν ἔξω θεὶς ἐμαυτὸν καὶ τῶν ὠφελειῶν καὶ τῶν ἄλλων ἁπάντων, τὰ βέλτιστα παραινοίην. ὡς οὖν ἐμοῦ ταύτην ἔχοντος τὴν γνώμην, οὕτως ἐμοὶ προσέχετε τὸν νοῦν.

Ἰσοκράτης. Φιλίππῳ χαίρειν.

Οἶ Δα μὲν ὅτι πάντες εἰώθασι πλείω χάριν ἔχειν τοῖς ἐπαινοῦσιν, ἢ τοῖς συμβουλεύουσιν. ἄλλως τε κἂν εἰ μὴ κελευσθείς τις ἐπιχειρῇ τοῦτο ποιεῖν. ἐγὼ δὲ εἰ μὲν μὴ πρότερον ἐτύγχανόν σοι προσηνεκῶς μετὰ πολλῆς εὐνοίας ἐξ ὧν ἐδόκει μοι μάλιστα τὰ πρέποντα σαυτῷ πράττειν,

πράττειν, ἴσως καὶ νῦν ἐπεχείρουν ἀποφαίνεσθαι περὶ τῶν σοὶ συμβεβηκότων. ἐπειδὴ δὲ προειλόμην φροντίζειν τῶν σῶν πραγμάτων καὶ τῆς πόλεως ἕνεκα τῆς ἐμαυτοῦ καὶ τῶν ἄλλων ἑλλήνων, αἰσχυνθείην ἂν εἰ περὶ μὲν τῶν ἧττον ἀναγκαίων φανοίμην σοι συμβεβουλευκώς, ὑπὲρ δὲ τῶν μᾶλλον κατεπειγόντων, μηδένα λόγον ποιοίμην. καὶ ταῦτ' εἰδὼς ἐκεῖνα μὲν ὑπὲρ δόξης ὄντα, ταῦτα δ' ὑπὲρ τῆς σωτηρίας· ἧς ὀλιγωρεῖν ἅπασιν ἔδοξας τοῖς ἀκούσασι τὰς περὶ σοῦ ῥηθείσας βλασφημίας. οὐδεὶς γάρ ἐστιν ὅστις οὐ κατέγνω προπετέστερόν σε κινδυνεύειν ἢ βασιλικώτερον. καὶ μᾶλλόν σοι μέλειν τῶν περὶ τὴν ἀνδρείαν ἐπαίνων, ἢ τῶν ὅλων πραγμάτων. ἔστι δ' ὁμοίως αἰσχρὸν περιστάντων τε τῶν πολεμίων μὴ διαφέροντα γίγνεσθαι τῶν ἄλλων, μηδεμιᾶς τε συμπεσούσης ἀνάγκης, αὑτὸν ἐμβάλλειν εἰς τοιούτους ἀγῶνας, ἐν οἷς κατορθώσας μὲν οὐδὲν ἂν ἦσθα μέγα διαπεπραγμένος. τελευτήσας δὲ τὸν βίον, ἅπασαν τὴν ὑπάρχουσαν εὐδαιμονίαν συνανεῖλες. χρὴ δὲ μὴ καλὰς ἁπάσας ὑπολαμβάνειν τὰς ἐν τοῖς πολέμοις τελευτάς. ἀλλὰ τὰς μὲν ὑπὲρ τῆς πατρίδος καὶ τῶν γονέων καὶ τῶν παίδων, ἐπαίνων ἀξίας. τὰς δὲ ταῦτά τε πάντα βλαπτούσας καὶ τὰς πράξεις τὰς πρότερον κατωρθωμένας, καταρρυπαινούσας, αἰσχρὰς νομίζειν καὶ φεύγειν ὡς αἰτίους ἀδοξίας γιγνομένας. ἡγοῦμαι δέ σοι συμφέρειν μιμεῖσθαι τὰς πόλεις ὃν τρόπον διοικοῦσι τὰ περὶ τοὺς πολέμους. ἅπασαι γὰρ ὅταν στρατόπεδον ἐκπέμπωσιν, εἰώθασι τὸ κοινὸν καὶ τὸ συμβουλευόμενον ὑπὲρ τῶν ἐνεστώτων εἰς ἀσφάλειαν καθιστάναι. διὸ δεῖ κἂν συμβαίνῃ μηδὲ μιᾶς ἀτυχίας συμπεσούσης, ἀνῃρῆσθαι καὶ τὴν δύναμιν αὐτῶν. ἀλλὰ πολλὰς ὑποφέρειν δύνασθαι συμφοράς. καὶ πάλιν ἑαυτὰς ἐκ τούτων ἀναλαμβάνειν. ὃ καὶ σὲ δεῖ σκοπεῖν. καὶ μηδὲν μεῖ

ζον ἀγαθὸν τῆς σωτηρίας ὑπολαμβάνειν, ἵνα καὶ τὰς νίκας τὰς συμ-
βαινούσας κατὰ τρόπον διοικῇς. ἴδοις δ' ἂν καὶ Λακεδαιμονίους, περὶ μὲν
τὴν τῶν βασιλέων σωτηρίας, πολλὴν ἐπιμέλειαν ποιουμένους. καὶ
τοὺς ἐνδοξοτάτους τῶν πολιτῶν φύλακας αὐτῶν καθιστάντας. οἷς
αἴσχιόν ἐστιν ἐκείνους τελευτήσαντας περιιδεῖν, ἢ τὰς ἀσπίδας ἀπο-
βαλεῖν. ἀλλὰ μὴν οὐδ' ἐκεῖνά σε λέληθεν ἃ Ξέρξη τε τῷ καταδουλώσα-
σθαι τοὺς Ἕλληνας βουληθέντι καὶ Κύρῳ τῆς βασιλείας ἀμφισβητήσαν-
τι συνέπεσεν. ὁ μὲν γὰρ τηλικαύταις ἥτταις καὶ συμφοραῖς περιπεσὼν,
ἡλίκας οὐδεὶς ἄλλος οἶδε γενομένας, διὰ τὸ περιποιῆσαι τὴν αὑτοῦ
ψυχὴν, καὶ τήν τε βασιλείαν κατέσχε τοῖς παισὶ τοῖς ἑαυτοῦ παρέ-
δωκε καὶ τὴν Ἀσίαν οὕτω διῴκησεν, ὥστε μηδὲν ἧττον αὐτὴν εἶναι
φοβερὰν ἢ πρότερον. Κῦρος δὲ νικήσας ἅπασαν τὴν βασιλέως
δύναμιν, καὶ κρατήσας τῶν πραγμάτων, διὰ τὴν αὑτοῦ προπέ-
τειαν, οὐ μόνον αὑτὸν ἀπεστέρησε τηλικαύτης δυναστείας, ἀλλὰ καὶ
τοὺς συνακολουθοῦντας εἰς τὰς ἐσχάτας συμφορὰς κατέστησεν.
ἔχοιμι δ' ἂν παμπληθεῖς εἰπεῖν, οἳ μεγάλων στρατοπέδων ἡγεμό-
νες γενόμενοι, διὰ τὸ προδιαφθαρῆναι, πολλὰς μυριάδας αὐ-
τοῖς συναπώλεσαν. ὧν ἐνθυμούμενον χρὴ μὴ τιμᾶν τὴν ἀνδρεί-
αν τὴν μετ' ἀνοίας καὶ φιλοτιμίας ἀκαίρου γινομένην. μὴ
δὲ πολλῶν κινδύνων ὑπαρχόντων ταῖς μοναρχίαις, ἑτέρους ἀ-
δόξους καὶ στρατιωτικοὺς αὑτῷ προσεξευρίσκειν. μὴ δ' ἀμιλ-
λᾶσθαι τοῖς ἢ βίου δυστυχοῦς ἀπαλλαγῆναι βουλομένοις, ἢ μι-
σθοφορᾶς ἕνεκα μείζονος εἰκῆ τοὺς κινδύνους προαιρουμένους.
μηδ' ἐπιθυμεῖν τοιαύτης δόξης, ἧς πολλοὶ καὶ τῶν ἄλλων Ἑλλή-
νων καὶ τῶν βαρβάρων τυγχάνουσιν. ἀλλὰ τῆς τηλικαύτης τὸ
μέγεθος, ἣν μόνος ἂν σὺ τῶν νῦν ὄντων κτήσασθαι δυνηθείης.

μὴ δόξαι ποθεῖν λίαν τὰς τοιαύτας ἀρετὰς, ὧν καὶ τοῖς φαύλοις μέτεστιν. ἀλλ' ἐκείνας ὧν οὐδεὶς ἂν πονηρὸς κοινωνήσειε. μηδὲ ποιεῖσθαι πολέμους ἀδόξους καὶ χαλεποὺς, ἀλλ' ἐντίμους καὶ ῥᾳδίους. μηδ' ἐξ ὧν τοὺς μὲν οἰκειοτάτους εἰς λύπας καὶ φροντίδας καταστήσεις, τοὺς δ' ἐχθροὺς ἐν ἐλπίσι μεγάλαις, οἵας καὶ νῦν αὐτοῖς παρέσχες. ἀλλὰ τῶν μὲν βαρβάρων πρὸς οὓς νῦν πολεμεῖς, ἐπὶ τοσοῦτον ἐξαρκέσει κρατεῖν, ὅσον ἐν ἀσφαλείᾳ καταστῆσαι τὴν σαυτοῦ χώραν. τὸν δὲ νῦν μέγαν προσαγορευόμενον, καταλύειν ἐπιχειρήσεις. ἵνα τήν τε σαυτοῦ δόξαν μείζω ποιήσῃς καὶ τοῖς Ἕλλησιν ἐπιδείξῃς πρὸς οὓς χρὴ πολεμεῖν. πρὸ πολλοῦ δ' ἂν ἐποιησάμην ἐπιστεῖλαί σοι ταῦτα πρὸ τῆς στρατείας. ἵν' εἰ μὲν ἐπείσθης, μὴ τηλικούτῳ κινδύνῳ περιπεσεῖν. εἰ δ' ἠπείθησας μὴ ἐγὼ συμβουλεύειν ἐδόκουν ταὐτὰ τοῖς ἤδη διὰ τὸ πάθος ὑπὸ πάντων ἐγνωσμένοις, ἀλλὰ τὸ συμβεβηκὸς, ἐμαρτύρει τοὺς λόγους ὀρθῶς ἔχειν τοὺς ὑφ' ἡμῶν περὶ αὐτῶν εἰρημένους. πολλὰ δ' ἔχων εἰπεῖν διὰ τὴν τοῦ πράγματος φύσιν, παύσομαι λέγων. οἶμαι γὰρ καὶ σὲ καὶ τῶν ἑταίρων τοὺς σπουδαιοτάτους, ῥᾳδίως ὁπόσ' ἂν βούλησθε τοῖς εἰρημένοις προσθήσειν. πρὸς δὲ τούτοις φοβοῦμαι τὴν ἀκαιρίαν. καὶ γὰρ νῦν κατὰ μικρὸν προϊὼν ἔλαθον ἐμαυτὸν οὐκ εἰς ἐπιστολῆς συμμετρίαν, ἀλλ' εἰς λόγου μῆκος ἐξοκείλας. οὐ μὴν ἀλλὰ καίπερ τούτων οὕτως ἐχόντων, οὐ παραλειπτέον ἐστὶ τά γε περὶ τῆς πόλεως. ἀλλὰ πειρατέον παρακαλέσαι σε πρὸς τὴν οἰκειότητα καὶ χρῆσιν αὐτῆς. οἶμαι γὰρ πολλοὺς εἶναι τοὺς ἐπαγγέλλοντας καὶ λέγοντας, οὐ μόνον τὰ δυσχερέστατα τῶν περὶ σοῦ παρ' ἡμῖν εἰρημένων, ἀλλὰ καὶ παρ' αὐτῶν προστιθέντας, οἷς οὐκ εἰκὸς προσέχειν σε τὸν νοῦν. καὶ γὰρ ἄτοπον ἂν ποιοίης, εἰ τὸν μὲν δῆμον τὸν ἡμέτερον

τοῖς ὅτι ῥᾳδίως πείθεται τοῖς διαβάλλουσιν, αὐτὸς δὲ φαίνοιο μαρτυρῶν τοῖς τὴν τέχνην ταύτην ἔχουσι. καὶ μὴν γινώσκεις ὡς ὅσῳπερ ἂν τὴν πόλιν ἀναγωγοτέραν ὑπὲρ τῶν τυχόντων οὖσαν ἀποφαίνωνται, τοσούτῳ μᾶλλόν σοι συμφερόντως ἔχουσαν αὐτὴν ἐπιδεικνύουσιν. εἰ γὰρ οἱ μηδὲν ἀγαθὸν οἷοί τε ὄντες ποιῆσαι, διαπράττονται τοῖς λόγοις ἃ ἂν βουληθῶσιν, ἦπου σέ γε προσήκει τὸν πλεῖστ' ἂν ἔργῳ δυνάμενον εὐεργετῆσαι, μηδενὸς τυχεῖν παρ' ἡμῶν. ἡγοῦμαι δὲ δεῖν πρὸς μὲν τοὺς πικρῶς τῆς πόλεως κατηγοροῦντας, ἐκείνους ἀντιτάττειν τοὺς πάντα γε ταύτης εἶναι λέγοντας, καὶ τοὺς μήτε μεῖζον μήτ' ἔλαττον αὐτὴν ἠδικηκέναι φάσκοντας. ἐγὼ δὲ οὐδὲν ἂν εἴποιμι τοιοῦτον. αἰσχυνθείην γὰρ ἄν, εἰ τῶν μὲν ἄλλων μηδὲ τοὺς θεοὺς ἀναμαρτήτους εἶναι νομιζόντων, αὐτὸς τολμῴην λέγειν, ὡς οὐδὲν πώποτε πεπλημμελήκα μέν. οὐ μήν. ἀλλ' ἐκεῖνο ἔχω περὶ αὐτῆς εἰπεῖν. ὅτι χρησιμωτέραν οὐκ ἂν εὕροις ταύτης οὔτε τοῖς ἕλλησιν οὔτε τοῖς σοῖς πράγμασιν. ᾧ μάλιστα προσεκτέον τὸν νοῦν ἐστιν. οὐ μόνον γὰρ ἂν συναγωνιζομένη, γένοιτ' ἂν αἰτία σοι πολλῶν ἀγαθῶν, ἀλλὰ καὶ φιλικῶς ἔχειν μόνον δοκοῦσα. τούς τε γὰρ ὑπὸ σοῦ συνόντας ῥᾷον ἂν κατέχοις, ὡς εἰ μηδὲ μίαν ἔχοιεν ἀποστροφήν, τῶν τε βαρβάρων οὓς βουληθείης θᾶττον ἂν καταστρέψαιο. καίτοι πῶς οὐ χρὴ προθύμως ὀρέγεσθαι τῆς τοιαύτης εὐνοίας δι' ἧς οὐ μόνον τὴν ὑπάρχουσαν ἰσχὺν ἀσφαλῶς καθέξεις, ἀλλὰ καὶ πολλὴν ἑτέραν ἀκινδύνως προσκτήσῃ. Θαυμάζω δ' ὅσοι τῶν τὰς δυνάμεις ἐχόντων, τὰ μὲν τῶν ξενιζομένων στρατόπεδα μισθοῦνται. καὶ χρήματα πολλὰ δαπανῶνται, συνειδότες ὅτι πλείους ἠδίκηκε τῶν πιστευόντων αὐτοῖς ἢ σέσωκε. τὴν δὲ πόλιν, τὴν τηλικαύτην δύναμιν κεκτημένην μὴ πειρῶνται θεραπεύειν ἣ καὶ μίαν

ἑκάστην

ἑκάστην καὶ ξυμπᾶσαν τὴν ἑλλάδα πολλάκις ἤδη σέσωκεν. ἐνθυμοῦ δ᾽ ὅτι πολλοῖς καλῶς βεβουλεῦσθαι δοκεῖς, ὅτι δικαίως κέχρησαι θετταλοῖς, καὶ συμφερόντως ἐκείνοις. ἀνδράσιν οὐκ εὐμεταχειρίστοις, ἀλλὰ μεγαλοψύχοις καὶ στάσεως μεστοῖς. χρὴ τοίνυν καὶ περὶ ἡμᾶς πειρᾶσθαι γενέσθαι τοιοῦτον. ἐπιστάμενον, ὅτι τὴν μὲν χώραν θετταλοί, τὴν δὲ δύναμιν ἡμεῖς ὅμορον σοι τυγχάνομεν ἔχοντες. ἣν ἐκ παντὸς τρόπου ζήτει προσάγεσθαι. πολὺ γὰρ κάλλιον ὂν δεῖ τὰς εὐνοίας τὰς τῶν πόλεων αἱρεῖν ἢ τὰ τείχη. τὰ μὲν γὰρ οὐ μόνον, ἔχει φθόνον, ἀλλὰ καὶ τῶν τοιούτων τὴν αἰτίαν τοῖς στρατοπέδοις ἀνατιθέασιν. ἢν δὲ τὰς οἰκειότητας καὶ τὰς εὐνοίας κτήσασθαι δυνηθῇς, ἅπαντες τὴν σὴν διάνοιαν ἐπαινέσουσι. δικαίως δ᾽ ἄν μοι πιστεύοις οἷς εἴρηκα περὶ τῆς πόλεως. φανήσομαι γὰρ οὔτε κολακεύειν αὐτὴν ἐν τοῖς λόγοις εἰθισμένος, ἀλλὰ πλεῖστα πάντων ἐπιτετιμηκώς, ἔτι οὐ παρὰ τοῖς πολλοῖς καὶ τοῖς εἰκῇ δοκιμάζουσι φερόμενος. ἀλλ᾽ ἀγνοούμενος ὑπὸ τῶν καὶ φθονούμενος, ὥσπερ σύ. πλὴν τοῦτο διαφέρομεν. ὅτι πρὸς σὲ μὲν διὰ τὴν εὐδαιμονίαν καὶ τὴν δύναμιν οὕτως ἔχουσι. πρὸς ἐμὲ δὲ διότι προσποιοῦμαι τὸ βέλτιον αὐτῶν φρονεῖν. καὶ πλείους ὁρῶσί μοι διαλέγεσθαι βουλομένους ἢ σφίσιν αὐτοῖς. ἐβουλόμην δ᾽ ἂν ἡμῖν ὁμογνωμόνως ῥᾴδιον εἶναι τὴν δόξαν ἣν ἔχομεν παρ᾽ αὐτοῖς διαφυγεῖν. νῦν δὲ σοὶ μὲν οὐ χαλεπῶς ἂν κουληθῇς αὐτὴν διαλύσεις. ἐμοὶ δ᾽ ἀνάγκη καὶ διὰ τὸ γῆρας καὶ δι᾽ ἄλλα πολλὰ στέργειν τοῖς παροῦσιν. ὥστ᾽ οὐκ οἶδ᾽ ὅτι πλείω δεῖ λέγειν. πλὴν τοσοῦτον ὅτι δεῖ τὴν βασιλείαν καὶ τὴν εὐδαιμονίαν τὴν ὑπάρχουσαν ὑμῖν, παρακατατίθεσθαι τῇ τῶν ἑλλήνων εὐδαιμονίᾳ καὶ εὐνοίᾳ.

ε Γὼ διελέχθην μὲν καὶ πρὸς ἀντίπατρον περὶ τῶν
τῇ πόλει συμφερόντων καὶ σοὶ, διαρκούντως ὡς ἐμαυ
τὸν ἔπειθον. ἐβουλήθην δὲ γράψαι καὶ πρὸς σὲ περὶ ὧν
μοι δοκεῖ πρακτέον εἶναι μετὰ τὴν εἰρήνην παραπλήσια τοῖς
ἐν τῷ λόγῳ γεγραμμένοις. πολὺ δ' ἐκείνων συντομώτερα. κατ' ἐ-
κεῖνον μὲν γὰρ τὸν χρόνον συνεβούλευον, ὡς χρὴ διαλλάξαντά σε
τήν τε πόλιν τὴν ἡμετέραν καὶ τὴν λακεδαιμονίων καὶ τὴν θη-
βαίων καὶ τὴν ἀργείων, εἰς ὁμόνοιαν καταστῆσαι τοὺς ἕλληνας. ἡ-
γούμενος ἐὰν τὰς προεχούσας πόλεις πείσῃς οὕτω φρονεῖν, ταχέ-
ως, καὶ τὰς ἄλλας ἐπακολουθήσειν. τότε μὲν οὖν ἄλλος ἦν και-
ρός. νῦν δὲ συμβέβηκε μηκέτι δεῖν πείθειν. διὰ γὰρ τὸν ἀγῶνα τὸν
γεγενημένον, ἠναγκασμένοι πάντες εἰσὶν εὖ φρονεῖν. καὶ τούτων ἐ-
πιθυμεῖν, ὧν ἐπινοοῦμεν σε βούλεσθαι πράττειν καὶ λέγειν. ὡς δεῖ
παυσαμένους τῆς μανίας καὶ τῆς πλεονεξίας ἣν ἐποιοῦντο πρὸς
ἀλλήλους, εἰς τὴν ἀσίαν τὸν πόλεμον ἐξενεγκεῖν. πρὸς δὲ τού-
τοις κἀκεῖνο πολλοὶ παρ' ἐμοῦ πυνθάνονται. πότερον ἐγώ σοι πα-
ρῄνεσα ποιήσασθαι τὴν στρατείαν ἐπὶ τοὺς βαρβάρους, ἢ σοῦ διανοη-
θέντος, συνεῖπον. ἐγὼ δὲ οὐκ εἰδέναι μὲν φημὶ τὸ σαφές. οὐ γὰρ
συγγεγενῆσθαί σοι πρότερον. οὐ μὴν ἀλλ' οἴεσθαι, σὲ μὲν ἐγνωκέναι πε
ρὶ τούτων, ἐμὲ δὲ συνειρηκέναι ταῖς σαῖς ἐπιθυμίαις. ταῦτα δ' ἀ-
κούσαντες ἐδέοντό μου παρακελεύεσθαί σοι, καὶ προτρέπειν ἐπὶ τῶν αὐτῶν ἔρ
γων μένειν. ὡς οὐδέποτ' ἂν γενομένων οὔτε καλλιόνων ἔργων οὔτε ὠφελι
μωτέρων τοῖς ἕλλησιν. οὔτ' ἐν καιρῷ μᾶλλον πραχθησομένων. εἰ
μὲν οὖν εἶχον τὴν αὐτὴν δύναμιν ἥνπερ πρότερον, καὶ μὴ παντάπα
σιν ἦν ἀπειρηκώς, οὐκ ἂν δι' ἐπιστολῆς διελεγόμην. ἀλλὰ παρὼν

νῦν

νῦν αὐτὸς προὔξενον αὖσε καὶ προὐκάλουν ἐπὶ τὰς πράξεις ταύτας. νῦν δ' ὡς δύναμαι παρακελεύομαί σοι μὴ καταμελῆσαι τούτων, πρὶν ἂν τέλος ἐπιθῇς αὐτοῖς. ἔτι δὲ πρὸς μὲν ἄλλο τι τῶν ὄντων ἀπλήστως ἔχειν οὐ καλόν. αἱ γὰρ μετριότητες παρὰ τοῖς πολλοῖς εὐδοκιμοῦσι. δόξης δὲ μεγάλης καὶ καλῆς ἐπιθυμεῖν καὶ μηδέποτ' ἐμπίπλασθαι προσήκει τοῖς πολὺ τῶν ἄλλων διενεγκοῦσιν. ὅπερ σοὶ συμβέβηκεν. ἡγοῦ δὲ τόθ' ἕξειν αὐτὴν ἀνυπέρβλητον καὶ τῶν σοὶ πεπραγμένων ἀξίαν, ὅταν τοὺς μὲν βαρβάρους ἀναγκάσῃς εἱλωτεύειν τοῖς Ἕλλησι. πλὴν τῶν σοὶ συναγωνιζομένων. τὸν δὲ βασιλέα τὸν νῦν μέγαν προσαγορευόμενον, ποιήσῃς τοῦτο πράττειν, ὃ ἂν σὺ προστάττῃς. τοῦτο δὲ κατεργάσασθαι πολὺ ῥᾷόν ἐστιν ἐκ τῶν νῦν παρόντων, ἢ προελθεῖν ἐπὶ τὴν δύναμιν καὶ τὴν δόξαν ἣν ἔχεις ἐπὶ τῆς βασιλείας τῆς ἐξ ἀρχῆς ὑμῖν ὑπαρξάσης. οὐδὲ γὰρ ἔσται λοιπὸν ἔτι, πλὴν θεὸν γενέσθαι. χάριν δ' ἔχω τῷ γήρᾳ ταύτην μόνην, ὅτι προήγαγεν εἰς τοῦτό μου τὸν βίον, ὥσθ' ἃ νέος ὢν διενοούμην καὶ γράφειν ἐπεχείρουν ἔν τε τῷ πανηγυρικῷ λόγῳ καὶ τῷ πρὸς σὲ πεμφθέντι, τούτων ἤδη τὰ μὲν νῦν γιγνόμενα διὰ τῶν σῶν ἐφορῶ πράξεων. τὰ δ' ἐλπίζω γενήσεσθαι.

Ἰσοκράτης Ἀλεξάνδρῳ χαίρειν.

Πρὸς τὸν πατέρα σου γράφων ἐπιστολήν, ἄτοπον ᾤμην ποιήσειν, εἰ περὶ τὸν αὐτὸν ὄντα σε τόπον ἐκείνῳ, μήτε προσερῶ μήτε ἀσπάσομαι, μήτε γράψω τι τοιοῦτον ὃ ποιήσει τοὺς ἀναγνόντας μὴ νομίζειν ἤδη με παραφρονεῖν διὰ τὸ γῆρας μηδὲ παντάπασι ληρεῖν. ἀλλ' ἔτι τὸ καταλελειμμένον μοι μέρος καὶ λοιπὸν ὄν, οὐκ ἀνάξιον εἶναι τῆς δυνάμεως ἣν ἔχον νεώτερος ὤν. ἀκούω δέ σε πάντων λεγόντων ὡς φιλάνθρωπος εἶ

καὶ φιλαθήναιος καὶ φιλόσοφος· οὐκ ἀφρόνως ποιῶν· ἀλλὰ νουνεχόντως. τῶν τε γὰρ πολιτῶν ἀποδέχεσθαί σε τῶν ἡμετέρων οὐ τοὺς ἠμεληκότας αὐτῶν ἢ πονηρῶν πραγμάτων ἐπιθυμοῦντας, ἀλλ᾽ οἷς συνδιατρίβων, οὐκ ἂν λυπηθείης· συμβάλλων τε καὶ κοινωνῶν πραγμάτων, οὐδὲν ἂν βλαβείης· οὐδ᾽ ἀδικηθείης ὥσπερ χρὴ πλησιάζειν τοὺς εὖ φρονοῦντας. τῶν τε φιλοσοφιῶν οὐκ ἀποδοκιμάζειν μὲν οὐδὲ τὴν περὶ τὰς ἔριδας. ἀλλὰ νομίζειν εἶναι πλεονεκτικὴν ἐν ταῖς ἰδίαις διατριβαῖς· οὐ μὴν ἁρμόττειν οὔτε τοῖς τὸ πλῆθος προεστῶσιν, οὔτε τοῖς τὰς μοναρχίας ἔχουσιν· οὐ γὰρ συμφέρειν οὐδὲ πρέπειν τοῖς μεῖζον τῶν ἄλλων φρονοῦσιν, οὔτ᾽ αὐτοῖς ἐρίζειν πρὸς τοὺς συμπολιτευομένους, οὔτε τοῖς ἄλλοις ἐπιτρέπειν πρὸς αὐτοὺς ἀντιλέγειν. ταύτην μὲν οὖν οὐκ ἀγαπᾶν σε τὴν διατριβήν· προαιρεῖσθαι δὲ τὴν παιδείαν τὴν περὶ τοὺς λόγους· οἷς χρώμεθα περὶ τὰς πράξεις τὰς προσπιπτούσας καθ᾽ ἑκάστην τὴν ἡμέραν· καὶ μεθ᾽ ὧν βουλευόμεθα περὶ τῶν κοινῶν. δι᾽ ἣν νῦν τε δοκεῖς περὶ τῶν μελλόντων ἐπιεικῶς τοῖς ἀρχομένοις προστατεῖν, καὶ οὐκ ἀνοήτως ἃ δεῖ ποιεῖν ἑκάστους περί τε τῶν καλῶν καὶ δικαίων καὶ τῶν τούτοις ἐναντίων ὀρθῶς κρίνειν· πρὸς δὲ τούτοις κολάζειν ὡς προσῆκόν ἐστιν ἑκατέρους. Σωφρονεῖς οὖν ταῦτα μελετῶν. ἐλπίδα γὰρ τῷ τε πατρὶ καὶ τοῖς ἄλλοις παρέχεις, ὡς ἂν πρεσβύτερος γιγνόμενος ἐμμείνῃς τούτοις, τοσοῦτον προέξειν τῇ φρονήσει τῶν ἄλλων, ὅσον περ ὁ πατήρ σου διενήνοχεν ἁπάντων.

Ἰσοκράτης

Ἰσοκράτης Φιλίππῳ χαίρειν.

ἐ Γὼ καίπερ ἐπικινδύνου παρ' ἡμῖν ὄντος εἰς μακεδονίαν πέμπειν ἐπιστολὴν, οὐ μόνον νῦν ὅτε πολέμου μὲν πρὸς ὑμᾶς, ἀλλὰ καὶ τῆς εἰρήνης οὔσης, ὅμως γράψαι πρὸς σὲ εἱλόμην περὶ Διοδότου. δίκαιον εἶναι νομίζων, πάντας μὲν περὶ πολλοῦ ποιεῖσθαι τοὺς ἐμαυτῷ πεπλησιακότας· καὶ γεγενημένους ἀξίους ἡμῶν. οὐχ ἥκιστα δὲ τοῦτον, καὶ διὰ τὴν εὔνοιαν τὴν εἰς ἡμᾶς καὶ τὴν ἄλλην ἐπιείκειαν. μάλιστα μὲν οὖν ἐβουλόμην ἂν αὐτὸν συστῆναι δι' ἡμῶν. ἐπειδὴ δὲ δι' ἑτέρων ἐντετύχηκέ σοι, λοιπόν ἐστί μοι μαρτυρῆσαι περὶ αὐτοῦ. καὶ βεβαιῶσαι τὴν γεγενημένην αὐτῷ πρὸς σὲ γνῶσιν. Ἐμοὶ γὰρ πολλῶν καὶ παντοδαπῶν συγγενομένων ἀνθρώπων καὶ δόξαν ἐνίων μεγάλας ἐχόντων, τῶν μὲν ἄλλων ἁπάντων, οἱ μέν τινες περὶ τὸν λόγον, οἱ δὲ περὶ τὸ διανοηθῆναι καὶ πρᾶξαι δεινοὶ γεγόνασιν. οἱ δ' ἐπὶ μὲν τοῦ βίου σώφρονες καὶ χαρίεντες. πρὸς δὲ τὰς ἄλλας χρήσεις καὶ διαγωγὰς, ἀφυεῖς παντάπασιν. οὗτος δὲ οὕτως εὐάρμοστον τὴν φύσιν ἔχει, ὥστε ἐν ἅπασι τοῖς εἰρημένοις τελειότατος εἶναι. καὶ ταῦτ' οὐκ ἂν ἐτόλμων λέγειν, εἰ μὴ τὴν ἀκριβεστάτην πεῖραν αὐτός τε εἶχον αὐτοῦ, καὶ σὲ λήψεσθαι προσεδόκων. τὰ μὲν αὐτὸν χρώμενον αὐτῷ, τὰ δὲ καὶ παρὰ τῶν ἄλλων τῶν ἐμπείρων αὐτοῦ πυνθανόμενον. ὧν οὐδεὶς ὅστις οὐκ ἂν ὁμολογήσειεν εἰ μὴ λίαν εἴη φθονερὸς, καὶ εἰπεῖν καὶ βουλεύσασθαι οὐδενὸς ἧττον αὐτὸν δύνασθαι. καὶ δικαιότατον καὶ σωφρονέστατον εἶναι καὶ χρημάτων ἐγκρατέστατον. ἔτι δὲ καὶ συμβιοῦν ἁπάντων ἥδιστον καὶ λιγυρώτατον. πρὸς δὲ τούτοις πλείστην ἔχειν παρρησίαν, οὐχ ἣν οὐ προσῆκεν, ἀλλὰ τὴν εἰκότως ἂν μέγιστον γινομένην σημεῖον, τῆς εὐνοίας τῆς πρὸς τοὺς φίλους· ἣν τῶν δυναστῶν, οἱ μὲν ἀξιόχρεων τὸν ὄγκον τὸν

ἔχοντες, τιμῶσιν ὡς χρησίμην οὖσαν. οἱ δὲ ἀσθενέστεροι τὰς φύσεις ὄντες ἢ κατὰ τὰς ὑπαρχούσας ἐξουσίας δυσχεραίνουσιν ὥσπερ οὐ προαιρουμένους τί ποιεῖν βιαζομένην αὐτούς. οὐκ εἰδότες ὡς οἱ μάλιστα περὶ τοῦ συμφέροντος ἀντιλέγειν τολμῶντες, οὗτοι πλείστην ἐξουσίαν αὐτοῖς τοῦ πράττειν ἃ βούλονται παρασκευάζουσιν. εἰκὸς μὲν γὰρ διὰ τοὺς ἀεὶ πρὸς ἡδονὴν λέγειν προαιρουμένους, οὐχ ὅπως μοναρχίας δύνασθαι ποιεῖν διαμένειν, αἳ πολλοὺς τοὺς ἀναγκαίους ἐφέλκονται κινδύνους, ἀλλ' οὐδὲ τὰς πολιτείας. αἳ μετὰ πλείονος ἀσφαλείας εἰσί. δεῖ δὲ τοὺς ἐπὶ τῷ βελτίστῳ παρρησιαζομένους πολλὰ σώζειν δύνασθαι καὶ τῶν ἐπιδόξων διαφθαρήσεσθαι πραγμάτων. ὧν ἕνεκα προσήκει μὲν παρὰ πᾶσι τοῖς μονάρχοις πλέον φέρεσθαι τοὺς τὴν ἀλήθειαν ἀποφαινομένους τῶν ἅπαντα μὲν πρὸς χάριν, μηδὲν δὲ ἄξιον χάριτος λεγόντων. συνέβη δὲ ἔλαττον ἔχειν αὐτοὺς παρ' ἐνίοις αὐτῶν. ὃ καὶ Διοδότῳ παθεῖν συνέπεσε παρά τισι τῶν τὴν Ἀσίαν δυναστευόντων. οἷς πολλὰ μὲν χρήσιμος γενόμενος, οὐ μόνον τῷ συμβουλεύειν, ἀλλὰ καὶ τῷ πράττειν καὶ κινδυνεύειν διὰ τὸ παρρησιάζεσθαι πρὸς αὐτοὺς περὶ ὧν ἐκείνοις συνέφερε, καὶ τῶν οἴκοι τιμῶν ἀπεστερήθη, καὶ πολλῶν ἄλλων ἐλπίδων. καὶ μεῖζον ἴσχυσαν αἱ τῶν τυχόντων ἀνθρώπων κολακεῖαι, τῶν εὐεργεσιῶν τῶν τούτου. διὰ δὴ καὶ πρὸς ὑμᾶς ἀεὶ προσιέναι διανοούμενος, ὀκνηρῶς εἶχεν, οὐχ ὡς ἅπαντας ὁμοίους εἶναι νομίζων τοὺς ὑπὲρ αὐτῶν ὄντας. ἀλλὰ διὰ τὰς παρ' ἐκείνων γεγενημένας δυσχερείας, καὶ πρὸς τὰς παρ' ὑμῶν ἐλπίδας οὐ προθυμότερος ἦν. παραπλήσιον ἐμοὶ γε δοκεῖ πεπονθὼς τοῖς πεπλευκότων τισίν. οἳ πρῶτον ὅταν χρήσωνται χειμῶσιν, οὐκ ἔτι θαρροῦντες εἰσβαίνουσιν εἰς τὴν θάλατταν. καίπερ εἰδότες ὅτι καὶ καλοῦ πλοῦ πολ-

λάκις

λάκις ἐπιτυχεῖν ἐστιν. οὐ μὴν ἀλλ' ἐπειδὴ συνέστηκέ σοι καλῶς ποιεῖν, λογίζομαι σὲ αὐτῷ συνοίσειν, μάλιστα μὲν τῇ φιλανθρωπίᾳ τῇ σῇ λογιζόμενος, ἣν ἔχειν ὑπείληφα παρὰ τοῖς ἔξωθεν ἀνθρώποις. ἔπειτα νομίζων οὐκ ἀγνοεῖν ὑμᾶς, ὅτι πάντων ἐστὶν ἥδιστον καὶ λυσιτελὲς τὸ πιστοὺς ἅμα καὶ χρησίμους φίλους κτᾶσθαι ταῖς εὐεργεσίαις· καὶ τοὺς τοιούτους εὖ ποιεῖν, ὑπὲρ ὧν πολλοὶ καὶ τῶν ἄλλων χάριν ὑμῖν ἕξουσιν. ἅπαντες γὰρ οἰκειοῦντες τοὺς τοῖς σπουδαίοις τῶν ἀνθρώπων καλῶς ὁμιλοῦντας, ὁμοίως ἐπαινοῦσι καὶ τιμῶσιν, ὥσπερ αὐτοὶ τῶν ὠφελειῶν ἀπολαύοντες. ἀλλὰ γὰρ Διόδοτον αὐτὸν οἶμαί σε μάλιστα προτρέψασθαι πρὸς τὸ φροντίζειν ἑαυτοῦ. συνέπειθον δὲ καὶ τὸν υἱὸν αὐτοῦ τῶν ὑμετέρων ἀντέχεσθαι πραγμάτων. καὶ παραδοῦναι ὑμῖν ἑαυτὸν, ὥσπερ μαθητὴν εἰς τοὔμπροσθεν πειραθῆναι προελθεῖν. ὁ δὲ ταῦτά μου λέγοντος, ἐπιθυμεῖν μὲν ἔφασκε τῆς ὑμετέρας φιλίας. οὐ μὴν ἀλλὰ παραπλήσιόν τι πεπονθέναι πρὸς αὐτὴν καὶ πρὸς τοὺς στεφανίτας ἀγῶνας. ἐκείνους γὰρ νικᾶν μὲν ἂν βούλεσθαι. καταβῆναι δ' εἰς αὐτοὺς οὐκ ἂν τολμῆσαι διὰ τὸ μὴ μετεσχηκέναι ῥώμης ἀξίας τῶν στεφάνων. τῶν τε παρ' ὑμῶν τιμῶν, δέξασθαι μὲν ἂν τυχεῖν. οὐκ ἐθέλειν δ' αὑτὸν προσδοκᾶν. τήν τε γὰρ ἀπειρίαν τὴν αὑτοῦ καταπεπλῆχθαι, καὶ τὴν λαμπρότητα τὴν ὑμετέραν. ἔτι δὲ καὶ τὸ σωμάτιον οὐκ εὐκρινὲς ὂν ἀλλ' ἔχον πρόφασιν, ἣν νομίζειν ἐμποδιεῖν αὐτὸν πρὸς τὰ πολλὰ τῶν πραγμάτων. οὗτος μὲν οὖν ὅτι δοκῇ αὐτῷ συμφέρειν, τοῦτο πράξει. σὺ δὲ ἐάν τε ᾖ περὶ ἡμᾶς, ἐάν τε ἡσυχίαν ἔχων διατρίβῃ περὶ τούτους τοὺς τόπους, ἐπιμελοῦ καὶ τῶν ἄλλων μὲν ἁπάντων ὧν τυγχάνει δεόμενος. μάλιστα δὲ τῆς ἀσφαλείας καὶ τῆς τούτου καὶ τῆς τοῦ

πατρὸς αὐτοῦ. νομίσας ὥσπερ παρακαταθήκην ἔχειν τοῦτον, παρά τε τοῦ γήρως ἡμῶν, ὃ προσηκόντως ἂν πολλῆς τυγχάνοι προνοίας, καὶ τῆς δόξης τῆς ὑπερεχούσης εἴτινος ἄρα σπουδῆς ἐστιν ἀξία καὶ εὐνοίας τῆς περὶ ὑμᾶς ἣν ἔχων ἅπαντα τὸν χρόνον διατετέλεκα. καὶ μὴ θαυμάσῃς μή τ' εἰ μακροτέραν γέγραφα τὴν ἐπιστολήν, μή τ' εἴ τι περιεργότερον ἢ πρεσβυτικώτερον εἰρήκαμεν ἐν αὐτῇ. πάντων γὰρ τῶν ἄλλων ἀμελήσας, ἑνὸς μόνου ἐφρόντισα τοῦ φανῆναι σπουδάζων ὑπὲρ ἀνδρῶν φίλων καὶ προσφιλεστάτων μοι γεγενημένων.

Ἰσοκράτης. Τιμοθέῳ. Χαίρειν.

π ερὶ μὲν τῆς οἰκειότητος τῆς ὑπαρχούσης ἡμῖν πρὸς ἀλλήλους, οἴομαί σε πολλῶν ἀκηκοέναι. συγχαίρω δέ σοι πυνθανόμενος ὅτι πρῶτον μὲν τῇ δυναστείᾳ τῇ παρούσῃ κάλλιον χρῇ τοῦ πατρὸς καὶ φρονιμώτερον. ἔπειθ' ὅτι προαιρῇ δόξαν καλὴν κτήσασθαι μᾶλλον ἢ πλοῦτον μέγαν συναγαγεῖν. σημεῖον γὰρ οὐ μικρὸν ἐκφέρεις ἀρετῆς. ἀλλ' ὡς δυνατόν, μέγιστον ταύτην ἔχων τὴν γνώμην. ὡς ἢν ἐμμένῃς τοῖς περὶ σοῦ νῦν λεγομένοις, οὐκ ἀπορήσεις τῶν ἐγκωμιασομένων, τήν τε φρόνησιν τὴν σὴν καὶ τὴν προαίρεσιν ταύτην. ἡγοῦμαι δὲ καὶ τὰ διηγούμενα περὶ τοῦ σοῦ πατρὸς, συμβάλλεσθαι μεγίστην πίστιν πρὸς τὸ δοκεῖν εὖ φρονεῖν σε καὶ διαφέρειν τῶν ἄλλων. εἰώθασι γὰρ οἱ πλεῖστοι τῶν ἀνθρώπων οὐχ οὕτως ἐπαινεῖν καὶ τιμᾶν τοὺς ἐκ τῶν πατέρων τῶν εὐδοκιμούντων γεγονότας, ὡς τοὺς ἐκ τῶν δυσκόλων καὶ χαλεπῶν, ἤν περ φαίνωνται μηδὲν ὅμοιοι τοῖς γονεῦσιν ὄντες. μᾶλλον γὰρ ἐπὶ πάντων κεχαρισμένον αὐτοῖς ἐστι τὸ παρὰ λόγον συμβαῖνον ἀγα

θὸν

θον, τῶν εἰκότως καὶ προσηκόντως γιγνομένων. ὧν ἐνθυμούμενον χρὴ ζητεῖν καὶ φιλοσοφεῖν, ἐξ οὗ τρόπου καὶ μετὰ τίνων, καὶ τίσι συμβούλοις χρώμενος, τάς τε τῆς πόλεως ἀτυχίας ἐπανορθώσεις, καὶ τοὺς πολίτας ἐπί τε τὰς ἐργασίας καὶ τὴν σωφροσύνην προτρέψεις. καὶ ποιήσεις αὐτοὺς ἥδιον ζῆν καὶ θαρραλεώτερον, ἢ τὸν παρελθόντα χρόνον. ταῦτα γάρ ἐστιν ἔργα τῶν ὀρθῶς καὶ φρονίμως δυναστευόντων, ὧν ἔνιοι καταφρονήσαντες, οὐδὲν ἄλλο σκοποῦσι, πλὴν ὅπως αὐτοί τε ὡς μετὰ πλείστης ἀσελγείας διάξουσι, τῶν τε πολιτῶν τοὺς βελτίστους καὶ φρονιμωτάτους ἀμυνοῦνται καὶ δασμολογήσουσι. κακῶς εἰδότες, ὅτι προσήκει τοὺς εὖ φρονοῦντας καὶ τοὺς τὴν τιμὴν ταύτην ἔχοντας, μὴ τοῖς τῶν ἄλλων κακοῖς, ἑαυτοῖς ἡδονὰς παρασκευάζειν ἀλλὰ ταῖς αὑτῶν ἐπιμελείαις τοὺς πολίτας εὐδαιμονεστέρους ποιεῖν. μηδὲ πικρῶς μὲν καὶ χαλεπῶς διακεῖσθαι πρὸς ἅπαντας. ἀμελεῖν δέ, τῆς αὑτῶν σωτηρίας. ἀλλ' οὕτω πρᾴως καὶ νομίμως ἐπιστατεῖν τῶν πραγμάτων, ὥστε οὐδένα αὐτοῖς τολμᾶν ἐπιβουλεύειν. μετὰ τοιαύτης δ' ἀκριβείας τὴν τοῦ σώματος ποιεῖσθαι φυλακήν, ὡς ἁπάντων αὐτοὺς ἀνελεῖν βουλομένων. ταύτην γὰρ τὴν διάνοιαν ἔχοντες, αὐτοί τ' ἂν εἶεν ἔξω τῶν κινδύνων, καὶ παρὰ τοῖς ἄλλοις Ἕλλησιν εὐδοκιμοῖεν. ὧν ἀγαθὰ μείζω χαλεπόν ἐστιν εὑρεῖν. ἐνεθυμήθην δὲ μεταξὺ γράφων, ὡς εὐτυχῶς ἅπαντά σοι συμβέβηκε. τὴν μὲν γὰρ δυναστείαν, ἣν ἀναγκαίως κτήσασθαι τυραννικῶς, μετὰ βίας πολλῆς καὶ ἀπεχθείας ὁ πατήρ σοι καταλέλοιπε. τὸ δὲ χρῆσθαι τούτοις καλῶς τε καὶ φιλανθρώπως, ἐπὶ σοὶ γέγονεν. ὧν χρή σε πολλὴν ποιεῖσθαι τὴν ἐπιμέλειαν. Ἃ μὲν οὖν ἐγὼ γιγνώσκω, ταῦτ' ἐστίν. ἔχει δὲ οὕτως. εἰ μὲν ἐρᾷς χρημάτων καὶ πολλῆς δυναστείας καὶ κινδύνων, δι' ὧν αἱ κτήσεις τούτων εἰσίν, ἑτέρους σοι συμ-

βούλους παρακλητέον. εἰ δὲ ταῦτα μὲν ἱκανῶς ἔχεις, ἀρετῆς δὲ καὶ δόξης καλῆς καὶ τῆς παρὰ τῶν πολλῶν εὐνοίας ἐπιθυμεῖς, τοῖς λόγοις τοῖς ἐμοῖς προσεκτέον τὸν νοῦν ἐστὶ καὶ τοῖς καλῶς τὰς πόλεις τὰς αὐτῶν διοικοῦσιν ἁμιλλητέον· καὶ πειρατέον αὐτῶν διενεγκεῖν. ἀκούω δὲ καὶ Κλέομμιν τὸν ἐν Μηθύμνῃ ταύτην ἔχοντα τὴν δυναστείαν, περί τε τὰς ἄλλας πράξεις καλόν τε κἀγαθὸν εἶναι καὶ φρόνιμον. καὶ τοσοῦτον ἀπέχειν τοῦ τινὰς ἀποκτείνειν ἢ φυγαδεύειν ἢ δημεύειν τὰς οὐσίας ἢ ποιεῖν ἄλλο τι κακόν, ὥστε πολλὴν ἀσφάλειαν παρέχειν τοῖς συμπολιτευομένοις. κατάγειν δὲ τοὺς φεύγοντας. ἀποδιδόναι δὲ τοῖς μὲν κατιοῦσι, τὰς κτήσεις ἐξ ὧν ἐξέπεσον· τοῖς δὲ πριαμένοις, τὰς ἑκάστοις γινομένας. πρὸς δὲ τούτοις καθοπλίζειν ἅπαντας τοὺς πολίτας ὡς οὐδενὸς μὲν ἐπιχειρήσοντος περὶ αὐτὸν νεωτερίζειν· ἢν δ' ἄρα τινὲς τολμήσωσιν, ἡγούμενον λυσιτελεῖν αὐτῷ τεθνάναι μᾶλλον τοιαύτην ἀρετὴν ἐνδειξαμένῳ τοῖς πολίταις, ἢ ζῆν πλείω χρόνον τῶν ἄλλων τῇ πόλει τῶν μεγίστων κακῶν αἰτίῳ γινομένῳ. Ἔτι δ' ἂν πλείω σοι περὶ τούτων διελέχθην, ἴσως ἂν καὶ χαριέστερον, εἰ μὴ παντάπασιν ἐδεήθης με διὰ ταχέων γράψαι τὴν ἐπιστολήν. νῦν δὲ σοὶ μὲν αὖθις συμβουλεύσομεν, ἂν μὴ κωλύῃ με τὸ γῆρας. ἐν δὲ τῷ παρόντι περὶ τῶν ἰδίων δηλώσομεν. Αὐτοκράτωρ γὰρ ὁ τὰ γράμματα φέρων οἰκείως ἡμῖν ἔχει. περί τε γὰρ τὰς αὐτὰς διατριβὰς γέγονε, τῇ τέχνῃ τῇ αὐτοῦ κέχρημαι, ὅ τε τελευταῖον πολλάκις περὶ τῆς ἀποδημίας τῆς ὡς σὲ σύμβουλος ἐγενόμην αὐτῷ. διὰ δὴ ταῦτα πάντα βουλοίμην ἄν σε καλῶς αὐτῷ χρῆσθαι καὶ συμφερόντως ἀμφοτέροις ἡμῖν. καὶ γενέσθαι

φανερὸς

φανερὸς, ὅτι μέρος τι γίνεται τῶν δεόντων αὐτῷ. καὶ μὴ θαυμάσῃς εἰ σοὶ μὲν οὕτως ἐπιστέλλω προθύμως. Κλεάρχου δὲ μηδὲν πώποτε ἐδεήθην. σχεδὸν γὰρ ἅπαντες οἱ παρ᾽ ὑμῶν καταπλέοντες, σὲ μὲν φασὶν ὅμοιον εἶναι τοῖς κρατίστοις τῶν ἐμοὶ πεπλησιακότων. Κλέαρχον δὲ κατὰ μὲν ἐκεῖνον τὸν χρόνον ὅτ᾽ ἦν παρ᾽ ἡμῖν ὡμολόγουν ὅσοι ποτὲ ἐνέτυχον ἐλευθεριώτατον εἶναι καὶ πρᾳότατον. καὶ φιλανθρωπότατον τῶν μετεχόντων τῆς διατριβῆς. ἐπειδὴ δὲ δύναμιν ἔλαβε, τοσοῦτον ἔδοξε μεταπεσεῖν, ὥστε πάντας θαυμάζειν τοὺς πρότερον αὐτὸν γινώσκοντας. πρὸς μὲν οὖν ἐκεῖνον διὰ τὰς αἰτίας ταύτας ἀπηλλοτριώθην. σὲ δ᾽ ἀποδέχομαι καὶ περὶ πολλοῦ ποιησαίμην γ᾽ ἂν οἰκείως διατεθῆναι πρὸς ἡμᾶς. δηλώσεις δὲ καὶ σὺ διὰ ταχέων, εἰ τὴν αὐτὴν ἔχεις γνώμην ἡμῖν. αὐτοκράτορός τε ὢν ἐπιμελήσῃ. πέμψας ἐπιστολὴν εἰς ἡμᾶς, ἀνανεούμενος τὴν φιλίαν καὶ ξενίαν τὴν πρότερον ὑπάρχουσαν. Ἔρρωσο. καὶ εἴ του ἄλλου δέῃ παρ᾽ ἡμῶν, ἐπίστελλε.

Τοῖς μιτυληναίων ἄρχουσι.

Οἱ παῖδες οἱ ἀφαρέως υἱιδεῖς ὄντες ἐμοὶ, παρακληθέντες ὑπὸ ἀγήνορος τοῦ περὶ τὴν μουσικὴν, ἐδεήθησάν μου γράμματα πέμψαι πρὸς ὑμᾶς, ὅπως ἂν ἐπειδὴ καὶ τῶν ἄλλων τινὰς κατηγάγετε φυγάδων, καὶ τοῦτον καταδέξησθε καὶ τὸν πατέρα καὶ τοὺς ἀδελφούς. λέγοντος δέ μου πρὸς αὐτοὺς, ὅτι δέδοικα μὴ λίαν ἄτοπος δόξω καὶ περίεργος, ζητῶν δωρεὰς τηλικαύτας τὸ μέγεθος παρ᾽ ἀνδρῶν οἷς οὐδὲ πώποτε πρότερον οὔτε διελέχθην οὔτε συνήθης ἐγενόμην, ἀκούσαντες ταῦτα πολὺ μᾶλλον ἐλιπάρουν. ὡς δὲ οὐδὲν αὐτοῖς ἀπέβαινεν ὧν ἤλπιζον, ἅπασιν

ἦσαν καταφανεῖς ἀηδῶς διακείμενοι καὶ χαλεπῶς φέροντες. ὁρῶν δ' αὐτοὺς λυπουμένους μᾶλλον τοῦ προσήκοντος, τελευτῶν ὑπεσχόμην γράψειν τὴν ἐπιστολὴν καὶ πέμψειν ὑμῖν. περὶ μὲν οὖν τοῦ μὴ δικαίως ἂν δοκεῖν μωρὸς εἶναι καὶ ὀχληρὸς, ταῦτ' ἔχω λέγειν. Ἡγοῦμαι δὲ καλῶς ἂν ὑμᾶς βεβουλεῦσθαι καὶ διαλλαττομένους τοῖς πολίταις τοῖς ὑμετέροις, καὶ πειρωμένους τοὺς μὲν φεύγοντας ὀλίγους ποιεῖν, τοὺς δὲ συμπολιτευομένους πολλοὺς καὶ μιμουμένους τὰ περὶ τὴν στάσιν τὴν πόλιν τὴν ἡμετέραν. μάλιστα δ' ἄν τις ὑμᾶς ἐπαινέσειεν, ὅτι τοῖς κατιοῦσιν ἀποδίδοτε τὴν οὐσίαν. ἐπιδείκνυτε γὰρ καὶ ποιεῖτε πᾶσι φανερὸν, ὡς οὐ τῶν χρημάτων ἐπιθυμήσαντες τῶν ἀλλοτρίων, ἀλλ' ὑπὲρ τῆς πόλεως δείσαντες, ἐποιήσασθε τὴν ἐκβολὴν αὐτῶν. οὐ μὴν, ἀλλ' εἰ καὶ μηδὲν ὑμῖν ἔδοξε τούτων, μηδὲ προσεδέχεσθε μηδένα τῶν φυγάδων, τούτοις γε νομίζω συμφέρειν ὑμῖν καταγαγεῖν. αἰσχρὸν γὰρ τὴν μὲν πόλιν ὑμῶν ὑπὸ πάντων ὁμολογεῖσθαι μουσικωτάτην εἶναι, καὶ τοὺς ὀνομαστοτάτους ἐν ταύτῃ, τυγχάνειν παρ' ὑμῖν γεγονότας, τὸν δὲ προέχοντα τῶν νῦν ὄντων περὶ τὴν ἱστορίαν τῆς παιδείας ταύτης, φεύγειν ἐκ τῆς τοιαύτης πόλεως. καὶ τοὺς μὲν ἄλλους Ἕλληνας, τοὺς διαφέροντας περί τι τῶν καλῶν ἐπιτηδευμάτων καὶ μηδὲν προσήκοντας, ποιεῖσθαι πολίτας. ὑμᾶς δὲ τοὺς εὐδαιμονοῦντάς τε παρὰ τοῖς ἄλλοις καὶ μετέχοντας τῆς αὐτῆς φύσεως, περιορᾶν παρ' ἑτέροις μετοικοῦντας. Θαυμάζω δ' ὅσαι τῶν πόλεων μειζόνων δωρεῶν ἀξιοῦσι τοὺς ἐν τοῖς γυμνικοῖς ἀγῶσι κατορθοῦντας μᾶλλον, ἢ τοὺς τῇ φρονήσει καὶ τῇ φιλοπονίᾳ τῶν χρησίμων εὑρίσκοντάς τι. καὶ μὴ συνορῶσιν ὅτι πεφύκασιν αἱ μὲν περὶ τὴν ῥώμην καὶ τὸ τάχος δυνάμεις, συναποθνῄσκειν τοῖς σώμασιν· αἱ δ' ἐπιστῆμαι παραμένειν

ἅπαντι

ἅπαντα τὸν χρόνον ὠφελούσας τοὺς χρωμένους αὐταῖς. Ὧν ἐνθυμουμένους χρὴ τοὺς νοῦν ἔχοντας, περὶ πλείστου μὲν ποιεῖσθαι τοὺς καλῶς καὶ δικαίως τῆς αὑτῶν πόλεως ἐπιστατοῦντας. δευτέρους δὲ τοὺς τιμὴν καὶ δόξαν αὐτοῖς καλὴν συμβάλλεσθαι δυναμένους. ἅπαντες γὰρ ὥσπερ δείγματι τοῖς τοιούτοις χρώμενοι καὶ τοὺς ἄλλους τοὺς συμπολιτευομένους ὁμοίους εἶναι τοῖς τοιούτοις νομίζουσιν. Ἴσως οὖν εἴποι τις ἂν προσήκειν τοὺς εὑρέσθαι τι βουλομένους μὴ τὸ πρᾶγμα μόνον ἐπαινεῖν, ἀλλὰ καὶ σφᾶς αὐτοὺς δικαίους ἂν τυγχάνειν, περὶ ὧν ἂν ποιῶνται τοὺς λόγους. ἔχει δ' οὕτως. Ἐγὼ τοῦ μὲν πολιτεύεσθαι καὶ ῥητορεύειν ἀπέσχον. οὔτε γὰρ φωνὴν ἔσχον ἱκανὴν, οὔτε τόλμαν. οὐ μὴν δέ γε παντάπασιν ἄχρηστος ἔφυν οὐδὲ ἄδοξος. ἀλλὰ τοῖς προαιρουμένοις λέγειν ἀγαθόν τι περὶ ὑμῶν καὶ τῶν ἄλλων συμμάχων, φανείην ἂν καὶ σύμβουλος καὶ ἀγωνιστὴς γεγενημένος. αὐτός τε πλείους λόγους πεποιημένος ὑπὲρ τῆς ἐλευθερίας καὶ τῆς αὐτονομίας τῶν ἑλλήνων, ἢ σύμπαντες οἱ τὰ βήματα κατατετριφότες. ὑπὲρ ὧν ὑμεῖς ἄν μοι δικαίως πλείστην ἔχοιτε χάριν. μάλιστα γὰρ ἐπιθυμοῦντες διετελεῖτε τῆς τοιαύτης καταστάσεως. οἶμαι δ' εἰ Τιμόθεος καὶ Κόνων ἐτύγχανον ζῶντες, Διόφαντος δ' ἧκεν ἐκ τῆς ἀσίας, πολλὴν ἂν αὐτοὺς ποιήσασθαι σπουδὴν εὑρέσθαι με βουλομένους, ὧν ἐτύγχανον χρείαν ἔχοντες. περὶ ὧν οὐκ οἶδ' ὅτι δεῖ πλείω λέγειν. οὐδεὶς γὰρ ὑμῶν οὕτως ἐστὶ νέος οὐδ' ἐπιλήσμων, ὅστις οὐκ οἶδε τὰς ἐκείνων εὐεργεσίας. Οὕτω δ' ἄν μοι δοκοίητε κάλλιστα βεβουλεῦσθαι περὶ τούτων, εἰ σκέψαισθε τίς ἐστιν ὁ δεόμενος. καὶ ὑπὲρ ποίων τινῶν ἀνθρώπων. εὑρήσετε γὰρ ἐμὲ μὲν οἰκειότατα κεχρημένον τοῖς μεγίστων ἀγαθῶν αἰτίοις γεγενημένοις ὑμῖν τε καὶ τοῖς ἄλλοις.

ὑπὲρ δὲ ὧν δέομαι τοιούτοις ὄντας, οἵους τοὺς μὲν πρεσβυτέρους καὶ τοὺς περὶ τὴν πολιτείαν ὄντας, μὴ λυπεῖν. τοῖς δὲ νεωτέροις διατριβὴν παρέχειν ἡδεῖαν καὶ χρησίμην καὶ πρέπουσαν τοῖς τηλικούτοις. Μὴ θαυμάζητε δὲ εἰ ῥᾳδίως οὕτω γράφω. καὶ περὶ μὲν τῶν ἄλλων ἁπάντων καὶ τῶν φιλτάτων τὴν ἐπιστολὴν πέπομφα βούλομαι γὰρ ἀμφότερα τοῖς τε παισὶν ὑμῶν χαρίσασθαι, καὶ ποιῆσαι φανερὸν, ὅτι κἂν μὴ δημηγορῶσιν, ἀλλὰ μόνον μιμῶνται τὸν τρόπον τὸν ἐμὸν, οὐκ ἠμελημένως ἕξουσιν ἐν τοῖς ἄλλοις. Ἓν

ἔτι λοιπόν. ἢν ἄρα δόξῃ τι τούτων ὑμῖν πρακτέον, δηλοῦν

Ἀγήνορί τε καὶ τοῖς ἀδελφοῖς, ὅτι μέρος τι καὶ

δι' ἐμὲ τυγχάνουσιν ὧν αὐτοὶ λίαν

ἐπιθυμοῦσι

τυγχά-

νειν.

Τέλος τῶν Ἰσοκράτους

ἐπιστολῶν.

ΦΑΛΑΡΙΔΟΣ ΕΠΙΣΤΟΛΑΙ ΤΥΡΑΝΝΟΥ ΑΚΡΑΓΑΝΤΙΝΩΝ.

Φάλαρις Ἀλκιβούστῳ.

π Ολύκλειτος ὁ μεσσήνιος, οὗ κατηγορεῖς παρὰ τοῖς πολίταις προδοσίαν, ἰδίου συντόμου νόσου ἀνήκεστον. οὐκ ἀγνοῶ δέ, λυπεῖς εὐαγγελιζόμενός σοι καὶ δεδάκρυκα. σὲ δὲ οὐκ ἂν οὐδ' αὐτὸς ὁ τῆς τέχνης ἡγεμὼν ἀσκληπιὸς, μετὰ πάντων ἰάσαιτο τῶν θεῶν. σώματος μὲν γὰρ ἀρρωστίαν, θεραπεύει τέχνη. ψυχῆς δὲ νόσον, ἰατρὸς ἰᾶται θάνατος. ὃν ἂν ἐπευχέσθαι τὸν ἀντὶ πολλῶν καὶ μεγάλων ἀδικημάτων, οὐκ ἀκουσίων, ὧν ἐμοὶ προτρέπεις, ἀλλ' ἑκουσίων, ὧν αὐτὸς εἴργασαι, προσδέχου.

Μεγαρεῦσιν ὀνειδιστική.

ὁ Υμέμφομαι τὴν ἀχαριστίαν ὑμῶν πολλάκις εὐεργετημένων, ὅτι μου κρινομένου περὶ τῶν ὅρων πρὸς τοὺς ἀστυγείτονας, κατεψευδομαρτυρήκατε. κατηγορῶ δὲ ἐμαυτοῦ τῆς ἀναλγησίας, ὅτι προπηλακιζόμενος ὑπὸ τῶν αὐτῶν πολλάκις, οὐ σωφρονίζομαι. ὑμεῖς μὲν γὰρ, οὐδέποτε χάριτος ἐμοὶ μνημονεύετε. ἐγὼ δέ, ὡς μηδέποτε ἐπιλελησμένοις χαρίζομαι.

Τυρσηνῷ.

ἐ Ι τοὺς μετὰ ἀνάγκης τι πράξαντας τῶν μὴ νομίμων, χαλεπὸς ἔχειν δεῖ περὶ τοῦ μέλλοντος βίου προσδοκίας, ὡς ὑπέφαινες αἰγεσταίοις, εἰς τὴν τοῦ δαιμονίου πρόνοιαν ἀναφέρων τὰ περὶ ἐμοῦ, τίνας ἐχρῆν ἐλπίδας ἔχειν σὲ περὶ σεαυτοῦ τὸν μὴ μετὰ ἀνάγκης, μηδὲν ὧν παρανενόμηκας, μετὰ γνώμης δὲ ἅπαν ἠσεβηκότα.

Λυκίνῳ.

ὀ Υκ ὀρθῶς ἠρώτησας ἐν λεοντίνοις, ὡς παρόντα με καὶ δυνάμενον ἀποκρίνεσθαί σοι, τίς εἰμι, καὶ τίνων, καὶ πόθεν.

ἐγὼ δὲ ὡς ἐμαυτὸν οἶδα Φάλαριν λεωδάμαντος υἱὸν, ἀστυπαλαιέα τὸ γένος, πατρίδος ἀπεστερημένον, τύραννον ἀκραγαντίνων, ἔμπειρον πολλῶν, ἀπειρῶτα μέχρι τοῦ παρόντος, οὕτως οἶδα καὶ Λυκῖνον πόρνον μὲν ἐν παισὶ, λάγνον δὲ ἐννέοις, μοιχὸν δὲ ἐν γυναιξίν· ἀκόλαστον δὲ ἐν νόμοις, ἀσελγῆ δὲ ἐν ἡδοναῖς· ἀργὸν δὲ ἐν εἰρήνῃ, λειποτάκτην δ' ἐν πολέμοις· δώσοντά μοι καὶ τῶν δημηγοριῶν καὶ τούτων ὧν ἐλέγχω σε δίκην. ἐὰν μὴ θᾶττον ἄλλως· ἀλλ' ὅταν ἐκδόντες παραδῶσι λεοντῖνοι, βουλόμενοι τοῦ πρὸς ἡμᾶς ἀπαλλαγῆναι πολέμου.

Λεοντίνοις.

ἐ Ι καταλῦσαί με τὸν πρὸς ὑμᾶς ὀρέγεσθε πόλεμον μηδὲν αἰδεσθέντες, ἔκδοτέ μοι Λυκῖνον, ἵνα τὴν ὀργὴν ἅπασαν εἰς τοῦτον ἀφεὶς, παύσωμαι τοῦ πρὸς τὴν πόλιν θυμοῦ. χρήσομαι δὲ οὐδὲν αὐτῷ χαλεπώτερον, ἢ πάντας ὑμᾶς ἐπίσταμαι βουλομένους.

Ζευξίππῳ.

τ Ω μὲν υἱῷ σου διὰ τὴν νεότητα συγγνώσομαι. σοὶ δὲ διὰ τὸ γῆρας καὶ τὸ ἀσύγγνωστα πεποιηκόσιν. ἂν μὲν γὰρ μὴ παύσησθε τῆς αὐθαδείας, οὔτε ἐκεῖνον ἡ νεότης, οὔτε σὲ τὸ γῆρας ἐξαιρήσεται. δι' αὐτὰ δὲ ταῦτα καὶ μᾶλλον κολασθήσεσθε, δι' ἃ νῦν συγγνώμης ἀξιοῦσθε.

Εὐηνῷ.

γ Νώμης γενόμενος τὸ πρῶτον ἁλόντα τῶν αἰχμαλώτων ἀποκτεῖναί σου τὸν υἱὸν, αὐθῶν ἠδικηκέμου τοὺς ναυάρχους μετέγνων ὕστερον καὶ σέσωκα. μᾶλλον γὰρ βούλομαι διὰ τῆς ἐκείνου ζωῆς σε λυπεῖν, ἢ διὰ τῆς ἀναιρέσεως τὸν ἀποθανόντα. Ἔρρωσο. Σαμίοις.

ἐ Ιδὼς σου τὴν χρηστότητα τοῦ τρόπου καὶ τὴν ὑπὸ φύσεως πρὸς ἅπαντας φιλανθρωπίαν, καὶ ὅτι τὰς τῶν πλησίον δυστυχίας ἡμέρως καὶ συμπαθῶς ἰδίας ἀλγηδόνας, καὶ συμφορὰς ἡγῇ,

γέγρα

γεγράφασι συντόμως, ὅτι καὶ τὴν δίκην καὶ τὴν ναυμαχίαν καὶ τὴν παράταξιν, καὶ τὸ τελευταῖον τὸν ἱππικὸν ἀγῶνα νενικήκαμεν, ἵνα ἀκούσας ὡς προσήκει καλῶν κἀγαθῶν, στένῃς ἀδιαλείπτως· λαμβάνων παρὰ τῆς σεαυτοῦ φύσεως τὰς ἀξίας καὶ πρεπούσας τοιαύτῃ κακοηθείᾳ βασάνους. Κλεοστράτῳ.

π Ανυμοι δοκεῖ μετὰ γέλωτος ἄξιον εἶναι θαυμάσαι τὸ σωφρονίζεσθαί τινας ὑπὸ σοῦ. τὸν γὰρ ἄλλοις ἐπιτιμᾶν ἐπιβαλλόμενον, αὐτὸν ἀπηλλάχθαι χρὴ πάσης πονηρίας. σὺ δὲ τοῖς τῶν ὑπὸ σοῦ νουθετουμένων κακίαις ἔνοχος ὢν, καὶ ταῖς ἄλλαις ἁπάσαις, ὡς ἀνεπίληπτος εἰς πονηρίαν, οὕτω νουθετεῖς. Λακρίτῳ.

ά Χθομένῳ μὲν σοι βαρέως ἐπὶ τῇ τοῦ παιδὸς τελευτῇ, πολλὴ συγγνώμη. κἀγὼ γὰρ σφόδρα συμπαθῶν, ὡς εἰς τὸ οἰκεῖον τὸ συμβεβηκὸς ἡγούμενος, μεῖζον ἄχθομαι. καίτοι στερροτέρᾳ φύσει, πρὸς τὰ τοιαῦτα χρώμενος, διὰ τὸ μηδὲν ὄφελος ὁρᾶν μὴ δὲ τοῖς ἀμέτρως ἀνιωμένοις. παραμυθία δὲ ἔστω σοι μεγάλη τῆς ἐπ᾽ αὐτῷ συμφορᾶς, πρῶτον μὲν ὅτι ὑπὲρ πατρίδος ἀγωνιζόμενος ἐν πολέμῳ, σὺν ἀριστείᾳ τέθνηκεν. εἶθ᾽ ὅτι νικῶν, καλλίστου τέλους ὑπὸ τῆς εἱμαρμένης ἠξίωται. τὸ δὲ τελευταῖον, ὅτι μηδὲν ἁμαρτὼν παρὰ τὸν βίον, ὑπεσφράγισται τὴν ἰδίαν ἀρετὴν θανάτῳ. ὁ μὲν γὰρ ἐν τῷ ζῆν ἀγαθὸς, ἄδηλον εἰ μεταβαλεῖ πρὸς τὸ χεῖρον. αἱ τύχαι γὰρ ἀνθρώπων τὸ πλεῖστον οὐχ αἱ γνῶμαι κρατοῦσιν. ὁ δὲ τελευτήσας ἀκατηγόρητος, ἐν τῷ καλλίστῳ σχήματι τῆς δόξης καθίδρυται. νομίσας οὖν ἀξίας παρ᾽ αὐτοῦ χάριτας ἀπειληφέναι γενέσεως καὶ ἀναστροφῆς, τὸ καλὸν κἀγαθὸν μέχρι τέλους αὐτὸν γεγονέναι, ταύτην αὐτῷ τὴν ἀμοιβὴν ἀντίδος, τὸ πρᾴως καὶ εὐπαρηγορήτως, τὴν ἐπ᾽ αὐτῷ λύπην ἐνεγκεῖν.

κ Αἱ τοὺς ἵππους ἐκπέμψασι κεκοσμημένους ἐπὶ τὸν ἀγῶνα, καὶ τὰ χρήματα δοῦναι Τεύκρῳ προστέταχα. καὶ αὐτὸς του, δέῃ, μὴ κατόκνει γράφειν· οὐδὲν γὰρ οὕτως ἔσται μέγα τῶν αἰτημάτων, ὃ μὴ πάντως αἰτησαμένῳ χαριούμεθα.

Ἀγλαΐῳ.

ε Κτήσασθαι εἴκαμεν τοῦ πλέονος, ὅσα παρέχει ὁ θεός, εἰς μεταβολὰς τῆς τύχης, οὐκ ἐν τοῖς κόλποις τῆς γῆς, ὡς παραινεῖς, ἀλλ' εἰς τοὺς βουληθέντας τῶν φίλων τὰς δωρεὰς λαμβάνειν. σὺ μὲν, οὐδεὶς τοῦτο προθυμότερον ἡμῖν σεαυτὸν ἐχαρίσω, τὸ καίτοι γ' ὑμᾶς τοὺς φίλους, καὶ ἀποσφαλῶ μὲν τῆς ἀρχῆς, ἔχεσθαι τῶν ἐλπίδων. οὐ μὴν ἀλλ' εἰ καὶ μὴ πρότερον, νῦν γε λαβὼν ὡς παρακαταθήκην ἐμοὶ φυλαχθησομένην, φίλου τι ποίησον ἔργον. πιστὸν δὲ οὐδὲν ἡγησόμεθα γῆς μέρος, παρελθόντες ὡς κόνεως ἀπιστοτέρους τοὺς ἐξ ὑμῶν τῶν ἑταίρων κρατίστους. ὧν εὐτυχούντων, καὶ αὐτὸς ἑτέρῳ συμπλακῶ δαίμονι, καθ' εἷς οὐδὲν ἧττον εὐτυχεῖν δόξω.

Ἡροδίκῳ.

ἀ Ἄλλου μὲν ἦν κακῶς πεπονθότος, μηδὲν ὁμολογῆσαι πρὸς τὸν δεδρακότα περὶ ἀμύνης, ὅπως ἥκιστα πρὸς αὐτὸν ὕποπτος, ἁλῷ. ἐγὼ δὲ τοῦτο μὲν ἀγεννοῦς ἀνδρὸς ἔργον ἡγοῦμαι τό, τὸν ἀγνοοῦντα χειρώσασθαι. προηδικημένος δ' ὑπὸ σοῦ, μηνύσω σοι φυλάττεσθαι τὴν ἐπιοῦσαν ἐξ ἡμῶν ἄμυναν. ἵνα πρὸ τοῦ μὲν παθεῖν, ἡ προσδοκία κολάζῃ σε. μετὰ δὲ τὴν προσδοκίαν, αὐτὸ τὸ παθεῖν.

Εὐμήλῳ.

ὀ Ὑπὲ δοκοῦντος οὔτε ὄντος ἀδίκου τὸν κατάρξαντος πλημμελεῖν, ἀμύνεσθαι, τοῦ πρώτου γεγονότος ὑπὸ σοῦ, τὸ δεύτερον ἀφ' ἡμῶν ἔσεσθαι προσδέχου.

τ Αυρομενείταις τὰ λύτρα τῶν αἰχμαλώτων ἅπερ ἔλαβον, ἀπόδος, μὴ ποιούμενος ἐμὴν τὴν χάριν, ἀλλὰ Στησιχόρου. ζῇ δ᾽ ἐκεῖνος εἰς τὴν τῶν ληψομένων εὐεργεσίαν, ὁ παρ᾽ ἐμοῦ ταύτην ᾐτημένος. τέθνηκε μέντοι, ἡ περὶ τούτων αὐτῷ χάρις, εἰς ἀμνήμονας ἀνθρώπους δεδομένη.

Ἀριφοίτῃ.

τ Ἃ μὲν σά, τὰ τούτων ὧν πέπομφα μὲν καὶ πλειόνων ἔτι τὰ μειζόνων ἀγαθῶν, ἄξια. τὰ δ᾽ ἐμά, μὴ βούλου μαθεῖν. οὐδὲν γὰρ ἐπ᾽ αὐτοῖς ἔχομεν σιγῆς κρεῖττον.

Ἀμφινόμῳ.

ο Υ διδόναι χάριτας οἴομαι δωρούμενος ἀγαθοῖς ἀνδράσιν, ἀλλὰ πολὺ μᾶλλον παρ᾽ αὐτῶν λαμβάνειν. ὅθεν ἀξιῶ μὴ ὡς προδεδωκότα με χάριν, ἀλλ᾽ ὡς προσοφείλοντά σοι, διὰ τὸ βουληθῆναί σε λαβεῖν ἃ ἔπεμψα μέν, γράφειν. Ἔρρωσο.

Ἐρυθίᾳ.

κ Αἰ περὶ μὲν ἐμαυτοῦ πλείστην οἶδά σοι χάριν, καὶ περὶ τοῦ κοινοῦ παιδός, ὃν ἐπὶ σοὶ κατέλιπον Ἐρυθία. περὶ μὲν ἐμαυτοῦ, ὅτι φεύγοντός μου, χηρεύειν ὑπέμεινας μᾶλλον ἢ γήμασθαί τινι, πλείστων ἀγαγέσθαι βουλομένων. περὶ δὲ τοῦ παιδός, ὅτι σὺ ἀμφότερα καὶ μήτηρ αὐτῷ καὶ τροφὸς καὶ πατὴρ ἐγένου, οὔτε ἄνδρα ἕτερον ἀντὶ Φαλάριδος οὔθ᾽ υἱὸν ἀντὶ Παυρόλα προτιμήσασα. ἀλλ᾽ ἀντὶ μὲν ἀνδρὸς δευτέρου, τὴν ἐπὶ τῷ πρώτῳ μονὴν ἑλομένη. ἀντὶ δὲ παιδὸς ἄλλου, τὸν ὑπὸ τοῦ πρώτου σπαρέντα σώζουσα. τελείωσον οὖν ἀνδρὶ καὶ υἱῷ τὴν ἀπὸ σεαυτῆς αὐτῷ δεδομένην χάριν, ἄχρις ἂν φρονήσας τὰ ἁρμόζοντα τοῖς χρόνοις, μήτε πατρὸς ἔτι, μήτε μητρὸς προσδέηται. λιπαρῶ δέ σε μετὰ τοσαύτης δεήσεως, οὐχ ὡς ἀπιστῶν μητρὶ περὶ τέκνου καὶ ταῦτα τοιαύ

τῃ, ἀλλ' ὡς πατὴρ ὑπὲρ ἑνὸς υἱοῦ φοβούμενος. δύναιο δ' ἂν ἀπὸ τῶν ἑαυτῆς παθῶν, καὶ τὸ περὶ πατέρων τοῖς τέκνοις ἐνθυμηθεῖσα δέος, συγγνώμης ἀξιοῦν τὸν οὕτως ἐπιστέλλοντά με. Ἔρρωσο. Παυρόλᾳ.

μ Ἄλιστα μὲν ἀμφοτέρους τοὺς γονέας ὦ παῖ στέργειν σοι προσήκει καὶ περὶ πλείστου ποιεῖσθαι. τοῦτο γὰρ καὶ σεμνὸν καὶ ἄλλως εὐσεβὲς ἐστι, μεμνῆσθαι τῶν γεγεννηκότων, καὶ τοσοῦτον εὐεργετησάντων χάριτος. ἐπεί τοι πατρὸς ἀμέλησον μᾶλλον ἢ μητρός. οὐ γὰρ ἀπὸ τῶν ἴσων καὶ ὁμοίων τὰ πατρὸς ἂν εἴη δίκαια πρὸς τέκνων αὔξησιν, καὶ τὰ μητρός. ἀλλ' ἡ μὲν σὺν τῷ κυῆσαι, καὶ γεννῆσαι καὶ τιθηνῆσαι, μυρίους ἄλλους ἀνέτλησε πόνους. ὁ δὲ ἐκ τραφέντος ὑπὸ τῆς τεκούσης καὶ τελειωθέντος, ἀπολαύσεως μετέχειν ἀξιοῖ, δυσκόλου πειραθεὶς οὐδενός. ἰδιαίτερον δὲ τῶν ἄλλων ἡ σὴ μήτηρ διὰ τὰς ἐμὰς φυγὰς περὶ τῆς σῆς κεκοπίακε τελειώσεως, τὰς ὑπὲρ ἀμφοῖν μόνη φροντίδας ὑποστᾶσα. ὥστε καὶ σὺ τὰς εἰς ἑκατέρους τοὺς γονέας εὐχαριστίας, μιᾷ μητρὶ τῇ πάντα πονησάσῃ ἀπόδος. πεπληρώσεται γάρ σοι καὶ τὰ πρὸς τὸν πατέρα δίκαια διὰ τῶν εἰς τὴν μητέρα φιλανθρώπων. οὐδὲν γὰρ ἀπαιτήσω πλεῖον εἰς ἐμαυτὸν, ἂν εἰς ταύτην εὐσεβήσῃς. μᾶλλον δὲ καὶ προσειληφέναι παρὰ σοῦ πολὺ μέρος εὐεργεσίας ὁμολογήσω. πρέπει γάρ σοι μητρὶ χάριν περὶ πολλῶν ἀποδιδόντι, μεγάλης εὐεργεσίας ἀρχὴν κτήσασθαι πρὸς πατέρα. Τῷ αὐτῷ.

τ Ἃ μὲν παρὰ πατρὸς εἰς υἱὸν ἔσχηκας δίκαια Παυρόλα. τὰ δὲ, ἐκ σοῦ πατρὶ δυνάμει, οὐκ ἀντιπαρέχων, ἁμαρτάνεις. πυνθάνομαι γάρ σε παιδείας, ὃ πολλάκις ἐμεμψάμην, οὐκ ἐπιμελεῖσθαι. ἄλλην δὲ χάριν οὐκ ἐπιζητῶ λαβεῖν παρὰ σοῦ, ταύτης ὑστερήσας. ἴσθι δὲ ὅτι καὶ τὸ παιδείας συμφέρον, ἐὰν χαρίσασθαι βουληθῇς, οὐχ ὅλην ἐμοὶ μόνῳ τὴν χάριν, ἀλλ' ὅσῳ σὺ μᾶλλον καθέξεις.

π Ολύκλειτον ὡς πυνθάνομαι τὸν ἰατρὸν ὑμῶν μέμφεσθε ὡς προδότην ἀκραγαντίνων γεγονότα, ὅτι με κάμνοντα λαβὼν, δυνάμενος ἀποκτεῖναι, χαλεπωτάτης ἐξήρπασε νόσου. καὶ τὸν ἔπαινον αὐτοῦ τῆς δικαιοσύνης, κατηγορίαν ἀδικίας περιτίθεσθε. καὶ τοῦθ' ὁμολογοῦντες, οὐκ αἰσχύνεσθε. ἐγὼ δὲ θαυμάζω τῆς τόλμης αὐτοῦ τὸν τρόπον μᾶλλον, ὅτι καὶ θνήσκοντά με πιστευθεὶς, οὐχ ὡς τύραννον ἀνῄρηκεν, ἀλλ' ὡς νοσοῦντα τεχνήσας ἔσωσε. καὶ διὰ μὲν τὴν ὑμετέραν μέμψιν, οὐδ' ὁτιοῦν πέπονθε κακόν. διὰ δὲ τὴν ἐμὴν εὐχαριστίαν, ὅμοια τοῖς πρώτοις σικελιωτῶν πεπλούτηκεν. οἶδα γοῦν ὅτι διὰ τὴν δόσιν τῶν εὐχαριστηρίων, πάντες εὔχεσθε προδόται μᾶλλον ἀκραγαντίνων, ἢ τυραννοκτόνοι Φαλάριδος ἀκουσθῆναι. Ανδροκλεῖ

κ Αγὼ μὲν ἐσπουδασμένως ἐπέσταλκα Στησιχόρῳ μηδὲν ἀχθεσθῆναι περὶ τῆς διαβολῆς, ἣν κατ' αὐτοῦ πεποίηνται πρός με οἱ περὶ Εὔβουλον. καὶ σὺ δὲ δός μοι ταύτην τὴν χάριν ἀνάδοχος αὐτῷ γενόμενος, περὶ τοῦ μηδὲν ἐμὲ πονηρὸν κατ' αὐτοῦ πεπιστευκέναι. μᾶλλον γὰρ ἂν πεισθείην ὡς τὴν ἀρχὴν οὐδ' ἐπεβουλεύθην ὑπ' αὐτῶν, ὅπερ ὡμολογήκασιν, ἢ ὡς διὰ τὰς ἐκείνου ποιήσεις, ἀλλ' οὐ διὰ τὰς ἰδίας κακουργίας εἴησαν ἐπιβεβουλευκότες. Πυθαγόρᾳ

ἡ Φαλάριδος τυραννὶς, τῆς πυθαγόρου φιλοσοφίας πλεῖστον ὅσον δοκεῖ κεχωρίσθαι. κωλύει δ' ὅμως οὐδὲν τούτων οὕτως ἐχόντων συγγενομένους ἡμᾶς, τὴν ἀρετῆς διάπειραν ἀλλήλων λαβεῖν. δύναιτο γὰρ ἂν τὰ πόρρωθεν διεστῶτα συναγαγεῖν ἐς ταυτὸν ὁμιλία. ἐγὼ μὲν οὖν ἀκοῇ τὰ περὶ σοῦ πυνθανόμενος, ἄριστον ἄνδρα πέπεισμαί σε εἶναι. σὺ δὲ περὶ ἐμοῦ μὴ κρῖνε. ψευδὴς γάρ με δόξα λυπεῖ. οὐ μὴν, ἀλλ' εἴ μοι μὲν οὐκ ἔστιν ἀσφαλὲς ἀφικέσθαι πρὸς σὲ, διὰ ἣν κατηγοροῦμαι

γὰρ ὅπλων καὶ δορυφόρων ἐρχόμενος, εὐεπιχείρητος ἔσομαι. μεθ' ὅπλων δὲ καὶ φρουρᾶς, ὕποπτος. σοὶ δὲ πᾶσι ἀσφαλεία κινδύνων ἀπηλλαγμένῳ, παραγενέσθαι πρός με καὶ μεθ' ἡσυχίας συμβιῶναι. λαμβάνων δέ μου διάπειραν, ἐὰν μὲν ὡς τύραννον ἐξετάζῃς, ἰδιώτην εὑρήσεις με μᾶλλον ἢ τύραννον. ἐὰν δὲ ὡς ἰδιώτην, ἔχοντά τι διὰ τὴν ἀνάγκην καὶ τυράννου. κρατεῖν γὰρ οὐχ οἷόν τε τοιαύτης ἀρχῆς ὠμότητι μὴ χρώμενον. εἰ δ' ἔστιν ἐν τυραννίδι χρηστότης ἀκίνδυνον, διά τε τἄλλα καὶ διὰ τοῦτό σοι ποθῶ συγγενέσθαι. πείσομαι γάρ σοι τὴν ἡμερωτέραν ὁδὸν πορευθῆναι, ἐὰν τὸ πιστὸν εἰς σωτηρίαν τῷ πειθησομένῳ, μετὰ τῶν Πυθαγόρου λόγων ἡ ἀλήθεια προσβεβαιώσῃ. Θώρακι.

π Οτερον ἐμαυτὸν ὡς ἀσαφῶς γράφοντα μέμψομαι, ἢ σὲ ὡς ἑκουσίως μαθεῖν μὴ βουλόμενον αἰτιάσομαι, ἀγνοῶ. δύο γάρ σοι μυριάδες ἐκλογισμῶν λελοίπασιν. εἰ σαφέστερον ἐπιζητεῖς διδαχθῆναι, τοὺς ἄλλῳ σε τρόπῳ διδάξοντας, ἢ σὺ μαθεῖν ἂν ἠθέλησας, ἐντύχει παρ' ἡμῶν προσδέχου. Ἔρρωσο.

Λεοντιάδῃ.

ο Υ νῦν ἀλλὰ πολλάκις ἤδη σοι γέγραφα μηδεμίαν ἄλλην εὐχαριστίαν ἢ ταύτην ἡμῖν ἀποδιδόναι περὶ τῆς γυναικὸς εἰ ἄρα νομίζεις ὑφ' ἡμῶν εὖ πεπονθέναι διὰ τὸν γάμον, τὸ στέργειν ἐκείνην, δι' ἣν ἡμῖν οἴει δεῖν χάριτας ἀπονέμειν, ἐξῆς ἡ συνάφεια τοῦ πρὸς ἡμᾶς γένους, ἀρχὴν εἰληφέναι σοι φαίνεται. Ἔρρωσο.

Αἰφράδει.

α Υθάδεια καὶ νεότητος ἀβουλία, πολλοὺς αὐτῶν ἀπώλεσεν. οἷς ἀμφοτέροις πάθεσιν, ἴσθι σου τὸν υἱὸν κεχρημένον. ἀδικούμενος δ' ὑπ' αὐτοῦ δι' ἃς προείρηκα αἰτίας, τὴν ἄμυναν ἐπέσχηκα, σοὶ

βουλόμε

βουλόμενος οὐκ ἐκείνῳ χαρίζεσθαι. μαρτυρεῖ γὰρ ὑπὸ πολλῶν ἀεὶ στὴν ἐπιείκειαν ἔχων παρὰ σεαυτῷ. διόπερ οὐκ ἐδοκίμαζον δι' ἐμοῦ πονηρίαν, λυπεῖν γῆρας πρὸς οὐδὲν ἀδικοῦντος. ἐγὼ γὰρ ἔχων παῖδα τοῦτον, εἰ καὶ πάντως φαῦλός ἐστι, δι' ἐρημίαν ἄλλου διαδόχου, στέργω. κακίαν γὰρ υἱοῦ, πρὸς εὔνοια νικᾷ. ἐὰν μέντοι μὴ παύσηται πλεονάζων, ἀπειθῇ δὲ ἐν τοῖς σοῖς παραγγέλμασι καὶ τοῖς ἐμοῖς λόγοις, μὴ ἀγνοήσῃς, ὅτι καὶ περὶ ἐμαυτοῦ καὶ περὶ σοῦ λήψομαι τὰς προσηκούσας παρ' αὐτοῦ δίκας. ἵνα δὲ ὅταν ἐπ' αὐτῷ γένηται τῷ κακῷ, διατείνων ἐν οἷς ἐστι μὴ προσποιηθῇ, δοκεῖν ἠγνοηκέναι, τὰ ὑπ' ἐμοῦ γεγραμμένα πρὸς σέ, καὶ πρὸς αὐτὸν ἐκεῖνον περὶ τῶν αὐτῶν ἐπέσταλκα. Ἔρρωσο.

Ἀντιμάχῳ.

ε Ι μὲν ἔχων οὐκ ἀποδίδως τὸ δάνειον, ἑκὼν εἶ πονηρός. εἰ δ' οὐκ ἔχων, ἀδικεῖς μέν, τὸ δὲ ἀκούσιον παρὰ τοῖς ἀνθρωπίνως λογιζομένοις, συγγνώμης ἀξιοῦται. ἡ δ' συγγνώμη γίνωσκε, ὅτι μέλλησίς ἐστιν ἀπολήψεως οὐ παντελὴς χρημάτων ἀπόγνωσις.

Ἀριστομένει.

μ Η συνάχθομαί σοι περὶ τῶν τραυμάτων ὧν τέτρωμαι κατὰ τὸν πόλεμον. τὸ μὲν γὰρ εὔνουν καὶ συμπαθές σου, ἄγαμαι. τοσοῦτον δ' ἀπέχω τοῦ βαρέως φέρειν ἐπὶ τοῖς τοιούτοις, εἰ καὶ παρ' ὀλίγον ἦλθον ἐξ αὐτῶν ἀποθανεῖν, ὥς τε ἀφεύκτου τοῦ θανάτου ὄντος πᾶσιν ἀνθρώποις, εὐξαίμην ἂν καὶ τῆς εἱμαρμένης θᾶττον εἰ καὶ πλείονά μοι χρόνον ἐπιτρέπει ζῆν, ἐν πολέμῳ τελευτῆσαι. τί γὰρ ἀνδρὶ γενναίῳ μεῖζον ἀγαθόν, ἢ περὶ ἀρετῆς καὶ νίκης ἀγωνιζομένῳ ἀπερείσασθαι τὸν βίον.

Ξενοπείθει.

ο Υκ ἄχθομαι ταῖς διαβολαῖς οὔτε ταῖς δόξαις ἃς ἔχουσιν ἐφ' ἡμῖν οἱ μὴ δικαίως κατηγοροῦντες. καὶ τοῦτο δι' οὐδὲν ἕτερον πέπονθα, ἢ διὰ τὸ συνειδέναι, ὅτι τοῖς μὲν ἄλλοις φύσει κα

κοῖς, ἐμοὶ δὲ διὰ τὴν τῶν θεῶν πλεῖον ἰσχύουσαν ἀνάγκην τοιούτῳ γενέσθαι συνέβη. διαφέρει δὲ καθόσον, ὅτι ἐγὼ μὲν τύραννος ὢν, ἐξουσίαν διὰ τὴν ἀρχὴν ἔχειν ὁμολογῶ. ὑμεῖς δὲ ἰδιῶται γεγονότες, παρ' ὅσον δεδύκατε νόμους, ὁμολογεῖν δέον, ἀρνεῖσθε. Καταναίοις.

ά Χθὲς τοὺς αἰχμαλώτους τῶν ὑμετέρων πολιτῶν τινὰς, οὐδεμίαν ἐκ τῶν μυρίων ἔχοντας ἐλπίδα σωθῆναι, διὰ τὸ μὴ σφόδρα ὑμῖν αὐτῶν ἀναιρεθέντων μέλειν, σέσωκα, οὐκ ἐπιλελησμένος τῆς πρὸς ὑμᾶς ἔχθρας. ἁπάντων γὰρ ἂν εἴην ἐπιλησμονέστατος, εἰ τοῦ θυμοῦ μικροτέραν δίκην παρ' ὑμῶν λαβεῖν καταφρονήσαιμι. ὅταν δὲ τὴν κατ' ἀξίαν ὑπόσχητέ μοι, τὸ θ' ὑμᾶς τὸ μέγεθος τῆς συμφορᾶς, ὧν ἐδράσατε κακῶν ἀναμνήσει.

Ταῖς Στησιχόρου θυγατράσι.

τ Αὐρομενεῖται μὲν, ὑπὲρ ὧν γράφετε πρός με ἐντολὴν ἔχειν λέγουσαι παρὰ τοῦ πατρὸς ὅτε μετήλλαττε τὸν βίον, οὐδεμιᾶς ἦσαν ἐπιτήδειοι τυχεῖν ἐπιεικείας. οὐδὲν γὰρ ὑπ' ἐμοῦ πώποτε πλημμεληθέντες, οὔτ' ἔλαττον οὔτε μεῖζον, ἐξήνεγκαν ἀδίκως τὸν κατ' ἐμοῦ πόλεμον. Στησίχορος δὲ οὐ μόνον ταύτης τῆς χάριτος ἄξιός ἐστι παρ' ἐμοῦ τυχεῖν ἣν αἰτεῖται δι' ὑμῶν, τὰ λύτρα τῶν αἰχμαλώτων αὐτοῖς, ἅπερ εἰσεπραξάμην ἀποδοθῆναι προστάξαι, ἀλλ' εἰ καί τι τῶν ἀδυνάτων ἐστὶ μεῖζον. καὶ γὰρ εἰ τεθνάναι δοκεῖ τισιν; ὅπερ οὐδεὶς ἂν εὖ φρονῶν εἴποι, ἐμοὶ γοῦν ὁ τοιοῦτος, οὐ τέθνηκε. μὴ γὰρ τοσοῦτον ἰσχύσειε τὸ κατὰ ταυρομενιτῶν μῖσος, ὥστε Στησίχορον αἰτησάμενόν τι μὴ λαβεῖν, ὧν Φάλαρις ἔχει τὴν ἐξουσίαν. πάντας μὲν γὰρ ἀνθρώπους ὑπ' ἐκείνου πρέπει νικᾶσθαι. περιττότερον δὲ πάντων ἐμὲ, τὸν ἐν τοσαύταις μυριάσιν ἀνθρώπων ὧν ἐπειράθην, ἀνδρὸς ἐπιφανεστέραν ψυχὴν οὐκ ἰδόντα. διό τά, τε χρήμα

ται αὐτοῖς ἀποδοῦναι προστέταχα. τὴν χάριν ταύτην οὐδὲ δεδωκέναι τῷ παξινύμων μὰ τοὺς θεοὺς, ἀλλ' αὐτὸς παρ' ἐκείνου μᾶλλον εἰληφέναι νομίζω. Κριτοφήμῳ.

α Γαθοῦ μὲν ἔργον φίλου τοῦτο ποιεῖς καὶ πάντες, ὅσοι πολεόντιμοι τοῦ μεξίου περὶ ἀνδρείας μαρτυρεῖτε, πεπεισμένοι ταῖς ἐμαῖς βουλαῖς ἢ πράξεσιν ἡττῆσθαι λεοντίνους. ἐγὼ δὲ σαφῶς οἶδα τὴν μὲν ἀναγκαίαν ἄμυναν, ὑπ' ἐμοῦ πεπραγμένην, τὴν δὲ οὐκ τοιοτούτην νίκην ὑπὸ τῆς τύχης κατορθωμένην. οὐδὲν γάρ ἐστιν ὦ φίλτατε τῶν ἐν αὐτοῖς, οὔτε μεῖζον οὔτε ἔλαττον, ὃ μὴ ταῖς ἐκείνης ῥοπαῖς βεβαιοῦται. Κτησίππῳ.

ο Υπε πρῶτον ὁπηνίκα ταυρομενῖται ἀδίκως ἐξήνεγκαν τὸν κατ' ἐμοῦ πόλεμον, ἀπολυτρώσας τοὺς αἰχμαλώτους ἐκείνοις ἐχαριζόμην, τῷ δὲ κοινῷ δὲ νόμῳ τῶν ἑλλήνων, οὐκ ἠναντιώθην, οὐδ' ὕστερον ἀποδιδοὺς ἃ τότε ἔλαβον εὐεργετῶν τοὺς ἀπολυτρουμένους, ὅπερ ὠνείδιζες, αὖθις ἀπέδωκα. Στησιχόρῳ γὰρ πρεσβεύσαντι μόνῳ διὰ τῶν θυγατέρων περὶ αὐτῶν ἐπείσθην. ταυρομενῖται μὲν οὖν καὶ τεθνηκότι Στησιχόρῳ χάριν εἰδέτωσαν, ὧν ἔτυχον. Στησίχορος δὲ τοῖς ἑαυτοῦ τρόποις. ἐγὼ γὰρ περὶ πολλῶν καὶ μεγάλων ἐκείνῳ χάριτας εἰδὼς, οὐδὲν περὶ τῆς πρεσβείας ἀμνημονήσω. γινώσκω γὰρ ὅτι δι' αὐτῆς αἰτησάμενός τι παρ' ἐμοῦ, καὶ τυχὼν, ταυρομενίτας μὲν, εἰς χρήματα εὐηργέτησε. ἐμὲ δὲ εἰς ἐπίδειξιν ἧς ἔχειν ὑπ' ἀνθρώπων ἀπιστοῦμαι χρηστότητος. Πολυδώνῃ.

θ Αυμάζειν διὰ τῆς ἐπιστολῆς ἔοικας τὴν παρὰ πολύμου μεταβολὴν τοῦ βίου, ὅτι τὸν ἄλλον χρόνον θρασύτερος ἢ κατὰ τύραννον ἐμφανὴς ὤν, τανῦν οὐδὲ τοῖς ἀναγκαιοτάτοις ὁρῶμαι. ἐγὼ δὲ ἐν δεέστερον ἤδη, φεύγω πάντας ἀνθρώπους. πίστιν γὰρ οὔτε

παρ' ἄλλοις τισὶν, οὔτ' ἐν φίλοις βεβαίαν εὗρον. διὸ πάντα τὰ πολυτρό-
πως ἐπιγνοὺς, τὴν ἀοίκητον ἐρημίαν ἐν λιβύῃ, τοῦ μετ' ἀνθρώπων
βίου αἱρετωτέραν ὑπολαμβάνω, καὶ τὰ θηρόβατα νομάδων ἐνδι-
αιτήματα. μᾶλλον γὰρ ἐμπελασθεὶς λέουσιν ἀκινδύνως συναυ-
λισαίμην ἂν καὶ συνευνηθείην ἑρπετοῖς πᾶσιν, ἢ τοῖς νῦν οὖσιν ἀν-
θρώποις. τοσοῦτον ἡμῖν αἱ πολλαὶ καὶ ποικίλαι καὶ συνεχεῖς τύ-
χαι ἐμπειρίας καὶ πονηρίας μετέδωκαν. Πολυγνώτῳ.

κ Αἴ τοι δωρεῖσθαί τι σοι πρὸς τὸ μέλλον καὶ τοι γράφειν ἀπο-
παύσομαι Πολύγνωτε. πέπαυσο δὲ καὶ σὺ τῶν ὑπὲρ ἐμοῦ πρὸς
πολλοὺς ἐπαίνων. τοῖς γὰρ ἔργοις μου κατηγορῶν, δι' ὧν οὐδὲν
προσδέχῃ τῶν πεμπομένων ὑπ' ἐμοῦ, τοῖς λόγοις με ἐγκωμιά-
ζεις, οὐδὲ τοῦτο συνιεὶς, ὅτι λόγος ἔργου σκιὰ παρὰ τοῖς σωφρονε-
στέροις πεπίστευται. Κλεομενίδῃ.

τ Ὧν δωρεῶν ὅσαι μὲν σοι πρὸς τὴν γυμνασιαρχίαν ἀνήκου-
σι, πέπομφα μὲν ἐλαίου μετρητὰς διακοσίους καὶ πυρῶν
μεδίμνους τετρακοσίους. ὅσα δὲ νεότητος δεῖ τῷ υἱῷ σου. τόν τε οἶ-
νον καὶ τοὺς γραμματεῖς παῖδας καὶ τὰ στησιχόρου ποιήματα. εἰ-
μὴ καὶ ταῦτά τις τὰ δῶρα συρακουσίων ὑποπτεύσειε, νεωτέρων
ἕνεκεν πραγμάτων ὑπὸ τυράννου πεπέμφθαι. Γοργίᾳ.

τ Ἃ μὲν ἀγαθὰ τῆς ἐπιστολῆς σου πάντα καλῶς ἡγοῦμαι γεγρά-
φθαι, τὴν δὲ παράκλησιν τὴν περὶ τοῖς μέλλουσι περὶ τῆς ἀδελφῆς νυνὶ μάλι-
στα λογίζομαι. ἐγὼ γὰρ οὔτε τελευτὴν, οὔτε τελευτῆς εἶδος φεύγω
σωφρονεῖν ὑπολαμβανόμενος. εἱμαρμένη γὰρ οὐχ ὑπ' ἀνθρώπων
νομοθετεῖται. καὶ καθόλου δὲ τὸν ἐξετάζοντα περὶ τῶν τοιούτων,
ἢ δεδιότα περὶ τῶν ἐσομένων καλῶν, λίαν εὐήθη νομίζω, εἴ τις
ἢ προγνῶναι τὸ μέλλον δύνασθαι πέπεισται, ἢ προγνοὺς φυλά-
ξασθαι,

ξασθαι, εἰ δέ τις τὸ μὲν συνιδεῖν δυνατὸν ἡγεῖται, τὸ δὲ φυλάξασθαι ἀδύνατον, τί, χαίρειν ἐσπούδακεν εἰδέναι τὸ γενησόμενον, ὅπερ ἀσύνο οὕτως καὶ γινώσκοντος ἔσται. οὐ μὴν ἀλλ' εἰ καὶ σὺν τῷ συνιδεῖν καὶ τὸ φυλάξασθαι τοὐπιὸν αὐτὸν εἶναι φήσειέ τις, ὡς γενέσθαι καὶ διατάξαι καὶ μεταθεῖναι ἄλλο ἀντὶ τοῦ προεγνωσθέντος χείρονος ἐπιεικέστερον ᾧ τελευτῆσαι δύναιτ' ἄν, ἐγὼ μὲν οὐκ οἶμαι. θεοῦ γὰρ ἔργον τὸ τοιοῦτον, οὐκ ἀνθρώπου. ἐνθυμηθεὶς δέ τις τοὺς λεγομένους ἀπὸ τοῦ Διὸς Αἰακὸν καὶ Μίνω καὶ Ῥαδάμανθυν, καὶ τοὺς ἄλλους ἡμιθέους, οὔτε ἀθανάτους γενομένους, οὔτε ἄλλως ἀποθανόντας ἢ κατὰ τὴν ἰδίαν ἕκαστον εἱμαρμένην. ἂν περὶ μοίρας ἢ θανάτου δυσανασχετῶν ἢ φοβούμενος, ἐμπεδόφρων εἶναί σοι δοκεῖ; μάλιστα μὲν οὖν πειρῶ καὶ σὺ τοιαύτην διάνοιαν ἐν τοῖς ἰδίοις περὶ τῶν ἀφανῶν ἔχειν, ὡς μηδὲν περὶ αὐτῶν φροντίζειν. ἔπειτα περὶ ἡμῶν, ὡς μηδὲν μεριμνώντων ἐπίστασο.

Δημοτέλει.

σ Υγγνώμην ἔχω σοι τῶν παραινέσεων. τύραννος γὰρ οὐ γεγονώς, τυράννῳ συμβουλεύεις καταθέσθαι τυραννίδα. θεῶν μὲν οὐδένα μοι διδοὺς ἐγγυητὴν τῆς ἀσφαλείας, ᾧ τάχα ἂν καὶ ἐπειθόμην. ἀξιόπιστον δὲ σαυτὸν ἡγούμενος ἀνάδοχον καὶ ὑπὲρ τηλικούτου πράγματος. σχεδὸν οὐκ εἰδὼς ὅτι τοῦ κτήσασθαι τὴν τοιαύτην ἀρχὴν, ἐπισφαλέστερόν ἐστι τὸ καταθέσθαι. ὥσπερ γὰρ ἰδιώτῃ τοῦ τυραννῆσαι πολλῷ λυσιτελέστερόν ἐστι τὸ μὴ τυραννῆσαι, οὕτω τυράννῳ τοῦ καταθέσθαι τὸ μὴ καταθέσθαι τὴν ἀρχὴν τῆς τυραννίδος. καθόλου δὲ τὸ περὶ τυραννίδος οὕτως, ὡς περὶ γενέσεως καὶ ζωῆς αὐτοῦ φρονητέον. οὔτε γὰρ αὐτὸς ἀκούσας περὶ τῆς ἑαυτοῦ γενέσεως, εἴπως γένοιτο δυνατὸν, ὅσοις μέλλει δυσκόλοις ἐγκυρήσειν παρὰ τὸν βίον, γεννηθῆναι βουληθείη ποτ' ἄν, οὔτε ἰδιώτης ἐσπουδακὼς τυραννῆσαι, προπυθόμενος τὰς ἐν τυραννίδι κακοδαιμονίας, τύραννος ἂν αὖθις ἰδιώτης ἐθελήσειε καταβιῶ-

ναι. οὕτω δημοτελοῦς ἀνῶ τῷ μὲν γενέσθαι συμφερώτερον ὁρῶ τὸ μὴ γενέσθαι. τὸ τυραννῆσαι δὲ, τὸ μεῖναι μέχρι ζωῆς ἰδιώτην. εἰ μὲν οὖν πρὸ τῆς τυραννίδος τὰ περὶ αὐτῆς μοι διηγησάμενος κακὰ συνεβούλευες, πάντως ἂν ἐπείσθην μὴ τυραννῆσαι. τύραννος δὲ ὢν ἤδη διὰ τὴν ἀνάγκην τῆς ἀρχῆς εἰς πολλὰ προεπταικὼς, οὐχ ὅσιον ἀνθρώπῳ τινὶ πεισθείην καταθέσθαι τὴν ταύτης ἐξουσίαν, ἀλλ' οὐδὲ θεῶν τῷ δυναστεύοντι. καταθέμενον γὰρ τὴν ἀρχὴν, οἶδ' ὅτι δεῖ πολλὰ καὶ δεινὰ παθόντα πρὸς τῶν τυραννηθέντων, οὕτω καταστρέψαι τὸν βίον.

Πολυστράτῳ.

κ Αἰγὶς ἄλλοις ἅπασι φίλοις ἐπέσταλκα διαταχέως ἐλθεῖν εἰς Ἀκράγαντα. καὶ σοῦ δέομαι παραγενέσθαι πρὸ Ὀλυμπίων. βούλομαι γὰρ τῶν μάλιστα εὐνουστάτων σύλλογον ἀγαγὼν, τὴν πρέπουσαν ἐπιμέλειαν ὥσπερ ἄλλοτε καὶ νῦν ποιήσασθαι. καὶ περὶ πραγμάτων ἐπισφαλῶν καὶ μεγάλων γνώμην λαβεῖν. ἀτόπου μὲν ἢ δυσκόλου μεταδώσων οὐδενός. ἀρκέσω γὰρ τοῖς ἐμαυτοῦ. πειθησόμενος δὲ οἷς ἂν εἴποιτε, ἵνα μενούσης μὲν τῆς ἀρχῆς ἐν οἷς ᾖ, πολλάκις ὑμᾶς δεξιώσωμαι. πταιούσης δὲ ταύτης ἐὰν δοκῇ τῷ δαίμονι, τὴν ὑστάτην λαβόντες προσαγόρευσιν μνήμονες εὐσεβείας ὧν ἐφιλοτιμήθην μὲν εἰς ὑμᾶς γένοισθε. ἥκετε οὖν ἀνυπερθέτως, τῇ προτέρᾳ προθυμίᾳ κεχρημένοι πρὸς Φάλαριν, ὃν μάλιστα ὑμεῖς γινώσκετε.

Παυρόλᾳ.

ι Δεξάμην τὸν ὑπὸ σοῦ πεμφθέντα μοι στέφανον ὁλκῆς χρυσῶν ἑξακοσίων, ὃν τύχης μὲν ἕνεκα καὶ τῆς τοῦ πέμψαντος φιλοτιμίας, εἴληφα. στεφανωσάμενος δὲ, αὐτὴν ἡμέραν μίαν ἐν ᾗ τοῖς πατρῴοις θεοῖς ἐπινίκια τῆς πρὸς Λεοντίνους μάχης ἐβουθύτουν, τὸν αὐτὸν ἀπέσταλκα δῶρον Ἐρυθίᾳ τῇ μητρί σου. οὐδένα γὰρ ἕτερον ἀξιώτερον τοιαύτης κοσμηθῆναι πολυτελείας, ἢ μητέρα γένοιο

δ' ἂν ἡμῖν καλλίων σοῦ καὶ πρεπωδέστερος στέφανος, εἰ διὰ τῶν γονέων
εὐχῆς ἄξια φρονῶν εὑρεθείης. Ἱππολυτίωνι.

ε Πιστρέπω σοι πρός με παραγενέσθαι καθὼς ἀξιοῖς. ὅρ-
κον δὲ οὐδένα σοι δίδωμι, τοῦ μηδὲν σε πείσεσθαι κακὸν, ἀλ
λὰ πίστιν. εἰ δέ μου τῇ τῶν λόγων ἀπιστεῖς ὑποσχέσει, νῦν με ταῖς
ἀληθείαις ἀδικεῖς, οὐχ ὅτε κατηγορήθης. εἰδὼς γάρ με μηδενὶ πώ-
ποτε παραβεβηκότα πίστιν, ὡς κατεγνωκὼς, ὅρκῳ μετέρχῃ, καὶ
τί διαφέρει πρὸς εὐσέβειαν, ὅρκον ἢ πίστιν συγχέεις. ἀμφότερα γὰρ
ἡ γνώμη βεβαιοῖ. Ἔρρωσο. Πολυτίμωνι.

ε Ι μὲν ἀπὸ τῶν σεαυτοῦ τρόπων στοχαζόμενος ἀπιστεῖς ἐμοὶ,
σύνεσιν ἐμοῦ καταδικάζεις οὐ πονηρίαν. εἰ δὲ ἀπὸ τῶν ἐ-
μῶν, ἀγνοίᾳ μου πολὺ διημάρτηκας. τοσοῦτον γὰρ ἀπέχω τοῦ
παραβῆναι πίστιν, ὥστε ἀπ' ἐμαυτοῦ καὶ τοῖς ἄλλοις πέρα τοῦ δέον
τος προσέχων, ὡς βεβαιοτέραν πίστεως ἔχουσιν εὐσέβειαν, πολλά-
κις ἐσφάλην. ἧκε οὖν ἐμοὶ πεισθεὶς ἄνευ δόλου καὶ ἀπάτης. πει-
σόμενος ἄδικον μὲν οὐδὲν, μαρτυρήσων δὲ πρὸς ἅπαντας, ὅτι φά
λαρις οὐ ψεύδεται πίστιν. Τεύκρῳ.

α Ρισομένης τῆς σῶ, τὸ χωρίον παρεδόθη, καὶ Ἱππολυτίων ἀφεί
θη τῶν ἐγκλημάτων. σὲ δ' ὡς ἐπηγγέλῃ, προσδοκῶ μέν. ἐγὼ δ' ἤδη ἔρρωμαι,
εἰ τοῦτ' ἔστιν ἐρρῶσθαι, τὸν πολλοῖς ἐπιχειρήσαντα καὶ τῶν πλείστων περιγινό
μενον διὰ τὰ χείρω, μεταμελεῖσθαι καὶ περὶ τῶν βελτιόνων. Νικίᾳ.

ε Φοῖς μισεῖς σου τὸν υἱὸν ὅτι τοὺς σοὺς οὐ μιμεῖται τρόπους, ὑπὸ
τῶν ἄλλων πάντων φιλεῖται. σύνες οὖν ὅτι πάντες οἱ τοῦτον
φιλοῦντες, σὲ μισοῦσι. Ἀδειμάντῳ.

α Κούω σε διαφέρεσθαι πρὸς τὸν ἀδελφὸν ὁ πότερος ὑμῶν
ἐστὶ χείρων, σοῦ μὲν ἐκεῖνον λέγοντος. ἐκείνου δὲ, τοὔμ-
παλιν σέ. ἐγὼ δ' οἴομαι, μᾶλλον δὲ καλῶς πέπεισμαι, τῶν μὲν

ἄλλων πάντων ἐκείνου εἶναι κακίω· σοῦ δὲ οὔτε ἐκείνου, οὔτε ἄλλων ἀνθρώπων οὐδένα. Ἔρρωσο.

Αἰγεστέοις.

π Αὐσταθέμου τοῦ φυγάδος ὑποδεχόμενοι. φαῦλα μὲν γὰρ οὐδὲν ποιῶν τις, ὅτι κακῶς ἐνίκησε. μάθοιτε δ' ἂν τὸ τοιοῦτον, εἰ τοὺς μελιταίων καὶ λεοντίνων ἴδοιτε· οἷς μὲν γὰρ ἐλευθερίας, λεοντίνοις δὲ δουλείας, παραίτιος ἐγενόμην. οἱ μὲν, ὅτι τριήρεις μου κατέδυσαν. οἱ μελιταῖοι δὲ, ὅτι καταδυομένην, ἐβούλοντο σῶσαι. Ἔρρωσθε.

Ἀντισθένει καὶ θεοτίμῳ.

τ Ων ὑπ' ἐμοῦ πεμφθεισῶν δωρεῶν, ἀντισθένης μὲν τὸ μέρος ἐδέξατο. θεότιμος δὲ, οὐδὲ ἕν. τὸν μὲν, οἶδα χάριν. τὸν δὲ, οὐ μέμφομαι. ὁ μὲν γὰρ οὐδὲν ἠλάττωσέ με λαβών. ὁ δ' οὐδὲν ἐζημίωσε.

Μενέλᾳ.

μ Η μεταμέλου χρηστὸς γενόμενος, εἰ βούλει τῆς τοῦ πατρὸς πονηρίας ἀπολιμπανόμενος νομισθῆναι. ἐπεὶ τῇ τοῦ πρώτου χρόνου τὴν πρὸς καμαριναίους ὑπόληψιν προσαπώλεσας. ὑποκρίσει γὰρ καιροῦ δόξεις, οὐκ ἀληθείᾳ χρηστὸς γεγονέναι.

Ἐπιστράτῳ.

ώ Σ πρὸς εὐτυχῆ τινα γράφειν ἔοικας. ἐγὼ δέ σοι τὰ περὶ ἐμοῦ συνελὼν ἐν βραχεῖ δηλώσω. εἰ τοῦτ' ἐστὶν εὐτυχεῖν, τὸ γεννηθέντα μὲν, ὀρφανίας πειραθῆναι. νέον δὲ ὄντα κατὰ περίστασιν ἐκπεσεῖν τῆς πατρίδος, ἀπολέσαι δὲ τὰ πλεῖστα τῆς οὐσίας, τραφῆναι δὲ ἐν βαρβάροις ἔθεσι, φυγεῖν δὲ ἐξ ἁπάσης γῆς ἀδικούμενον, ἐπιβουλεύεσθαι δὲ μὴ μόνον ὑπ' ἐχθρῶν, ἀλλὰ καὶ τῶν εὐεργετουμένων, τυραννήσαντα δὲ, ἀπεύχεσθαι καὶ τὸν ἐν τυραννίδι βίον, εὐτυχοῦμεν.

ὀνήτῳ

η Αἰ σύ, καὶ πάντες οἱ φίλοι τὰ νῦν μοι χαρίζοισθε· μήτε ἐξετάζοντες περὶ ἐμοῦ μηδὲν μήτε πολυπραγμονοῦντες, εἰ μή τι βουλοίμην. τοιαῦτα γάρ ἐστι τὰ κατὰ τύχην περὶ ἡμᾶς, ὡς μᾶλλον ἡσθῆναι τοὺς ἐχθροὺς ἀκούσαντας, ἢ λυπηθῆναι τοὺς φίλους μὴ συνυπακούσαντας.

Ἐπεονίκῳ.

τ Ης μὲν τῶν ἄλλων ἔχθρας ὅσοι τὴν ἀκόμη δὲ ἀφήκασιν ὡς παρακαλεῖς καὶ ἐπιλαθόμην. θνητοὺς γὰρ ὄντας, ἀθάνατον ὀργὴν ἔχειν ὡς φασὶν, οὐ προσήκει. σοὶ δὲ μέχρι Πύθωνος εἰς ἐμαυτὸν δυσμενεῖ, οὐ μόνον ζῶν, ἀλλ' οὐδὲ ἂν ἀποθανών, ὃ πᾶσι συμβαίνει τοῖς τετελευτηκόσιν ἐπιλαθοίμην. ὁ γὰρ τὰ μέγιστα μετὰ τῶν κακῶν ἐργασάμενος, οὗτος ἐστι· ὁ μετὰ τὴν ἐμὴν φυγὴν Πυθίαν τὴν γυναῖκα βουλομένην ἐμὲ διώκειν, ἀναινομένην δὲ τὸ τόλμημα, φαρμάκῳ διαφθείρας.

Μεγαρεῦσιν.

ο Υκ ἐλπίζων παρ' ὑμῶν ἀπελήλυθα χάριν, τὰς τριήρεις ὑμῶν ἁλούσας μεθῆκα προφανῶς κατ' ἐμοῦ πλεούσας. εἰ γὰρ ἐμνημονεύετε χάριτος, οὐκ ἂν ἐπελάθεσθε, ὅτι πρότερον τοὺς ὑμᾶς ἀποθνήσκοντας ἐν σιτοδείᾳ σέσωκα.

Λεοντίνοις.

λ Εφνίδαν ὃν ἐξεπέμψατε κατάσκοπον τῶν ἐμῶν πραγμάτων ἁλόντα, δυνάμενος ἀποκτεῖναι, σέσωκα, οὐχ ὑμῖν χαριζόμενος, ἀλλ' ἵνα μὴ ζητῶ, τίς ὑμῖν σαφῶς ἀπαγγείλῃ τὴν παρασκευὴν τοῦ καθ' ὑμῶν πολέμου. καὶ γὰρ ἐμοὶ πιστῶς ἄνευ βασάνου τὰ παρ' ὑμῖν ἐδήλωσεν, ὅτι πάντων ἐνδεεῖς ἐστέ, πλὴν λιμοῦ καὶ φόβου. τούτων δὲ ὑμᾶς φησὶ λίαν εὐπορεῖν.

Ἱμεραίοις.

ε Γὼ πάντα μὲν ὑπὲρ Στησιχόρου πράττειν ἕτοιμός εἰμι. καί, εἰ πρὸς αὐτὴν ἔδει με τὴν μοῖραν ὅπλα ἀράμενον

περὶ τοῦ θεὸν αὐτοῦ διαγωνίσασθαι, οὐκ ἂν ἀπήρνησα, ἐφ᾽ ᾧ τε θεῖον ἂν
δρᾶν περὶ καὶ ἄλλους ὑμνῳδίας ἐπαινουμένου, ὑμῖν τε καὶ τοῖς ἀλ-
λοις ἀνθρώποις περισώσασθαι. ὃν δὲ ἁπάντων ἀκαθαρώτατοι θεαμῶ-
σαι προὐτίμησαν ὑμνοπόλον. διὸ οὐ μέλη καὶ χορὸς δὲ ἤνεγκαν. λογί-
σασθε δέ, ὡς ὅπη ποτ᾽ ἂν ταφῇ Στησίχορος, Ἱμεραῖος ἐστί. καὶ πά-
σης μὲν πατρίδος κληθήσεται διὰ τὴν ἀρετήν. μένει δὲ ὑμέτε-
ρος. ἅμα δέ, μηδὲ οἴεσθε ἕνα τῶν νεκρῶν Στησίχορον, ἀλλ᾽ ἐν τοῖς ποι-
ήμασιν εἶναι, ἃ κοινὰ πάντων ἀνθρώπων πεποίηται. δεξάσθω Ἱμε-
ραῖοι, παρὰ μὲν ὑμῖν γεννηθέντα, τραφῆναι τὸν ἥρωα καὶ παιδευ-
θέντα βιῶναι, γηράσκοντα ἐν ὕμνοις καὶ μέλεσι. παρὰ δὲ Καταναί-
οις τοῦτο βουληθεῖσιν, εἴτε δυνηθεῖσιν, εἰς ἄλλο τι τῆς φύσεως μετα-
βαλούσης, τελευτῆσαι. καὶ ἐν μὲν Ἱμέρᾳ, νεὼς ἱστάσθω Στησιχόρου.
μνημεῖον ἀρετῆς ἀθάνατον. ἐν δὲ Κατάνῃ τὸ σπουδαζόμενον ὑπ᾽ αὐτῶν,
τάφος. περὶ μὲν οὖν τούτου ὅπως ἂν ἄμεινον δόξειεν ὑμῖν αὐτοῖς,
πράσσετε. μήτε χρημάτων γὰρ ἐπ᾽ ἐμοί, μήθ᾽ ὅπλων ἕνεκεν εἷς εἶναι νο-
μίζοντες, μήτ᾽ ἀνδρῶν. ἓν δὲ προνοεῖσθε, ὡς οὔτε ἑλοῦσιν ὑμῖν πό-
λιν ἐν Σικελίᾳ, Σικελιώταις οὖσιν ἀπρεπές, οὔτε μὴ ἑλοῦσιν
ὑμῖν πόλιν ἐν Σικελίᾳ Σικελιώταις οὖσιν εὐπρεπές. οὔτε μὴ ἑλοῦσιν
ἀσφαλές. τὸν δὲ ἄνδρα μὴ στένετε. μὴ ὀλοφύρεσθε, κινοῦν τέστι τῆς ἐ-
παίνου τῷ τύχης. τέθνηκε μὲν γὰρ τὸ σῶμα τὸ Στησιχόρου. τοὔνομα δὲ παραλα-
βὼν ὁ ἀνήνυτος αἰών, εὐκλεὲς μὲν ἐν βίῳ, μακάριον δὲ ἐν μνήμαις
ἀναθήσεται. τὰ μέντοι μέλη καὶ ἔπη, καὶ παντοῖα ποιήματα
παραινῶ τε δημοσίᾳ ἐν πᾶσι τοῖς ἱεροῖς ἀναγράψασθε. καὶ ἰδίᾳ ἕ-
καστον ἐν τῷ σφετέρῳ οἴκῳ. τότε γὰρ ἂν ἀφανίζοιτο Στησίχορος, ὅταν τὰ
τῶν τι μὴ φυλάττηται. εἴς τε τοὺς ἄλλους ἂν οὓς διαπέμψασθε τῶν

μελῶς

μέλως. εἰδότες, ὅτι μᾶλλον τοῦ γράψαντος ἀνδρὸς, ἢ θρέψασα πόλις τὸν τοιοῦτον, ὑπὸ πάντων θαυμασθήσεται.

Θρασήνορι.

τ Ὁ φρούριόν μοι ὃ σὺ πορθῶν ἐγκατέλιπες, ὑπὸ τῶν περὶ Τεῦκρον ἐξ ὑποδρομῆς καθῃρέθη. τὸ δὲ περὶ τὴν ὑπὸ Σολῶν τάχους, συντομώτερον ἴσθι ληφθὲν τὸ χωρίον.

Ἀβάριδι.

π Υνθάνομαί σε χαίρειν ὁμιλίαις ἀνδρῶν ὑπερφανῶν, ἐξ ὑπερβορέων εἰς τοὺς καθ' ἡμᾶς ἀφικέσθαι τόπους. πυθαγόρᾳ μὲν οὖν τῷ φιλοσόφῳ καὶ στησιχόρῳ τῷ ποιητῇ, καὶ τισιν ἄλλοις τῶν ἐλλογίμων ἐλλήνων, συμμεμιχέναι, καὶ πολλὰ παρ' αὐτῶν προσμεμαθηκέναι. ζητεῖν δὲ καὶ πλέοσιν ἱστορίας χάριν ὧν οὐκ οἶσθα, ἐντυχεῖν. εἰ μὲν οὖν προκατέχουσί σε ταῖς ἐμαῖς διαβολαῖς, καὶ πέπεισαι τοιοῦτον εἶναί με, ὁποῖον οἱ διαβάλλοντες εἰσάγουσι, μεταπεισθῆν οὐ ῥᾴδιον. εἰ δὲ τὸ ἀληθὲς ἐξετάζεσθαι δικαιοῖς, παρὰ πᾶσι μὲν αὐτοῖς, μάλιστα δὲ παρὰ σοφοῖς ἀνδράσιν, ἐλθὲ πρός με συγγενησόμενος, ὥσπερ ἄλλοι πολλοὶ τῶν ἀξίων λόγου. γνώσῃ γὰρ ἐκ πείρας, τά τε ἄλλα ἅπαντα κάλλιον καὶ σεμνότερον, εἰ δὲ δεῖ εἰπεῖν μηδὲν ὀκνήσαντα, καὶ φιλανθρωπότερον, ἢ πρὸς τὴν κατέχουσαν φήμην ἐσχηματισμένα, καὶ τὸν ταῦτα διέποντα καὶ κοσμοῦντα Φάλαριν, οὐδενὸς τῶν σφόδρα ἐπὶ τύχαις θαυμαζομένων ἐνδεέστερον.

Ἄβαρις Φαλάριδι τῷ τυράννῳ.

Ἔδειξας φύσιν οἰκείαν ὕβρεως καὶ ὠμότητος. καί σε ἔτικτεν οὐ γυνὴ καὶ ἀνήρ. ἀλλὰ λέαινα καὶ σῦς ἄγριος. πιέζεις γὰρ πάντα βίᾳ καὶ προσέτι ἰσχύι, δόξῃ κακῇ καὶ ἀγριότητι. μὴ οὖν κάλει Ἄβαριν εὐσεβῆ ἄνδρα εἰς πόλιν Ἀκράγαντα. ἀλλότρια γὰρ ἐμοὶ φθόνος καὶ χαλεπότης καὶ κακὴ ἄγνοια. εἰ δὲ προθύμως με θέλεις ἐλθεῖν εἰς τὸν οἶκον, νόμοις ἑλληνικοῖς χρώμενος, προκάλει με εἰς τὴν ἑστίαν, καθαρεύων χερσὶ καὶ ψυχῇ πρὸς πάντα πολίτην σὺν καὶ ξένον. εἰ δὲ μή, χαίρειν φημί σοι. Ἄβαρις λέγει.

Πολυστράτῳ καὶ Δαΐσκῳ.

Ἐγχειρεῖτε καὶ μὴ μέλλετε διὰ τάχους ἐμοὶ πολεμεῖν. ἐπὶ τοιούτοις γὰρ ἄθλοις οἷς δημηγοροῦντες ἐλέγετε διαβάλλοντές με πρὸς Λεοντίνους, οὔτε φθονούμενοι ὑμῖν, οὔτε ἀπροσυμβουλεύομεν φιλοτιμεῖσθαι.

Ναυσικλεῖ.

Ἐγὼ μέν, ὃ πρὶν ἤδη πολλάκις ἐπεσταλκὼς σοὶ τυγχάνω, κἂν Ἑρμοκράτης ἤ τις ἄλλος εἴρξῃ τὰς παρ' ἐμοῦ δωρεὰς λαβεῖν τὴν Φιλοδήμου θυγατέρα γαμουμένην, ἀποπέμπων δέδωκα. καὶ τὸν ἔπαινον ἴσον μᾶλλον ἢ δύναται ἕτερον ἔχω. πρόσσον τοιούτοις συγγενέσιν ὁ τύραννος καὶ μηδὲν προσήκων αὐτεξετάζομαι. πρὸς δὲ τοὺς ὀνειδίζοντας ὅτι χαριζόμενοι πείθομεν, ταύτην ἔχειν τὴν ἀπολογίαν, τὸ μὴ δύνασθαι τοὺς δυσεργητουμένους ἀντὶ φιλοφροσύνης, βίᾳ χρήσασθαι.

Ἀριστολόχῳ.

Ἐπιλαθόμενος ἧς ἔχειν ἠρνοῦ πονηρίας, καὶ γενόμενος ἄλλος τις πρὸς ἡμᾶς, ἢ οἷος εἶ, χαλεπὸν καὶ καθ' ἑκάστην

μόνον

ὑπόλαβε. μὴ τοῦτο μόνον εἰπεῖν, ἀλλὰ πολλάκις ὑπ' ἐμοῦ καὶ καθ' ἑκάστην χορηγίαν εὐπαθῶν, τοῖς ὁμοίοις ἡμᾶς ἀμείβῃ. ἐγὼ μὲν γὰρ ὅτι ἑαυτῷ χρηστότητα τὴν δοκοῦσαν εἶναι αἴτιος, τῆς κατ' ἐμαυτοῦ πονηρίας ἐνέγκασθαι δευτέραν αἰτίαν. ἀλλ' εἰ μὴ δὲ οὕς ἑαυτοῦ πρός με εὐεργετεῖν βεβουλημένου φείδῃ, ἡμῶν γοῦν οὕτως ἐχόντων ἐπὶ τὸ πλεῖστον, τάχα ἂν ἐπιεικέστερος ὁ φθόνος.

Ἐπιχάρμῳ.

Εἰ περὶ αὐτῶν ὧν σὺ καὶ Δημοτέλης ἡμῖν συνεβουλεύετε ἀποστῆναι τῆς τυραννίδος, ταῦτα οὐ δυσνοοῦντες, ἀλλ' ἀγνοοῦντες διὰ τὴν ἀπειρίαν, οὕτω συνεβουλεύετε. τὸ μὲν γὰρ ἄρξασθαι τυραννίδος, ὀρεγομένου. τὸ παύσασθαι δέ, οὐκ ἔτι. διὰ τὸ πολλὰ μὴ δεόντως πρᾶξαι. ὥσπερ οὐδὲ τοξότῃ μεθέντι τὸν οἰστὸν, ἀναλαβεῖν τὸ βεβλημένον. ἀλλ' εἰ μὲν δυνατὸν ὑμῖν ἐστιν ἀνελεῖν τὴν ἀρχὴν τῆς τυραννίδος, καὶ δὴ ποιεῖτε. εἰ δὲ τοῦτο, ἐστὶν ἀδύνατον, ἀδυνατωτέραν ἴστε τὴν ὑμετέραν παραίνεσιν ἐμοὶ δόξαι συμφέρειν.

Τιμοσθένει.

Τῶν στρατιωτῶν οἱ μὲν ἡμίσεις εἰς τὸ φρούριον ὑπομείναντες, ἐκκοψάτωσαν. οἱ δ' ἄλλοι, τὰς ὑποδρομὰς τῆς θαλάσσης, διαχωσάτωσαν. ἵνα τῆς πλημμυρίδος διαφυγείσης, εὐπορὸν αὐτίκα ἀροῦν γένηται τὸ πεδίον. ἀνακείσθω δὴ περὶ ἑκατέρου αὐτῶν χάρις, τοῖς πρώτοις τὸ καθ' ἑαυτοὺς ἔργον ἀποτελέσασιν.

Ἀριστολόχῳ.

Τὸ, Στησίχορον ἀδείας ἀξιωθῆναι παρ' ἡμῖν αἰχμάλωτον γεγενημένον, ἐπιτρέψει κατ' ἐμοῦ γράφειν τραγῳδίας, ὡς πᾶσι τοῖς ποιηταῖς ἡμέρως προσενεχθησομένου, πολὺ τῆς ἀληθείας διαμαρτάνεις. οὐ γὰρ ἀποδέχομαι κοινότητι ποιητάς, ἀλλὰ

τοὺς ἀγαθοὺς τῶν ποιητῶν. οὐδὲ τοὺς εἰς ἔχθραν ἐμοὶ καταστάντας, ἀλλὰ τοὺς γνησιωτάτους τῶν ἐχθρῶν· σὺ δέ, κακὸς μὲν ποιητής· ἄναλκις δὲ ἐχθρὸς ὤν, ἐπὶ τὴν ἀνδρείαν ἢ κατὰ δύναμιν ποιητικὴν, Στησίχορε, σεαυτὸν προσεικάζεις. γνώσῃ δὲ τὴν ταχίστην τοῦ λεγομένου διαίρεσιν, οὐκ εἰς μακράν. οὐ περὶ ὧν εἰς ἐμὲ γράφεις· πάντων γὰρ αὖ εἴην ἀτυχέστατος, εἰ διὰ τῶν σῶν ὑπογραφείην δραμάτων· ἀλλ' ὅτι τοιοῦτος ὢν ἐχθρὸς καὶ ποιητὴς τῶν αὐτῶν σεαυτὸν καὶ Στησίχορον ἀξιοῖς.

Ἀφιλαυτίᾳ Θρασυβούλῳ,

ὑ Μεῖς μὲν ἀποδεδωκέναι τὰ χρήματα ἃ ἐδανείσασθε, Τεύκρῳ λέγετε· ὁ δὲ οὐ φησιν ἀπειληφέναι. οὐκ ἔχω δὲ μὰ τὸν Ἡρακλέα, οὔθ' ὑμῖν ἀπιστεῖν, οὔτε κείνῳ μὴ πιστεύειν. ὁ μὲν γὰρ ὑπὸ ζητεῖ βεβαίωσιν ὑμᾶς ἔχειν τῆς ἀποδόσεως· ὑμεῖς δὲ ὡς φίλῳ πεπιστευκέναι λέγετε. δι' ἅς τε αἰτίας οὐκ ἀπειληφὼς, ἵνα μὴ δόξω τισὶν ὑμῶν ἀπιστεῖν ἐν τοῖς λόγοις, ὡς κεκομισμένα προσδέδεγμαι. εἴη μέντοι μέχρι παντὸς ἀγνοεῖν με τἀληθές, ἢ τὸν πλάνον ὑμῶν τοῦτον ὅστις ἐστὶ, πονηρὸν εὑρεθῆναι. κρεῖττον γὰρ ἡγοῦμαι πολλῶν χρημάτων ἐνεγκεῖν ζημίαν, ἢ φίλων. ἀνάγκη δὲ τῆς ἀληθείας εὑρεθείσης, αὐτίκα φίλων τοὺς ἀδικοῦντας καὶ ψευδομένους, ἐχθροὺς γίνεσθαι.

Γελωτίδῃ,

ὁ Υταν ἐγὼ γράψαιμι πρὸς Στησίχορον περὶ ὧν ἀξιοῖς, ὅτ' ἂν ἐκεῖνος ὑπανδύσειεν, εἴς τινα τῶν οὐκ ἔτι ζώντων ἐξενεγκεῖν μέλος, εἴ τι γράψαι μὲν ἡμεῖς. ἀπόχρη δέ μοι χάριν εἰληφέναι παρ' αὐτοῦ, τὴν ὑπὸ τῇ Νικοκλέους γυναικὶ ποίησιν. εἰ δέ τι βούλει παρ' ἡμῶν αἰτεῖν, οὗτινος ἡ ἐξουσία οὐκ ἐπ' ἀλλοτρίαν ἀλλ' ἐπὶ τὴν ἐμὴν ἀνήκει γνώμην, ἐπίστελλε.

Τηλεκλείδῃ

Τηλεκλείδῃ.

ο Δία τινὶ χρώμενος γνώμῃ, πρὸς πολλοὺς ἤδη τῶν ἐμῶν ἑταίρων διειλέξαι. τοῦτ' ἴσως διαπραττόμενος, ὃ καὶ γέγονεν, εἰς ἐμὲ κομισθῆναι τοὺς λόγους, ὡς οὐκ ἐχρῆν μετὰ τὸν δημιουργὸν τοῦ ταύρου Περίλαον, ἄλλους κατεργάσασθαι, τῷ τρόπῳ τῆς αὐτῆς αἰκίας. τὸν γὰρ ἴδιον λύειν ἔπαινον. ἐγὼ δὲ οὐδὲ τῆς ἐπὶ Περιλάῳ τιμωρίας ἐπαινούμενος, ὡς στρέφομαι. τιμωρὸς γὰρ οὐκ ἐγενόμην ἐπαίνου χάριν, οὔτε τῆς ἐπὶ τοῖς ἄλλοις κολάσεως διαβαλλόμενος ἄχθομαι. δόξης γὰρ αἰσχρᾶς ἢ καλῆς, ἀμυνά κεχώρισται. σὺ μέντοι καὶ τοῦτο ἴσθι. ὅτι τὸν μέλλοντα καὶ ἄλλους τινὰς ἐν τῷ ταύρῳ διαφθείρεσθαι χάριν, ἐκολασάμην αὐτόν, ἐπεὶ τῆς τοῦ χαλκοῦ κατασκευῆς ἕνεκα, δωρεᾶς, οὐκ ἀπωλείας ἦν ἄξιος· δίκαιον μὲν οὖν ἐκείνῳ τὰς περὶ τούτων αἰτίας, καὶ τοῖς εἰς τοῦτο τύχης ἥκουσι βιαζομένοις, ἀνακεῖσθαι. εἰ δὲ καὶ εἰς ἡμᾶς ἀναφέρονται ὑπὸ τῶν ἀγνωμονέστερον κρινόντων, οὐκ ἀχθόμεθα. ἕως ἔχομεν ἀξίους ἀποδεικνῦναι τῆς κολάσεως τοὺς ἀναιρουμένους. ἀρξάμενοι γὰρ ἀπὸ τοῦ πρώτου κολασθέντος, ὃν ὑπὲρ ἁπάντων αὐτόν, μᾶλλον ἢ αὐτῆς τῆς ἀνθρωπίνης φύσεως ἐπυρπόλησα, τὸν αὐτὸν τρόπον τῆς ἐξετάσεως ἐπὶ πάντων ποιεῖσθε. εἰ γὰρ τὴν ἐπὶ Περιλάῳ κόλασιν, ὡς δικαίαν ἐπαινεῖτε, καὶ τῶν ἄλλων ὅσους ὑπὲρ ἀλλοτρίων ἀδικημάτων ἐκολασάμην, οὐδήπου μέμφοισθε ἂν προσηκόντως. τὸ δὲ ὅσων ἀνῃρήκαμεν ἐκ σπονδῶν ἐμοίγε γενομένων, δι' οὓς ἐμηχανήσαντο ὀλέθρους. ἦ που γε σφόδρα ἀνάβουλος εἴην, εἰ τοὺς ὑπὲρ ἄλλων κακούργους ἐαύμε καὶ σὺ ποιῶσι τιμωρούμενος, τοὺς εἰς ἐμὲ ἐπιβουλεύοντας ἀζημίους ἐάσαιμι. καὶ τὴν δύσκλειαν ὑπὲρ τῶν μὴ προσηκόντων, ἐπὶ τὸ φοβερὸς δοκεῖν

εἶναι τ[illegible]ῷ βουλεύουσιν ἀναδεχόμενος, ὑπὲρ τῶν ἰδίων κινδύνων ὀκνήσαιμι. πεπείσμεθα δὴ περὶ τῆς ἀξιώσεως σου. ὅτι οὐ δεῖ πλείοσιν ἐνοχλεῖν. παῦσαι δὲ καὶ σεαυτῷ καὶ ἐμοὶ πράγματα παρέχων.

Παυρόλα.

ἀφικόμενος εἰς Ἱμέραν, ἀναγκαίας ἕνεκα πραγματείας, ἤκουσα τῶν Στησιχόρου θυγατέρων ποιήματα λυριζουσῶν. ἃ μὲν αὐτοῦ Στησιχόρου γεγραφότος. ἃ δὲ τῶν παρθένων ἴδια. ἦν δὲ τὰ μὲν Στησιχόρου, τὰ τῶν θυγατέρων ἥττονα. τὰ δὲ ἄλλων ἔστιν ἃ κατὰ σύγκρισιν ἐξετασθείη, καὶ πολὺ βελτίονα. ὥστε με τρισόλβιον ἡγήσασθαι τὸν διδάξαντα. τρισολβίας δὲ καὶ τὰς παρὰ φύσιν ἐπὶ τοσοῦτον βάθος παιδείας ἀχθείσας. εἰπὲ δή, Παυρόλα. σφόδρα γὰρ καὶ διὰ ταῦτα ἐπιζητῶ μαθεῖν, τίνα δήποτε γνώμην ἔχων, τὸ μὲν σῶμα γυμνάζεις ὅπλοις τε καὶ κυνηγεσίαις καὶ ταῖς ἄλλαις κακοπαθείαις, τὴν δὲ ψυχὴν ἀγύμναστον ἐᾷς λόγου τε καὶ παιδείας ἑλληνικῆς, ἣν ἐχρῆν πρώτην ὑπὲρ τὰ τοιαῦτα συνησκῆσθαι καὶ μόνην. σώματος μὲν γὰρ ὑπομελητέον, ὑγείας χάριν, ἢ ἰσχύος. εἰ μή τις τῶν ἱερῶν ἀγώνων ἕνεκα ἀθλοίη. ψυχῆς δὲ πάντας τρόπους προνοεῖσθαι χρή, τὸν μέλλοντα μετὰ ἀρίστης τιμῆς ἐν δημοκρατουμένῃ ζήσεσθαι πόλει. εἰ γε μὴ σὺ τοῦθ' ὃ κατηγοροῦσί τινες, ὥρμηκας ὑπὸ τὸ ζηλοῦν καὶ μιμεῖσθαι τὸν ἐν τυραννίδι βίον. ὡς προσῆκον τάσσοι παρὰ νόμους. καὶ διὰ τοῦτο σωματικὴν ἐπασκεῖς ῥώμην. οἰόμενος ἁρμόζουσαν εἶναί σοι τὴν ἰσχύν, εἰς τοιαύτης δυναστείας κατάκτησιν. ὅπερ ἐὰν σὺ φρονῶν τυγχάνῃς, παρὰ τοῦ μεταμελομένου περὶ μοναρχίας, οὐχ ἑκουσίως ἀλλ' ἐξ ἀνάγκης τοῦτον ἐπανελομένου τὸν βί-

ον, γνώμην λάβε. ὁ γὰρ ἀμφοτέρων πεπειραμένος, τυραννηθῆναι μᾶλλον ἂν εὔξαιτο, ἢ τυραννῆσαι. ὁ μὲν γὰρ, ἕνα φοβεῖται τῶν ἄλλων χαλεπῶν ἀπηλλαγμένος, τὸν τύραννον. ὁ τύραννος δὲ, καὶ τοὺς ἔξωθεν ἐπιβουλεύοντας, καὶ δι' οὓς σώζεται. ἀνάγκη γὰρ αὐτῷ μετὰ τῶν πολλῶν φόβων καὶ ταλαιπωριῶν, πρώτους εὐλαβεῖσθαι τοὺς φυλάττοντας. ὥστε ἐμφρονέστερον δεξάμενος τὴν τοῦ συμβουλεύοντος πατρὸς εὔνοιαν, ἴσως ἄξιον πᾶσιν εἶναι. τὸ δὲ ἐκ φόβων διηνεκῶν καὶ κινδύνων ἀδιαπαύστων αὐτεξούσιον, ἐχθροῖς καὶ παισὶν ἐχθρῶν πρέπον. εἰ δὲ ἀπειρίᾳ καὶ νεότητι τὸν ἐν τυραννίδι βίον οἴει τι τερπνὸν καὶ προσφιλὲς ἔχειν, ἀλλ' οὖν τὰς αὐτόπτῳ συμφορὰς καὶ κακοδαιμονίας, πάντως μὲν ἁμαρτάνεις. καὶ τοῦτο παχεῖς διάνοιαν. εὔχου δέ σοι τὸν θεὸν, μηδέποτε τυραννικῆς πείρας πειρασθῆναι τύχης.

Τῷ αὐτῷ.

ὁ Υχὼν ὑπὸ σοῦ πολλὰ νομίζω χρήματα αἰτεῖσθαι μὰ τοὺς θεοὺς, ἀλλ' ἐμαυτὸν ἐνδεέστερον εὑρίσκω ἤδη χρηστότητι παιδὸς ὑπηρετεῖν. εἰ μέντοι σε εἰς ὅσα φὴς ἀναλίσκειν. καὶ οὕτω διδοὺς τῶν λειπομένων φίλων ἀπορήσεις θᾶττον, ἢ παρὰ τοῦ πατρὸς αἰτούμενος. ὅσῳ γὰρ ἂν προηγεῖται τὸ λαμπρῶς χαρίζεσθαι, ἕπεται τὸ μεγαλοφροσύνης ἀξίως κτᾶσθαι. ὅταν δὲ ἅπαξ τὸ δρᾶν πρόθυμον παρῇ τισὶ, τὸ κατορθοῦν ἕτοιμον αἱ τύχαι παρέχονται. μὴ δὴ καταιδούμενός με τοιούτοις παρρησιάζου λόγοις. ὡς γὰρ ἀσμένως ὀλίγα διδόντα ἐγὼ, δι' οὗ τὰ πάντα περιεποιησάμην. τοσοῦτον γὰρ ἀπέχω τοῦ μέμφεσθαί σε τῆς πρὸς τοὺς ἑταίρους ἐκτενείας, ὡς σοῦ παρὰ φύσεως ἡδόμενος, ἄξια παραινοῦσι διανοεῖσθαί σε.

τοσαύτης φιλανθρωπίας· ἵνα μὴ μόνον πρὸς τὸ παρὸν ᾖς μεγαλόφρων, συμπαραμενούσης δέ σοι τῆς αὐτῆς τύχης, ἐσαεὶ φυλάττῃς τὸ βούλημα. τὸ δ' ὃ δίδομεν, οὖν ἀσμένως ὦ γύναι Παυρόλᾳ, καὶ λαμβάνομεν χαίρειν παρὰ σοῦ. τὸν τρόπον τῆς δαπάνης, οὕτως δ' ἐλπὶν τὸ χρηστὸν ὄντα.

Ερυθίᾳ.

Εἰ μὲν εὐλαβουμένη τὸν ἐν τυραννίδι βίον, οὐ τολμᾷς εἰς Ἀκράγαντα πέμψαι Παυρόλαν, συγγνώμην ἔχω σοι. καὶ ὡς γυναικὶ καὶ ὡς μητρί, δεδοικυίᾳ περὶ ἀγαπητοῦ παιδός. εἰ δ' ὡς μόνη τὸ μὴ μετ' ἐμοῦ γεγεννηκυῖα, μόνη δικαιοῖς ἔχειν αὐτόν, ἀγνωμόνως κρίνεις τὰ περὶ γονέων. κατὰ μὲν γὰρ τὸν ἀποχρώντα τὸν λόγον, πατρὸς ἂν εἴη παῖς μᾶλλον, ἢ μητρός. εἰ δὲ τὸν εὐγνωμονέστερον, ἑκατέρων ἴσος. εἰ δὲ τὸ μεταδοῦναί ποτε καὶ τῷ γεγεννηκότι τὸν υἱόν, σαυτῆς ἐλάττωσιν ἡγῇ, τί δοκεῖς τὸν μὴ ἡμέρους ἀξιούμενον. κοινωνικώτερον δὴ ποιοῦσα, πέμψον αὐτὸν ὡς ἐμέ, οὐ διὰ μακρᾶς ἥξοντα πρὸς σέ, ἀλλὰ θᾶττον καὶ μεθ' ὅσων δεῖ Φαλάριδος τῷ Ἐρυθίας παιδί. ἵνα εἰ καὶ μὴ μετ' ἐμοῦ, μετ' ἀλλήλων γοῦν ἐν ἀφθονίᾳ πλούτου βιοτεύητε. εἰς τίνας δ' αὖτις ἀναγκαιοτέρους δόξαι τὸ περιουσιάζειν, γυναικὸς ἢ παιδὸς ἐπιμεληθείς. ἐγὼ δὲ περὶ ὑμᾶς ἐσπουδακὼς ὡς εἰκὸς ἄνδρα τὸν πατέρα, βούλομαι τῶν περὶ ἐμοὶ χρημάτων, μοῖραν οὐκ ὀλίγην ἐν ὑμῖν τοῖς φιλτάτοις ἐναπερείσασθαι. καὶ τοῦτο σὺν τάχει πρᾶξαι, καὶ διὰ τἄλλα μέν, οὐχ ἥκιστα δὲ καὶ διὰ τὸ ἐπιὸν γῆρας. καὶ διὰ τὴν πρόσφατον συμβεβηκυῖάν μοι χαλεπὴν νόσον. ὑπομιμνήσκει γάρ με τελευταίαν ἡγεῖσθαι τὸ

ζῆν ἀνθρώπου προθεσμίαν, τὴν ἐνεστῶσαν ἡμέραν. τῆς δὲ πρεσβείας τῆς κρήτηθεν εἰς ἀκράγαντα, καὶ τῆς ἐνθένδε πάλιν ἀφόβου, τὸ πιστὸν αὐτῷ πρὸς ἀσφάλειαν, ἢ τοῦ πατρὸς εὔνοια παρέξει τοῦ μάγου, ἢ ὁ τῆς μητρὸς φόβος.

Πολυκλείτῳ.

Οὐκ οἶδα πότερον μᾶλλον θαυμάσαιμί σε ὦ πολύκλειτε, τὴν ἰσχὺν τῆς ἰατρικῆς, ἢ τὴν τοῦ τρόπου πίστιν. ἡ μὲν γὰρ ἰσχὺς τὴν τυραννοκτόνον ἐνίκησε πάθος. ὁ δὲ τρόπος, τιμὰς τυραννοκτόνους. δι' ἀμφοτέρων δὲ τούτων, ἥ τε σὴ δικαιοσύνη δραμοῦσα, τὸν δυσὶ κινδύνοις ἀναιρούμενον, ἀφύλακτον τε νόσου προσβολῇ, καὶ τιμαῖς πολεμίων, διέσωσας. μόνῳ γάρ σοι παρῆν, κτείναντός με τοῦ πάθους, μηδὲν ἀπὸ τῆς τέχνης ἀντιπράξαντι, τετυραννοκτονηκέναι δοκεῖν. καὶ μὴ κτείναντος, πᾶν ἑτοίμως δοθέν, ὡς ὑπὲρ σωτηρίας μου λαμβάνοντος, διαφθεῖραι. σὺ δὲ καὶ τὸ δόξαι διαφθεῖραι, πρὸς τὸ τυχεῖν τῶν ὁμοίων τιμῶν. ἀλλ' οὐ γὰρ ἐβουλήθης κέρδος ἄδικον, ἀντὶ δόξης δικαίας ἑλέσθαι. ἴσως γὰρ οὐδὲ εἶχεν ὁ παραδοὺς σοι καιρὸς ἐμὲ διὰ τὴν νόσον, τυραννοκτονίας εὐσεβοῦς τύπον. ἐγὼ μὲν οὖν ἐπὶ σοὶ γενόμενος, ὅτι βούλοιό μοι χρῆσθαι, τὰς ἀξίας χάριτας οὐκ ἔχων, τοσαύτης ἀρετῆς ἀποδοῦναι, τῷ θεῷ συνοῖδα. ὅτι τοῦ κτίσαντος θεοῦ τὴν τέχνην, ἄξια φρονεῖν ἐπαιδεύθης. ὅμως σὺν τοῖς τῆς ἰατρικῆς καὶ τοῖς τῆς πίστεως ἐπαίνοις, ἀπέσταλκά σοι τῆς ἐμαυτοῦ ψυχῆς χαριστήρια. φιάλας ἀπέφθου χρυσοῦ τέσσαρας. καὶ κρατῆρας ἀργυροῦς τῆς καθ' ἡμᾶς τέχνης δύο. καὶ ποτηρίων θηρικλείων ζεύγη δέκα. καὶ παῖδας ἀφθόρους εἴκοσι. καὶ ἀργυρίου

καὶ μυριάδας ἀττικὰς πέντε. γέγραφα δὲ καὶ Τεύκρῳ τῷ ἐπὶ τῆς διοικήσεως, διδόναι σοι σύνταξιν, ὅσην λαμβάνουσιν, οἵ τε ναύαρχοι καὶ οἱ σωματοφύλακες, καὶ τῶν λοιπῶν οἱ ταξίαρχοι. μικρὰν ἀμοιβὴν, ἀντὶ μεγάλης εὐεργεσίας. προσκείσθω δὲ τῷ καταδεεστέρῳ τῆς εὐχαριστίας, τὸ προσομολογεῖν, ἴσην ἀμοιβὴν οὐκ ἔχειν ἀποδοῦναι, τὸν εὐεργετηθέντα.

Τῷ αὐτῷ.

α Πέλυσα διὰ σὲ Καλλαίσχρον. οὕτως ἐπιβουλεύσαντά μοι περιφανῶς, ὡς μὴ μόνον ὁμολογῆσαι τὴν ἐπίθεσιν, ἀλλὰ καὶ τοὺς συνωμότας μηνῦσαι. προσθεῖναι δὲ τῇ μηνύσει, καὶ τὸν τόπον ἐν ᾧ, καὶ πότε, καὶ πῶς ἔμελλον ἐπιχειρεῖν. ἀλλ᾽ ἦν ἀμνήμονος ὡς ἔοικεν ἀνδρὸς, μὴ χαρίσασθαι σωτηρίαν ἀνθρώπῳ, περὶ ταύτην δεδωρημένῳ. ἅμα δ᾽ ἐλογιζόμην, ὅτι κἂν μοῦ μὲν ἦν, τὸ δοῦναι τοιαύτην χάριν ἰατρῷ σεσωκότι. πρὸ πολλοῦ δὲ, σοὶ τὸ λαβεῖν πρεπωδέστερον, τῷ τῆς ἰατρικῆς προστατοῦντι, καὶ πάντας σώζοντι τοὺς δεηθέντας. ἰδέτω μέντοι τὸ παράλογον Καλλαίσχρος. ὅτι ζωῆς παρὰ σοῦ χάριν εἴληφεν, ἑτέρου ζωὴν οὐ δικαίως ἀφελόμενος. ἀφῄρηται γὰρ οὐ μελήσας. ἄλλως δὲ ἠτύχηκεν.

Πεισιθέῳ.

τ Ἦν Εὐβούλου καὶ τὴν Ἀριφάντου γυναῖκα, τῶν ἐπιβουλευσάντων μοι Πεισίθεε, ἃς ἑλὼν αἰχμαλώτους ἔπεμψας, ὡς ἀπολουμένας πρός με, σφόδρα σπουδάσας τὸ πρῶτον ἀνελεῖν, σέσωκα. καὶ πάντως πυνθάνῃ θαυμάζων ὅτι ὑφῄρηκα τῆς ὀργῆς. εἰ δὲ ἐπύθοιο τὴν αἰτίαν, ὅτι δι᾽ εὐγενείας ὑπερβαλλούσης ἀπόδειξιν, μᾶλλον ἂν ἔτι θαυμάσειας. ἐρωτώμεναι γὰρ ὑπ᾽ ἐμοῦ τὴν ἐπιβουλὴν

εἰ συνειδεῖεν

εἰ συνῄδεσαν τοῖς ἀνδράσιν, οὐ μόνον ἔφασαν, ἀλλὰ καὶ συνορμηθῆναι τυραννοκτονεῖν. ἀντὶ ποίας δὲ ἀδικίας εἰπέντο μου μείζονος ἢ ἐλάττονος εἰς ὑμᾶς ἐξ ἐμοῦ γενομένης, ἰδίας μὲν οὐδεμιᾶς, ἀλλ' ἢ κοινῆς ἀπεκρίναντο. κοινὴν γὰρ ἀδικίαν ὑπολαμβάνουσι τὸ καταδουλοῦσθαι πόλεις ἐλευθέρας. τί παθοῦσαι τοιγάρτοι πάλιν ἐπανορθουμένου μου δίκην ἀντιτίσαι τὰ νῦν μοι τοῦ μίσους τὴν κατ' ἀξίαν, ἀποθανεῖν οὖσαι προσέθηκαν. ζῆν ἢ οὐ τεθνάναι κείνας, τοὺς μετὰ τοιαύτης ἀρετῆς ἀποθνήσκοντας, φρονήματος τετοσούτου περιόντες, ἐγὼ τε δικαίως ἐφεισάμην. οὔτε πένθος μετὰ τούτων ἔλαβες ὅτε ἡλίσκοντο, μεταπεμψάμενος αὐτῶν τοὺς ἀναγκαίους ἀπέδωκα, ἵνα περὶ μηδενὸς ὧν ἠδικημένοι μέμψωνται.

Εὐάνδρῳ.

κ Αἱ σὲ καὶ πάντας Ἱμεραίους, μᾶλλον δὲ τοὺς πλείστους Σικελιωτῶν οἶμαι γινώσκειν ἴσως, ὅτι καὶ ἐν Ἱμέρᾳ συντεθείσης κατ' ἐμοῦ τῆς βουλῆς, δικαιότερος ὢν τῶν ἐγχειρούντων περιεγενόμην. οὐ γὰρ δήπου φαῦλος ἂν κεῖται ὁ τῶν ἐν τῷ σφετέρῳ πεπεισμένων τολμωμένων ὁ ζῆλος ἐγένετο. ὡς τοὺς δικαιότατα πράξαντας, ἐν ἱερῷ ὡς ἀδικοῦντας ὑποχειρίους παραδοῦναι τῶν προσηκόντων ἂν ὑπὸ τῶν ἀπολουμένων. ταῦτα μὲν οὖν οὐδεὶς ἂν τῶν ἄλλων ὑπολάβοι. Στησίχορον δὲ πυνθανόμενος ἀνιᾶσθαι, διότι τῆς ἐπιβουλῆς τὴν αἰτίαν, εἰς τὰς ἐκείνου ποιήσεις οἱ περὶ Δείβουλον ἀνέφερον, οὐκ ἂν ἐβουλόμην ὡς ἐμοῦ ταῦτα πεπεισμένου δυσχεραίνειν. εἰ γὰρ τοῖς τούτου ποιήμασι προσεῖχον ὡς φασὶν αὐτοί, οὐ πονηρίας ἂν ἀπεσωσμένης, ἀλλὰ χρηστότητος ὑπερβαλλούσης ἔπαθλον ἤραντο.

Ὀρσιλόχῳ.

ε Ι τὸ μὴ βουληθῆναί με πυθαγόραν τὸν φιλόσοφον ἀφι-
κέσθαι πρός με, πολλάκις ὑπ' ἐμοῦ καλούμενον, διαβο-
λὴν ἔφερέ μοι καθ' ὡς ἐγκωμιάζων αὐτὸς ἔλεγες, ἐπὶ τῷ φεύ-
γειν αὐτὸν τὴν μετ' ἐμοῦ συμβίωσιν, τὸ παραγεγονέναι καὶ πέμ-
πτον ἤδη μῆνα συνεῖναι μεθ' ἡδονῆς, πάντως ἔπαινός ἐστιν ἐμός.
δῆλον γὰρ ὡς οὐκ ἂν ἔμεινεν οὐδὲ βραχὺ μόριον ἡμέρας, εἰ μὴ τοῖς
ἑαυτοῦ τρόποις εὑρήκει καί με παραπλήσιον.

Λεοντίδῃ.

α μέτροις κέχρησαι λόγοις πρὸς καμαριναίους ἐγείρων
αὐτοὺς εἰς τὸν κατ' ἐμοῦ πόλεμον. δύναμαι καὶ τόδε ἀφ' ἡ-
μῶν ἔθει, μὴ καλῶς πεπεικὼς αὐτοὺς, ὅτι οὐ λόγοις ἀπράκτοις ἀ-
μυνούμεθά σε οἷς εἰς ἡμᾶς ἄρχειν δοκεῖς. ἀλλ' ἔργοις, ὧν οἱ πει-
ραθέντες αὖθις οὐκ ἐπεβούλευσαν. τοῦτ' εἰδότες καμαριναῖοι,
πεῖραν οὐ βούλονται λαβεῖν, ὀργιζόμενοι σοῦ φαλάριδος. χαριζόμενοι
δὲ, ἡδίων αὐτοῖς ἔδοξα.

Δημοστράτῳ.

μ Η θαύμαζε τὸν ἀλκινόου τοῦ δορυφόρου θάνατον, ὡς μετὰ
πικρίας καὶ τυραννικῆς ὠμότητος πεπραγμένον. πολλῷ
γὰρ ἐπιθαυμασιώτερον δὶς καὶ τρὶς ἀδείας ἀξιωθέντας, ὑπὸ τυ-
ράννου, τότε κολασθῆναι.

Ἡγησίππῳ.

σ Υμ' ἴσως τὰ ἄλλοι συγγενεῖς, ὅσοις μάλιστα ἀχθομένοις ἐστὶ τὸ
φεύγειν κληθέντα, μοῦ ἔγνωτε κακῶς βεβουλευμένον ἐπὶ

τοῦ τοῖς

τούτοις, ἐφ' οἷς ἀπεστέρηται τῆς πατρίδος, ὃ τοῦ δεινὸς ἑτέρου καιρὸς, ἢ μεταμελείας· ἐγὼ δὲ, ὅτι μάλιστα πολὺς ἐν ταῖς τοῦ πολιτεύεσθαι κενοδοξίαις ἦν, τότε μάλιστα ᾤκτειρον αὐτὸν, ὅτι ἐπέστελλον γὰρ περὶ τούτων μαρτυρόμενος οἷ τελευτήσοι· ὁ δ' ὑπὸ τῆς ἡδονῆς τοῦ τιμᾶσθαι γαυριῶν, ἐκ παιδὸς ἦν, λῆρον ἡμᾶς ὑποπτεύων γράφειν, οὐκ ὄντας ἐμπείρους δημοκρατουμένης πόλεως, μᾶλλον δὲ οὐδὲ βουλομένους εἰδέναι, τὸν ὑπὲρ τῆς πόλεως τὰ ἄριστα πράξαντα διὰ τὴν τυραννίδα. ἕως οὐ λαμπρότερον φυσήσας ἢ συνέφερε, τοῖς ἰδίοις φυσήμασιν ἀνετράπη. καὶ μετὰ ζημίας οὐ σφόδρα μεγάλης, οὐ φαύλαις ἐν ἀμαθεῖ πόλεως εὐνομουμένης διὰ τὴν ἀρχὴν, ἀλλ' αὐτὸν ἀγνῶτα δήμου διὰ τὴν πρόσκαιρον δυσπραγίαν. ἐπαγωγὸν γὰρ ὄχλος εἰς ἀτυχίας. καὶ τὰς ἀρχὰς πρὸς τὰ τέλη διαφωνούσας ἔχων. ἐγὼ γοῦν ὅτι πᾶς ὁ μὴ παραφρονῶν, ἐλεεῖσθαι μᾶλλον ὑπὸ πλήθους ἀκρίτου βουλοίμην ἂν, ἢ τιμᾶσθαι. τὸ μὲν γὰρ ἔχθος αὐτοῦ, τάχιον τοῦ διαφθῆναι, σβέννυται. καὶ οὐδὲν οἷς ἀκμάζει καιροῖς ἐπιζήμιόν ἐστιν. ἡ δὲ τῆς εὐνοίας δόκησις φυγὰς ἢ θανάτους ἢ δημεύσεις, ἢ τούτων χαλεπώτερον οὐδὲν, φέρει. νὴ δία τὸν μέγιστον ἡγήσιππε ὡς ἴσμεν, οὕτως ἂν εἴποιμι πρὸς σέ. δῆμος ἄστατος ἄτακτος αὐτὸς, ἄπρακτος, ἑτοιμότατος ἐφ' ὅτι τύχοι μετοχθῆναι. ἄπιστος· ἀβέβαιος. ὀξύς. προδοτικὸς. ἐψευσμένος, φωνὴ μόνον. ἀνωφελής. ὅτι πρὸς ὀργὴν, καὶ πρὸς ἔπαινον εὐχερής. τοῦτ' ἐστὶ τὸ, μετ' ἐνδόξου προπηλακισμοῦ φθείρεσθαι. τὸ, δήμῳ πολιτευόμενον ζητεῖν ἀρέσκειν. μεμήνασι γὰρ ὅμως τινὲς εἰς τοῦτο, ἀνοήτῳ καὶ δυσκαθέκτῳ ὁρμῇ, μᾶλλον δὲ λύσσῃ χρώμενοι. ὅτι πολλοὶ παίδων ὄντες ἐρασταὶ, τοσοῦτον ἐπιθυμοῦσιν οὐκ ἔσχον εἰς τέκνα. καὶ χαίροντες γάμοις, οὐχ οὕτως εἶδον ἀσμένως γυναῖκ

κας τε Φιλοπόλου τραφέντες, οὐ παραπλησίως ἔστερξαν χρήματα. τε φιλόπολοι καὶ μαχηταὶ καὶ φιλιπποτρόφοι νίκης ἕνεκα τῶν ἐν ὀλυμπίασιν ἀγώνων, οὐκ ἐπὶ τοσοῦτον ἥσθησαν ἑκάστοις τούτων, ὡς ἀθλίαν δόξαν τε τιμὴν ἀνόητον τε κρότον ἐπὶ ζημίᾳ τῇ ἑαυτῶν ἀγρεύοντες. τοῖς δὲ τῶν τοιούτων ἐρασταῖς, οἱ μὲν οἰκεῖοι συναχθεῖς εἶεν ἂν ὡς ἂν μάλιστα, οἱ δὲ ἐχθροί, τὰ μέγιστα πάντων ἐφησθεῖεν. ὑμεῖς δὲ παραμυθεῖσθε μὲν κλεισθένην, συγγενεῖς ὄντες εἰ ἄρα δυσθύμως ἔχοι ὡς ἀνθρώπινόν τι πεπονθότα. ἀποτρέπετε δὲ ἐπὶ τοῖς αὐτοῖς φιλοτιμεῖσθαι ὡς ἀνήκεστα ἡμαρτηκότα.

Στησιχόρῳ.

ν Ικοκλῆς ὁ συρακούσιος, οὐκ ἀγνοεῖς δ' ἴσως ὃν λέγω, διὰ γὰρ τὴν ἐπιφάνειαν οἰκείαν, οὐκ ἔστι τῶν ἀγνοηθῆναι δυναμένων ὑπὸ στησιχόρου, γυναικὸς ἀποθανούσης αὐτῷ, μέγα προσφάτως καὶ περιττὸν ἐπιτέθειται πένθος. εἰκότως. ἔτυχε γὰρ τὴν αὐτὴν ταύτην ἀδελφιδῆν ἔχων καὶ γυναῖκα. οὗτος ὁ νικοκλῆς, ᾔδει γὰρ ὡς ἔοικεν ὅσοις πρὸς ἀλλήλους κεχρήμεθα πόθοις, πέμψας πρός με κλεόνικον τὸν ἀδελφὸν αὐτοῦ, ἠξίου ὅπως σου δεηθείην ἔπαινον ἐν ποιήσει διαθέσθαι περὶ τῆς αὐτοῦ. καὶ γὰρ ὡς πυνθάνομαι συρακουσίων, πᾶσάν τε τὴν ἄλλην ἀρετὴν, πρὸς δὲ καὶ τὴν ἀνωτάτω σωφροσύνην αὐτῇ προσμαρτυρούντων, οὐκ ἔστιν ἀνάξιος ὑπὸ τοῦ σοῦ στόματος ὑμνηθῆναι. πεφύλαξαι μὲν οὖν γράφειν, εἰς τοὺς κατὰ σεαυτὸν ἀνθρώπους, ἵνα μὴ δόξῃ σου τὶς ὠνίαν εἶναι τὴν κρίσιν. ἔστι δ' ἡ πιστὴ φιλότης, οὐδὲ αὕτη καθ' ἡμᾶς, εἰς τὸ χρεὼν ἀπηλλαγμένη. μὴ δὴ τὸ συνηθές σου τῆς γνώμης προβαλλόμενος, ἀποστραφῇς μου τὴν δέησιν. οὐδὲ γὰρ εἰκὸς ἀτυχῆσαι παρὰ στησιχόρου φάλαριν αἰτησάμενον. οὐχ ὅτι χάριτας ὀφείλεις ὑπέρ τινος, ἀλλ' ὅτι τὴν πεπιστευμένην δόξαν, ἀξιοῦμεν ὑπὸ σοῦ βεβαιωθῆναι. δός δή-

δή μοι πρόφασιν ὡς χάριν τῆς σαυτοῦ φύσεως ἀφθόνου, αἰτουμένῳ μὲν ἃ δώσεις, εἰς ἐμαυτόν. ληψομένῳ δὲ εἰς φίλον. λοιπὸν εἰ γεγένηκας περὶ τὴν χάριν, Κλεαρίστην καὶ Συρακουσίαν τὸ γένος, Ἐχεκρατίδου πατρός. ἀδελφιδῆν, οὗ γεγράφαμεν καὶ γυναῖκα. ἑκκαίδεκα συνεζηκυῖαν ἔτη. ἑξηκοστὸν ἢ ζήσασαν. δυεῖν παίδοιν μητέρα· τεθνηκυῖαν δὲ ἐκ διαφθορᾶς. τὰ μὲν κεφάλαια τῶν ὑποθηκῶν ταῦτα. ἐμπνευσθείης δὲ εἰς τὰ κατὰ μέρος τῆς γραφῆς, ὑφ' ὧν κατέχῃ θεῶν. καί σου τὴν ἱερὰν, καὶ ὑμνοπόλον κεφαλὴν, ἡ μουσῶν συγγένεια κινήσειεν, ἄλλαις τε ὑμνῳδίαις, καὶ τῇ νῦν ὑφ' ἡμῶν εἰς Κλεαρίστην ἐπεσταλμένῃ.

Τῷ αὐτῷ.

Τῶν μὲν περὶ Κλεαρίστην μελῶν, πολλή σοι καὶ μεγάλη χάρις ἀποκείσεται. καὶ γὰρ ἐπιδέδωκας σαυτὸν, εἰς ἃ παρεκάλουν. καὶ ταῖς κατὰ μέρος οἰκονομίαις, ὑπὲρ φύσεως συνηνέχθης. τὸ σχῆμα τῆς γραφῆς θαυμαστῶς ηὐδοκίμησεν, οὐ παρ' ἐμοὶ μόνῳ, ἐγὼ γὰρ ἐπὶ πᾶσιν ὁμοίως ἄγαμαι τοῖς Στησιχόρου, ἀλλὰ καὶ τοῖς συνακούσασιν Ἀκραγαντίνοις, πολλοῖς γενομένοις. ἔσονται δὲ οὐχ οἱ τὸ παρὸν ἀκηκοότες, οὐδὲ ὅσοι νῦν εἰσιν, ἀλλ' ὅσους ὁ μεθ' ἡμᾶς οἴσει βίος. ἡ μὲν οὖν ὑπὲρ ταύτης σου τῆς κινήσεως χάρις ὡς ἔφην, ὀφείλεται ὑπ' ἐμοῦ. κεχάρισαι δὲ διὰ τῆς ἐμῆς ἀξιώσεως, τοῖς τε νῦν οὖσι καὶ τοῖς ἐσομένοις ἀνθρώποις, καὶ ταύτην τὴν μελῳδίαν. περὶ δὲ ἐμοῦ, καὶ τῶν ἐμῶν, τοιοῦτον γάρ τι διὰ τῆς ἐπιστολῆς ἐδήλους, πρὸς ἑταιρείου Διὸς, καὶ κοινῆς ἑστίας, μὴ δὲ σὺ ἐν κινήσει, μήθ' ὡς κακὸς ἴσως ἐγινόμην μήθ' ὡς ἀγαθὸς ἐπιμνησθῇς. ἐκμελὲς γάρ ἐστί μου τοὔνομα διὰ τὰς τύχας. γεγράφθω δὲ Φάλαρις ἐν αὐτῷ Στησιχόρῳ, εἴτε βελτίων τῆς κατεχούσης ἐν ἀνθρώποις δόξης, εἴτε τοὐναντίον ὑπείληπται.

τ Ην μὲν φιλοφροσύνην ὑμῶν ἀσμένως ἀποδέχομαι, τοσαύτῃ σπουδῇ βουλομένων ὀνομάσαι φάλαριν· παραιτοῦμαι δὲ αἱ τύχαι, καὶ ὑμεῖς συνηγορῶ μέν· εὑρήσετε γὰρ ἀνεπίληπτον, καὶ ἀκατηγόρητον ἐκ τοῦ γένους ὄνομα αὐτῷ γεγενημένον. ἐγὼ δὲ πολλὰ καὶ μεγάλα διὰ πικρᾶς εἱμαρμένης ἀνάγκην, ἀκουσίως πραχθέντα μοι κατέγνωσμαι. καὶ τοὐμὸν ὄνομα δι' οὐδὲν ἕτερόν ἐστιν ἐκμελές, ἢ ὅτι νόμοις οὐ πείθομαι. νόμος δὲ εἰμὶ τοῖς ὑπηκόοις. ἣν δέ μοι χάριτος ἀμοιβὴν προσφέρεσθε, φάλαριν ὀνομάζουσαι, ταύτην εὐεργεσίαν ποιήσασθε μὴ τοῦτο τιθέναι τὸ ὄνομα. Ενναίοις.

ὁ Υ μεταμελόμενος ἐπὶ τῇ πρέσει τῶν χρημάτων ἄνδρες ἐνναῖοι, τὴν ἐπιστολὴν ταύτην ὑμῖν ἐπέσταλκα. ἀλλ' ἵνα βεβαίαν ἔχητε τὴν χάριν, ἐπεξελθόντες τῇ δίκῃ περίανδρον. τοῦ γὰρ μὴ ἀληθῶς ἔχειν τὴν πόλιν, ἀλλὰ προφάσει ψευδεῖ καταχρωμένην ἀποστερεῖν τοὺς δεδανεικότας, ἀπόδειξις ἔσται μοι, τὸ τοῦτον τῆς κλοπῆς ὑμᾶς καταψεύσασθαι. οὐ γὰρ ἔχει λόγον ὑπᾶ, τοὺς αὐτοὺς, τοτὲ μὲν, ὡς πενομένους παρεῖναι, καὶ δεῖσθαι χρημάτων. τοτὲ δὲ, ὡς πλουτοῦντας, πολλὰ τῶν κοινῶν εἰς τοὺς ἁρπάζοντας προέσθαι. ἀλλ' ἢ καὶ πρὸς τοὺς δανείσαντας πλουσίους ὑμᾶς εἶναι δέον, ἢ καὶ πρὸς τοὺς κλέπτοντας, πένητας. ἐὰν δὲ τὰ μὲν τῆς πόλεως χαρίζησθε τοῖς νοσφιζομένοις, ὡς πλουσιάζοντες, τὰ δὲ τῶν δεδανεικότων ἀποστερῆτε διὰ τοὺς δημαγωγοὺς ὡς ἀπορούμενοι, πρῶτον μὲν, ὃ καὶ μεῖζόν ἐστιν, ἀδικήσετε, μηδενὸς ὑμῖν ἀδικεῖν ἐπιτρέψοντος. ἔπειτα, πολλῷ δικαιότερόν ἐστιν, ἀποτίσειν ὃ δεδάνεισθε ὑμεῖς, ἔχειν οὐ δυνάμενοι διὰ τοὺς ἀφαιρουμένους καὶ κομίσασθαι τὸν δεδανεικότα, ἢ φαλαρίδος ἐπ' ὀνόματι δωρεᾶς χρεω

κὸ περιών τις, περὶ ἐκείνου ἡδέως ἂν κερδαίνοι τὰ τῶν παρῳχηκότων·
ὡς θυμοῦ πάρεστι, ὃ σὺν ὑμῖν σῶσαι τὰ σφέτερα, κἂν εἶναι ἔχῃ καὶ τὴν ἀπὸ τοῦ πολέμου χρείαν, ἢ μετὰ τῶν ἰδίων χρημάτων ἀπωλείας, πραχθῆναι καὶ τὰ παραμύθια.

Τιμάνδρῳ.

τ Ἠς σὺ κακομαθὴς πολιτείας κατ' ἐμοῦ, μὴ πεπεισμένον κακομαθηκόσι μέγα τι ὑπὲρ μικρᾶς αἰτίας ἐπιφέρεσθαι πόλεμον, νῦν μὲν ἴσως παραμυθίαν ἔχεις, τὸ κατ' ἐμοῦ στρατείαν ἀγείρειν. ὅταν δὲ τὸ κοῦφον ἐπιλίπῃ σε τῆς πειθοῦς ἐλπίδος, τότε κατὰ τὴν ἀξίαν, οὐχ ὑποδέξαιο, ἀλλ' ὧν πέπονθας αἰτιάσῃ. καίτοι τί σοι ὄφελος εἰς παραμυθίαν. εἰ μὲν γὰρ ἐμέλλησα μὲν πείσειν, ὥσπερ ἐκπέπληξαι σύ, τάχα αὐτὸς ἔχειν λόγον διὰ τὸν ἐμὸν φόβον· νῦν δὲ εἰς τἄλλα μὲν, οὐδὲ ὅσον ἡμᾶς ἐλύπησας. σὺ δὲ τὸ, μηκέτι ἐν ὁρμῇ ὅσον σεαυτὸν, τοῦ παρ' ὑμῖν ἀπελέσθαι βασιλικοῦ. οὐδὲ μιᾶς χάριτι δεῖ τελευτῆς, τῷ τοιαύταις κολαζομένῳ συμφοραῖς, ἀλλὰ καὶ τῆς κατὰ φύσιν ζωῆς, εἰ οἷόν τε, μακροτέρου βίου.

Μελιτίωνι.

υ Ὑμῖν πέπεισμαι πρεσβεύοντα μηδένας ὑμῖν δανεῖσαι χρήματα καίπερ πρὸς τὸ παρὸν, οὐκ εὐπόρως ἔχων. διὰ τὸ συνεχῶς εἰς πολέμους ἀνηλωκέναι· ἀλλὰ προφάσεως οὐ φασὶ δεῖ πρὸς φίλους. πάσχοντι δὲ οὐδὲν ὅμοιον τοῖς πολλοῖς, οἱ δανειζόμενοι μὲν τοῖς εὐφημοτάτοις ὀνόμασιν ἀγαπῶνται· ἀπαιτούμενοι δὲ, τοῖς χαλεπωτάτοις. ἔργον οὔτε δίκαιον, οὔτε εὐχάριστον ποιοῦντες. δεῖ γὰρ λαβόντα, μεμνῆσθαι τῶν δεδωκότων, καὶ μέχρι τῆς ἀποδόσεως ὁμοίους εἶναι τοῖς δεδωκόσι. ὁ εἴτε χρηστὸς εἴη, ὡς χρηστῷ διαλύεσθαι· εἴτε ὁ φαῦλος, ὡς φαύλῳ. καὶ γὰρ ἐπιεικῶ

καὶ μὴ τοιούτῳ, δίκαιον ἀποδοῦναι τὸ πεπιστευμένον. ἐγὼ μὲν οὖν ὦ Μελιταῖοι, καὶ ὅταν δανείζω, καὶ ὅταν ἀπαιτῶ, εἷς εἰμι, καὶ ἐμαυτῷ παραπλήσιος. οἱ δανειζόμενοι δὲ πρὸς τοὺς καιροὺς καὶ τὸν τρόπον, ὥσπερ φασὶ τοὺς χαμαιλέοντας τὰ χρώματα πρὸς τοὺς τόπους, ἀλλάττουσι. καὶ λαμβάνοντες μὲν, ὡς εὐεργέτην καὶ θεὸν ἐπαινοῦσιν, ἀπαιτούμενοι δὲ, ὡς τύραννον, καὶ οὐ καθαρὸν ἀποκαλοῦσιν. οἶδα δὲ καὶ τοῦτο ὅτι πολλῷ κρεῖττόν ἐστιν ἰδιώτῃ δανείσαντα χρεοκοπεῖσθαι, ἢ πόλει. ὑπὸ ἰδιώτου μὲν γάρ τις ἀποστερούμενος, ἐχθρὸν ἕνα κέκτηται, καὶ τοῦτον ἀσθενῆ· ὑπὸ δὲ πόλεως, ζημιοῦται μὲν οὐδὲν ἧττον. ἐχθροὺς δὲ τοὺς πολλοὺς ἔχει, καὶ οὐχ ἕνα. οὐ μὴν καταγνοίην ὑμῶν τοιόνδε τι. ἀλλ᾽ ἀνυπόπτως δίδωμι τὰ χρήματα. τά τε γὰρ ἄλλα μνήμονας ὑμᾶς ἐπίσταμαι, καὶ περὶ τὰ συμβόλαια δικαιοτάτους. καὶ πρὸς τοῖς ἄλλοις οὐδὲ τοῦτο ἀγνοοῦντας, ὅτι κατηγορία μείζων ἐστὶ πολλῶν, ἀδικεῖν ἕνα, ἢ ἑνὸς ὑπὸ πολλῶν ἀδικεῖσθαι. οὐ γὰρ εἰκὸς ἕνα πολλῶν, πολλοὺς δὲ ἑνὸς καταφρονεῖν, εὐλογώτερον. Μεσσηνίοις.

Οὐκ ἠγνόουν, ὅτι πέμψαντός μου τοῖς παρ᾽ ὑμῖν θεοῖς ἀναθήματα, τρίποδάς τε Δελφικοὺς, καὶ στεφάνους χρυσοῦς, καὶ ἄλλα πολλὰ, καὶ πολυτελῆ χαριστήρια τῆς σωτηρίας, δυεῖν θάτερον ποιήσετε, ἢ τοῖς θεοῖς εὐσεβοῦντες ἀναθήσετε, ἢ τούτους ἀποστεροῦντες, αὐτοὶ διανεμεῖσθε, ὅπερ δεδράκατε. προσποιησάμενοι γὰρ ἐμοὶ λοιδορεῖσθαι, ὡς τῶν ἀναθημάτων διὰ τὸν κτησάμενον οὐ καθαρῶν ὄντων, τοὺς θεοὺς ἱεροσυλήκατε. τί γὰρ διαφέρει τὰ καθωσιωμένα περισπάσαντας ἀπενεγκεῖν, ἢ τὰ κατωνομασμένα τοῖς θεοῖς. ἐκείνων γὰρ ἀμφότερα ἦν. καὶ οὐ τῶν πεπομφότων. ἡ μὲν οὖν παρ᾽ ἐμοῦ χάρις εἰς τοὺς θεοὺς, καὶ ἡ παρ᾽ ὑμῶν ἀσέβεια, παντελής ἐστι. καὶ γὰρ ἐμὲ τὸν δεδωκότα, καὶ τοὺς ἁρπάσαντας

ὑμᾶς

ὑμᾶς, ἴσασιν. ἀρκεῖ δέ μοι τὸ, τῶν θεῶν οὐ λαβόντων, ἐναγεῖς ὑμᾶς ὁρᾶν γεγονότας, τῇ τῶν ἱεροσυληθέντων ὀργῇ. σὺν γὰρ τοῖς ἄλλοις, δι' ὧν αὐτὰ κέρδος ἡγήσασθε, προσωμολογήκατε μηδὲν εἶναι μυσαρὸν τῶν ἀπεσταλμένων, εἰ μὴ τὰ αὐτὰ κειμήλια, διότι ἃς ἔχει τύχας. ἃ μὲν ὑμεῖς αὐτοὶ διανείμησθε, τὰς ἀμείνους. ἃ δὲ τοῖς θεοῖς κομισθῶσι, τὰς χείρους. πρὸς δὲ τούτοις, ἑαυτοὺς ἐλέγχετε περιφανῶς ἠσεβηκότας. οἱ μὲν γὰρ ἄρχοντες, τὸ ψηφίσασθαι πολέμια εἶναι τὰ χρήματα, τὴν αἰτίαν εἰς τὸν δῆμον ἀναφέρουσιν. ὑμεῖς δὲ ὁ δῆμος, εἰς τοὺς ἄρχοντας. καὶ τὸ πάντων δεινότατον, τοὺς μὲν θεοὺς ὡς κακοὺς αὑτῶν προδότας ἂν γενέσθαι λέγετε, εἰ δῶρα παρὰ τυράννου λάβοιεν. τοὺς δὲ πολιτευομένους ἀγαθοὺς παρ' ὑμῖν, οἳ τὴν καὶ ὀχ ἅπαξ μεστήνην, ὡς ἀκράγαντά μοι ὑπὸ χεῖρα πεποιήκεσαν, εἰ χρήματα αὐτοῖς αἰτοῦσι προεῖμην, οὐ κολάζετε. τὸ δ' αἴτιον; ὅτι κοινωνεῖτε τῆς αὐτῆς προαιρέσεως, καὶ οὐ δύνασθε τοῖς αἰτίοις ἐλευθέρως ἐπεξελθεῖν. πάντες γὰρ ἔνοχοι δωροδοκίας εὑρεθήσεσθε. οὐ μὴν, ἀλλ' ἐγὼ μὲν, ἵνα μὴ δοκῶ περὶ τῶν ἀναθημάτων λέγειν, μήτε παρ' ἐμοὶ μεμενηκότων, μήτε τοῖς θεοῖς ἀνατεθειμένων, οὐδεμίαν ποιήσομαι φροντίδα. μετελεύσονται δὲ ὑμᾶς ἀξίως τῶν τετολμημένων, οἱ σεσυλημένοι, καὶ περὶ ἐμοῦ, καὶ περὶ ὧν εἰς αὐτοὺς ἠσεβήκατε. ἔρρωσθε. τὸ δὲ ἔρρωσθε διπλῆν παρέμφασιν ἔχον, ἀγαθοῦ καὶ κακοῦ, μὴ ἀγνοεῖτε ὅτι πρὸς τὸ χεῖρον γέγραπται. Τιμώνακτι.

ν Ἐνίκησα τῷ πολέμῳ Λεοντίνους. ἵνα δὲ τῇ λύπῃ διαρκέσῃς, καὶ μὴ πάντων ἀθρόως ἀκούσασα ἀποκαρτερήσῃς, οὐκ ἔγραψά σοι περὶ τῶν ὅλων, ὅτι καὶ Ταυρομενίτας, καὶ Ζαγκλαίους συμμαχήσαντας αὐτοῖς, εἰς τέλος νενίκηκα. οὐδ' ὅτι λαβὼν ὑπὲρ τῆς ἀφέσεως τῶν ἑαλωκότων, τάλαντα ἑκατὸν, ἀπελύτρωσα τοὺς

αἰχμαλώτοις. οὐ γὰρ ἐβουλόμην διὰ τὴν ὑπερβάλλουσαν τῶν ὄντι χρημένων μοι προσαγγελίαν ἀπολουμένου σου, τὸν οὐκ ὀρθῶς ὄντα, δοκεῖν ἄνθρωπον ἀνῃρηκέναι.

Ἱέρωνι.

π Ολλὰ λέγειν ἔχων, ὦ κάκιστε σὺ, καὶ περὶ ἧς κατ᾽ ἐμοῦ πεφλυαρήκας ἐν Λεοντίνοις δημηγορίας, οὐδὲν ἐρῶ περισσότερον, πλὴν ὅτι κώνωπος ἐλέφας ἰνδὸς οὐκ ἀλεγίζει.

Ἀρισταινέτῳ.

ὸ Υλυπεῖ με τὸ γῆρας. οὐ γὰρ ἡ τῆς τυραννίδος ἰσχὺς γεγήρακεν, ἀλλὰ Φάλαρις. λυπεῖς δέ με σὺ, λίαν ὑπερφοβούμενός μου. τὸ γὰρ εἱμαρμένον ἥξει, κἂν Ἀρισταίνετος μᾶλλον ἢ δεῖ φοβηθῇ. πολλῷ δὲ κρεῖττόν ἐστι, μὴ δεδοικότα παθεῖν τὸ μέλλον δεινὸν, ἢ δεδοικότα. ἵνα σοι καὶ μετὰ παραδειγμάτων ποιητικῶν ἐπιστέλλω.

Ἱμεραίοις.

ἠ Μῖν μὲν ὦ Ἱμεραῖοι, τὴν γνώμην τὴν ἑαυτῶν, καὶ σφόδρα δήλην ἐποιήσατε, ὅτι ὑμῖν οὐδὲν διαφέρειν ἡγεῖσθε, Φάλαριν ἐχθρὸν, ἢ φίλον εἶναι. τὸ θεῖον δὲ καλῶς ἐποίησέ τε, καὶ πείθομαι. ὅτι ἔχω ἰσχυρὸν παρ᾽ αὐτοῦ σύμβολον, τοῦ, ὅτι καὶ τἄλλα χωρήσει μοι κατὰ νοῦν. ἐγὼ δὲ Κόνωνα μὲν, ὥσπερ καὶ πρότερον ὑμῖν ἐπέστειλα, ἀποσφάξαι εὐθέως ἐκέλευσα, εἰδὼς πονηρὸν ὄντα, καὶ οὐδὲ γονεῦσιν αὐτῷ, οὐδὲ συγγενέσι τῇ πόλει ὄντας. Δρωπίδαν δὲ ὑμῖν, ἀπέπεμψα, τιμήσας ὡς ἐνῆν. οὔτε γὰρ πονηρὸς ὑμῖν, οὔτε ἠδικηκὼς ἡμᾶς οὐδέν. περὶ δὲ Στησιχόρου βουλευσόμεθα.

Νεολαΐδᾳ.

ὸ Υδὲν ἄχαρι βούλομαί σε παθεῖν ἀπ᾽ ἐμοῦ. πλείω γὰρ ἀεὶ σκοπῶ σοι τὰ ἀγαθὰ πεπραγμένα, τῶν χειρόνων. διὸ καὶ τοῦ τρόπου σου τῶν βελτιόνων ἐγγινέσθω, τὸ μὴ προσαναγκάσαι με, τῶν χαλεπωτέρων τι ψυχῆς κατὰ σοῦ χρήσασθαι πάθει.

μνησι

Μνησιλάῳ.

τ Ἧς μὲν εὐτυχίας, ὡς μάλιστα συνήδημεν, ἀκούσαντες, εἰ καὶ σφόδρα σοι βουλομένῳ υἱὸν ποιήσασθαι, θυγάτηρ ἐγένετο. καὶ νομίζομεν αὐτὴν τοσούτῳ ποθεινοτέραν ἔσεσθαί σοι, καθ' ὅσον αὐτὴ υἱοῦ γέγονεν. πέφυκε γὰρ θυγάτηρ μᾶλλον ἀρρένων παίδων, περὶ πλείστου ποιεῖσθαι γονέας. τὰς δὲ δωρεὰς τὰς παρ' ἡμῶν, τό τε αὖ ἀσμένως δέξασθαι λαμβάνειν, ὅταν μὴ μόνον ἃ πέμπομεν προθύμως ἀποδέχῃ, ἀλλὰ καὶ ὧν δεῖ σοι ἀγνοούντων ἡμῶν, ἐπιστέλλῃς. δεῖ δέ σοι καὶ πλειόνων ἤδη νυνί, καὶ πολυτελεστέρων διὰ τὴν θυγατέρα.

Ἀλκάνδρῳ.

μ Ἤ τε σύ, μήτε ἄλλος ἀνθρώπων μηδείς, ἐμὲ καταδείσειν λόγοις μὲν ἴσως οἰέσθω, κἂν μηδὲν εἴπω, ἀλλὰ μὴ δὲ ἔργοις ἐλπιζέτω. καὶ πολέμων γὰρ ἔμπειρος ὤν, καὶ οὔτε ἐπ' ἀδίκοις, οὔτε παρὰ δύναμιν θρασυνόμενος, καὶ τοὺς καιρούς, ῥοπὰς ἀγχιστρόφους καὶ ἑτεροκλινεῖς εἰδὼς ἔχοντας, ἔτι δὲ τὰς τύχας ἀβεβαίους, εἰπεῖν μᾶλλον ἱκανώτερος πεφυκὼς ἢ ἀκοῦσαι, θαρρῶ μὲν ἐπ' ἐμαυτῷ, ὅσον οὐδεὶς τῶν ὄντων. πιστεύω δὲ τῷ δαίμονι, πρὸς μηδένα τῶν ἀδικησάντων ἔλαττον σχήσειν. ἔχω γὰρ παρ' αὐτοῦ πίστιν ἰσχυράν, τὸ πάντας ὑφ' ἡμᾶς κινῆσαι τοὺς ἐπιβουλεύοντας.

Στησιχόρῳ.

α Κούω σε καὶ εἰς Ἀλούντιον παρεληλυθέναι, καὶ εἰς Ἄλαισαν. καὶ χρήματα ἀγείρειν. καὶ στρατιώτας παραλαμβάνειν, πέμποντα κατὰ τὰς πόλεις, καὶ ταῦτα συντάττειν ἐφ' ἡμᾶς. οὐκ ἄρα Στησίχορε παύσῃ τῆς ἀκρασίας, τοῦ πολιτεύεσθαι τηλικοῦτος γέρων. οὐδὲ αἰσχύνῃ τὰς θεάς, ὧν ζηλωτὴς μὲν εἶναι προσποιῇ, λυμαί-

νη δὲ αὐτοῖς, ἐν οἷς πολιτεύῃ πρὸς ἄνδρας ἀμείνους; οὐδ' ἐλεεῖς τοὺς παῖδας, οὐ πολὺ ἀπέχοντας ἄνδρας εἶναι ἤδη; ἀλλὰ προπετὴς εἶ ἀκμὴν, γέρων ὢν στρατιώτας ἔχειν, καὶ χρήματα ἀγείρειν ἐθέλων, μέλλων αὐτοῖς ἐχθρὸν ἐπιτειχίσειν οὕτω βαρὺν; ὃς αὐτοὺς ἐκτρίψω πίτυος δίκην. καὶ τοὺς μὲν τῶν ἀχαιῶν νόστους πυνθάνομαί σε συγγράφειν, καί τισι τῶν ἡρώων ἐκείνων, ἀβουλίαν ἐπιτιμᾶν ἱκανῶς. ὅπως δὲ αὐτὸς ἀπονοστήσῃς ἀπαθὴς ἐξ ἀλαίσης εἰς ἱμέραν, οὐδὲν φροντίζεις. ἀλλ' εὖ ἴσθι, ὅτι μένουσί σε καὶ καφηρεῖδες πέτραι, καὶ πλαγκταὶ, καὶ χάρυβδις, καὶ ὁ ναύπλιος στόλος. καὶ οὐκ ἂν ἐκφύγῃς ὅλως τὰς ἐμὰς χεῖρας, οὐδ' ἂν εἰ θεός σέ τις καθ' ὑμᾶς τοὺς ποιητὰς ἀϊστώσῃ.

Ἱμεραίοις.

α Ἐλύσαμεν στησίχορον ὦ ἱμεραῖοι, παρέντες αὐτῷ τῶν πεπολιτευμένων πρὸς ἡμᾶς τὰς αἰτίας, οὐδ' ὑμᾶς ἀξιοῦντας, ὡς ὑμῶν γε ἕνεκα, καὶ ἀπολώλει πολλάκις, οὐχ ἅπαξ, ἀλλὰ ταῖς θεαῖς αὐτὸν ἀφήκαμεν, αἷς ἐστι κατάσχετος, καὶ ὅσοι ἔχουσι τὴν ἱμεραίων γῆν, θεοί τε καὶ ἥρωες. οὐδὲν γὰρ ἔχω ἐκείνοις ἐγκαλεῖν, εἰ καὶ ὑμῖν πάνυ πολλά. καὶ αὐτοὶ δὲ ὑμεῖς ἴστε, οἷα ἐπεχείρησε ποιῆσαι κακά. ἀλλ' ᾐδέσθην ἱερὸν ἄνδρα, καὶ κατὰ σοφίαν εὐκλεᾶ, καὶ ταῖς μούσαις ὡς ἀληθῶς κατεσπεισμένον, συγκατατάξαι τῷ πόρνῳ, καὶ βδελυρῷ κόνωνι, καὶ βιασθῆναι ἀποθανεῖν. ὡς ἔθετε καὶ τὴν μοῖραν ἐπέχειν τῶν τοιούτων ἐκείνῳ. καὶ ὑμῖν δὲ ἐπισκήπτω λιπαρῶς, ὡς οἷόν τε ὦ ἱμεραῖοι, μὴ κατασύρειν αὐτὸν, εἰς ἐκμελῆ, καὶ ἀπῳδὰ τῶν ἐσχάτων αὐτοῦ πολιτευμάτων. καὶ γὰρ οὐδὲ αὐτὸς ἑκὼν εἶναι παραδίδωσιν ἑαυτὸν, ὡς πυνθάνομαι παρὰ τῶν εἰς ἀλαίσαν ἀφικνουμένων, ἀλλ' ἥττων ὢν τῆς ὑμετέρας ἀγνωμοσύνης καὶ βίας. παύσασθε οὖν βιαζόμενοι αὐτὸν, καὶ χρῆσθε τοῖς ἐπιτηδειοτέροις. στη-

σίχορον

σίχορον ἢ ἄνετον εἶναι καὶ σχολάζειν πρὸς τῇ λύρᾳ τῇ ἑαυτοῦ, ἀφέτε, καὶ μὴ ὁμοίους ἐμοὶ ἐχθροὺς αὐτῷ κατασκευάζετε. οὐχ ὁμοίως ἴσως αὐτῷ προσοισομένους. εἰ δὲ δεῖσθε πάντως τῶν προσπολιτευομένων, προχειρίσασθε τοιούτους ἑτέρους ἐξ ὑμῶν τινάς· οὓς ἐγὼ λαβών, ὡς ἄν μοι φίλον ᾖ, καὶ πρὸς ὑμᾶς τύχω κεχαρισμένος, μετ' οὐδεμιᾶς δεισιδαιμονίας καταχρήσομαι.

Στησιχόρῳ.

τ Τυράννου μὲν ὦ Στησίχορε, οὐχ ἱμεραίων, ἀλλὰ ἀκραγαντίνων· ὥστε σοι πολλὴν εἰδέναι χάριν, ὅτι ἀφελόμενος ἡμᾶς ἐλάσσω ἀρχήν, τὴν μείζω δέδωκας. σὺ μέντοι ἴσθι, ὅτι καὶ οἱ ἐν ἀκράγαντι ἄρχοντες, τοὺς ἐν ἱμέρᾳ ἐχθρούς, ἀμύνεσθαι δυνησόμεθα.

Αὐτονόῃ.

ξ Πεμψάσῃ τὸ ἀργύριον, οὐδ' ὅσον ὑπαναβαλλόμενος, μετὰ τὸ λαβεῖν τὰ γράμματα. νομίζων οὐ χάριτος εἶναι τὸν καιρόν, ἀλλὰ καὶ τάχους. τρία μὲν οὖν τάλαντα ὡς ἠξίους ἐπεδώκαμεν, ὅπως καταθεμένη τὴν ὑπὲρ τοῦ παιδὸς ζημίαν λύσῃς τὰς φυλακὰς αὐτοῦ, καὶ μὴ ἐπὶ πλεῖον ἀλγύνῃ. πείρᾳ γὰρ οἶδα μὲν τὴν τοῦ φεύγειν ἀτυχίαν, ὅσον ἐστὶ κακόν. τρία δὲ παρ' ἑαυτῶν ἀπεστείλαμεν ἵνα τὰ δημιόπρατα τῆς οὐσίας παραλάβῃς. παραινῶ δὲ τοῦ λοιποῦ τὸν κλαυθέντα, πολιτείας ἀπέχεσθαι, καὶ μὴ τοιαύτας αἱρεῖσθαι πραγματείας, ἐν αἷς αἱ μὲν ὠφέλειαι πάσης γίνονται τῆς πόλεως· αἱ βλάβαι δ', ἴδιαι τῶν προεστηκότων. εἰ δ' ἄρα τὰ οἰκεῖα, μὴ οἷά τε σωφρονίζειν ἑαυτόν, τοῖς ἐμοῖς παραδείγμασιν ἀνεψιάδου πρὸς μητρὸς ὄντος, χρήσθω. ὅτι κἀγὼ διὰ πολιτείας ἄνοιαν ἐκπεσὼν τῆς πατρίδος, οὐδὲ τύραννος ὢν ἰσχυρὰ κατελθεῖν, οὐδὲν ἢ τερπνὸν οὕτως ἡγοῦμαι τῆς ἀρχῆς, ὡς ἀνιαρὸν τὸ φεύγειν τὴν πατρίδα. ταῦτα δὲ ὑμῖν ἐπιστέλλω μὰ τοὺς θεούς, οὐκ ἐφ' οἷς δέδωκα ἀλγῶν, ἀλλ' ἐφ' οἷς πεπόνθατε ἀνιώμενος. οὐδ' ὅπως μὴ πάλιν ποτὲ δῶ, ἀλλ' ἵνα ὑμεῖς μέν, εἰς μὴ

δὲν κακὸν ἀξιώσητε λαβεῖν. ἐγὼ δὲ εἰς δυστυχίας αἰτούμενος ὑπὸ τῶν οἰκειοτάτων, καὶ προθυμότερον, καὶ πολυτελέστερον χαρίζομαι.

Νικοφήμῳ.

ὃ Υσ ἐν λεοντίνοις κατελέγχων δημαγωγῶν, κατοικισθέντας ἀτελέσθαι οἰκιστίσως, ἐπιβουλεύσαντας, ἀπωλέσαμεν. καὶ οὐδὲ τοῦτο αἰσθάνῃ, ὅτι τοὺς ὑπ' ἐμοῦ τιμωρηθέντας παραφέρων, οὐ μόνον αὐτὸς ἐπιβουλεύεις ἐμοί, τοιαῦτα ἔχων παραδείγματα, ἀλλὰ καὶ λεοντίνους πολεμεῖν ἀναγκάζων, ὀκνηροτέρους ποιεῖς. ὅτι πρὸς τοιοῦτον ἐχθρὸν ἀδικοῦντες, πολέμου ἄρξουσιν. ἀμήχανον γὰρ τὸν αὐτὸν ἐν μισεῖσθαι διὰ χαλεπότητα, καὶ καταφρονεῖσθαι ἐπὶ μαλακίᾳ, εἴπερ ἀπέβη τὴν δόξαν. ἐπὶ τοιούτοις ἄθλοις, οὔτε φθονοῦμεν ὑμῖν, οὔτε ἀποσυμβουλεύομεν φιλοτιμεῖσθαι.

Λυσίνῳ.

ὀ Υ παύσῃ τῆς ἀβουλίας ἀμαθέστατε λυσῖνε; οὐδὲ φείσῃ σεαυτοῦ τριάκοντα ἔτη γεγονώς, βαρυτέρους ἐχθροὺς, ἢ δυνήσῃ, μετὰ τῶν ἄλλων ἁγίων τοιούτων φέρειν πειρώμενος; ἀλλ' ἔτι καὶ τραγῳδίας εἰς ἐμὲ γράφεις, ὡς ἀνιασόμενον; τὰ δ' ἀποτελέσματά σοι δεινότερα τῆς σῆς τραγῳδίας φύλαξαι μὴ γένηται.

Ἐπιχάρμῳ.

ἀ Ρκεῖς μόνος δικαίους ἡμᾶς νομίζων καὶ μηδεὶς ἄλλος λέγοντί σοι πείθηται. εἷς γὰρ ἀνὴρ ἐμοὶ τοιοῦτος, ἀπάσης ἐστὶ σικελίας μείζων. τὸ δὲ ἀνεξέταστον πλῆθος, ἐρημίας ὑπειλήφαμεν ἀναπλήρωμα. ὑφ' οὗ καὶ τὸ ἀγνοεῖσθαι καὶ μὴ χρηστοτέρους δοκεῖν οὗ ἐσμεν, τάχα οὐκ ἀνωφελές. πολλοὺς μὲν ἔχεις ὁμοίους σεαυτῷ. τὴν γὰρ ἀρετὴν τῶν ὄντων, οὐ τὸν ἀριθμὸν σκοπούμεθα, μεθ' ὧν ἔγνωκας ἡμᾶς καλοὺς κἀγαθούς. εἰ μὲν τοι καὶ

μόνος

μόνος ἤθα, ἐπλουτοῦμεν μαρτύρων. καὶ πλειόνων οὐ προσεδεόμεθα ἐπαίνων.

Κέβρωνι.

Τί δήποτε οἱ θαυμάζοντές με τῶν τρόπων, ὡς δειναῖς χρώμενον αἰκίαις, τοὺς ἐπιχειροῦντας δὲ ὑμῶν τῶν τοιούτων οὐκ ἐξέπληξαν. ἀλλὰ τὰς μὲν τύχας ὀλοφύρεσθε τῶν τιμωρηθέντων. συμβούλους δ᾽ αὐτοῖς οὔπω εἴεσθε μὴ ἀδικεῖν φάλαριν. ἄμεινον μὲν οὖν κἀμοὶ ἦν, μὴ καθίστασθαι εἰς τοιαύτης ἀμύνης ἀνάγκην. λυσιτελέστερον δὲ ὑμῖν, τὸ μὴ χρῆσθαι προπετείᾳ κατὰ πάντα. ἔπειτά τε ὡς ἐμοὶ ὁ τρόπος ἐννοοῦμαι τί ποτ᾽ ἂν ἐπράξατε, εἰ μὴ τοιοῦτος ἐγενόμην ἔγωγε περὶ τὰς τιμωρίας, ὁπότε μηδὲν ἐλπίζοντες πείσεσθαι μέτριον, ἐμπαραβάλλεσθε αὐτοῖς. ἔστιν οὖν ἐμὲ παῦσαι τῆς ὠμότητος, ἐὰν αὐτοὶ πρότερον παύσησθε ἀδικίας.

Εὐκτήμονι.

Οὐδὲν ἔλυσας τῶν ἐπ᾽ ἐμοὶ διαβολῶν. εἰ γὰρ αὐτὸς πάνθ᾽ ὡς κατηγορεῖς, ἐν Συρακουσίοις, ὁμολογῶ. ἀλλ᾽ εἰ τὸν αὐτὸν τρόπον ἐώτε τοῦ τιμωρεῖσθαι τοὺς εἰς ἐμαυτὸν ἁμαρτάνοντας, οὐκ ἐφοῖς εἰκὸς τὸν παθόντα συγγνῶναι ἐφειδόμην, καὶ ὑμεῖς τοῦ προπετῶς οὕτως, κἀμοὶ ἢ ἑαυτοῖς εἰς ἀνήκεστα ἐπιβουλεύειν, οὐδεὶς ἂν οὔτε ἐμοῦ κατηγόρησεν, ὡς ἔκθεσμα δρῶντος, οὔθ᾽ ὑμᾶς ὡς ἀνίατα πάσχοντας ᾤκτιζεν.

Κλεοβούλῳ.

Οὐ πείθονταί σοι Καμαριναῖοι τὸν πρὸς ἐμὲ πόλεμον διενεγκεῖν, σφόδρα πολλὰ ἑκάστης ἐκκλησίας ποιοῦσι. καλῶς γὰρ ἴσασι πόλεμον ἔργοις οὐ λόγοις δημηγόρων κατορθούμενον. ὥστε εἰ βούλει πολεμεῖν αὐτοῖς, τὰ ἀποτελέσματα δεῖξον τῇ γνώμῃ συνοίσοντα. ἂν μὲν τοίνυν οὕτως ὑπακούσωσι,

μεταβαλόμενος τἀναντία πράξειας. καὶ τάχα ἂν τούτῳ πειρώμενος τῷ τρόπῳ, ὧν βεβούλησαι. δυεῖν δὲ θάτερον ἐν τῷ παρόντι, ἢ τὴν γνώμην ἀσύμφορον, ἢ τὸν συμβουλεύοντα, οὐδενὸς ἄξιον ἡγοῦ. ἐγὼ μὲν δὲ οἴομαι ἑκάτερα. σὺ μέντοι ἴσθι ὅτι τὰ ἐνθάδε, ὡς οὐ λόγοις ἀπράκτοις ἀμυνούμεθά σε, οἷς εἰς ἡμᾶς ἄρχειν δοκεῖς ἀδικίας, ἀλλ' ἔργοις. ὧν οἱ πειραθέντες, οὐκέτι αὖθις ἐπεβούλευσαν. ταῦτα εἰδότες καμαριναῖοι, οὐ βούλονται πεῖραν λαβεῖν ὀργιζομένου Φαλάριδος. χαριζόμενος γὰρ αὐτοῖς, ἡδίων ἔδοξα.

Κλεοδίκῳ.

π Οὐ δεινὰ βεβούλευσαι κατ' ἐμοῦ κλεόδικε, παρὰ τὴν ὑπάρχουσαν δύναμιν. πόθεν γάρ σοι τὸ ἐλπίσαι, κακῶς ποιῆσαι Φάλαριν χαιρουμένῳ τῇ τοῦ θρακὸς τοῦ βυρσοδέψου θυγατριδῇ. αὐτάνδρου δὲ γυναικί, τοῦ τὸν δεσπότην ἑαυτοῦ κτείναντος. ἐξ ὧν οὕτω πλουτῆσαι αὐτῷ συνέβη, ἃ παρὰ τοὺς τῆς φύσεως νόμους ἐνυβρικότι. οὐ μὴν εἰς τοῦτό γε προαχθήσομαι τῆς ὀργῆς, ὥστε τὰ σοὶ πεπραγμένα λόγῳ διεξελθεῖν. ἐὰν γάρ σε ἄξιον ἀμύνης ἡγησώμεθα, οὐκ ἐν λόγοις βουλησόμεθα μόνον, ἀλλ' ἐν ἔργοις δυνησόμεθα, ἅπερ εἰς ἡμᾶς ὀρέγῃς ἐξαμαρτάνειν, εἰς κεφαλὴν σοί τε καὶ τῷ σῷ γένει τρέψαι.

Τοῖς στησιχόρου παισίν.

τ Οὐ μὲν πένθους, τίνα ἄν τις ἄλλην ἱκανωτέραν ὑμῖν παράκλησιν εἰσενέγκοιτο παῖδες, ἢ τὴν ἀρετὴν τοῦ γονέως, ἐφ' ᾧ γε τὸ πένθος φέρεσθε. οὐ γὰρ δακρύεσθαι τὰ στησιχόρου πρέπον, ἀλλ' ὑμνεῖσθαι. καὶ καθόλου μὲν, οὐκ ἂν ἐβουλόμην ἡμᾶς, οὔτε θρήνους, οὔτε οἰκισμοὺς προέσθαι σωμάτων, οὐχ ὅτι κοινὰ ταῦτα πάθη κατηναγκασμένα παρέπεται πᾶσιν, ἀλλ' ὅτι τὰ τοιαῦτα ἀνθρώποις ἐστὶν ἁρμοστὰ δυστήνοις. ὧν οὐχ ἡ τελευτὴ τὰς

ὀλοφύρ

ὀλοφύρσεις προσηκούσας, ἀλλ' ὁ βίος ἔχει. μᾶλλον δὲ τούτοις οὐδὲ δακρύων ἄξιος ὁ θάνατος, οὐ στησιχόρῳ, ζήσαντι μὲν ἔτη τοσαῦτα, σὺν ταῖς ἁγιωτάταις θεαῖς, ἐν χοροῖς, καὶ μέλεσι μουσῶν. ὀνομασθησομένῳ δὲ ἐπὶ τιμαῖς καὶ στεφάνοις. ὁμολογουμένως γὰρ, οὔτε παρ' ἡμῖν, οὔτε παρὰ τοῖς ἄλλοις ἀνθρώποις μεῖζον. ἡ γὰρ ἀθάνατος τοῦ θεοῦ μοῖρα, πρὸς τὸ πᾶν οὖσα, αὕτη, καὶ οὐχ ἑτέρα τις ἔμοιγε εἶναι δοκεῖ. ὥστε ὦ παῖδες μεγάλου καὶ ὑπερφυοῦς πατρὸς, φρονῆσαι μὲν ἄξια τοῦ τεκνώσαντος. οὐ γὰρ μικρὸς ὑμῖν ἀγὼν, μὴ πολὺ καταδεεστέρους ἐκείνου ὑμᾶς γενέσθαι. πενθεῖτε δὲ μηδαμῶς οὕτω χρηστὴν μοῖραν ἥρωος, οὐχ ἑνὶ μακαριοθησομένην χρόνῳ, παντὶ δὲ αἰῶνι. μὴ δὲ τῶν τιμῶν, ἃς ψηφίζονται ὡς τῷ θεῷ ἱμεραῖοι, τὸ λαμπρότατον ὑφαιρεῖσθε τὴν δόξαν. οὐ γὰρ ἐκεῖνός γε, ὃν ἡμεῖς ἴσμεν, ἡ χρεὼν θανάτου προθεσμία συναιρεῖ μοι. ὃς δὲ τῶν ἡρώων τοὺς γενναιοτάτους, ἐπεὶ περὶ δόξης ἔθνησκον, ἐν τοῖς καλλίστοις ποιήμασιν ὑμνήσας, ἅπερ ὑμῖν χρήματα μέντοι παντὸς ἦν ἄξια. παραδείγματα δὲ βίου σωφρονέστατα, αὐτὸς, ὃ τέθνηκεν ἡ μοῖρα πρὸς τὸ πέρας, ἀπ' οὕτως ἔθνησκε. οὐ γὰρ ἴστε ὦ παῖδες, οὐ γὰρ ὑφ' ἡμῖν γενόμενος, ἐχθροῖς οὖσιν ἔδεισεν, οὐδὲ ὡς δεινόν τι πείσεσθαι μέλλων ἐπεκλάσθη. πολὺ δὲ γενναιότερος τοῦ αἰχμάλωτος ἡμῖν ἦν, ἢ ἀντίπαλος. ὅτι ἤδη γοῦν τὰ πικρὰ τῆς τυραννίδος ὑπὸ σοφίας, οὐδ' ὅτι ποτ' ἔχοντος μὲν δρᾶσαι κατ' αὐτοῦ δεινόν. ὃ γὰρ ἔδρων, ἐχαριζόμην. ἐγὼ δὲ μυρίοις πόνοις προθυμηθεὶς ἑλεῖν, ἐπεὶ τούτου περιεγενόμην, οὐδὲν ἔχον ἕτερον, αἱρεθεὶς ὑπὸ τούτου μᾶλλον, ἢ χάριν εἰδέναι, κἂν δωρεὰς παρ' ἡμῶν ἐθελήσῃ λαμβάνειν. ἐφ' ὧν οὐδ' ὃ φείλεσθαι χάριν ἐμαυτῷ νομίζω, περιποιησάμενος εἰς δώδεκα μάλιστα αὐτὸν ἔτη. τοσαῦτα γάρ ἐστιν, ἃ προσβεβίωκεν. ἐγὼ δὲ ὀφείλειν, ὅτι καὶ τὰ ἄλλα προσεπέρρωσεν ἡμᾶς, καὶ θανάτου καταφρονῆσαι, μόνος ἀνθρώπων ἔπεισεν.

υ Μεῖς μὲν ἴσως ἐμαυτῷ πλεονάζουσαν δοκεῖτέ τινας τιτικέναι, ὧν εἰς ἐμὲ, καὶ τοὺς ἐμοὺς παρηνομήσατε, ἀντὶ μὲν ἀνδρῶν τριάκοντα, ὧν ἀσεβῶς κατεπυρπολήσατε, πεντακοσίους ὁπλίτας ἀπολωλεκότες, ἀντὶ δὲ ταλάντων ἑπτὰ, ὧν διηρπάσατε, πλείστας ἀπεστερημένοι προσόδους. ἐγὼ δὲ προοίμιον ὑμῖν, ὧν μέλλετε πάσχειν ὑπ' ἐμοῦ, τὰ νῦν γεγονότα καταγγέλλω. ἵνα δ' ἐμαυτὸν συμμαχήσαντα τοῖς ἐχθροῖς ὑμῶν πεπυσθότες, ὁμολογεῖν αἰσχύνησθε. οὐ μὴν ἀνήσω τὴν πρὸς ὑμᾶς δυσμένειαν, ἕως ἂν ἡ δίκαιοῦσα πρόνοια, τὴν αὐτὴν ἁρμονίαν τοῦ κόσμου φυλάττῃ. ἡγοῖσθε δὲ τὸν πρὸς ὑμᾶς πόλεμον, οὐχ ὑπὸ ἐμαυτοῦ τοσοῦτον, ὅσον ὑπὸ θεῶν, τῶν πάντα καὶ σώζειν, καὶ φθείρειν δυναμένων. ἐκ θείας τύχης, ὥσπερ τὰ λοιπὰ τῆς φύσεως στοιχεῖα, καὶ τὸ κατὰ τὴν Αἴτνην πῦρ μεμοίραται, εἰς ὃ τοὺς ἱκέτας ἀθώους βαλόντες, οὐ Φάλαριν ἐχθρὸν, ἀλλὰ τὸν πάντων ἐπόπτην ἥλιον ἐπικέκλησθε.

Νικαινέτῳ.

τ Ο πολλάκις ἴσως ἡμᾶς ἐπεσταλκέναι τῷ σῷ παιδὶ, παῦσαί σε τῆς ἀφροσύνης ἐπῆρκεν, ὡς οὐκ ἂν εἰ μὴ ἐδεδοίκειμεν, τὴν ἔχθραν ἀποτρέπειν παρεκελευόμεθα. ἐγὼ δὲ, περὶ μὲν τούτου τὸ μὴ οὕτως ἔχειν, οὐδὲ γράφειν ἀξιῶ. πυνθανόμενος δὲ ἐπιεικῆ τὸν γέροντα εἶναι, καὶ μὴ δὲ ἑτέρους αὐτῷ γεγονέναι παῖδας, ἐκεῖνον μὲν ἐλεῶν, σοῦ δὲ, παρ' ἡλικίαν θρασυνομένου φειδόμενος, τέως τοῦ παρόντος ἀνέσχημαι. σὺ δὲ, οὔτε πατέρα πρεσβύτην οἰκτείρεις, ἐφ' ἑνὶ κινδυνεύοντα παιδὶ, οὔτε σεαυτοῦ φροντίζεις. ἐπιμένεις δὲ τῇ προπετείᾳ, πρῶτον μὲν τάχα, παρ' ὅσον οὐθὲν ὑφ' ἡμῶν πέπονθας, εἶτ' οἰόμενος ἐξεῖναί σοι ὁπόταν βούλῃ πεπαῦσθαι. τοῦτο δὲ, οὐδὲ τοῖς πολὺ σοῦ δυνατωτέροις ἐγγίνεται. ἕως οὖν σοι πάρον, τῶν

ἑκατέρων ἑλέσθαι τὸ λυσιτελέστερον, μὴ μιμοῦ Τίμανδρον. ἐχθρῷ δὲ μᾶλλον ὠφελίμῳ, ἢ φίλῳ ἐπιζημίῳ συμβούλῳ χρῆσθαι.

Πολυδύκει.

ἐ Ῥᾴω μὲν ἔστερον ἀδικοῦμαι τῷ παντὶ, ἢ τιμωροῦμαι πολύδυκες, οὐχ ὥσπερ ἔφησθα, καὶ πάσχειν με δεινὰ, ἢ δρᾶν. ἐγὼ μὲν γὰρ, καὶ δὶς καὶ τρὶς, ἀδείας τοὺς αὐτοὺς τῶν ἐπιβουλευσάντων ἠξίωσα. τῶν δὲ ἀδικούντων οὐδείς ἐστιν, ὅσ τις ὑπὲρ τῷ δεύτερον πονηρὸς ὀφθῆναι, ἠδέσθη. Ἔρρωσο.

Ἐπυΐνοις.

ὅ Ὑπὲ προφάσεως ἐνδεῖν μοι δοκῶ, δι᾽ ἣν οὐκ ἂν δικαίως ὑμᾶς ἀμυναίμην. οὔτε βουλομένῳ ἐπεξιέναι, δυνάμεως. βουλήσομαι δὲ, ἂν μὴ νῦν γ᾽ ἀλλά ποτε αἰδεσθέντες ἡμᾶς, ἀπολύσητε τοὺς ἄνδρας, οὓς οὐδενὶ δικαίῳ, δι᾽ ὅτι καὶ τῷ κακῶς ἀπολουμένῳ πυθωνι, παρατριβομένῳ πρὸς ἡμᾶς ἔδοξε, τρίτον ἤδη μῆνα τοῦτον ἐν τῷ δεσμωτηρίῳ κατέχετε.

Ἱμεραίοις.

ς Στησίχορον ἴστε, καὶ Κόνωνα καὶ Δρωπίδην, περαιουμένους ἀπὸ παχύνου εἰς Πελοπόννησον, ἀντὶ Κορινθίων, πρὸς οὓς γε ἐπέμφθησαν ὑφ᾽ ὑμῶν, πρὸς ἐμὲ ἀχθέντας. καὶ Δρωπίδην μὲν ἴσως ἀποδώσομεν ὑμῖν. Κόνωνα δὲ εὐθὺς ἀπεσφάξαμεν. Στησίχορος δὲ, σῶός ἐστιν, ἕως ἂν τὸν τρόπον λογισώμεθα, ὃν χρὴ αὐτὸν τιμωρηθέντα ἀποθανεῖν.

Στησιχόρῳ.

Πυνθάνομαί σε περιδεῆ σφόδρα εἶναι, ἐννοοῦντα τὴν δύ-
π ναμιν ἡμῶν, καὶ συνειδότα ἅμα τοῖς πρὸς ἐμὲ σοὶ πεπολιτευμένοις. θαυμάζω δέ σε εἰ νῦν ἤρξω περιδεὴς εἶναι, ἀλλ᾽ οὐ τότε εὐθέως, ὅτε ἐπολιτεύου πρός με, ἀρχῆς παρανόμου, ὥσπερ σὺ προὔλεγες Ἱμεραίοις συλλαβέσθαι βουλόμενος,

ἐλογίζου, ὅτι γένοιτ᾽ ἂν τάχα, ἃ σὺ λέγεις ἱμεραίοις. εἰ μὲν οὖν ὑπερεφρόνεις θανάτου, ὥσπερ καὶ ἔχρην σοφὸν ὄντα, τί νῦν ἐν μάταιε ἰλιγγιᾷς, δέον ἃ προσεδόκων τότε, οὐδὲν ἧττον θρασὺς ἦσθα, ταῦτα καὶ πελάζοντα γενναίως ὑπομένειν. εἰ δὲ ὥσπερ δειλὸς εἶ, περιτρόμως ἔχεις πρός τινα ἀφ᾽ ἡμῶν δίκην ἐσομένην, πῶς προπετέστατε ἐβόας τότε, καὶ τοσοῦτον ἑαυτῷ προσεσκεύαζες ἐχθρόν, ἐναγῆ, καὶ αὐθάδη κακῶν, καὶ τὰς ἐκ τῶν ἐπῶν συνρήσεις εἰσφέρων εἰς τὰς ἐκκλησίας. τί δ᾽ ὁ μουσικὸς καὶ μελοποιὸς ὤν, καθίστας σεαυτὸν εἰς ἐναντίον σχῆμα, καὶ προαίρεσιν βίου τοῖς ἐπιτηδεύμασιν, δέον σχολὴν ἄγειν καθεζόμενον, καὶ μὴ θερμοτέρων ἅπτεσθαι πραγμάτων, ἢ κριτοῖς πρέπει. ἐπεὶ δὲ αὐτὶ ποιητοῦ δημαγωγὸς ὀρέγεις γενέσθαι, μάνθανε οἷα φημί, οὐ ποιητὰς, οὐδὲ μουσικοὺς ἄνδρας, ἀλλὰ δημαγωγοὺς ὑπὲρ δύναμιν θρασυνομένους, κρατούντων ἐχθρῶν. Κλεοθένει.

ὁ Τὸ τοῖς πολλοῖς εἰθισμένον, ὅταν ἐπὶ τοῦ λόγου βλαβέντες, ἐν τοῖς ἀποτελέσμασι τῶν ἔργων εὐδοκιμήσωσι, πρᾶξαι βουλόμενος, ἐπιστεῖλαί σοι δεῖν ᾠήθην. ἵνα οὖν ὦ παρὰ γνώμην ἐσφάλης, οὐ πεισθεὶς ἐμοὶ τὰ βέλτιστα εἰπόντι, μέρος συμφορᾶς γενόμενος ἐπιτιμοίην. οὐδὲν γὰρ ἕτερόν μοι δοκοῦσιν οἱ τοῦθ᾽ αἱρούμενοι ποιεῖν, ἢ πολλῷ ἑαυτῶν ἔπαινον εὐβουλίας διατιθέμενοι, κατηγορεῖν τῶν ἐπιτεθεικότων. ὅτι οὔτε προέγνωσαν τὸ συμφέρον, οὔτε τοῖς προειποῦσιν ἐπείσθησαν. ἀλλ᾽ ὥσπερ αἰσθανόμενος περὶ σοῦ τὰ μέλλοντα ἔσεσθαι, ἵνα μὴ πάθῃς οἰκειότατος ἐμοὶ νομίζω, οὕτω πεπονθότος ἃ μή ποτε ὤφελον, αὐτὸς οἶμαι καὶ συναμαρτεῖν, καὶ συνταλαιπωρεῖν. προὔλεγον μὲν σοι, ἵνα μὴ γένηται. γενομένων δὲ διὰ τύχην, ἴσως, ἢ γνώμην, συνατυχῶ, καὶ τῇ τύχῃ οὐκ ὀνειδίζω. ἀλλ᾽ ἵνα μὴ μένῃ τοιαῦτα, ὡς ἔνεστι πε-

φιλοτι

φιλοτίμημαι. ταῦτα μὲν οὖν παρὰ τῆς σεαυτοῦ μητρὸς ἧκον, ἄμεινον ἂν μάθοις. σὺ δὲ σχέτλιος. ὃς οὐδὲ ἐκπεσὼν τῆς πατρίδος, παρ' ἡμῖν ἐβουλήθης ὡς εὐνουστάτοις τὰς ψυχὰς ἀναπαῦσαι. τοῦτο δὲ, εἰ μὲν ἄλλου του χάριν εἵλου, δίκαιος οὐκ ἂν εἴης περὶ ἡμᾶς. εἰδὼς ὅν γε διαθησόμενος, ἠδέσθης τοὺς προσήκοντας καὶ οὐ πείσαντας; μικροῦ δέω λέγειν, ὅτι καὶ ἥδομαι, οὕτω σοῦ σωφρονοῦντος. αἰσχυνόμενος γὰρ ἐπὶ τοῖς πρώτοις εἰρημένοις, οὐκ ἂν ἐπὶ τοῖς αὐτοῖς ἁλίσκοιο ἁμαρτάνων.

Νικίππῳ.

τ Οὐ μὲν εἰληφέναι σε τὰς παρ' ἐμοῦ δωρεὰς, ἀπολέσῃ σοι χάρις. ἐγὼ δὲ, ὅπερ ἔλεγες φοβεῖσθαι Συρακουσίους, μή τί σοι χαλεπὸν ἐξ αὐτῶν ἀνάγκη, δεξαμένῳ τὰ παρ' ἐμοῦ χρήματα, μηνύσεως αὐτοῖς ἀποδοθείσης, ἴσθ' ὅτ' ἔμελλον ποιήσειν. μὴ λαβόντος σου, κατηγορεῖν ὡς εἰληφότος, ἵν' ᾖ σοι τὸ αὐτὸ δεξαμένῳ, καὶ μή. μᾶλλον δὲ, τὸ μὲν, ἧττον. τὸ δὲ τῷ παντὶ χεῖρον. μὴ λαβὼν μὲν γὰρ, ἐμοῦ κατηγοροῦντος τὸ δεδωκέναι, πάντως ἂν αἰτίαν ἔχοις εἰληφέναι. λαβὼν δὲ ταῖς ἀληθείαις, ἐμοῦ μὴ δεδωκέναι λέγοντος, οὐκ ἴσως, ἀλλ' ὄντως ἀπήλλαξο τῆς αἰτίας.

Ἱερωνύμῳ.

ε Πυθαῦ ὅτι σὺν ἂν τεξήτακα τὸ δύνασθαι, Λεοντίνων μοι ἐπεξιόντων κατὰ τῆς χώρας, ἣν ἐμὴν οὖσαν ἀποτέμνονται, περιγενέσθαι. τὸ μὲν οὖν ὅτι δικαιοτέρων ἐχόμενος, καὶ οὐκ ἄρχων πολέμου, ἀλλ' ἀμυνόμενος, οὐκ ἂν ὑποστείλαιμι. τούτων γὰρ περὶ ὑμῖν οὐκ ἔστι λόγος. ὃ δὲ, κἂν μὴ προσποιῆσθε, ὑμᾶς εἰδέναι ἀνάγκη, τοῦτ' ἂν εἴποιμι. ὅπλοις πολλοῖς, καὶ ἀνδράσι δυνατοῖς, καὶ χρήμασι καὶ ναυσὶ, καὶ ἵπποις. ὧν ἁπάντων ἐνδεήσοντες αὐτοὶ, μαχοῦνται πολεμίῳ καὶ περὶ ταῦτα, καὶ περὶ τὰς τύχας πεπλουτηκότι.

Λαμάχῳ.

τ Οὺς ἑπτὰ καὶ τριάκοντα τούσδε, ὅταν τοῦ πλήθους λάβῃ τῶν Καμαριναίων, χαλκευθῆναι κατὰ φύσεως ἀπανθρωπίαν ἀναφαίνεις. βούλομαι μὲν οὖν τοῦτο μεῖναι τὸν ἀριθμὸν, καὶ νὴ τὸν Δία τὸν μέγιστον εὔχομαι. οὐχ ὁρῶ δὲ ἐώμενον τοῦτο ὑπό τινων, μέχρι τούτων ὁρίσασθαι. σὺ γοῦν αὐτὸς ἐννέα καὶ τριάκοντα βιάζῃ τούτοις γενέσθαι, προσνέμων σεαυτὸν, καὶ τὸν ἀναίσθητον Πυθέρσην. καὶ οὐχ ὅμοιον οὐδέν ἐστιν, ἢ ἐμὲ διαβάλλεσθαι ὑφ' ὑμῶν ἀπολλυμένων, ἢ ὑμᾶς πονηροτέρους ὄντας ὑπ' ἐμοῦ ἀμυνομένου, ἀπόλλυσθαι.

Νικάρχῳ.

ο Υκ ἀναγκάζεις Καμαριναίους ἐμοὶ πολεμεῖν, ἀλλ' ὑπ' ἐμοῦ πολεμεῖσθαι. οἱ δὲ, σωφρόνων ἀνδρῶν ποιοῦντες πρᾶγμα, καὶ τοῦτο σαφῶς εἰδότες, καὶ πρὸ τῶν λόγων τὰ ἔργα σκοπούμενοι, καὶ πρὸ τῶν ἔργων, ἔτι τάχιον τὰ ἀποτελέσματα, πλείω ἤδη χρόνον παραπέμπουσι τὰς δημαγωγίας. σὺ δὲ οὐκ αἰσχύνῃ βραδύτερος ὢν ἐκείνοις, ἀπὸ τοῦ βήματος καὶ τῶν λόγων, ἢ ἐμοὶ καθ' οὗ πολιτεύῃ.

Νικαίῳ.

ο Υ δοκεῖ σοι πικρὸν βασανιστήριον ὁ ταῦρος. οὐδὲ τῶν παρ' ἡμῖν μηχανημάτων οὐδέν. ἐπεὶ τὸν εἰς ἐκεῖνα ἔλεον, οὐκ ἂν μέλλων ἡμῖν μάχεσθαι, προανήλισκες.

Κλεομέδοντι.

σ Υ μὲν ὡς πυνθάνομαι κατηγορῶν ἐμοῦ, τὰς περὶ τὸν Κλεόμβροτον τύχας οἰκτρὰς, ὀδύρεσθαι ἐπιχειρεῖς. ἐγὼ δὲ σὲ Κλεόμεδον, πολὺ μὲν ἐκείνου τολμῶντα ἀδικώτερα, τῷ παντὶ δὲ ὄντα ἀσθενέστερον, ἐμοὶ ὑποχείριον γενέσθαι.

μελετοίοις

Μελιταίοις.

υ Κ ἐκφαυλίζων ὦ Μελιταῖοι τὰς τιμὰς ὑμῶν, ἀπέπεμψα τὴν πρεσβείαν, κατασεσημασμένας φέροντα αὐτάς. οὐκ ἐᾷ δέ με ἐπαινεῖσθαι τὰ πεπραγμένα. ὑμεῖς μὲν οὖν ἴσως, οἷον αὐτοί με εἶναι δοκεῖν ἐθέλετε, τοιοῦτον οἴεσθε ὑπολαμβάνεσθαι καὶ παρ' ἑτέροις. ἐγὼ δὲ οἶδα, παρὰ μὲν τοῖς ἄλλοις ἅπασι, κακὸς ὑπολαμβανόμενος. παρὰ δ' ὑμῖν, ἢ νομίζομαι ἀγαθός. οὐδὲν ἐκτεῖναι δυνάμενος ἐντεῦθεν ὑπὲρ τοὺς ὅρους τῆς φήμης. πολὺ δὲ μᾶλλον εἰς τὰς ψευδοδοξίας τῶν ἀνθρώπων βλάψων ὑμᾶς, ὅτι τὸν κάκιστον, οὐκ ἂν εἰ μὴ τοιοῦτοι καθεστήκατε, ἐπῃνεῖτε. ἐξ ὧν τοίνυν ὑμεῖς μὲν ἀδίκως πονηροί, ἐγὼ δὲ οὐδὲν ὑπερηκέστερος ἐμαυτοῦ ὑπολαμβανοίμην, οὐκ ᾤμην δεῖν ἑαυτὸν τιμᾶσθαι.

Καμαριναίοις.

κ Αἱ εἰς χιλίαν ἔπεμψα ἃς εἰς Λεοντίνους, ἃς πρὸς ὑμᾶς πέμψαι δεῖν ᾠήθην, ὅπως μοι συλλάβησθε εἰς τὰ παρόντα, οὐ χρυσῶν, οὐδὲ ἵππων δεομένῳ, οὐδὲ ἀνδρῶν, ὧν κενὴν εἶναι λέγετε τὴν πόλιν, ἀλλ' ἀργυρίου, καὶ Λεοντῖνοι μὲν ἡμῖν ἔπεμψαν πέντε τάλαντα εὐθέως. Γελῷοι δὲ ὑπέσχηνται δέκα δώσειν. ὑμᾶς δὲ, οὔτε βραδυτέρους Λεοντίνων, οὔτε μικροπρεπεστέρους ἔσεσθαι Γελῴων ὑπολαμβάνω.

Ἀστυπαλαιεῦσιν.

ο Υ τε μᾶλλον ἀνιαθεὶς ἐν τῷ ζῆν ἐμαυτῷ σύνοιδα ἄνδρες πολῖται, καίτοι πολλαῖς καὶ παραδόξοις χρησάμενος μεταβολαῖς, οὔτε πλέον ἡσθείς. ἄμοιρος γὰρ οὐδὲ τῶν τερπνῶν ἐγενόμην. ἠνιάθην μὲν οὖν ἐκείνην τὴν ἡμέραν, ἐν ᾗ τῆς πατρίδος ἐξέπεσον ἀδίκως. ὅπερ ἀλγεινότατόν ἐστι, καὶ τοῖς δικαίως τοῦτο πάσχουσιν. ἥσθην δὲ ὅτε δημοσίᾳ μου μνησθέντες, ἐγράψατέ μοι περὶ ὧν ὁ καιρὸς ὑμᾶς ἤπειγεν. ὡς γὰρ παρ' ἑνὸς τοῦ μάλιστα δυ

νοσουμένων, καὶ περὶ ὑμᾶς ἐσπουδακότων ᾐτήσασθε οὐ τοσοῦτον ὡς ἔοικε τῷ λαβεῖν τι τῶν ἐψηφισμένων, ὅσον τῷ μαρτυρῆσαι μὲν ἐμοὶ δημοσίᾳ, τὸ μὴ δικαίως διεληλάσθαι. καταγνῶναι δὲ τῶν τούτῳ δρασάντων. οὔτε γὰρ αἰτῆσαι χάριτας παρὰ τοῦ μὴ στεργομένου τις ἂν, οὔτε λαβεῖν παρὰ τοῦ μὴ στέργοντος ὑπομείνειεν. ὅτε νῦν παραδέδωκεν ὁ καιρὸς, μέμψασθαι μὲν ὑμᾶς ὡς φιλτάτους, τοὺς πρώτους χρόνους μηδὲν αἰτιασαμένους. εὐχαριστῆσαι δὲ τοῦ παρόντος ἡνίκα αἰτεῖσθε. ἅπερ ὑμεῖς μὲν οἱ λαβόντες, δώσετε ταῖς ἀληθείαις. δέδεγμαι γὰρ ὑμῶν χάριν τὴν αἴτησιν. ἐγὼ δὲ, οὐ μετὰ τοσαύτης ἡδονῆς λήψομαι μᾶλλον. ἢ δώσω. τί γὰρ ἀνδρὶ φιλοπάτριδι κάλλιον καὶ μεγαλοπρεπέστερον, ἢ δοκεῖν τοὺς ἑαυτοῦ πολίτας εὖ ποιεῖν. ὃ δι᾽ ἐπιστολῆς μοι τῆς ὑμετέρας πεπλήρωται. τοῦ μὲν οὖν βραδύτερον δέξασθαι τὰς δωρεὰς, ἢ παρ᾽ ὃν ἐβούλεσθε χρόνον, μήτε ἐμὲ, μήτε τοὺς πρέσβεις ὑμῶν αἰτιᾶσθε. τὸν δὲ χειμῶνα, τὴν ὥραν τοῦ καθεστῶτος χρόνου. τὸ γὰρ ἐξ ὑμῶν, προθυμίας οὐδεμιᾶς τινος ἀπελείπετο. πλεῖν δὲ διὰ τὴν ὑπερβολὴν τοῦ χειμῶνος, οὐδὲ μετὰ τῶν ἐσχάτων τολμημάτων ἦν. τοῦ μέντοι σεσῶσθαι τὰ πεμφθέντα, καίτοι πλείστῳ παραβληθέντα κινδύνῳ, τῇ τύχῃ χάριν εἰδότες, οὐκ ἂν ἁμαρτάνοιτε. ἐμὴν ἀλλὰ τῶν κομιζομένων, ἀποδώσουσι μὲν ὑμῖν ὁμολογουμένως οἱ πρέσβεις. δηλώσει δὲ καθέκαστα, καὶ ὁ συναπεσταλμένος αὐτοῖς ἀνὴρ, ὁ καὶ τὴν ἐπιστολὴν φέρων Εὔβουλος. περὶ οὖν τά τε εἴδη, καὶ τὸν ἀριθμὸν λαβόντες, τὰ μὲν ἄλλα διανείμασθε, καθ᾽ ὃν ἂν προῄρησθε τρόπον. τὰ χρήματα δὲ πρὸς ἐπισκευὴν τῆς πόλεως, καὶ κόσμον χρησάμενοι, καλῶς ἂν εἴητε πεφρονηκότες, οὐ διὰ τὴν ἐμὴν παραίνεσιν, διὰ δὲ τὴν ὑμετέραν αὐτῶν εὐβουλίαν. οὐδεὶς γὰρ ἀλλοτρίᾳ

προαιρέσει,

προαιρέσει, ἀλλὰ τῇ οἰκείᾳ χρηστὸς πέφυκεν. εἰ δ' ὥσπερ οὐδὲ λέγειν ἐφ' ὑμῶν ἄξιον, τοῖς εἰς ἕτερον εἶδος δεδωρημένοις, εἰς ἄλλο τι καταχρήσασθαι τῶν οὐκ ἀναγκαίων, εὖ ἴστε, ὅτι ὑμεῖς μᾶλλον μεμφθείητε τοῦ μὴ δεόντως προσενηνέχθαι τοῖς δωρηθεῖσιν, ἢ ὁ δοὺς εὐλογηθείη τοῦ δεδωκέναι. ὡς γὰρ ἄτοπον τὸν ἐκπεπτωκότα τῆς πατρίδος διὰ τὴν φυγὴν ἐμὲ, τῆς αὐτῆς ἀνακτήσασθαι ζητεῖν τὰ κατερρηγμένα, οὕτω τοὺς ἐνοικοῦντας τὰ πίπτοντα μέρη περιιδεῖν, καὶ μὴ δὲ ἐξ ὧν ἄλλος δίδωσι φιλοτιμεῖσθαι. ἐὰν μέντοι δικαιώσητε, μὴ μόνοις ὑμῖν πεπέμφθαι τὰς δωρεὰς, ἀλλὰ καὶ τοῖς μεθ' ὑμᾶς, καὶ μετ' ἐκείνων τῇ πόλει καὶ τοῖς θεοῖς, τό τ' ἂν ὑμεῖς θαυμασθείητε πλέον τῆς εὐβουλίας, ἢ τοῦ δεδωρῆσθαι τι τῶν ἰδίων ὁ δεδωρημένος. τίς γὰρ ἂν ἀγνοήσειεν, ὅτι τὸ μὲν χαρίσασθαι, τῆς τοῦ διδόντος ἐπιμελείας ἔπαινός ἐστι· τὸ δὲ χρήσασθαι τοῖς δοθεῖσιν ὡς προσήκει, τῆς τοῦ λαβόντος εὐλογιστίας. βουλοίμην δ' ἂν ὑμᾶς, μαρτυρηθῆναι περὶ ἀρετῆς μᾶλλον, ἢ περὶ πλούτου δαψιλείας ἐμαυτόν. τὸ μὲν γὰρ τῆς ψυχῆς ἀγαθῆς, τὸ δὲ, τύχης περιουσιαζούσης ἐγκώμιον δόξει, ἔρρωσθε.

Αξιόχῳ.

σ Εμνήσθης μὲν, ὥσπερ ἐπ' ἄλλῳ τινὶ τῶν καλῶν, καὶ ἐπ' εὐγενείας εἰκός ἐστιν. ἐγὼ δὲ μίαν εὐγένειαν, ἀρετὴν οἶδα. τὰ δ' ἄλλα πάντα τύχην. καὶ γένοιτ' ἂν ὁ μὲν ἐκ φαύλων ἀγαθὸς, καὶ βασιλέων καὶ πάντων εὐγενέστατος. ὁ δὲ ἐξ ἀγαθῶν, φαῦλος, αὐτός τε ἑαυτοῦ καὶ τῶν ταπεινοτάτων δυσγενέστατος. ὥστε τῆς ψυχῆς ἔπαινον αὔχει πρὸς Συρακουσίους, μὴ προγόνων τεθνηκότων ἐναδοξοτέροις διαδόχοις εὐγένειαν.

Ἱμεραίοις

ε Κέλευσα ὑμῖν Στησίχορόν μοι ἀποστεῖλαι, καὶ Κόνωνα, καὶ Ἑρμοκράτην διὰ τάχους. ὑμεῖς δὲ, ἀντὶ Ἑρμοκράτους, καὶ Κόνωνος, καὶ Στησιχόρου, Σαμέαν καὶ Νίκαρχον ἐπέμψατε. ἐγὼ δὲ εἰ μὲν οἷον ὑμεῖς με ὑπετοπάσατε εἶναι, τοιοῦτος ἦν, οὐκ ἠγνόουν ὅτι δεῖ ἐκείνους μὴ ἀποδοῦναι ὑμῖν τι τῶν ἀνηκέστων ἐχθρῶν, καὶ ἧκεν ἂν καὶ Στησίχορος, καὶ Κόνων πρός με καὶ Ἑρμοκράτης εὐθέως. οὗτος γὰρ Κόνωνος μὲν ὑμῖν πεπρυτανευκότος ἀνθρώπου, ἔστι τις πρόνοια, Σαμέα δὲ καὶ Νικάρχου τῶν ἐπιφανεστάτων ἀνδρῶν, καὶ μάλιστα δὴ ἁπάντων ὑμῶν βεβιωκότων, οὐκ ἔστιν. ἀλλ' οὔτε τοὺς ἐκείνους ἄνδρας, καὶ μηδὲν με ἠδικηκότας, μὴ δὲ τὴν πατρίδα τὴν ἑαυτῶν ἀδικεῖν ἐβουλόμην, οὐδὲ νόμον κοινὸν Ἑλλήνων καταλύειν. καίτοι ὑμεῖς γε, πολλοὺς νόμους Ἑλλήνων κοινοὺς κατελύσατε, οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις. ἐν οἷς πρός με ἐπολιτεύεσθε. λόγῳ δὲ, οὐδὲν οἶμαι καταλέγειν, αὐτός τε εἰδὼς, καὶ πρὸς εἰδότας γράφων. ἀλλ' οὐκ ἐμιμησάμην ὑμᾶς, οὐδὲ μιμήσομαι, ἐγὼ ὁ ἀνδροφόνος, καὶ ἐναγὴς τοσούτοις ἄγεσιν. ἀλλ' ἔπεμψα ὑμῖν τοὺς πρέσβεις. παρὸν, τοῖν δυεῖν θάτερον ἀμογητὶ ἔχειν, ἢ ἐκείνους ὑμᾶς ἀναγκάσαι ἀντὶ τούτων πέμψαι, ἢ εἰς τοὺς ἐν χερσὶν ὄντας ἀφεῖναι τὴν πρὸς ἐκείνους ὀργήν. καὶ μὴν, εἰς τοῦτό γε ἡ δίκη κατέστησε τὰ πράγματα ὑμᾶς, καὶ αἱ ἀνάγκαι τοῦ μὴ δικαίως βιοῦν, ὥστε μηδὲν παρὰ τοῦτο χείρους ἡμᾶς νομισθῆναι ἀποκτείναντας τοὺς πρέσβεις ὑμῶν, μὴ δὲ ἀμείνους, σώσαντας. πέφυρται γὰρ ἤδη τὰ ἐμὰ, καὶ μεμίανται. καὶ οἶδα ὅτι μικρὰ ῥοπὴ ἔτι ἡμῖν εἰς εὔνοιάν τε καὶ μῖσος ἀνθρώπων, δίκαιον ἢ μὴ δίκαιόν τι πράσσειν. καὶ εἰς τοῦτο οὐχ ἥκιστά με ὑμεῖς γ' ὦ Ἱμεραῖοι τὸ σχῆμα κατεστήσατε, καὶ οἱ ἄνδρες ὑμῶν ἐκεῖνοι. καὶ τὴν

μὲν

μὲν ἄλλων, ὅσα ἔπαθον δι' αὐτοὺς κακὰ, ἔστι καὶ συγγνῶναι τοῖς αἰτίοις, καὶ καταχέαι λήθην τῶν γεγονότων. τῷ δὲ μὴ ἐξεῖναι δίκαιον ὄντι πράσσειν, τίνα αὖτις αὐτάρκη δίκην εἰς πρᾶξιν παρὰ τῶν αἰτίων. ἐπεὶ τίνας ἦν δικαιότερον ἀπολαῦσαι τῆς ἡμετέρας ἀδικίας, ἢ δι' οὓς ἀνάγκη ἀδικεῖν ἡμᾶς ἐστιν. ἀλλ' ὅμως ὦ Ἱμεραῖοι ταῦτά γε ἅπαντα σκοπῶν, καὶ ὀργιζόμενος, καὶ τύραννος ὢν, καὶ ἔχων, εἰ καὶ πάνυ οὓς οὐκ ἐβουλόμην ἀλλ' ὧν γε ἀναιρεθέντων ἔμελλόν μεν ὑμᾶς οὐδὲν ἧττον αἰτιάσειν, ἐφεισάμην αὐτῶν καὶ ἀπέπεμψα ἐσώσας. εἰ μὲν οὖν καὶ αὐτοὶ τὰ δίκαια ἐν μέρει ποιεῖν ἐθελήσετε, λογισάμενοι ὅτι οὐχ ἅπασαν ὀργὴν, ἐὰν εἰς δύο ἄνδρας, ἢ τρεῖς, ἅπαντα ἀποστρέψητε τὰ τῇ πόλει ἐπικρεμάμενα δεινά. εἰ δὲ κόνων ὁπότε ὡς ὑφ' ἑκάστου ὑμῶν εἰς τὸ σῶμα προνοούμενος σώζεται, αὖθις ἀθρόοις ὑπομένετε, ἀνάστατον ἅπασαν γενέσθαι τὴν πόλιν. πειράσομαι γὰρ ὑμῖν, μηδὲν ἠπιώτερος φανῆναι, ἢ ὑμεῖς νομίζετε.

Ἀθηναίοις.

α. Ἀφίκετο ὡς ἡμᾶς Περίλαος ὁ πλάστης ὑμῶν ὦ Ἀθηναῖοι, δημιουργήματα, πάνυ τὴν κατασκευὴν ἀποχρῶντα κομίζων. ἐφ' οἷς ἀσμενοί τε αὐτὸν ἐδεξάμεθα, τοῖς δώροις ἀξίοις, διά τε τὴν τέχνην, καὶ οὐχ ἥκιστα διὰ τὴν πατρίδα, ἠμειψάμεθα. ὁ δὲ, ἐντὸς οὐ πολλοῦ χρόνου χαλκευσάμενος ταῦρον, μείζω πολλῷ τοῦ κατὰ φύσιν εἰς ἀκράγαντος ἤνεγκεν. ἤσθημεν οὖν ζῶον ἔργῳ τινὸν, ἀνθρώπω σύμβολον εἰς δεξάμενοι. καὶ σφόδρα ἡμῖν τὸ θέαμα τυραννικὸν κατεφάνη χρῆμα, κόσμου ἄξιον. οὐ γάρ πω τ' ἐν αὐτῷ κεκλοχισμένον ἐπιδέδεικτο μόριον. ἐπεὶ δὲ ἀναπτύξας τὸ πλευρὸν ἐγύμνωσε, πρὸς τῆς μὲν ὠμότητος ἀνάπλεω φόνου, παντὸς δὲ θανάτου δυσχερέστερον

Περίλαος viilus

μόρην, τότε δὴ τῆς τέχνης αὐτὸν ἐπαινέσαντες, τὴν πρώτην ἐτιμω-
ρούμεθα καὶ τῆς ἰδίας ἐπινοίας τὴν ἀπόδειξιν, αὐτὸν πρὸ τῶν ἄλλων,
ἐπεὶ κακουργότερον οὐδένα τοῦ δημιουργήσαντος ἐξεύρομεν, δοῦναι
ἠξιώσαμεν· ἀνεβιβάσαμεν οὖν αὐτὸν, καὶ περιήψαμεν ὡς αὐτὸς ὑπε-
ξέθετο ἐμπρησθῆναι. πικρᾶς γὰρ τῆς ἐπιστήμης, ἀληθεῖς οὔσας τὰς ἀπο-
δείξεις δέδωκεν. οὔτε γὰρ εἴδομεν τίς ὁ τιμωρούμενος, οὔτε ἠκούσα-
μεν γόων, οὐδ' ὀλοφυρμῶν· τὰς γὰρ ἔνδοθεν ἐμβοωμένας ὀλοφύρσεις,
ὁ χαλκὸς εἰς τοὺς ἀκουσομένους κολασθεὶς ἐξεμυκᾶτο. ἡμᾶς γὰρ, ὦ
ἀθηναῖοι πυνθανόμενοι ἄχθεσθαι, περὶ τῆς ἀναιρέσεως τοῦ δημιουργοῦ,
καὶ δι' ὀργῆς ἔχειν ἡμᾶς ἐθαύμαζον καὶ πῶς ἀπιστῶ. εἰ μὲν γὰρ ὅτι μὴ
χαλεπωτέρῳ ὀλέθρῳ ᾐκισάμεθα αὐτὸν μέμφεσθε, ἀπολογοῦμαι
πρὸς ὑμᾶς, τὸ μὴ δυσαθλιώτερον ἐπινοῆσαι μόρον. εἰ δ' αὖ διὰ τὸ
ὁπωσοῦν τετιμωρῆσθαι, κινδυνεύετε πανδημεὶ οἱ ἐπὶ χρηστότητι ὑ-
περαυχοῦντες, πικροτάτην ὀφλῆσαι ὠμότητα. οὐ γὰρ ἑνὸς ἀνδρὸς
τοὔργον ἢ ἁπάσης ὑμῶν τῆς πόλεως εἶναι ἀνάγκη. τοῦτο δὲ διαγι-
νώσκεται, μόνῃ τῇ ὑμετέρᾳ πρός με διαθέσει. εἰ μὲν γὰρ δικαίως
ἀνὴρ ἀπώλετο, καὶ προσήκοντας τοὺς τρόπους καὶ τὴν φύσιν οὐδεὶς ἀθηναί-
ων ἐκείνῳ, τοῦ χάριν ἡμᾶς μέμφοισθ' ἄν. εἰ δὲ ἀδίκως, ὑμεῖς μὲν ἐντεῦ-
θεν ὁμολογεῖτε, οὐδὲν ἀμείνους εἶναι περιλάου. ἐγὼ γὰρ, οὔπω δίδωμι, τὴν τι-
μωρίαν πεπρᾶχθαι ἀδίκως, πρὶν ἂν ἐμαυτῷ δόξω παρὰ τὴν δίκην εἰρ-
γάσθαι. καίτοι παρὰ τοῦ τυράννου τὰ δίκαια οὐδεὶς ἐπιζητεῖ. τὸ γὰρ σῶ-
ζον αὐτὸν, τοῦτο ἔοικεν εἶναι· ἀγαθῶν μὲν ἀσφαλὲς, καὶ τὸ τῆς ἀρχῆς ὀχυ-
ρώτατον ὑπεξελθὼν τὸ τ' ἂν δόξαιμι, ὅταν κατ' εὐθεῖαν μὴ τετιμω-
ρῆσθαι δοκῶ. πέποιθα γὰρ μηδ' ὑμῶν τινα, μήτε τῶν ἄλλων ἑλλήνων, τὴν
λώβην ἄδικον φανεῖσθαι, ἣν τις ἑτέροις ἐπεκτήσατο, αὐτὸν ἐμφο-
ρήσασθαι τὸν μηχανησάμενον, τεκμαιρόμενος, ἔκ τε τῶν λοιπῶν ἁ-

πάντων

πάντων, οὐχ ἥκιστα μέντοι καὶ δι' ἐμαυτόν, ὅτι μόνῳ ταύτῃ μάλιστα
προσήκοντι μωρηθῆναι ἔδοξε. καίτοι γε περὶ ἐμοῦ τὸν ὄλεθρον εἴρη-
κα τὰ τῶν ἐπιβουλευόντων ἀχθηρότατον· ἀγαθοῦ μὲν ἀσφαλὲς ἐν
οἷς τῇ φύσει δικαιὸς κριτὴς ἀπεδείχθην, ἀφῆκα. ἁπλοῦν δὲ αὐτὸ
ἐφ' ἑαυτοῦ τὸ δίκαιον ἐλογισάμην. καὶ μήν, καὶ τὸ πικροτέρους
ἐὰν πολλοὺς ὑπάρχειν, ᾔδειν ἐμοὶ συναγείρουσιν· καὶ ἡμερώτερος φα-
νεὶς τῆς δόξης, μᾶλλον ἐπιβουλευθήσεσθαι. καὶ ὅτι παύσω πάντα τινὰ
προθυμούμενον εἰς ἐμὲ διὰ τῆς τούτου κολάσεως, καὶ ὡς βέλτιον ἴ-
σως τῇ βίᾳ χρῆσθαι, διὰ τὴν ἀνάγκην τῶν ἐπιχειρούντων. ἀλλ' ὅμως
ταῦτα εἰδὼς ἅπαντα, καὶ τὴν ὕστερον δυσφημίαν οὐδὲν δεόμενος, δεῖ-
νον ἡγησάμην ἄνθρωπον ἀνθρώποις τοιούτου μόρου ἄρξαντα, εἶναι
ἀτιμώρητον. διὰ τοῦτο τοὺς ἄλλους μηδὲν ἀδικήσαντας αὐτόν,
ἐπείχθη τέχναις ἐγκαταπρῆσαι, ταύταις ἐνδίκως ὑφ' ὑμῶν τῶν
ἀξιωθέντων χάριτος τοιαύτης, ἐνεφρουρήθη. τάχα τις ὑμῶν ὦ ἀθη-
ναῖοι ἀκούων τὸ παράλογον, ὡς εἰ δέοι τούτοις αὐτὸν τοῦ ὀλέθρου, οἷς ἐπενόη-
σε καθ' ἑτέρων, περιπεσεῖν τὸν ἐξευρόντα, παλαιοῖς πάνυ με ἐριννύσιν ὀ-
φείλεσθαι νομίζει. μᾶλλον δὲ οὐδὲ ἐξαρκέσειν ὅλαις τῇ αὐτοῦ μιᾷ ψυ-
χῇ. καθ' ἑαυτοῦ δὲ τοὺς μόρους ὑπογράφειν. ἀλλ' εἰ χωρεῖς δυσμενείας
σκέπτεσθαι ἐθελήσετε, εὕροιτε ἂν οὔτε δρῶντας ἑκόντας ἡμᾶς,
οὔτε εἰ πάσχομεν, δόξαν τῷ δαίμονι, δικαίως ἀπολαύοντας. καὶ γὰρ
ἐξουσίαν ἔχοντες δρᾶν διὰ τὴν τυραννίδα τὰ πρὸς ὠμότητα, ὅ-
μως ἴσμεν ἐκποδὼν ὄντα. καὶ μηδὲν τῶν πεπραγμένων ἑαυτοῖς ἀ-
ναλαβεῖν δυνάμενοι, τὸ μὲν ὅτι δεινὰ ταῦτ' ἐστίν, ὁμολογοῦμεν. εἴθε
μέντοι μὴ δὲ δρᾶσαι αὐτὰ πικρᾷ ἀνάγκῃ ἐβιάσθημεν. καὶ οὐδεὶς ἕ-
τερος ἦν ἄν, ὡς χρηστὸς ἐπαινούμενος, ἡμῶν παρόντων. τίς δὲ ὑμῶν
ὦ ἀθηναῖοι ἢ τῶν ἄλλων ἀνθρώπων, τὸν ἐπιβουλεύοντα ἑαυτῷ ἐχθρόν,

οὐδὲ πάσης ἀμύνης παραλιπὼν ἐτιμωρήσατο. τοιοῦτον ἀνδρῶν Περίλαον ἐτιμωρησάμην. καὶ σύνοιδα μὲν ἐμαυτῷ, ἔκθεσμα δρᾶν· παραμυθίαν δὲ ἔχω, τὸ μὴ μετὰ γνώμης ἐθελουσίου, ὃ τοῖς ὑπ' ἐμοῦ τιμωρουμένοις οὐ πρόσεστιν. ἐγὼ μὲν ὥσπερ φάσκουσι συγγενεῖς Ἀθηναῖοι, καὶ ἐν τούτῳ τὰ ὑμέτερα ἔθη ἐμιμησάμην. ἐκεῖνος δὲ, ἃ δέον ἔχειν ἡμᾶς τοὺς τυράννους, μετεδίωξε. καὶ δικαίως, οὐχ οἷοι φύσει ἦμεν, ἀλλ' οἵους ἡμᾶς αὐτὸς ἔπλαττεν εἰς αὐτὸν ἐγενόμεθα. εὖ μέντοι καὶ νῦν ἴστε, ὅτι οὔτε ἐγὼ ἰδιωτεύων Περίλαος ἂν ἦν, οὔτε ἐκεῖνος μοναρχῶν, Φάλαρις. ὑμῖν μέντοι οὐχ ὅτι οὐδὲ δεῖ ἐὰν χαλεπήνητε περὶ τῆς τούτου κολάσεως, ἀλλ' ἐὰν καὶ μὴ κολάζῃ τις τοὺς τοιούτους. κοινῇ μὲν γὰρ ἅπαντας ἀνθρώπους ἠδίκει, καθ' ὃ τοιούτους ἐπενόει μόρους· ἰδίᾳ δὲ ὑμᾶς διαβάλλων εἰς ὠμότητα, καὶ τὸ τῆς πόλεως ἔμφυτον ἦθος λυμαινόμενος. ἅπαντας μὲν οὖν οἶμαι τὸν τρόπον τῆς τιμωρίας ἐπαινεῖν· ἄξιοι γὰρ οἱ τοιοῦτοι πολῖται. εἰ δέ τις ἐστὶν, ᾧ ὁ μόρος οὐκ ἤρεσεν, ἴστω, ὡς οὐδὲ Περιλάῳ ἄριστα ἐπράξαμεν.

Λυσικλεῖ.

Οὐ θαυμάζω τὴν αἰτίαν δι' ἣν οὐδὲν ἔχεις ἐμφερὲς, οὔτε τῷ πατρί σου, οὔτε τῷ υἱῷ σου Λυσίκλεις. οὔτε γὰρ εἶ Λυσικράτους υἱὸς, οὔτε Νεοπτολέμου πατήρ. ταῦτα δέ φασι τήν τε μητέρα σου, καὶ τὴν γυναῖκα, πρὸς πολλοὺς Σικελιωτῶν διαβεβαιοῦσθαι. καὶ διὰ τοῦτο τῶν μεγάλων τυγχάνειν ἐπαίνων. ἓν γάρ τι καὶ τοῦτο τῶν θαυμαζομένων ἐστὶ, τὸ πρὸς πάντας μὲν, μάλιστα δὲ πρὸς εἰδότας ἀψευστεῖν.

Πολυδεύκει.

Τοὺς ἐμοὶ περὶ τῶν κατ' ἰδίαν ἀναιρουμένων πολεμεῖν παρασκευαζομένους Πολύδευκες, ἀκούσαντας καὶ σαφῶς εἰδότας, περὶ ὅτου τοῦτο ποιήσουσι, τιμωροὺς ὁμολογεῖν δέον. σὺ μὲν

τοι

τοι κατηγορῶν ἐν Συρακούσσοις ἐμοῦ, τὸν μὲν τιμωρὸς ὡς δεινὸς λέγεις· τὰς δ' αἰτίας, ἃς μάλιστα ἔδει, ἐφ' οἷς ταῦτα ἔπαθον ὡς ἀνήκεστοι, οὐδέποτε ἠξίωσας προσθεῖναι. ἐχρῆν γὰρ ὦ δημαγωγὲ Πολύδευκες, λέγειν μὲν τὸν θάνατον. ἐπιδείκνυσθαι δὲ τὴν πρόφασιν, ἵνα καὶ περὶ τὴν αἰτίαν μᾶλλον ἐπαίρῃς τὰ πάθη, καθ' ὧν ἀντιπολιτεύῃ. εἰ δὲ αἰσχύνεσθε γυμνῶσαι τὰς αἰτίας, ἐφ' αἷς κατηγορεῖτε, τίνι δικαίῳ πολεμήσετε ἐπ' αὐταῖς, μὰ τοὺς θεοὺς οὐκ οἶδα.

Λακρίτῳ.

ὡ Σ μὲν οὐκ ἐχρῆν εἰς κινδύνους καθίστασθαι περὶ τοιαύτης ἐλπίδος, τοὺς οὕτω δεδιότας, οὐδὲ ἐβουλόμην ἂν θερμοτέρων ἀποτελεσμάτων λαβεῖν ὑπὸ σοὶ πεῖραν. ἐπεὶ δὴ τὸν ἡμέτερον φόβον, ἡ σὴ νενίκηκε ῥώμη. ἀγαθῷ μὲν οὖν οἰωνῷ τοιούτῳ κέχρησαι, ὅτι καὶ τἆλλά σοι κατὰ νοῦν γενήσοιτο. τεθαρρήκαμεν ἢ οὐδέν τι μᾶλλον ἀπηλλαγμένου σου. ἀλλὰ καὶ ἐπεστάθημεν σαῖς φροντίσι καὶ μέχρις ἂν ἥκῃς ἡμῖν σῶος, πρὸς τὰς ἀπὸ σοῦ πεύσεις ἀνακρεμάμεθα. ἅπερ οὖν καὶ ἀποστέλλοντες παρῃνέσαμεν, ταῦτα ἂν ἀξιώσαιμεν ἀπηρκότα, πρὸ τοῦ χωρίου, ζητεῖν ἡμῖν περιποιεῖσθαι Λάκριτον. ὃν ἀντὶ πολλῶν τόπων καὶ πόλεων, καὶ τυραννίδων, καὶ αὐτῆς γε νὴ τοὺς θεοὺς τῆς ψυχῆς, ἑαυτοῖς εἶναι νενομίκαμεν.

Τῷ αὐτῷ

κ Αἰ τῶν σῶν ὑποσχέσεων μέμνησο Λάκριτε, καὶ τῆς Φαλάριδος ἐρημίας φρόντιζε. ἐν ὅσῃ γὰρ ἀπορίᾳ λείπομαι φίλων, οὐκ ἀγνοεῖς. ἐπιστέλλω δὲ περιφόβως οὕτως ἔχων, οὔτε τὴν τῶν πολεμίων ἰσχὺν πεφρικὼς ἔγωγε, πολὺ γὰρ ἡμῶν εἰσὶ καταδεέστεροι, οὔτε τὴν τῶν συμμάχων ἀσθένειαν. τῷ παντὶ δὲ μᾶλλον τῶν ἀντιπάλων ἔρρωμαι. ἀλλὰ τὴν σὴν περὶ τὰς μάχας προθυμίαν, μὴ μᾶλλον ἤδη σπουδῇ μετακινήσῃ, ἀγαθὸς φα-

νῆναι, τὰ πολέμια, ἀχθόμενος, εἰ μὴ πᾶσι τοῖς ἔργοις ἐνὶ χρόνῳ πρασσομένοις παρέσῃ. μέμνησο δὲ ὅτι παρακαταθήκην σοι σεαυτὸν ἐδώκαμεν ἀξιοῦντι, ἣν ὑπέσχου σῶαν ἡμῖν ἀποδώσειν. καὶ νῦν τὴν θήκην πευσόμεθα. οὐχ ἵνα τι τῆς σαυτοῦ φύσεως ἀνάξιόν τι φρονήσῃς, τοῦτο μὲν γὰρ ἀδύνατον, ἀλλ' ἵνα εἰς πολλοὺς ἀγῶνας ἑτέρους, ἔχῃς ἐπιδεῖξαι σαυτὸν μαχητὴν φιλόμοχθον. τὰ νῦν δὲ, κἂν αὐτὸς σαυτοῦ γένῃ μαλακώτερος ἐν ἄλλοις ἡμῖν σεαυτὸν ἐκ τοῦ πεπληρωμένου ἀποδώσεις.

Ἐπιστράτῳ

μ Ἡ βιαζομένη κήστη, δίκας παρὰ σοῦ λαβεῖν, τρὶς ἤδη παρῃκότα. μηδὲ ἐμπαραβάλλου τῇ σαυτοῦ ψυχῇ ὡς ἀλλότριον φαλάριδος ἔλεον. εἰ καὶ πάνυ τοῦτο σέβεσθαι παραιτησάμενοι, τῇ τοῦ τυράννου χρησόμεθα ὀργῇ.

Ἀειφοίτῃ.

μ Ἢ λογίζου τὸν ἀριθμὸν τῶν εἰς τὸν ταῦρον ἀνηλωμένων. πλείους γάρ εἰσιν, ἐὰν τὰς πράξεις αὐτῶν ἐξετάσῃς, ἢ τὰ ὀνόματα. ἀλλ' ὅμως καὶ τοιοῦτοι ὄντες ὑφ' ἡμῖν ἐγένοντο. σὲ δὲ τὸν ἠξιοῦμεν, οὕτω νεώτερον ὄντα, πρεσβυτέρας ἐπαναιρεῖσθαι φροντίδας. δυστήνους γὰρ δείκνυμεν, τοὺς ἡμῖν ἀντιπράξαντας. ἐπεὶ δὲ ὀρέγῃ μεταβολὴν τοῦ βίου ἰδεῖν, παύσασθαι μὲν ἔτι παραινῶ μὰ τοὺς θεοὺς, οὐχ ὡς δὲ δεινῶς ὑπὸ σοῦ κακόν τι παθεῖν, ὁ γὰρ ἐκ γυναικείας χειρὸς τυραννοκτονηθήσεται φάλαρις. ἀλλ' ἵνα μὴ σὺ συναρίθμιος τῶν εἰς τὸν ταῦρον γενηθέντων γένῃ, καὶ διαβολῆς ἀδίκου μέρος εἰς ὠμότητα, τιμωρηθεὶς ὑπ' ἐμοῦ. ἐὰν δὲ μὴ πείθῃ τάχα σὺ σφόδρα προσδέχῃ περὶ ταύτης ἡμῖν τῆς παραινέσεως, ἐκτίσεις δίκας

Τιμολάῳ.

τ Ὁ μηδὲν ἁμαρτάνων, εἰκότως ἴσως, καὶ δικαίως θεοῦ νομίζεται. τὸ δ' ἁμαρτόντα, τοῦτο αὐτῷ πρὸς τὸ μέλλον

σεσωφρονίσθαι

σεσωφρονίσθαι, ἀνθρώπου. τὸ μέντοι μὴ δὲ πταίσαντα καὶ ἀτυχήσαντα πεφυλάχθαι, οὐκ οἶδα ἄλλου τινὸς ὑποληφθῆναι δυνάμενον, ἢ κακοῦ. αἰσχρὸν οὖν, ἔτι γὰρ ἔγγιον προσελευσόμεθα, ἑτέροις παράδειγμα τῆς ἀβουλίας γινόμενον, αὐτὸν ἑαυτῷ μὴ δ' ἐκ τῆς οἰκείας συμφορᾶς χρήσιμον γίνεσθαι. Φαιδίμῳ.

Ἐπείσμεθα τὸ λοιπὸν ἤδη, μηδὲν ἀδικεῖσθαι ὑπὸ σοῦ. καίτοι χαλεπώτερον τοῖς αἰτίαις, ἐφ' ἑκάστῃ κατηγορίᾳ πεπειραμένοι. ἀλλ' οἷον ἐβουλόμεθά σε, καὶ δίκαιον ἦν περὶ ἡμᾶς εἶναι, τοιοῦτον ᾠήθημεν γεγονέναι. τοὺς δὲ τῶν κατηγορούντων λόγους ψευδεῖς ἐνομίσαμεν, παρ' ὅσον ἐδείσαμεν ἐλέγξαι περὶ σοῦ τὴν ἀλήθειαν. εὖ μέντοι ἴσθι ὅτι καὶ τὸ μηδὲν ἀδικεῖν, ἐναντία πολλάκις ἐνεχθέν, ἀσφαλέστερον αὐτοῦ τοῦ δαίμονος ἔδοξαν, οἱ περὶ αὐτὸν δεδιότες κεκολάσθαι. Φρόντιζε οὖν, ὅπως μήτε τὸν τρόπον ἡμῖν τὸν σεαυτοῦ ἐχθρὸν παρέξῃ, μήτε τὴν τύχην χαλεπὴν δέ σοι δοξάτω μὴ τοῦτο μόνον, εἰ πολλάκις ὑπ' ἐμοῦ, ἐφ' ἑκάστῃ ἀδικίᾳ εὖ παθὼν, τοῖς ὁμοίοις ἡμᾶς οὖσι δικαίοις ἀμύνῃ. ἐγὼ μὲν γὰρ, οὐκ ἐάσω πονηρίας χρηστότητα ἐνέγκασθαι δευτερεῖα. ἀλλὰ μὴ δὲ σὺ σαυτοῦ πρός με εὐεργετεῖν βεβουλημένον, ἂν ἐπιεικέστερος ὀφθήσῃ.

Φιλοδήμῳ.

Ἐν μεγάλῃ μοι δοκεῖς εὐηθείᾳ καθεστάναι Φιλόδημε, εἰ τὸ σαύτας δὲ χάρις οἴει, σπουδὰς ἡμῖν ὑπὲρ σοῦ, ὡς οἴκαδε ἀπονοστήσεις γενέσθαι, περὶ τῶν πεντεταλάντων, ὅπως ταῦθ' ἡμῖν σωθέῃ, ἃ μετὰ τοῦ μηδὲν ἐλπίζειν περὶ σοῦ χρηστὸν, ἀπεδώκαμεν, ἀλλ' οὐκ αὐτοῦ σοῦ τῆς ἑταιρείας. τοῦτο δὲ μὰ τοὺς θεούς, οὐδενὸς πλήθους ἐστὶν ἀντάξιον. εἰ δὲ πάντως θέλεις παρὰ σαυτοῦ δοκεῖν ἐκπεπορίσθαι τὴν παῖδα, ἔστι μὲν, οὐδὲν ἧττον καὶ ταῦτα ἐκ τῶν σῶν. εἰ δὲ

οὐ δοκεῖς, προσθεὶς ἐκείνοις τοῖς πέντε ταλάντοις, τὰ παρὰ σαυτοῦ τοσαῦτα, τὴν προῖκα δέκα ταλάντων ἀνάγραπτον. ἣν εἰ βούλει τῆς προικὸς, ὃ μέντοι τῆς Φαλάριδος εἴη χάριτος. ὃ δὲ τῆς Φιλοδήμου περὶ οὐσίας. μαρτυροῦσι δ' ἡμῖν πρὸς σὲ, πολλὰ καὶ μεγάλα θεανὼ, χαρᾶς ἡμᾶς ἀναπίμπλησιν. ἃ γὰρ ἔτι παῖς οὖσα ἔπραξε, μήτηρ γενομένη μαρτυρεῖ.

Ἀγησιλάῳ.

ἡ Τελεσίππῃ, χαλεπῶς ἔοικέ σου φέρειν τὴν ἐν Συρακούσαις μονήν. εἰς τοσοῦτον δὲ πάσχουσα, φιλάνδρου καὶ σώφρονος ἔργον γυναικὸς, ἐμαρτύρησας ἡμᾶς, ὡς κατὰ σοῦ τὴν ἀρχὴν πικρὰν ἔχοντας, οὐκ ἀνέξεσθαι φάσκουσα εἰς πλεῖστον ἀπόντα. ἀλλ' ἐπιβοήσασα μὲν τὸν ἑαυτῆς πατέρα, γνώσῃ δ' ἴσως ὃ βούλεται πράττειν. ἀλλ' οὐδ' ἴσθι, τοῦτο ποιήσειεν ἄν. οὐ γὰρ οἷά τέ ἐστι δύνασθαι περιορᾶν ὡς ἀλλότριον ἑαυτῆς ἄνδρα νενομισμένον. κἀκείνη μὲν ἐμὲ ἠξίου δύνασθαι ἐπανήκειν σε ἀναγκάσαι. ἐγὼ δὲ ἐκείνην. οὐ γὰρ οὕτως οἴομαί σε Φάλαριν φοβεῖσθαι, ὡς Τελεσίππην φοβεῖσθαι. ἐπάνηκε οὖν καὶ τοῖς ποθοῦσιν ἀπόδειξον σαυτὸν, εἰ δ' ἡμᾶς αἰσχύνῃ μᾶλλον, εἴτ' ἐκείνην, ἀξίαν οὖσαν νὴ τοὺς θεοὺς, ἀγαπᾶσθαι πλέον.

Πολυμνήστορι.

π Ολλά σοι καὶ μεγάλα πρὸς ἡμᾶς ἐμαρτύρει Λάκριτος περὶ τὰ ἄλλα μὲν ἅπαντα. μάλιστα δὲ περὶ τῆς συμμαχίας τῶν πελτοφόρων. τῇ γὰρ σῇ σπουδῇ, καὶ τῇ τῶν ἀγωνισαμένων ἀνδρῶν, τὸ χωρίον ἁλῶναι ἀποφαίνει. καὶ τοὺς ἰδίους ἵππους, ὥς ἔοικέ σοι παραχωρῶν ἀνακεῖσθαι. ἐγὼ δὲ, εἰ μὲν ἐλάμβανον τὰς παρ' ἐμοῦ δωρεὰς πάσας, ἐδεδοίκειν ἂν τοῦτο μὰ τοὺς θεοὺς, μὴ ἡττῶμαι τῆς φιλοφροσύνης τῆς παρὰ σοῦ. νῦν δέ σου καὶ τὰς χάριτας, οὐκ ἀθρόα πέμποντος ἀποδεχομένου, νικᾶσθαι ὁ τύραννος ὁμο

λογῶ, ἰδίῳ τοῦ γένους. εἰ μέντοι τὸ πρῶτον μὴ δέξῃ τὰ τρίτα τῆς λείας, διανεῖμαι τοῖς στρατιώταις, ἃ καὶ λακεῖον διδόντος παραυτίκα, οὐχ οἷός τε ἐγένου λαβεῖν, εὖ ἴσθι ὀκνηροτέρους ἡμᾶς γενέσθαι ἐπὶ εὐπορεῖν. τοῦτο μὲν γὰρ οὐκ ἦν ἡμῖν περὶ σοῦ. ἀλλ' εὖ πάσχειν ὑπὸ σοῦ πρὸς τὸ πλεῖον ἀναγκάσεις.

Τῷ αὐτῷ

ιε Δέξας ἡμῶν τὰς ἀπειλὰς, τοῦ μὴ ἢ αὖθις δεήσεσθαι, παρ' ὅτι καὶ τὴν λείαν διένειμας ὡς ἠξιοῦμεν, ἀποδοὺς τοῖς πονήσασι τῶν κινδύνων τὰ ἔπαθλα, καὶ καλῶς ἦν φρονεῖς τε γὰρ, καὶ ἐπέρρωσας, μηδὲν ὀκνεῖν αἰτεῖσθαι, παρὰ σοῦ, καὶ τοὺς ἄνδρας ὁπότε δέοι ἀγωνίζεσθαι προθυμοτέρους ἐποίησας. τίς γὰρ ἂν ἕλοιτο σκήνωμα τῶν πόνων χωρίς. οὐδεὶς, ὅστις ἂν ὑποσταίη τοὺς καμάτους. ἄλλοις μὲν οὖν, καὶ ταῦτα ἐκόμισω. οὐ μὴν, ἀλλὰ καὶ λαμβάνων, εἰς τὸ περιττὸν δείους ἡμῖν κατασκευάσαι τοὺς στρατιώτας, ἐὰν εἰς τὰ μέλλοντα δεηθῶμεν τοῦ ταῦτα λαμβάνειν ἔοικας.

Τεύκρῳ.

ς Οὓς μὲν γάμους ἤρχου τῆς Θεοδήμου θυγατρὸς, θᾶττον, ἢ σὺ νῦν ἡμῖν ἐπέστειλας ἔτυχες, ἠκούσαμεν. φθάνει γὰρ ἡ φήμη, καὶ τοὺς πάνυ πολλῇ σπουδῇ περὶ τὰς μηνύσεις κεχρημένους, ἐπεὶ τὰ χεῖρα τῶν γινομένων κἂν διὰ μακροῦ τὸ πραχθὲν κομίζῃ, ἄγγελος ἡ θεός. καὶ ἡμεῖς τάχα ἂν εἰκότως ἐμεμψάμεθα αὐτῇ, τοιοῖσδε παραδεδόσθαι. καὶ διὰ τἆλλα μὲν ἀδίκως εἰς τοσαύτην ὠμότητα διαβαλλόμενοι, οὐχ ἥκιστα δὲ, καὶ διὰ ταύτην κατεγνωσμένοι. φέρει γὰρ ἡμᾶς, κακοὺς πανταχόθεν περιβοῶσα τοῖς ἀκουσομένοις. καὶ διὰ ταύτην, οὐδὲ δόντων ἐμὲ τῶν νῦν ὄντων τινὲς, οὔτε πειραθέντων, ὡς ἐπ' ἂν ὢν γεγονότα ὀλέθρῳ προβέβληνται. ταῦτα μὲν οὖν ἐμὰ ταλαιπωρήματα, καὶ οὐδενὸς ἑτέρου τὴν δὲ οἰκίαν, εἰς ἣν ἐπελεύσεσθαι πρώταις

σύνοδοι, Λεοντῖνοί τε, καὶ Θεανοί, κρατεῖν αὐτοὺς ὡς ἔχουσιν ἐπίστευσε·
μὲν δὲ ἀνίστα τὸν ὑμέναιον ἀπὸ τῆς ἑστίας, ἔνθα ᾔσθη. ἄξιον τὸ δώρη-
ματοῖς κομισαμένοις, ἀποδοχῆς νενομίκαμεν. Φίλταται γὰρ τὰ
χωρία τοῖς νυμφαγωγηθεῖσιν, ἔνθα ἂν τὰ πρῶτα θεσμὰ ἀπέθωνται
παρθενίας. Φθόνου δὲ Συρακουσίοις μᾶλλον ἄξιος Φιλόδημος, ἢ
ἐλέου κριθήτω. Καὶ μηδεὶς εὐτυχὴς οὕτως ἐν εὐδαιμονίας μοίρᾳ, ὡς
ἐκεῖνος ἐν κακοπραγίᾳ τύχης, τοῖς φθονοῦσι νομισθήτω. Φάλα-
ριν δὲ μισείτωσαν ἅπαντες, οὐ γὰρ παραιτοῦμαι μῖσος ἀζήμιον.
εὐχέσθωσαν δὲ καλῶς κατὰ σφᾶς, καὶ μή τισι προσανιῶνται, τοιού-
των καὶ αὐτοὶ λαβέσθαι φίλων. Τιμάνδρῳ.

τ Α πολιτεύματά σου τὰ Καμαριναῖα, Τίμανδρε, καὶ ὁ πολὺς
οἰκτισμός, ὑπὸ τοῖς ὑφ' ἡμῶν ἀπολουμένοις, ἐπέρρωσε μὰ
τὸν Δία, οὐδὲ βουλομένους, τοὺς περὶ Κλεόμβροτον ἐνεῖρξαι τῷ
ταύρῳ. Ἐδεδοίκειν γάρ, ἄδειαν αὐτοῖς ἐπιχορηγήσας, παῦσαί σε κα-
τεμοῦ τὴν πόλιν ἀνιστάντα. Ἡδέως γὰρ ἐμαυτὸν πολίτευμα περιέ-
χω τῷ δήμῳ, ἕως οὐκ αἰσχύνονται Καμαριναῖοι τῶν σῶν ἀνεχόμενοι
λόγων. Οὐ τὰ πολιτεύματα, οὐχ ὅπως τὴν Φάλαριν ἀμήχανα, ἀλ-
λ' οὐδὲ τὴν οἰκέτην Φαλάριδος ἂν θείην. Καὶ χαλεπὸν μέν, εἰ καὶ πά-
νυ συνέφερεν αὐτοῖς πολεμεῖν Ἀκραγαντίνοις, τὸ πεισθέντας ἅ-
ψασθαι τῶν ἔργων. Νῦν δὲ ὁ πόλεμος αὐτοῖς, τῷ παντὶ βαρύτερος
τοῦ συμβούλου, μᾶλλον δὲ δημηγόρου. Οὐδὲ μικρὰ ῥοπὴ ἐστὶ τοῦ τα-
λαιπωρίας, ἐγείρειν μέχρι τὰ πλήθη, λέγοντα τὰς αἰτίας ἥρ-
μοζεν, ἵν' ἡ πεισθεῖσα πόλις ὑπὸ σοῦ στρατεύεσθαι, πολεμικοῦ σφό-
δρα ἀνδρὸς ἀναγράφηται, ὑπὲρ οἷα πεπραχότων τιμωρὸς ἀνίστατο.
Ἀλλ' οὐκ ἐθέλετε. Καθ' ἕνα γὰρ ὑμῶν ὀνομαζόντων πολλὰς αἰτίας, ἀ-
πηρτημένας ἔξω δείκνυτε. Ἀλλὰ μὴν εἴ τις ἀφεὶς τοὺς ἐντελεῖς, διὰ

τὸ

γὰρ μὴ δοκεῖν ὅσιον, αὐτὸν σὲ σκέψαιτο, τοῦ πάντων χαλεπωτέρου τυχεῖν ὀλέθρου, νομίσειεν ἄξιον εἶναι· ὃς ἀποδόμενος τὴν οἰκίαν, καὶ τὰ χωρία, καὶ ἔτι σοι περιὸν τὴν ἀνδράποδον, στρατιὰν ἐπ' ἐμὲ μισθοφορεῖς, καὶ Καμαριναίους νεώτερα ἀναγκάζεις φρονεῖν. ταῦτα δὲ ποιῶν, οὐδὲν ἀλλ' ἢ σαυτὸν μόνον ἀπέγνωκας, ἄξιον ἴσως ὄντα. πολλὰ γάρ σοι καὶ δεινὰ πέπρακται. βιάζῃ δὲ τὴν πόλιν, τῆς σῆς ἀφροσύνης οὐκ ἐπαξιοῦσαν ἀπολαῦσαι.

Ἐνναίοις.

Ἐκ πολλῶν πάνυ χρημάτων, ὧν ἐδανείσασθε παρ' ἐμοῦ, ὀλίγα τάλαντα μόνον ἀποδοῦναι πείσαντες, καὶ ταῦτα ἐν οἷς μάλιστα καιροῖς χρημάτων ἐδεόμην ἐπικουφισθέντες, οὐδὲ περὶ ταῦτα εὐτακτήκατε. ἀλλὰ τέσσαρα μόλις ἀρξάμενοι, καὶ στένοντες διελύσασθε. τέσσαρα δὲ ἀκμὴν κατέχετε. μὰ τοὺς θεούς, οὐχ οὕτω περὶ τούτων ἄχθομαι, ὡς περὶ τῆς ὑμῶν τοῖς ἀφεθεῖσι χάριτος. ἡ μὲν γὰρ χρεωκοπία ὑμῶν, ἐὰν ἐπιτρέπω μὲν καὶ τοῦτο, τεσσάρων μόνον ταλάντων ἔχει ζημίαν. ἡ δὲ ἀχαριστία, ὑπὲρ δεκατάλαντον τὴν βλάβην. ὁμοίως γὰρ καὶ ταῦτα ἀποδώσειν ὑπισχνεῖσθε. καὶ τὰς περὶ ἐκείνων εἰδέναι χάριτας ὁμολογεῖτε. ὥστε οὐδεμιᾶς περὶ τὴν ἐν ὑμῖν οὔσης ἀχαριστίας χρηστὴν ἐλπίδα, εἰ τὴν ἐφ' ἡμῖν οὖσαν κομιδὴν, οὐχ οἷοί τε ἐγένεσθε ἐκτίνειν. οὐ μὴν ἀλλ' ἐπεὶ καὶ ταύτης ἐστὶ τῆς γνώμης, ἐγὼ πυνθανόμενος ὑμᾶς παρὰ τῶν πρέσβεων ἐν δέει ὡς ἔχειν, καὶ εἰς τῶν ἰδίων οἴκων εἰσφέρειν, ἀφίημι καὶ τούτων τὴν πόλιν. μάνθανον δέ, εἰ καὶ τὰ ἀποδοθέντα βούλεσθε λαμβάνειν, ἀποπέμπειν ἕτοιμός εἰμι, εἰ μέλλετε ἐπωφελεῖσθαι, καὶ μὴ οἱ τὰ τοῦ δήμου κλέψαντες, δι' ὧν ὑμεῖς κοινῇ πένεσθε, καὶ ταῦτα οἴσονται. τὰς δὲ ἀναστάσεις τῶν εἰκόνων, ἃς εὐχαριστίας ἀμοιβὴν εἰς ἐμὲ πρεσβεύοντες ἐπαγγέλλεσθε, μὴ φιλοτιμεῖσθε. μετὰ γὰρ τὴν ἐμαυτοῦ καὶ τήν, εἰς ταῦτα ὑμῖν χαρίζομαι δαπάνην.

Λυσάνδρῳ.

ε Φθάκαμεν μὲν τὴν παρὰ σοῦ πεμπομένην συμμαχίαν· πρὶν δὲ ἐλθεῖν τοὺς παρὰ Δινηλείδου στρατιώτας, εἴδομεν τοὺς πολεμίους. ὥσθ᾽ ἡμᾶς, εἰς μὲν τὴν μάχην, ὑπὸ τῶν μισθοφόρων ὑστερησάντων, μηδ᾽ ὁτιοῦν ὀνηθῆναι. εἰς δὲ τὴν δόξαν καὶ τοὺς ἐπαίνους, πλεῖστον. εἰς ὀλίγους γὰρ ἡμῶν τοὺς ἀγωνισαμένους, οὐκ εἰς ἅπαντας ἡ νίκη ἀνάκειται. κινδύνων δὲ μειζόνων μετασχόντες, ἐπάθλων λαμπροτέρων ἐτύχομεν.

Αεσμάχῳ.

ο ὐκ ἀχθόμεθα τῇ διαβολῇς, ἐπὶ δὲ τῆς δόξης, ἧς ἔχουσιν ἐπ᾽ ἐμοὶ οἱ νῦν αὐτοί. ἰδὼν δὲ ἐν ἴσῳ τὸ ἀδικεῖν, μᾶλλον δὲ τὸ τῶν δικαιότερον ἤδη τοῦ δικαίου νενομισμένον τὸ ἀδικεῖν, τοσοῦτον ἀπέχω τοῦ ἐπικρύπτεσθαι, ὥστε ἐπ᾽ αὐτοῖς παρρησιάζεσθαι. ὅτι τοῖς μὲν ἄλλοις φύσει τοιούτοις, ἐμοὶ δὲ ἀνάγκη γενέσθαι συμβέβηκε. φημὶ δέ, καὶ ἡμῖν τὰ παρὰ νόμον προσγεγενῆσθαι πάθη, καὶ τοῖς ἄλλοις ἅπασι τὸ αὐτὸ ἔμφυτον εἶναι. διαφέρει δὲ ἑνὶ τούτων· ὅτι ἡμεῖς μὲν τύραννοι δοξασθέντες, ἔχοντες ἐξουσίαν, ὁμολογοῦμεν. ἐκεῖνοι δὲ ἰδιῶται ὄντες, παρ᾽ ὅσον δεδίασι δίκην δοῦναι, ἀρνοῦνται.

Πολυστράτῳ.

ε Γὼ τῶν μὲν δὴ πεπονθότων ὑπ᾽ ἐμοῦ, οὐδένα ἂν εἴποιμι, οὔτε πρὸς σέ, οὔτε πρὸς ἄλλον αὐτῶν οὐδένα. οὐ δὲ δήπου, ἵνα σὺ δέξαιο τὰς παρ᾽ ἡμῶν δωρεάς, ἃς πεπόμφαμεν παρορᾷς, τὸ καὶ ἑτέρους πολλοὺς ἐπιδείκνυσθαι λαβόντας, πρέπον οὐδέ. προσέτι καὶ αὖ πάντως, τοῖς λαβοῦσιν ὀνειδίζομεν. οὐ δὲ οἰόμεθα ὀνείδους ἀπαλλάχθαι, οὔτε ἂν αὐτός τις ἕκαστος, ἰδίας δυσεργασίας δεξιοῖ, οὔτε ἂν ἑτέρων λεγόντων ἀκούειν ἐθέλοι. ὅσοι μέντοι παρὰ τὴν ἡμετέραν γνώμην, βίᾳ καὶ ἀδικίᾳ πολλὰ τῶν ἐμῶν ἀπώλεσαν, ἔξεστί σοι λογίσασθαι. καίτοι πολλοὺς ἂν σφόδρα εὕροις περὶ πλείστου ποιησαμένους τὰ δίκαια κα-

τασχεῖν

ταρχεῖν. ἔπειτα ἀντιτίσαντας οὐχ ἑκουσίως, ἀλλ' ἀνάγκῃ, καὶ φόβῳ πολέμου, καὶ ὅπλων. τινὲς ὁσιώτατα, ἀλλὰ καὶ πάντων εὐσεβέστατα κατέχον, ἐφ' ὅσον ῥώμης μετεποιοῦντο. οὐ γὰρ δήπου πρὸς τρόπαια χρήματα καὶ ἐναγῆ, μετὰ κινδύνων τοσούτων κατασχεῖν ὑπέμειναν. ἃ καὶ ἀναγκαζομένους λαβεῖν, ἐχρῆν ἀπώσασθαι. τίνα οὖν σὺ πρὸς διὸς ὑποτυπούμενος, οὐκ ἤθελες τὴν δωρεὰν λαμβάνειν. ἐπεὶ καὶ αἱ προφάσεις, ἃς σὺ προσποιούμενος ἔλεγες προβεβλῆσθαι, καὶ τούτῳ τῷ τρόπῳ, καὶ μυρίοις ἑτέροις λύονται. μαρτυρεῖται γὰρ ὑπ' αὐτῶν τῶν ἐχθρῶν τὰ χρήματα καθαρὰ εἶναι, εἰ μὴ τούτῳ διοίσει, ὅτι ἐκεῖνοι μὲν, δι' ἀδίκου ὀνόματος τῆς ἁρπαγῆς, ἔχειν ἐβιάζοντο, καὶ τοῦτο προτιθέντες τῷ ἀσεβεῖν. σὺ δὲ μετὰ τοῦ δικαιοτάτου λήψῃ. φίλου πιστοῦ δεδωκότος ἑκουσίως.

Ἀτεμόρτῳ.

Σθόμην ποτὲ ὦ ἀτέμορτε. ὅπως περὶ τῆς κατ' ἐμαυτὸν
ἠ ἐβουλευσάμην. πολλὰ μὲν γὰρ καὶ ἄλλα ἠνίασεν ἡμᾶς ἡ περίβλεπτος αὕτη μοναρχία, περὶ ἧς ὁ ἄβουλος ἐγὼ, τοὺς πολλοὺς πόνους καὶ κινδύνους ὑπέστην ἑκών. μέγιστον δὲ ἐν αὐτῇ τούτου κακοῦ ἐπειράθην, εἰ μὴ δὲ εὖ παθεῖν τις ὑφ' ἡμῶν ἐπιφανὴς ἀνὴρ βούλεται. ἀλλ' ἀνάγκη πᾶσα, ἂν δεήσῃ χαρίσασθαι τινὶ τῶν δεομένων, τοῖς ἐξωλεστάτοις χαρίζεσθαι. οἱ γὰρ εὐγνώμονες ὑμεῖς, οὐκ οἶδ' ὅπως ἀπεστραμμένοι, τί γὰρ ἄλλο, ἢ δεδιότε εὖ παθεῖν ὑπ' ἐμοῦ. ἐπεὶ τίνος ἕνεκεν, τοσούτων ἐμοὶ καὶ συμφοιτητῶν γενομένων, καὶ συνεφήβων, καὶ φίλων, οὐδὲ εἷς ἀφῖκται ὑμῶν, ἀλλ' οὐδὲ ὑπέσχηταί τις ἀφίξεσθαι πρὸς ἐμὲ, πλὴν καλλισθένους. καὶ εὖ οἶδα γὰρ, οὐδὲ ἐκεῖνος ἀφίξεται. καὶ τοῖς μὲν ἄλλοις ἴσως, εἰσί τινες ἀποφυγαὶ, τὸ μὴ δοκεῖν. ἀναφαν-

δὴν βδελύττεσθαί μου τὰς δωρεάς, ὅσους ἐλθεῖν γε κατ᾽ ἀρχὰς ὡς ἐμέ, τοὺς μὲν, νόσοι, τοὺς δὲ πατέρες, πολλοὺς δὲ κωλύει τὰ πολιτικά. σὲ δὲ ἐγὼ εὖ εἰδώς, οὐδὲ ἐπιχείρησά πω καλέσαι, μέλλων γε μὴ τυγχάνειν. οὐδὲ καλέσαιμ᾽ ἂν ἔτι τὰ μάλιστα νῦν, τήν τε ἀῤῥωστίαν ἀκούων σου, καὶ τοὺς παῖδας, οὓς μετὰ τὸν ἔκπλουν τὸν ἡμέτερον οἴκοθεν ἐπυθόμην, ἐκ τῆς αὐλῆς σοι γεγενῆσθαι. καὶ συνήθην γε νὴ Δία, τῆς πρὸς πλεῖστον ἀνακείσεσθαι, κήδους ἕνεκεν, καὶ τῆς πολυπαιδίας. τίς οὖν ἀπολείπεταί σοι πρόφασις, τοῦ μὴ οὐ δεδιέναι σε δοκεῖν. ὅστις ὦ θεοί, πέμψαντος ἔναγχος ἐμοῦ σοι, οὐ μὰ τὸν διαφόρτου ἐπίφθονον, οἷον ἔμελλεν ὄψεσθαι, παραπεμπόμενον μετ᾽ αὐλῶν καὶ παιάνων πᾶσα ἡ πόλις, ἀλλὰ χρυσίδιον, καὶ τοῦτο νύκτωρ, ἀφανὲς παντάπασιν, ὥσπερ τι ἄγος, ἢ μίασμα ἰδὼν ἀπόφορον, αὐτόθεν ἀπέστραφης ὡς εἰκός. κακοῦ γὰρ ἀνδρὸς ἦν δῶρα, καὶ πεφυρμένου φόνῳ ἀνθρώπων. καὶ μεγάλως σχέτλιος εἴ τις, καὶ ἀγνώμων τὸν τρόπον ὦ Ἀγήμορτε. καὶ μὴν τοι πρὸς ἡμᾶς καὶ ἀνηλεής, ὃς οὐκ οἰκτείρεις με κακοδαίμονα ὄντα, καὶ διακείμενον οὕτως, ὥσπερ διακεῖμαι νῦν ἀθλίως. ὃς οὗπερ ἕνεκα ὠρέχθην μάλιστα μοναρχίας, ἵν᾽ ἔχοι μοι λαμπρὸς εἶναι πρὸς τοὺς φίλους, ἐπειδὴ τάχιστα τούτου, κατ᾽ εὐχὴν παρὰ τῶν θεῶν ἔτυχον, οὐκ ἔχω πρὸς οὓς ἐλλαμπρύνωμαι ταῖς χάρισιν. ἀλλ᾽ ὃ μόνον ἦν μοι πάντων παραμύθιον τῶν κακῶν, καὶ τούτου με ἀπεστερήκατε οἱ φίλοι, μηδὲ εὖ ποιεῖν μηδένα ὑμῶν ἐπιτρέποντες ἐκ τῶν περιόντων. ἀλλ᾽ εἰς ἀνάγκην καθεστήκαμεν ὦ θεοί, μὴ προσιεμένων ὑμῶν τὰς δωρεὰς οἷς βούλομαι διδόναι, τῶν κολάκων καὶ τῶν βωμολόχων τῆς τυραννίδος διδόναι, οἷς οὐ βούλομαι.

Ἰκάρῳ.

ΤΗν Φιλοδήμου γυναῖκα κλεαινέτην, οἶσθα δήπου ἣν λέγω Τεῦκρε, βουλόμενος ὑπὲρ θυγατρὸς γάμον ἰδεῖν, τοῖς ἐν ποσὶν ἐκωλύθην. ἐφ᾽ ἃ καὶ σὲ παρεκάλουν ἥκειν ἄν, εἴπερ μὴ περὶ τοιαύτης κηδεμονίας ἐγνώκειν ἐν συρακούσαις καταλιπεῖν. ὅθεν καὶ περισσότερον αἰσθοιο ἄν, ὡς οὐκ εἰκῇ σοι περὶ αὐτῶν ἐπιστέλλομεν. μέτελθε ταύτην αὐτός. καὶ πέντε τάλαντα ἀνάδεξαι προῖκα τῷ κηδεστῇ, γαμουμένης τῆς παιδός. μὴ μέντοι ὡς δωρεᾶς διδομένης, ἢ χρέος ὀφειλόμενον ὑπ᾽ ἐμοῦ διορθούμενος. ἐὰν μέντοι πυνθάνηται, πόθεν ἔχομεν Φιλοδήμου τοσαῦτα χρήματα, μὴ φάσκειν εἰδέναι, ἀλλ᾽ εἰς ἐμὲ τὸν λαβόντα, καὶ Φιλόδημον τὸν δόντα, τὴν γνῶσιν ἀνάφερε. καὶ διὰ σπουδῆς μέντοι ἔχε, Λέοντα κηδεστὴν ποιήσασθαι. ἀφίκετο γὰρ ὡς ἡμᾶς, μετιὼν τὸν γάμον. κἀγὼ διὰ τάχους πάνθ᾽ ὑποσχόμενος, ἀπέσταλκα αὐτὸν ὡς σέ. κἂν δὲ ἄλλον τινὰ ἀμείνω εὕρηται νυμφίον ἡ μήτηρ τῆς παιδὸς, ἐκείνῳ τὴν προῖκα ἀνάδεχου. καὶ μηκέτι προσφιλοτιμοῦ. οὐ γὰρ ἐφ᾽ ἑνὶ κηδεστῇ Φιλοδήμου μεμνῆσθαι ὡμολογήκαμεν. οὐδὲ δωρούμενοι χρήματα χαριούμεθα τὸν γάμον. ἀλλὰ πρὸς θεῶν μὴ οὕτως ἀμελῶς χρῶ ἐγγύῃ ὡς ἀντιδιδούς, ἀλλ᾽ ὡς λαμβάνων πέντε τάλαντα, εἴπερ ἀνδρί τινι ταύτην ζεῦξαι ἐφίεται. αἰσχρὸν γὰρ ἀτυχῆσαι διδόντας, ἔνθα προήκται δοκεῖν, τοῦτον μὴ δοῦναι χάριν, ἃ προσεποιήθημεν χρήματα, ἑκόντι ἀποτίσαι. οὐ μὴν καταγνοίην γ᾽ ἂν ἐμοῦ τοιόνδε τι. ὡς ἔγωγε νὴ τὸν ἥλιον δόξω ζημίαν, μείναντα παρ᾽ ἐμοὶ τὰ χρήματα, καὶ μέγα ὄφελος λαβούσης εἰς τὸν γάμον τῆς παιδός. οὐ γὰρ ὅμοια φρονεῖν δύναιντ᾽ ἂν, μηδὲν εἰδότες περὶ ἐμοῦ. ἔθει δὲ μὴ δεινότερον ἀπαιτοῦνται χοῦ Φάλαριν τὸν τρόπον περιεβόων. πέμπε δὲ τοῖς γάμοις τῇ παιδὶ θυγατέρας τέτταρας

ὁμήλικας καὶ γυναικείας ἀμπεχόνας, ἃς ὑφ' ἡμῶν σταλείσας ἔ-
χεις. ἢ χρυσοῦς ἑξήκοντα. καὶ τέως μὲν ἀχρῆναι παραίνει τοὺς
γάμους, ὡς καὶ νῦν βραδέως ἀχρησομένους. προθύμως δὲ πέμπε
τὰς δωρεάς, ὡς ὑπὸ τοῖς φαλαρείδος, ἰδίας καρπούμενος χάρι-
τας. καὶ ταῦτα μὲν οὕτως ἔχει Πόδαρκε. τὰ δ' ἄλλα, ὡς καὶ πατρὸς
δεομένῃ τῇ παιδί, καὶ ἀνδρὸς χηρευούσῃ γυναικί, τίμιος γενοῦ.
καὶ προστὰς αὐτῶν τῆς χρείας, μετὰ τῆς ἰδικοῦ θύε τοὺς γάμους,
ὡς μάλιστα πολυτελέστατα. μήτις συρακουσίων τῶν προσηκόντων
τῇ παιδί, ἐν τῇ καλλίστῃ ἡμέρᾳ, ἄθλιον αὐτὴν μακαρίου ἐπη-
Φιλοδήμου. ἀλλὰ νικήσω μὲν αὐτοῦ τὴν τύχην. Κλεαινέτη.

ὁ Φιλοδήμου πλοῦς ὑπὲρ τὴν ξένην, τοῦ σοῦ μὲν ἀνδρός, ἡμε-
τέρου δὲ ἀτιμήτου φίλου, σοὶ μὲν δικαίως ἔοικε παραγί-
νεσθαι. τῇ θυγατρὶ δ' ὑμῶν, εἰκοστὸν ἤδη ἔτος οἰκουρούσῃ, οὐκ εὐτυ-
χῶς. ἡ μὲν γὰρ ἐπ' ἀνδρὶ χηρεία, χρόνους προσλαμβάνουσα, πλείω
ἀρετήν, ἡ δὲ ὑπὸ παιδὶ πρώραν μηκυνομένη παρθενία, διαβο-
λὴν κτᾶται. πᾶσι γὰρ αὐτοῖς αἴσχιστον δέδοκται, καὶ νὴ δία ἔστι πα-
ρὰ τοὺς τῆς φύσεως χρόνους θυγάτηρ οἰκουροῦσα. πάλαι γὰρ ἐχρῆν
καὶ τὸν ἐκείνης βίον, ὥσπερ τὸν σόν, πρὸς ἄνδρα ἐπαινεῖσθαι. ἴσως
μὲν οὖν αὐτὴ Φιλοδήμου παραμυθίαν ἡγῇ, παῖδα ἔχειν, ἣν ἐκεῖ-
νος καὶ σὺ ἐγείνασθε. σχέτλιον δέ, διὰ ἦθους γαμέτου, θυγατέρα ἀπο-
στερεῖν γάμων. καὶ οὐχ ὅμοιον τοῦ μετ' ὀλίγον ἥξοντος ἀφαιρεῖσθαι
ἀνδρός, ἢ ἣν μήπω πεῖραν τὶς ἔσχηκε καὶ συνῆψαν τοῖς τῆς φύσεως ἀκ-
μαζομένη νόμοις. ὅταν δέ, μὴ δὲ κεκμηκότων γονέων, μήτε δι' ἔνδει-
αν χρημάτων, ὥσπερ νῦν, καὶ μεγάλης ἀτυχίας τεκμήριον τοῦτο.
ὃ μηδαμῶς καταιωνίζου Κλεαινέτη. πεντατάλαντον γὰρ προῖ-
κα κατέλιπεν αὐτῇ Φιλόδημος ἐκ πλειόνων παρ' ἡμῖν. καὶ ἔχει ταῦ-

τοῦ μόνον, ἔστι γὰρ αὐτῷ κοινὰ, καὶ τὰ φαλαέσιδος χρήματα. ὥστε οὐκ οἶδα κλεαινέτη, τί ἂν μέλλοις. οὐ γὰρ οἶμαι δεῖν, μηδενὸς ὑστεριζούσαν εἰς τὸν γάμον, τὴν φιλοδήμου μένειν ἄφιξιν. ὅσον μὲν γὰρ εἰκὸς εἰς τὴν ἐκείνου παρουσίαν ἀναβαλέσθαι, μὴ φθάνω μέν. ὅσα δὲ αὐτὴ κατεπείγει φύσις ἀκόντων ἡμῶν, οὐδ' οἷόν τε, μὴ περιμένω μέν. ἐπεὶ τοὺς ὑμετέρους οὐκ ἀναδέχεται καιρούς, ἡ τῆς παιδὸς ὥρα. τάχα δὲ φιλόδημος μὲν εἴργεται τοσούτοις, ὅσοις πατέρα εἰκὸς εἴργεσθαι ἀώρου θυγατρὸς οὔσης εἰς γάμον. σοὶ δὲ τοῦ κατέχειν οἴκαδε παρὰ τὸν νόμον τὴν παῖδα, οὐδεμία πρόφασις. οὐ γὰρ οὕτως αὐτῇ πατρὸς εἰς τὸ παρὸν δεῖ, ὡς ἀνδρός. σὺ δὲ καὶ πολλὰς ἀνάγκας, καὶ μεγίστην τῆς τύχης ἀνέντι τῷ πατρὶ, προσνέμειν οἶμαι δεῖν, καὶ παροῦσαν τὴν μητέρα, ὅτι, ἐάν γε μοὶ πεισθεῖσα καὶ περὶ ἀνδρὸς εὐτυχῶς, καὶ περὶ θυγατρὸς εὐπρεπῶς βουλεύσῃ. πολλὰ γὰρ καὶ ἕτερα καλῶς, δίχα φιλοδήμου πράξασα, ἓν τοῦτ' ἀντὶ πάντων κοινὸν ἐργάσῃ ἀγαθὸν, καὶ γυναικὶ σωφρονούσῃ, κόσμον οἷον, ἐκδοῦσα κατὰ νόμους τὴν παῖδα. τὰ μὲν οὖν χρήματα Ἰσίκρος ὁ ἐμὸς, ὁπόταν ἐθέλῃς παραριθμήσει. εἰ δέ του καὶ ἑτέρου δεῖ σοι πρὸς τὸν γάμον, ἐκεῖνος ὑπουργήσει. σὺ μόνον ἃ βούλει, πρόσταττε. καὶ φιλόδημον εὔχου μὲν ἐλθεῖν εἰς τὸν γάμον. εἰ παραβαίνου δὲ μηδαμῶς, εἰς ἐκεῖνον ἥξοντα τοὺς παιδὸς χρόνους. καὶ τοῦ σῶον ἐκεῖνον εἶναι, καὶ παρέσεσθαι, καὶ ταῦτα μὲν ἔστω σοι μαρτύρια, μηδὲν δηλοῦσαν ἢ πρὸς αὐτὸν φιλοφροσύνη.

Νικοκλεῖ.

ε Περιείλαμεν Στησιχόρῳ, ὡς ἠξίους περὶ τοῦ ἐλεγείου. καὶ τὸν τόνον ὑπεθέμεθα ὡς χρὴ γράφειν. ὃ δὴ, ἄσμενος ἡμῖν τῆς ἑαυτοῦ φύσεως ἐπιδώσειν ὑπέσχου, παραμυθίαν ἴσως ἡγούμενος ἔσεσθαί σοι τοῦ πένθους τὴν σοφίαν. ἡ μὲν οὖν συμφορὰ, δυσπαρηγόρητος, καὶ βαρυτέρα, ἢ ὥστε λόγοις ἐπικουφισθῆναι. ἐπεὶ δ' ὅτ

τοῖς ὠνειδισμένοις ὀνόμασιν, ἐνὶ χρόνῳ, περὶ ἑκατέρου αὐτά. ἀδελφιδῆς τε γὰρ ὁμομητρίας, καὶ γυναικὸς ἀγαθῆς ἀπενοσφίσθης. κάλλει μὲν ἐξοχωτάτης, σωφροσύνῃ δέ, οὐδὲ εἰς δευτερεῖον γυναικὶ μεθ' ἑαυτὴν ἐώσης τόπον. ὡς ἐκπέπληξαι, καὶ πανταχόθεν ἀπέγνωκας σεαυτοῦ· καὶ τὰς ὀλοφύρσεις οὐ μετα ποιούμενος, καὶ τὸ σώζεσθαι προσποιῇ. χρὴ δὲ μὴ βαρύτερον φέρειν, ἢ δυνατὸν ἐνεγκεῖν τὴν ψυχήν. οὐ γὰρ ἀρετῆς τοῦτό γε ἄξιον, εἰ πρὸς τὸ πένθος ἀπαλλάξεις σαυτόν, ᾗ χρήσῃ αὐτῇ ἔσω συμφορᾷ. ἀλλά γε ὦ Νικόκλεις, μικρὸν ἀπὸ τῆς αἰτίας μεταστραφείς, σκέψαι τὸν ταλαίπωρον ἀνθρώπων βίον, οἷα καθήρμοσται τάξει. γίνεται ἕκαστος ἡμῶν, ἐπὶ μυρίοις κακοῖς· καὶ τοῦθ' ὅταν ἀνύσῃ, τοῦ ταλαιπωρεῖν ἀνεπαύσατο ἐπιδημίας. τερπνὸν δ' ἡγούμεθα τὸν βίον τοιοῦτον ὄντα. παρ' ὅσον οὐδὲν θανάτου πείσεσθαι κάκιον ἠλπίκαμεν. καὶ τὸν τελευτήσαντα οἰκτιζόμενοι, ὅστις πρῶτος ἄπεισιν, οὐκ ἄποθεν ἑπόμενοι τούτου. λελήθαμεν ἑαυτοῖς ἐπιρριπτοῦντες τὰ δάκρυα. αὕτη δὲ καὶ ἡ ἀνθρώπων Νικόκλεις. καὶ ἐπὶ τοιούτῳ τέλει ἅπαντες ἀναστρεφόμεθα. οὐδὲ ἔστιν ὅντινα τῶν γινομένων, ἕτερον ὑποδέξεται χρῆμα τυραννικώτερον. μοῖρα τοῦ παντὸς ἀνθρώπου, ὑπ' οὐδενὸς γὰρ ἡττωμένου. ὁρᾷς ἐμὲ τὸν μόναρχον, ὃν πάντες ἄνθρωποι βιαιότατον ἀποφαίνονται, ταύτης οὐδὲ ἄν με δεινότερον κηρύξωσιν οἱ νῦν ὄντες, οὐκ ἂν περιγενοίμην. οὐδὲν γὰρ τῶν παρ' ἡμῖν χαλεπῶν ὑποστήσεται, ἀλλ' ἄπιμεν, ὅταν ἐνῇ τὸ χρεὼν τελευτῆσαι. εἴθε δὲ ἐπὶ τοιούτῳ ἐτύχομεν μοναρχίας, οὐχ ὅπως ἑαυτῶν ἀπωσώμεθα τοὺς μόρους, ἡμᾶς μὲν γὰρ ἴσως καὶ πρὸ μοίρας ἀξίους φαίη τις ἂν εἶναι ἀπολέσθαι, καὶ πρὸς ταύτην τὴν ἀξίωσιν, οὐδ' αὐτοὶ ἐναντιούμεθα. ἀλλ' ἵνα τῶν ἐπιεικεστάτων, καὶ ὡς ἐπὶ μήκιστον ἀξίων ζῆν, ἐπέχωμεν τὰ τέλη. ἐπεὶ δὲ ἐκείνη καθ' ἡμῶν, καὶ οὐχ

ἡμεῖς

ἡμεῖς κἀκείνη; τύραννοι ἀπεδείχθημεν, ἠπίως χρὴ φέρειν. οὐ διὰ τοῦτο μόνον ὅτι εἰς οὐδὲν περαίνοιντο οἱ γόοι, ἀλλ' ὅτι καὶ τὸν ἐκείνης δαίμονα, εἴπερ αἴσθοιτό σε, οὕτω κατασμυχόμενον, ἀνιᾶσαι μὲν εἰκὸς αὐτὴν τὴν πλεῖστα μὲν εὐφράνασαν τὸν ἄνδρα, ἡσθεῖσαν δὲ ἐφ' οἷς ἔχαιρεν ἐκεῖνος, ἄχθεσθαι γὰρ ἐν τῷ θανάτῳ. οὐ μὰ τὸν Δία μόνον σὺ τοιαύτης ἀπεσφάλης γυναικός, ἀλλ' ὅτι καὶ ἐκείνη τοιούτου ἐστερήθη ἀνδρός. ἐπεὶ τοίνυν, οὔτε πρῶτος, οὔτε μόνος, τοιαύτῃ ἐχρήσω συμφορᾷ, λογίζου τοὺς ἀνθρωπίνως πράως φέρειν. εἰ γὰρ μὴ δι' ἐμὲ ἑτοίμως πρὸς θάνατον ὑπὸ ποικίλων ἔχοντα συμφορῶν, ἀλλὰ διὰ τὴν ἰσότητα τῆς φύσεως, ὅτι πᾶσι κοινὸν τοῦτο, κἂν σφόδρα περιφόβως ἔχωσί τινες. καὶ τοῖς μὴ λίαν ἀχθομένοις πλεῖστα συμβέβηκεν ἀπολαύειν τοῦ βίου.

Στησιχόρῳ.

τ Τὸ ἔλαιον ἐπέμψαμεν, ὡς ἐπινοούμενοι μὰ Δί' οὐ σοὶ τὸ παρόν, ἀλλὰ θυγατριδῷ σου. καὶ γὰρ αὐτὸ τὸ μειράκιον, ἄξιον ἡμῖν λόγου φαίνεται. καὶ τὴν γυμνασιαρχίαν μηδὲν ἧσσον Ἀγησιλάου. βουλοίμην δ' ἂν αὐτὸν ἐκτελέσαι τὸ καθῆκας μέρος, τὸ ἀργύρειον τὸ παρ' ὑμῶν, ὃ μὴ σοὶ κομίζειν ἐβουλήθην τότε παρών. εἰ μὴ λαβὼν ἔστη νῦν γε, προδοσίαν εὖ ἴσθι, πρὸς Ἱμεραίους καταψεύσομαί σου. κἂν ἔτι παραστῇ. χαλεπώτερον δέ σου οἶμαι καὶ τοῦθ' ὅπερ προπέμπων εἱλόμην προμηνῦσαι Στησίχορε. καὶ πρὸς τοῖς ἔπεσι, γὰρ διὰ σεβαστότερος εἶ τῶν ἄλλων, καὶ θαυμασιώτερος. τὰ ἐπιτηδεύματα ταῦτα καὶ στέργε, καὶ τίμα τῶν ἄλλων περιέμενος ἐν οἷς ποτ' ἂν καταίρῃς εὐδοκιμῆς, ὁμοίως τοῖς πονηροτάτοις ἔσῃ.

Τῷ αὐτῷ.

σ Ὑπὲρ ἡμῶν ὦ Στησίχορε, μηδὲν μήτε ἐν ᾠδαῖς, μήτε ἄλλοθί ποι λέγε. οὐδὲν γὰρ βούλομαι μᾶλλον, ἢ σιωπᾶσθαι τὰ ἡμέτερα. τῶν δὲ ἄλλων φθόνος οὐδείς, ὑπὲρ ὅσων ἂν αὐτός τε κατὰ σαυ

τὸν ἐθέλῃς, κατὰ τὸν νοῦν ἄγει τὸ δαιμόνιον. πολιτείαν δὲ φεῦγε μάλιστα πάντων, ἡμᾶς ὁρῶν. ὃς ἡνίκα μακαριστὸς εἶναι ἐδόκουν πᾶσιν, τότε τούτοις ἐμαυτῷ σύνοιδα μάλιστα ἀνιωμένῳ. εἰ δ᾽ ἐξὸν σοι κατ᾽ ἐμαυτὸν εἰκότα πάσχειν φαίνομαι, μοναρχίας ὀρεχθεὶς ἑκὼν, ὑπὲρ πατρίδος δέον σοι πολιτευομένῳ, καὶ δημοκρατίας, οὐδὲν ἀπαντήσεσθαι δυσχερὲς οἴει, τὸ μὲν καθ᾽ ἡμᾶς ἄφες νῦν. εἰς δὲ σαυτὸν ἀπενὲς βλέψον ὦ Στησίχορε, καὶ κατανόησον. οὐ γὰρ ὑπὲρ βελτιόνων τὶς οὐδὲ καθαρωτέραν ὁδὸν σου βαδίσας, ἥψατο πολιτείας. ἀλλὰ μὲν λόγισαι κατὰ σαυτὸν, οἷα μὲν πρὸ τούτων ἔπαθες, οἷα δ᾽ ἐμέλλησας παθεῖν, εἰ μὴ τοιοῦτος ἐχθρὸς ἦμην ἐγώ. καίτοι καλόν γε, καὶ εὔροντι, εἰ κατ᾽ οὖρον φέρηται παρὰ τῆς τύχης, μὴ πάντα ποιεῖν αὐτὸν ἐπὶ τῇ τύχῃ. καὶ γὰρ σὺ νῦν αὐτὸς, οὔτε τύραννος ἱμεραίων, οὔτε ἐχθρὸς πᾶσιν, ὥσπερ ἡμεῖς. ἀλλ᾽ ἐν πολιτείαις τοῖς φίλοις, ὡς ἐνόμιζες αὐτὸς, δι᾽ οὓς ἐχθροὺς ἔχεις ἡμᾶς. κἀγὼ μὲν, οὐκ αὖ τυραννήσας, παρόν μοι νῦν αὐτῶν, διὰ σὲ, τοῦ σοῦ στοχαζόμενος. ἀγ᾽ ὅμως λόγισαι κατανοήσας, πόσα ἄττα πέπονθας ὑπ᾽ αὐτῶν. εἰ γ᾽ βούλει, τὸν ὑπὸ τῶν πολιτῶν, ἀγαθὰ μὲν πλεῖστα πεπονθότα, κακὸν δὲ μηδὲν, μήτε μὴν ἀρχαῖς ἐστηθέντα καθάπερ σὺ, σκέψαι. καὶ μάθοις ἄν. ὡς ἀνὴρ ἐκεῖνος ὅστις τῶν κοινῶν ἀφέμενος, τῶν ἰδίων προέστηκεν. καὶ ὃς οὐκ ἄλλο τι οἴεται τὸ ἑαυτοῦ πράσσειν, ἀλλ᾽ ἢ σκοπεῖν, ὅπως μάλιστα ἡσθήσεται.

Τῷ αὐτῷ.

μ Η φρόντιζε ὦ Στησίχορε, τῆς ἀβούλου τε ἀειφαύτου πρός με κατηγορίας. μὴ δ᾽ οὖν ἀχθεσθῇς, εἰ τὴν καθ᾽ ἡμῶν ἐπιβουλῆς τὴν αἰτίαν, εἰς σὲ ἀναφέρειν, καὶ τὰ σὰ κάλλιστα ἐπηξίουν. παρ᾽ ὅσον μὲν γὰρ ἦλθον μὲν ἐν ἡμέρᾳ κινδύνου, καὶ σὺ οἶσθα

μηδὲν

μηδὲν δὲ ἡμῶν ἀνήκεστον παθόντων, ἥδεσθαι προσήκουσι κατά γε τὴν
ἐκείνων αἰτίαν μᾶλλον, ἢ ἀνιᾶσθαι. τῆς γε ῥώμης ἕνεκα τῶν ποιη-
μάτων, ὅσοι πνέουσιν αἱ θεαὶ, καὶ ἡμῶν περιόντων, εἴσοι ἄρα τί
μέλλομεν. ἃ παρεξήτακας γὰρ κατὰ μέλη, πλέον, ἢ κατὰ
λύραν δυνάμεως ἔχειν. καὶ Φάλαριν μεῖζον ἢ κατὰ τυραννο-
κτόνους. ἡμεῖς δὲ παρακινδυνεύσαντες ἐσχάτως, καὶ εἰς τύραννον
ὁρμήσαμεν, καὶ εἰς ἑταιρείαν ἐμείναμεν, καὶ οὐ μεμφόμεθά σε,
μελλήσαντες ἀναιρεθῆναι. μᾶλλον δὲ ἀναιρεθέντες. οὐ γὰρ εἰ καὶ
ἐτελέσθη τὸ ἄδικον βούλημα, Στησίχορος ἡμῖν παθεῖν ταῦτα ἐπῃ-
νέσατο. οὐ μὲν γὰρ ἴσως εἰπὼν, κόσμῳ θεοφιλεστάτῳ, τυραννο-
κτονεῖν ἐπαινεῖς, καὶ οὐκ ἀποτρέπομεν, εἴ τις θαυμάσει τὸν λό-
γον ἀλλ' οὐ Φάλαριν. ἀνδροφονεῖν γάρ ἐστι τὸ τοιοῦτον, ἀλλ' οὐ τυ-
ραννοκτονεῖν. οὐ γὰρ οἴεσθαι, ἄρχομαι πεῖρα παθών. οὐδὲ Εὐρι-
πίδης, οὐδ' ἄλλος ἐπιφανὴς ἀνὴρ οὐδὲ εἷς, ἀλλ' οὐδὲ ὁ σωτὴρ ἐν ἡ-
μῖν Ζεὺς, ἐνέμφυσεν ἐν τῷ ἱερῷ καρτερῶς. Εὐβούλου, καὶ Ἀρι-
φάντου, δυοῖν ἀδίκοιν εἰς δίκας ἐγγυόμην. τὸν τύραννόν με περιε-
σώσατο. κόνων τε ὁ καταπορνευθεὶς, καὶ Θεαγόρας ὁ τοὺς ὀλέθρους ἡ-
μῖν μηχανησάμενος, καὶ Ἀντιμήδης, καὶ Περικλῆς, καὶ ὅσοι δὴ τού-
τοις παραπλήσιοι, ἀνῃρέθησαν ὑπ' ἐμοῦ, τῷ δικαιοτάτῳ τῶν ἀ-
μώνης νόμῳ, οὓς εἰ μὴ καὶ τοσαύτης ἐξουσίας εἰχόμην, ἀποθανεῖν
ἂν εἱλόμην ἀντιτιμωρησάμενος. λέγ τωσάν με μιαιφόνον, ἄθεον,
ἐναγῆ, τύραννον πολλοῖς πεφυρμένον, καὶ ἀνηκέστοις μιάσμασι.
καὶ τούτων, ἂν δεινότερόν τι εἰπεῖν καθ' ἡμῶν ἔχωσι, μὴ φειδέσθω-
σαν. ἐπαινοῦντες γάρ με, διαβάλλειν ἐοίκασι πρὸς τοὺς χρηστοὺς
οἱ πονηρότατοι. ὧν οἱ μὲν, ἐπυρώθησαν ὑφ' ἡμῶν, ἔμφρουροι τῷ
(ταύρῳ. οἱ δὲ ἀνε-

σκολοπισθῶσιν, ἔνθα ἔμελλον ἐμπρόσωποι ἔσεσθαι τοῖς λοι-
ποῖς, μηδὲν καθ' ἡμῶν πεπονθότες κακόν. ἄλλοι δ' ὅσοι διεφθάρη-
σαν. τινὲς δ' ἄκρα περιεκόπησαν, καὶ κατὰ τροχῶν ἐλυμάνθησαν. καὶ
κεφαλὰς ἄλλοι περιεσκυθίσθησαν. οἱ δ' ὡς ἔτυχεν ἀδικίας προάρ-
ξαντες, ὀλέθρου πικροῦ κατὰ δίκην ἐνεφορήσαντο. δι' οὓς ὁμο-
λογοῦμεν ἀναστῆναι τύραννοι, καὶ οὐκ ἀρνησόμεθα τῆς πονηρῶν μο-
ναρχίας ὀρεχθῆναι. οὐδὲ παυσόμεθά ποτε τῆς ὠμότητος, καὶ ἀπαν-
θρωπίας. πρὸς δὲ τοὺς χρηστοὺς ὅμοιοί γ' ἐσμὲν ἄρχοντες, οἷοί περ ἐγε-
νόμεθα πρὶν ἄρξαι. μὴ δὴ δόξῃς ὦ Στησίχορε κατ' ἐμοῦ τι τῶν ἐπῶν,
ὅταν τῆς δυναστοῦ γραφῆς ἐπιπνευσθῇς. ὑποδέχου δὲ ἄσμενος τὰς
θεὰς, δι' ἡμᾶς μηδὲν τῶν ἐπινοιῶν ἡκόντων ἀποδιοπομπούμε-
νος. ἴσθι γὰρ ὡς μηδεὶς τυραννοκτονήσει Φάλαριν ἔξω τῆς ἰδίας
μοίρας, κἂν ἀπὸ νεότητος ἔχωμεν καθ' ἑαυτῶν, ἐὰν καὶ τὰ τῶν ὑμνο-
πόλων σπισθῇ μέλη. ὅθεν ἥκουσαν αὐτὴν ἀναγκαίως ὁπόταν θέ-
λῃ, ὡς ὀφειλομένην ἑαυτοῖς ὁμοίως ὑποδεξόμεθα. τοῖς δὲ περὶ δοῦ-
λον τυραννοκτόνοις, ἐπεὶ παρὰ ταύτην ἐπεχείρουν, ἆθλα ἀ-
πεδώκαμεν, οὐχ ἃ παρὰ νόμων προσήκει ἀνδράσι κενὴν δόξαν θη-
ρωμένοις τῇ καθαιρέσει μονάρχου, ἀλλὰ παρὰ τυράννου, πλέ-
ον ἰσχύοντος νόμων. καταπειρέντες γὰρ εἰς τὴν ἱμεραίων θηρόβο-
τον ἄχρι τῶν στηθῶν, μετὰ πολλοὺς ἄλλους αἰκίας τρόπους, τῇ
λώβῃ διενυκτέρευσαν. σὺ δὲ ὡς ἐπὶ μήκιστον εὐτυχοίης. ἔρρωσο. καὶ
τὸ μὲν μηδὲν παθεῖν τοιοῦτον, οὐκ ἂν συνευξαίμεθά σοι· παρὰ
γὰρ τῆς ἰδίας δικαιοσύνης, τοῦτ' ἔχειν φαίνῃ σύ. ἀλλὰ μὴ δὲ δρᾶ-
σαί ποτε ἀνάγκην γένοιτο, Φάλαριν παραπλήσιον. μέλοι γε μὲν
δέ σοι μουσῶν εὐκλεεῖς πόνοι. πέμπε δὲ καὶ εἰς ἡμᾶς τῶν ποιη-
μάτων, ἃ τὰς παρούσας ἐπικουφήσει φροντίδας.

ἐνναίοις

Ἐνναίοις.

Ἐγὼ οἶμαι μὲν καὶ τῆς ἐλευθερίας ἐμαυτὸν αἴτιον ὑμῖν γεγο-
νέναι. ἀλλὰ περὶ μὲν τῆς ἐλευθερίας, οὐ μέμφομαι ὑμῖν
ἀχαρίστοις οὖσι. τὸ μέντοι ἀργύριον ὃ ἐδανείσασθε, ἀπόδοτε. καὶ γὰρ
αὐτὸς ἐν χρείᾳ εἰμὶ οὐ μετρίᾳ. καὶ περιπέμπω χρήματα δανειζό-
μενος εἰς ἅπασαν Σικελίαν. καὶ οἱ μὲν, ἐχαρίσαντο ἡμῖν ὥσπερ Λε-
οντῖνοι, καὶ Γελῷοι. οἱ δὲ, ὑπέσχηνται δανείσειν, ὡς ὑαλαῖοι καὶ Φιντι-
εῖς. τί ἂν οὖν πρὸς Διὸς αὐτοὶ ὑπολάβοιτε περὶ αὐτῶν, τηνικαῦτα
ἃ δεδάνεισθε μὴ ἀποδιδόντες, ὅτε καὶ ἄλλοι χαρίζονται τὰ αὐτῶν, μη-
δὲν ἀγαθὸν ὑφ' ἡμῶν πεπονθότες. εἰ δὲ πύθοιντο οἱ ὑπεσχημένοι χα-
ρίσασθαι, ὅτι αὐτοὶ τὸ κομίζεσθαι τὰ ὀφειλόμενα, τοῖς μηδὲν ὀφεί-
λουσι βαρεῖς ἐσμὲν, ἄρ' ἔτι δώσειν οἴεσθε αὐτούς; ἐγὼ μὲν γὰρ οἶμαι,
μὴ δὲ τοὺς δανείσειν ὑπεσχημένους, δανείσειν ἔτι. ἀλλ' ἐνθυμηθήσε-
σθαι, ὅτι ὁ μὴ ἀναπραττόμενος τὰ αὐτοῦ παρὰ τῶν ὀφειλόντων, οὗ-
τος ἀποτίνειν τοῖς δανείσασιν οὐ βουλήσεται. ταῦτα τοίνυν ἐν-
θυμηθέντες, εἰ μὴ ἀποτίνητε, αἰδέσθητε. εἰ δὲ μὴ ταῦτα
ἀνύσειεν, εὖ ἴστε, ὅτι εὑρήσομεν, ὃ ἐπαναγκά-
σει ὑμᾶς, εἴπερ οἷόν τε ἐπαναγκα-
ζομένους τὰ δί-
καια ποιεῖν,
ἐστίν.

Τέλος τῶν Φαλάριδος ἐπιστολῶν.

Πυθαγόρας Ἱέρωνι.

Σφαλὴς ὁ ἐμὸς βίος καὶ ἥσυχος. ὁ δὲ σὸς, κατ' οὐδὲν ἐμοὶ προσπελάζει. μέτριος ἀνὴρ καὶ λιτοδεὴς, σικελικῆς τραπέζης οὐ δεῖται. πάντῃ ἔχει Πυθαγόρας ἱκανὰ τὰ καθημέραν οὗ ἂν ἔλθῃ. θεραπεία δὲ δυνάστου, βαρὺ καὶ ἐπαχθὲς τῷ μὴ εἰθισμένῳ. μέγα καὶ ἀσφαλὲς αὐτάρκεια. οὔτε γὰρ ἔχει τὸν φθονήσοντα, οὔτε τὸν ἐπιβουλεύσοντα. διὸ καὶ δοκεῖ εἶναι ἐγγυτάτω θεοῦ ἡ διαγωγή. διάθεσις ἀγαθὴ, οὐ γίνεται ὑπὸ ἀφροδισίων, οὐδὲ ὑπὸ ἐδεσμάτων, ἀλλ' ὑπὸ τῆς ἐνδείας ἀγούσης πρὸς ἀνδρὸς ἀρετήν. ἡδοναὶ δὲ ποικίλαι καὶ ἀκρατεῖς, δουλοῦνται ψυχὰς ἀσθενῶν ἀνθρώπων. πολὺ δὲ μάλιστα ὧν σὺ ἀπολαύεις. διὸ καὶ ἐπιδίδως σαυτὸν εἰς τὰ τοιαῦτα. αἰωρῇ γὰρ καὶ οὐ δύνασαι σώζεσθαι. λόγος γὰρ ὁ παρὰ σοῦ οὐκ ἐναντιοῦται τοῖς ἀσυμφόροις. μὴ οὖν κάλει Πυθαγόραν συμβιωσόμενόν σοι. οὐδὲ γὰρ οἱ ἰατροὶ αἱροῦνται τρὶς νοσοῦσι συγκάμνειν.

ΜΙΘΡΙΔΑΤΗΣ ΒΑΣΙΛΕΙ ΜΙΘΡΙΔΑΤΗ, ΤΩ ΑΝΕΨΙΩ ΧΑΙΡΕΙΝ.

Τὰς Βρούτου ἐθαύμασα πολλάκις ἐπιστολάς. οὐ μόνον δεινότητος καὶ συντομίας χάριν, ἀλλὰ καὶ ὡς ἡγεμονικοῦ φρονήματος ἐχούσας χαρακτῆρα. ἐοίκασι γὰρ οὐδὲν νομίζειν καλὸν, εἰ καὶ μὴ μεγαλοψυχίας ἔχοιτο. ἐγὼ δ' ἀπορεῖ τῶν τοιούτων φρονῶ λόγων, οὐδ' ἐν τῷδε ἀξιῶ διαμφισβητεῖν. ἀποφαίνοντος δέ σου δυσαπλείτως αὐτὰς ἔχειν, ᾠήθην δεῖν πεῖραν ποιήσασθαι τῆς ἀντιγραφῆς, καὶ πειράσασθαι λόγοις, οἵους εἰκὸς ἦν ἕκαστον ἀποκρίνασθαι τῶν ἐπεσταλκότων. ἦν δὲ δυσεύρετος ἡ ἐπιβολὴ, κατ' ἄγνοιαν τῆς τότε περὶ τοὺς πολλοὺς τύχης τε καὶ γνώμης. οὐ μὴν ταύτῃ γε ἀνῆκα τὴν ὁρμήν· ἀλλὰ τὰ μὲν ἐξ ἱστοριῶν ἐπιλεξάμενος. τὰ δὲ ταῖς δευτέραις καὶ τρίταις ἐπιστολαῖς ὑποσημαίνεσθαι περὶ τῶν προτέρων συνεὶς, οὐχ ἥκιστα παρέζευξα, τὸν ἐξ ἐπινοίας κατάλογον. φύσει δέ πως δυσχερὲς ἀκριβαίνειν, τὸ εἰς ἀλλοτρίαν συνδραμεῖν εὐστοχίαν, ὁπότε καὶ ἰδίαν χαλεπὸν ἀναλογίσασθαι. ὁ γοῦν Βροῦτος, μυρίας ὡς εἰκὸς ἄνδρα πολλοῖς ἔθνεσι διαπολεμοῦντα, διαπρεσβευσάμενος ἐπιστολὰς, ἐπειδίας, εἴ τέ τινος τῶν εἰς ταῦτα μισθοῦ δοκίμων, μόνας ἐξέδωκε τὰς εὐφόρως γραφείσας, διὰ τὸ ἀρκέσαι ταῖς ὀλίγαις μόλις τὴν διόρθωσιν. ὁπότε οὖν ἐκεῖνος ἠσθένησεν ἑαυτὸν ἐν πᾶσι μιμήσασθαι, πῶς οἷόν τε ἡμᾶς, ἑτέρῳ ἐξομοιωθῆναι, καὶ τῇ κατὰ σφᾶς ὁμοτονῆσαι προθέσει. ἀλλά πως γλυκὺ πάθος ἐλπὶς, οὐ τῇ ἐπι-

τυχία δὲ λειάζουσι μόνον, κολακεύουσι δὲ καὶ τὸ ἀπόλισμα. δ'
ἦν οὐδενὸς ἄλλου λείπεσθαι δικαιῶ μάλιστά σοι χαρίζεσθαι. ἐπεὶ
κἀκεῖνό με οὐ λέληθεν, ὅτι ὁ μὲν ἐν ἄλλοις ἀνδράσι ἢ δήμοις γράφων,
εἰκότως ἑνὸς δέξεται χαρακτῆρος. ὁ δὲ ὑπὲρ πολλῶν διαλεγό-
μενος, ἐὰν μὴ ἀλλάσσῃ τὸν τύπον, ἀποπεπλανῆσθαι δόξει τοῦ
σκοποῦ. τῇ δὲ αὐτῇ προσέχων ἰδέᾳ, καὶ ἀπίθανος φανήσεται, καὶ
ἔωλος. ἔτι πρὸς τούτοις ἐνθυμητέον, ὡς ἡγεμόνες μὲν ἴδια οἷον-
ποιοῦσί τινες τὰ γέμοντα ὑπεροψίας, ἐπιστέλλουσι τοῖς ὑπηκόοις. ἡμῖν
δὲ αὐθάδης ἀντιγραφή, κατὰ γνῶσιν ὡς ἠλιθίοις φέρει. τὸ δὲ τα-
πεινὸν, οὐκ ἔστιν ἀνάλογον πρὸς τὴν ὁμοίαν ἀπήχησιν. ὅμως δ' οὖν
τὰ δυσχερῆ, καὶ ὑπὲρ τοσαῦτα ὄντα προσεκλογισάμενος, οὐδὲν ἧτ-
τον ὑπέστην τὸ ἔργον βραχὺ μὲν ἐμαυτοῦ γύμνασμα συντάξας. σοὶ δὲ,
οὐ μέγα κτῆμα. ἀλλὰ τοῖς πολλοῖς τάχα καὶ δυσκαταφρόνητον. ἐθέ-
λει γὰρ τὰ πρὸ τῆς πείρας θαυμαστὰ, μετὰ τὴν ἐκ τοῦ συντελέσ-
ματος γνῶσιν, ῥᾴδια εἶναι παραθεωρεῖσθαι.

Μιθριδάτου συναγωγὴ τῶν Βρούτου ἐπιστολῶν

Βροῦτος Περγαμηνοῖς.

α Κούω ὑμᾶς Δολοβέλλᾳ δεδωκέναι χρήματα. ἃ εἰ μὲν ἑκόντες ἔδοτε, ὁμολογεῖτε ἀδικεῖν με. εἰ δὲ ἄκοντες, ἀποδείξατε, τῷ ἐμοὶ ἑκόντες δοῦναι.

Περγαμηνοὶ, Βρούτῳ.

χ Ρήματα Δολοβέλλᾳ μὲν ἔτι δυσποροῦντες, ἐβιάσθημεν παρασχεῖν. σὺ δὲ ὑμᾶς δοῦναι θέλοντας ᾔτηκας, ὅτι δυσπλήρωτον ἐν ἀπορίᾳ τὸ πρόθυμον.

Βροῦτος

Βροῦτος Περγαμηνοῖς.

τ Α χρήματα ἡμῖν εἰς ὃν ἐπετάξαμεν καιρὸν μὴ πέμψαντες, οὐδὲν ἄλλο, εἰ μὴ τὸ δοκεῖν μετὰ τοῦ βεβιάσθαι ταῦτα πράξειν ὠφέλησθε. ὥστε διχόθεν ὑμᾶς βεβλάφθαι, καὶ τῷ τὰ ἀναλώματα κατ' ἴσον ὑπομεῖναι, δώσετε γὰρ τοσοῦτο κάκιον, ὅσῳπερ ἄκοντες, καὶ τὴν, ἣν εἰκὸς ἀντὶ τῶν ὑπουργηθέντων φέρεσθαι χάριν ὑμᾶς, ἀφῄρησθε. οὐ γὰρ χρὴ τὴν τῶν προθύμων ὑπηκόων παρρησίαν νέμεσθαι, τοὺς οὐκ ἄν, εἰ μὴ μετὰ ἀνάγκης, ταῦθ' ἡμῖν παρασχόντας.

Περγαμηνοὶ Βρούτῳ.

ε Ι ῥᾴδιος ὁ πορισμὸς ἦν, οὐκ ἂν περιεμείναμεν βραδυτῆτι διαβαλεῖν τὴν χάριν· τί γὰρ δὴ ὄφελος, τοῖς καὶ ἀρνήσονται βιασθησομένοις, ἐὰν μετὰ μελλήσεως ἀμφότερα ζημιωθῶσι· καὶ διδόντες τὸ ἀνάλωμα, καὶ τὴν ἀμοιβὴν ἀπολέσαντες. ἀλλ' ἴσθι, ὅτι τὸ μὲν τάχος, περιουσίας ἔργον ἐστίν. ὁ δὲ χρόνος, σπουδῆς ἐκνικῆσαι βιαζομένης ἀπορίαν. οὐδὲ δίκαιον τὴν τῶν παρὰ δύναμιν ἐπεκτανθέντων κακοπραγίαν, ἔλαττον φέρεσθαι, τοῦ οὐκ ἄν, εἰ μὴ ὑπὸ εὐπορίας ταχυνάντων.

Βροῦτος, Περγαμηνοῖς.

τ Α χρήματα ὑμῶν ἐκόμισαν οἱ πρέσβεις. ὡς μὲν πρὸς τὴν ᾐτιᾶσθε ἀσθένειαν, πλείω. ὡς δὲ πρὸς τὴν ᾐτούμεθα χρείαν, ὀλίγα. φυλάττεσθε οὖν μὴ καὶ δύνησθε πλεῖον οὗ προσποιεῖσθε. καὶ βούλεσθε ἔλαττον, οὗ δύνασθε.

Περγαμηνοί, Βρούτῳ.

ε Π έμψαμέν σοι χρήματα, εἰ καὶ τῆς σῆς ἐλάττονα χρείας, ἀλλ' οὖν τῆς ἑαυτῶν ὑποσχέσεως πλείονα. παρῃτούμεθα μὲν δή, ὡς μικροτέραν ἢ βουλόμεθα ἔχοντες. ἐπορίσαμεν δέ, ὡς πλεῖον, ἢ δυνάμεθα σπουδάσαντες.

Βροῦτος, Περγαμηνοῖς.

δ Ολοβέλλας, ἔστιν ἡμῖν μὲν πολέμιος. ὑμῖν δὲ φίλος· ὧ

ἕως ἄπορον καὶ καθ' ἡμῶν ὑπουργεῖσθε. πείθονται αὖ ἔπειτα, τοῖς τὰ αὐτὰ ἐκείνῳ ἑλομένοις, εἰ μὴ ἀλόντας ἴσα πολεμίοις πάσχειν. οὐδὲ γὰρ μετάνοιαν δοτέον τοῖς οὐ πρὶν, ἢ ἐς τὸ παντελὲς καμεῖν, μετανοοῦσι.

Περγαμηνοὶ, Βρούτῳ.

τ Ης μὲν πάλαι πρὸς Δολοβέλλαν φιλίας, οὐκ αἴτιος, ὅ γε ἡμῖν ἐπιστέλλων. ἀνάγκη γὰρ τὰς ἐκείνου κολακείᾳ ἐπιταγάς, πρὶν ἥκειν, πρὸς ὃν ἀπεκλίνομεν. τὴν δὲ εἰς τὸ μέλλον μετάνοιαν, μὴ ἀφαιροῦ, τῶν εἰ καὶ βραδέως, ἀλλ' οὖν ὅταν δύνωνται τὸ ἀγνοηθὲν διορθούντων.

Βροῦτος, Περγαμηνοῖς.

ψ Ἡ ψήφισμα ὑμέτερον, οἱ πρέσβεις ὑμῶν ἀπεκόμισάν μοι ἐν Ἀβδήροις, τὴν ἀπὸ Ἰταλίας στρατιὰν ἐπισκοπουμένῳ. δεξάμενος δὲ, τῆς μὲν βραδυτῆτος ὑμᾶς ἐμεμψάμην. Περγαμηνοὺς γὰρ ταῦτα φρονεῖν ἐκ πολλοῦ ἂν ἐβουλόμην, ὡς ἔδει. ἐπῄνεσα δὲ τῆς εἰς τὰ ἄλλα προθυμίας, καὶ τῆς δωρεᾶς τῶν διακοσίων ταλάντων. δι' ἧς πάλαι ἄκοντες, δοῦναι Δολοβέλλᾳ τὰ πεντήκοντα ἐπεδείξατε.

Περγαμηνοὶ Βρούτῳ.

κ Αἰ τάχιον ἐφρονοῦμεν, ἃ προσῆκον ἦν. ὡς νῦν οὐ βραδέως ἀλλ' ἡνίκα δυνατὸν διεγίγνετο ἡμῖν, τὰ εἰκότα συντελοῦμεν. οἱ τοῦν ἐν περιουσίᾳ μὴ πλεῖον Δολοβέλλᾳ πεντήκοντα δόντες ταλάντων, τετραπλασίονα σοὶ, καίπερ ἐνδεόμενοι συνεισφέρομεν. ὅπως μάθῃς, ὅσον ἑκούσιος ὑπουργία πενομένων, τοὺς ἀβουλήτως ἐν εὐπορίᾳ βιασθέντας ὑπεραίρει.

Βροῦτος Ῥοδίοις.

ξ Ἀνθίους ἀποστάντας χειρωσάμενοι, ἡβηδὸν ἀπεσφάξαμεν. τήν τε πόλιν κατεπρήσαμεν. παταροῦσι δὲ προσ-

θεμένοις

θεμένοις ἡμῖν, τῶν τεφόρων ἄφεσιν ἐδώκαμεν. ἐλευθέρους δὲ καὶ αὐτονόμους αὐτοὺς εἶναι συγχωρήσαντες, εἰς ἐπισκευήν τε τῶν ὑπὸ τοῦ χρόνου καταλελυμένων παρ' αὐτοῖς, πεντήκοντα τάλαντα ἐχαρισάμεθα. ὑμῖν οὖν βουλευομένοις περὶ ἑαυτῶν, πάρεστιν ὁρᾶν ὅτι, εἴτε χρὴ πολεμίους ἡμᾶς, ὥσπερ Ξάνθιοι, εἴτε φίλους καὶ εὐεργέτας, ὃν τρόπον πατέρες αἱρεῖσθαι.

Ῥόδιοι Βρούτῳ.

ὁ Υκη εἰ σὺ βαρέως τοῖς ἐλευθεριάσασι Ξανθίων προσηνέχθης, ἤδη καὶ ἡμεῖς τοὺς τῇ δουλείᾳ δικαιωθέντας μιμησόμεθα πατέρας. ἀλλ' ἐκείνων μὲν ἀπευξάμενοι τὴν τύχην, πειρασόμεθα τῆς εὐνοίας ἔχεσθαι. τούτους δὲ μεμψάμενοι τῆς γνώμης ζηλώσομεν, τὴν ἀπὸ τῶν λημμάτων ἐνδοξοτέραν ἡγούμενοι, τὴν μετὰ κινδύνων ἐλευθερίαν, τῆς μετὰ τοῦ κερδαίνειν αὐτομολίας.

Βροῦτος Κῴοις.

ῥ Οδος μὲν ἤδη δεδούλωται κατὰ κράτος. πόλις αὐθαδέστερον αἰθομένη τῆς οἰκείας ἰσχύος μᾶλλον, ἢ βεβαιότερον. Λυκία δὲ ἡμῖν ὑπήκοος πᾶσα. ἡ μὲν πολέμῳ καμοῦσα, ἡ δὲ ἐκ τῆς ἀνάγκης ὠφελημένη τὸ ἀβίαστον. ἑκόντες γὰρ εἵλοντο, ἃ μετ' οὐ πολὺ ἔμελλον μὴ βουλόμενοι. καὶ ὑμεῖς οὖν αἱρεῖσθε. ἢ πολέμῳ βιασθέντες δοῦλοι, ἢ ἑκουσίως ἡμᾶς δεξάμενοι, φίλοι γενέσθαι.

Κῷοι Βρούτῳ.

ὁ Υτε ἡ Ῥοδίων ἅλωσις ἐξέπληξεν ἂν ἡμᾶς, μὴ τὰ σὰ φρονοῦντας, οὔτε ἡ Λυκίων εὐπραξία μετὰ κολακείας ἔπεισεν. ἐλπὶς γὰρ καὶ φόβος, ἐν φίλοις μὲν ἀξιόπιστα. ἐν δὲ τοῖς ἀλλοτριουμένοις εὐκαταφρόνητα. ἀλλ' ἡμεῖς ἀνωθεν ἤδη προσχωροῦντες, καθ' ὃν ἀρχόμεθα. ἐγκαλοῦμεν, ἢ ἀπειλῆς, ἢ ὑπεροχῆς γεγονέναι κτῆμα, εἴ χε

οὖν ἡμᾶς ὑπόδειγμα φιλίας πρὸς ἄλλους μᾶλλον, ἢ ἑτέρων ἐφ' ἡμᾶς προσδέου.

Βροῦτος, Κῴοις.

ὀ Ὑδὲν οὔτε θαλάττης ἀδυνεῶν. οὔτε ἀγεωργήτου γῆς ὄφελος. πτήσατε οὖν περὶ τὰ σκάφη. ὡς εἰ τῶνδε ἔητε ἄποροι, μηδὲν ἠπειρωτῶν πλέον ἐκ θαλάττης ὀνησόμενοι.

Κῷοι Βρούτῳ.

κ Αἱ γεωργίαν ἐστὶν ὅτε ἢ ναυτιλίαν ἐμποδίζει καιρός. ἀλλ' οὔτε γῆς ἀποστεροῦνται οὔτε θαλάττης, οἱ φύσει ταῦτα ἔχοντες. οὐ γὰρ ἴσον τῷ μηδόλως κεκτῆσθαι, τὸ κἂν ἐλλείπῃ ποτὲ εἰς τὴν χρείαν δυσδιόρθωτον.

Βροῦτος, Παταρεῦσιν.

δ Ἀμάσιππον ῥοδίων ναύαρχον, μετὰ τὴν ῥοδίων ἅλωσιν φυγόντα, μετὰ δυεῖν καταφράκτων, ἐπυθόμην περὶ ἑρμοδώρου τοῦ σαμίου ἐμπόρου πεφευγέναι ἐν τῷ μεταξὺ ὑμετέρῳ λιμένι. κατασχεθῆναι μὲν οὖν αὐτὸν ἐκεῖσε, οὐδὲν ἁμάρτημα ὑμέτερον ἡγοῦμαι εἶναι. κατασχεθέντα δὲ εἰ περαιτέρω τι τῶν ὑμῶν ἀποδρᾶναι ἐάσετε, καὶ ἀδικίας, καὶ ἀνανδρίας ὑμῶν καταγνώσομαι.

Παταρεῖς, βρούτῳ.

ε Ἴθαττον ἡμῖν ἑρμόδωρος ἢ σοὶ, περὶ τοῦ ναυάρχου προσήγγειλεν, οὐκ ἂν ὥσπερ εἰς πλεύσας ἔλαθε δαμάσιππος, οὕτω δὴ καὶ ἀπαίρων διέφυγεν. ἀλλὰ μέρος αὖ τῆς ῥοδίων ἁλώσεως ἐγένετο. νυνὶ δὲ σύγγνωθι τῷ τέλει τῆς ἀγνοίας, ἧς ὑποτίμησιν ἐπὶ τὴν ἀρχὴν δέδωκας. οὔτε γὰρ ἀδικίας ἔργον τὸ λαθόντα καταδέξασθαι, οὔτε ἀσθενείας, τὸ ἐκδιδράσκοντα ἀγνοῆσαι.

Βροῦτος Καυνίοις.

ε Ὑ νοεῖν μὲν ἡμῖν πρεσβευόμενοι προσποιεῖσθε. τὰ δὲ ἔργα,

εἰς

εἰς οὐδὲν ὧν ἔχειν ἑαυτοῦ δοκοῦντας ἐλέγχει. ὁρᾶτε οὖν, μὴ καὶ ὑμεῖς τῇ διὰ τῶν ἔργων πεισθέντες δυσμενείᾳ μᾶλλον ἢ τὴν ἐκ τῶν λόγων ἡδονὴν θηρώμενοι, ὡς ἐχθροῖς ὑμῖν προσενεχθῶμεν.

Καύνιοι πρὸς ταῦτα.

ὀ Υδὲν θαυμαστὸν εἰ πρεσβεύοιτο ὑπὲρ εὐνοίας ἐν ταῖς ὑπουργίαις, καταδεέστεροι δὲ χρείας ἐλεγχόμεθα. ἐκεῖνο μὲν γὰρ ἑαυτοῦ δοκούντων ἔργον· τοῦτο δὲ ἀσθενούντων. διὸ χρὴ τὴν ἐκ τῆς προθυμίας διάθεσιν μᾶλλον, ἢ τὸ ἐν τοῖς ἔργοις ὑποδεὲς σκοποῦντας, φίλους νομίζειν, τοὺς καὶ ἃ μὴ δυνάμεθα σπουδάζοντας.

Βροῦτος Λυκίοις.

ὅ σα παρ᾽ ὑμῖν ἐστὶ μηχανικὰ ὄργανα τειχομαχίας, ἢ ναυμαχίας, ταῦτα εἰς Καῦνον διαπέμψατε Κασσίῳ τῷ συνάρχοντι ἡμῶν πολιορκοῦντι Ῥόδον, θᾶττον ἡμερῶν τριάκοντα, ἀφ᾽ ἧς ἂν ἡμέρας τὴν ἐπιστολὴν ταύτην δέξησθε. ἵνα μὴ τοῖς κατ᾽ ἐκείνων ἡμῖν παρεσκευασμένοις, ἀναγκασθῶμεν χρήσασθαι καθ᾽ ὑμῶν.

Λύκιοι πρὸς ταῦτα.

ὀ Ξείας τῶν τῆς γῆς ἀπείλησις μία, τὸ ῥαδίως ὑπουργῆσαι. διὸ πειρασόμεθα φθῆσαι τοῖς ἔργοις, τὴν ἀπὸ σοῦ προθεσμίαν. ἐπεὶ καὶ σοῦ ταῖς ἀπειλαῖς τὴν παρ᾽ ἡμῶν ὑπόσχεσιν ἔφθακας. εἰ δὴ μέντοι τὰ ὄργανα μὴ ἄχρηστα φανῆναι διὰ παλαιότητα, ὡς ἐν τοῖς Ῥοδίων εὑρήσεις ἐπ᾽ ἄλλους ἄχρηστα.

Λυκίοις Βροῦτος.

ἀ Ι μηχαναὶ ὑμῶν μετὰ τὸν πόλεμον ὡς ἡ παροιμία ἐκομίσθησαν. ἀλλ᾽ ὑμᾶς γε ἐπαινοῦμεν. οὐ γὰρ ὑστερήσατε, εἰς ἣν ἐκελεύσαμεν προθεσμίαν. καὶ Κάσσιος δὲ ἔφθασεν.

Λύκιοι πρὸς ταῦτα.

α Αἱ σοὶ τάχιον ἐλπίδος νικᾶν συμβαίνοι. καὶ ἡμῖν δὲ ῥᾷ

δίου ταῦτα γὰρ ὑπουργεῖν, εἰ μέλλεις τοὺς συμμάχους, ἐξ ὧν αὐτὰ τυχύνῃ Κάσιος ἀποδέχεσθαι. Λυκίοις, Βροῦτος.

ξ Ξάνθιοι τὴν ἐμὴν εὐεργεσίαν ὑπεριδόντες, τάφον τῆς ἰδίας ἀπονοίας ἐσχήκασι τὴν πατρίδα. Παταρεῖς δὲ πιστεύσαντες ἑαυτοὺς ἐμοί, οὐδὲν ἐλλείπουσι διοικοῦντες τὰ καθ' ἕκαστα τῆς ἐλευθερίας. ἔξον οὖν καὶ ὑμῖν, ἢ τὴν Παταρέων κρίσιν, ἢ τὴν Ξανθίων τύχην ἑλέσθαι. Λύκιοι, πρὸς ταῦτα.

ξ Ξανθίοις μὲν συναχθόμεθα τῆς συμφορᾶς, ἣν πρόστιμον ἀνοίας ἔχουσι, τῷ μὴ ἢ μετανοῆσαι δύνασθαι, Παταρεῦσι δὲ συνήδθημεν, σωφρόνως ἅμα καὶ εὐτυχῶς ἑλομένοις, ἃ ἔμελλε συνοίσειν. αὐτοὶ δὲ οὐχ οὕτως ἠλίθια φρονοῦμεν, ὥστε παρὸν ἐν φίλοις ἀριθμουμένοις εὐτυχεῖν, τὴν τῶν δι' ἔχθραν κεκολασμένων ἀτυχίαν ἑλέσθαι. Βροῦτος Λυκίοις.

ξ Ξανθίων τοὺς διαφυγόντας οἱ ὑποδεξάμενοι ὑμῶν, οὐδὲν μετριώτερον πείσονται Ξανθίων. Παταρεῦσι δὲ καὶ Μυρεῦσι, καὶ Κωρυκίοις, καὶ Φασηλίταις, κἂν ἄλλοι τι εὖ ποιεῖν ὑποδεξάμενοι αὐτοὺς ἐθέλωσιν, ἐπιτρέπω, ἵνα τὸ ὀρθῶς αὐτοὺς βεβουλεῦσθαι, φίλους ἡμᾶς, ἀλλὰ μὴ πολεμίους ἑλόμενοι, ἔργῳ αἴσθωνται ὁρῶντες Ξανθίους. Λύκιοι πρὸς ταῦτα.

ο Οὐδὲ αὐτοὶ Ξανθίους ὑποδέξασθαι ἐγνώκαμεν, εἰ κοινωνεῖν τῆς συμφορᾶς μᾶλλον ἢ τοῦ κουφίζειν μέλλομεν αὐτοῖς τὸ ἀτύχημα. ἐοίκασι δὲ κἀκεῖνοι παραλιπόντες, τοὺς μηδὲν ὀνήσαντας ἡμᾶς, Παταρεῦσι καὶ Μυρεῦσι καὶ Φασηλίταις καὶ Κωρυκίοις, ὡς βεβαιοτέροις προσφεύξεσθαι βοηθοῖς. δῆλον γὰρ πεποίηκας ὦ Βροῦτε, οὐδὲ ὀργὴν ἐλαύνων τοὺς φυγάδας ἐκ Λυκίας. ὑπὸ δὲ χρηστότητος διδάσκων, πίστιν ἤδη οἱ αὐτοὺς χαρίσῃ.

Βροῦτος.

ὁ Ἰ πεμφθέντες παρ' ὑμῶν περὶ τὴν συμμαχίαν, ἀπήγγειλάν μοι τὰς ναῦς ὑμῶν ἄρτι κατασκευάζεσθαι· εἰ δὲ εἰς τὸν τοῦ πολέμου καιρὸν παρασκευάζεσθε, τί χρήσεσθε ταῖς παρασκευαῖς, οὐκ οἶδα. τί γὰρ πλέον ὄφελος ἰσχύος ἀκαίρου, ἧς παντελὴς ἀσθένεια τὸ ἄχρηστον. Κῷοι πρὸς ταῦτα.

τ Οὓς μὲν ἰδίους ποιούμεθα καιρούς, ὅτι μακρόθεν τῆς χρείας προευτρεπίζεσθαι δεῖ τοὺς γε τῶν συμμάχων, οὐ ῥᾴδιον συνιδεῖν, εἰ μὴ πρὸ πολλοῦ τις καταγγέλλοι. τὴν μέχρι παρασκευὴν, μὴ νόμιζε ἄχρηστον εἶναι εἰς τὸ βραδύ· καὶ εἰς τὸ παρὸν ἐλλείπει. σώζεται γοῦν τοῦτο ἀκραιφνὲς εἰς τὰ μέλλοντα. Βροῦτος, Καυνίοις.

ἁ Ι μὲν κατ' ὄψιν ὑπουργίαι τῶν κώων, κολακείας καὶ φόβου τὸ πλέον μεμοίρανται· τὸ δὲ προθύμως εἰς ὃ ἂν ποιῇς ἄλλο μὲν ὑπακούειν, πολλὴν ἐνδείκνυται βεβαιότητα. καὶ ὑμεῖς δὴ ὑπὲρ ὧν ἔγραψα μὲν διεσκέψασθε. πότερον ὑμῶν καὶ τὰς ἄλλας ὑπουργίας δι' ἀνάγκην ἅπασας ἢ δι' εὔνοιαν χρὴ δέχεσθαι. πίστις γὰρ αὐτάρκης τῆς βεβαιότητος ἀεὶ φανεῖται, τὸ διηνεκῶς ὑμῶν εἰς τὰς χρείας ἕτοιμον. Καύνιοι, πρὸς ταῦτα.

π Ιστις εὐνοίας, οὐ τὸ συνεχῶς ὑπουργεῖν. τοῦτο γὰρ μόνης ἰσχύος ἔργον. ἀλλὰ τὸ μὴ ὀκνεῖν, ἐν οἷς αὐτῆς δυνατὸς ἦ καιροῖς. ἡμεῖς δὲ εἰ ἐμέλλομεν ἐκ τῶν ἐλλειμμάτων τὴν παλαιὰν σπουδὴν ἀποστεῖσθαι, μάτην ἂν ἡγησαίμεθα καὶ τὰ πρότερα μεμοχθηκέναι. οὐδὲ γὰρ εἰκὸς τότε ἡμᾶς πεπλάσθαι τὴν πρὸς σὲ φιλίαν· ἣν φόβος μὲν καὶ ἀποῦσαν πάντως ἂν ἐκολάκευσε· κολακεία δὲ καὶ παροῦσαν ἂν διεψεύσατο. Δαμᾷ Βροῦτος.

ὅ πλων καὶ χρημάτων χρεία. ἢ πέμπε, ἢ ἀποφαίνου.

ε Υπορούντων ἔργον, τὸ πέμψαι, πενομένων δὲ, τὸ ἀποφαίνεσθαι. Βροῦτος, Κυζικηνοῖς.

γ Α ἀπὸ Βιθυνίας ὅπλα ἦγα πέμψατε μέχρις Ἑλλησπόντου, ἢ κατὰ γῆν ὑποθέμενοι, ἢ κατὰ θάλατταν. ἀθροισθείη δ' ἂν αὐτοῖ, τοῦ χρόνος αὐτῶν κομιδῆς. εἰ μέντοι βραδύτερον ἢ δεῖ, ἡμῖν ἔλθοι, ὡς ἂν εἰ καὶ παραπεμφθείη, ἢ καὶ ὑπὸ πολεμίοις γένηται, ὑφ' ὑμῶν ἠδικῆσθαι δόξομεν. Κυζικηνοὶ, Βρούτῳ.

π Αρα πέμψαι τὰ ὅπλα, καὶ κατὰ γῆν, διὰ τοὺς πολεμίους, καὶ κατὰ θάλατταν διὰ τοὺς χειμῶνας, χαλεπόν. μάλιστα σοῦ τὰ ἐναντιώτατα συνάψαντος, τάχος καὶ ἀσφάλειαν. ὅμως δὲ σπουδῆς οὐδεμιᾶς λειψόμεθα, ἐὰν τὰ ἐκ τῆς τύχης συμβησόμενα, μὴ τοῖς ἀόκνως ὑπηρετήσασι προστεθῇ.

Κυζικηνοῖς Βροῦτος.

ε Κομίσθη τὰ ὅπλα, καὶ εἰς ὃν ἐβουλόμεθα καιρόν. τῆς οὖν λειτουργίας ταύτης, ἐνδέοντι γενομένης, ἀντιδίδομεν ὑμῖν τὴν προικόνησον, σὺν ταῖς ἐν αὐτῇ λιθουργίαις.

Κυζικηνοὶ Βρούτῳ.

ο Υτε κέρδους ἐλπίδι ἐσπεύσαμεν ἀποστεῖλαι, οὔτε εἰς τὰ λοιπὰ ὀκνηρῶς ἐμέλλομεν ἔχειν, ἐπαινεθέντες ἀμισθί. ὅμως ἀξιούμενοι δωρεᾶς, ἡδόμεθα τῇ σῇ μαρτυρίᾳ πλέον, ἢ ταῖς προικονησίων λατομίαις. Κυζικηνοῖς, Βροῦτος.

ο Ι πρέσβεις ὑμῶν συνέτυχόν μοι ἀπιόντι ἐπὶ τὸν πόλεμον. καὶ παρεῖσθαι τῆς συμμαχίας ἱκέτευον, ἀσθένειαν αἰτιώμενοι, καὶ τὸ ἀπορεῖν τὰ κοινά. δίκαιον μὲν οὖν ἦν, πλησίον ἤδη τῆς χρείας οὕτως ἐπειγούσης, ἢ εἰ πρότερον οὐκ ἔδοτε, κἂν νῦν ἐπὶ

πέμψαι. πλέον γὰρ ἂν ἐτίμα τὴν λειτουργίαν ὑμῶν ὁ καιρός. ἐπεὶ δ' ἐοίκατε τοῖς καλλίω τοῦ πολέμου προλαβεῖν ἐλπίδι, τῇ μὲν ἀσθενείᾳ ὑμῶν, ἢ καὶ πάθει, ἥδομαι. τοὐναντίον γὰρ ἠχθέσθην ἄν, ἀκούων ἰσχύειν ὑμᾶς κακοὺς ὄντας: τοὺς δὲ ἄνδρας ὑμῶν, συμμάχους μὲν οὐκέτι, ὑπουργοὺς δὲ ἥκοντας ἕξω. λέληθε δ' ὑμᾶς οὐδαμῶς, ὡς δεινὸν ἂν εἴη τοῦ πολέμου μετασχεῖν νίκης, εἰ γένοιτο, τοὺς γὰρ ἐφ' ἑαυτοῖς, εἰς πᾶσαν ἡμᾶς ἀσθένειαν προδόντας.

Κυζικηνοί, Βρούτῳ.

τ Ὁ σπουδάζειν ἡμῶν, οὐκ ἐξ ὧν πολλάκις ὑπουργήσαμεν μόνον, ἀλλὰ καὶ τοῖς παρὰ σοῦ δωρεαῖς μαρτυρηθέν, ἐδόκει πιστεύεσθαι. ἐπεὶ δὲ τοῖς κατὰ προαίρεσιν οὐχ ἅπαντες ὁμονοοῦσιν οἱ καιροί, τί δεῖ μὲν ἐχθρὰς ἀριθμῆσαι, τὴν περὶ ἀσθένειαν. πᾶν δὲ αὐτὸ τοὐναντίον, μιᾶς ὑποληπτέον μεγαλοψυχίας, τὸ πολυωρεῖν τοὺς ὀρθῶς διανοηθέντας. ἣν συγγνώμην ὑπερτιμήσει χαρίζεσθαι. οὐδὲ καὶ προσεφήδεσθαι τῆς ἀδυναμίας ἔφης ἡμῖν. ὥσπερ οὐχὶ σοὶ ἐλλείπειν μέλλοντος, ὅσον ἂν ἡμῖν ἐνδέῃ. τοὺς μὲν οὖν ἄνδρας, εἴτε συμμάχους, εἴτε ὑπουργοὺς θέλεις, οὐ διοισόμεθα γὰρ περὶ τῶν ὀνομάτων, ἅπαντας, ἡμεῖς δ' εἰ ἀπεγνώκειμεν τὰς εἰς τὸν πόλεμον ἐλπίδας, οὐκ ἂν ἐθεραπεύομεν αὐτὰς ὡς πρεσβευόμενοι. νῦν δὲ τὰ βέλτιστα εὐχόμενοι περὶ σοῦ καὶ νίκην δία προσδοκῶντες, εἰ ἄρα τῶν ὠνίων ἀπελαθησόμεθα ὡς ἐχθροί, τῆς γοῦν χαρᾶς μεθέξομεν ὡς φίλοι.

Σμυρναίοις, Βροῦτος.

τ Ὁ πρόθυμον τῶν ὑπηκόων διηνεκὲς μὲν ὄν, βεβαιότητα δηλοῖ πρὸς τοὺς ἡγεμόνας. ἐλλεῖπον δὲ, καὶ τὸν ὅτε χρήσιμος ὑπουργεῖ χρόνον, δι' ἀσθένειαν ἐλέγχεται τὴν ἑαυτοῦ μᾶλλον, ἢ γνώμην ὑπουργεῖν. σπουδάσατε οὖν ἐκπληρῶσαι, ὅσα ὑμῖν ἐπι-

μὲν ἐπέστειλα πρὸς τὸν πόλεμον· ὡς ἐνίων καὶ οἱ φανεῖσθε, μὴ δ' ἣν πρόσθεν ἐποιήσασθε μαρτυρίαν, ἐπιοισόμενοι. οὐ γὰρ χρὴ δοκεῖν ἔχειν τὰ ἴσα, μὴ ὁμοίους ἀεὶ φανέντας. Σμυρναῖοι πρὸς ταῦτα.

ε Τύχης ἔργον, τὸ δυνηθῆναι συνεχῶς· καιροῦ δὲ, τὸ ἐνίοτε μὴ ἀρκεῖν. τὰς δ' ὑπουργίας, οὐ μόνον αἱ ἀσθένειαι τῶν κελευσθέντων, ἀλλὰ καὶ ἡ συνήθεια τῶν ἐπιταγῶν ἐλλιπεῖς ποιεῖ. ἡμεῖς δὲ εἰ πάλαι διὰ φόβον ἐλειτουργοῦμεν, οὐδ' ἂν νῦν ἐτολμῶμεν ἀρνεῖσθαι. ἀλλὰ πᾶν τοὐναντίον ἢ δοκεῖ συμβέβηκεν. ἐσπούδασε μὲν γὰρ ἡ γνώμη τότε. ὑποτιμᾶται δὲ νῦν ἡ ἀσθένεια. ὥστε ἄτοπον εἰ τοῖς ἐλλείμμασιν, αἱ ὑπουργίαι διαβληθήσονται μᾶλλον, ἢ ταῖς ὑπουργίαις παρηγορηθήσεται τὸ ἔλλειπον. Βροῦτος, Μυρεῦσιν.

ζ Ἀνθ' οἱ ἁλόντες, ἐλεεῖσθαι ὑφ' ἡμῶν ἱκέτευον. ἦν δ' οἶμαι χαλεπὸν, τοὺς διὰ τὰς ἐλπίδας τοῦ πολέμου κοινωνοῦντας, φεύγειν τὰ πάθη. καὶ τὴν ἐκ τῆς νίκης ἡδονὴν θηρωμένους, ἴση χρῆσθαι τῇ διαμαρτίᾳ πρὸς τὸ ἄλυπον. καὶ τούτους οὖν, ἐπιτηδείους παντελοῦς ἀπωλείας ἐθέμεθα, καὶ τοῖς ἄλλοις ἀποκηρύττομεν εἰ μὴ εὐθέως ἡμᾶς δέχοιντο, μηδενὶ τὴν ἡμετέραν γνώμην ἐπιεικεστέραν, τῆς ἐκείνων τύχης ἔσεσθαι. Μυρεῖς πρὸς ταῦτα.

ο Τὸ δὲ Ξανθίους μὲν ἔδει σωτηρίας ἀποτυχεῖν, ἧς τάχα ἂν καὶ αὐτοὶ μετέδωκαν τοῖς ἐναντίοις εἰ ἐκράτησαν· ὥσπερ γὰρ ἡ τοῦ νικᾶν ἴση τοὺς πολεμοῦντας ἐλπὶς ἐξαίρει, οὕτω καὶ τὸ τῆς ἥττης πάθος, εἰς κοινὸν ἔλεον ἔρχεται διὰ τὸ ἀνθρώπινον. καὶ πρὸς τοὺς λοιποὺς δὲ προσακτικὴν εὐνοίας ἴσθι τὴν χρηστότητα. ἀπειλὴ μὲν γὰρ ἐχθρὰν ποιεῖ, καὶ πρὸς τὰ οἰκεῖα, διὰ τὴν ἐκ τῶν φόβων ἀπόγνωσιν. ἐλπὶς δὲ καὶ τοὺς διαφόρους εἰς εὔνοιαν πεπιστευμένην ἤδη προσάγεται.

η Συμμαχία ὑμῶν ἧκεν, ἤδη νενικηκόσιν ἡμῖν. τοῦ μὲν οὖν μὴ δόλως, τὸ βράδιον ἀφικέσθαι ἄμεινον. πρὸς μέντοι τὴν τοῦ πολέμου ὑπουργίαν, ὁμοίως ἐστὲ ἄχρηστοι. ἡ γὰρ ἐν πολέμῳ βραδυτής, ἴσον ἔχει τῷ μηδόλως γινομένῳ τὸ ἄπρακτον.

Μυρεῖς πρὸς ταῦτα.

σ Υνήθη μέν σοι τὸν πόλεμον νικήσαντι θᾶττον, ἢ τὴν παρ' ἡμῶν συμμαχίαν, καίπερ μετὰ σπουδῆς ἐκπεμφθεῖσαν, παραγενέσθαι. πρὸς μέντοι τὴν εὔνοιαν οὐδὲ ἡμεῖς ἄπρακτοι ἤλθομεν. οὐδὲ γὰρ ἴσον τῷ μηδόλως κινηθέντι, τὸ καιροῦ ἑνὸς ὑστερήσῃ, πρὸς τὰ λοιπὰ ἕτοιμον.

Βροῦτος, Μιλησίοις.

ο Υτε χρημάτων πένεσθε πόλις συγγνωστόν, ἐκ πολλοῦ γὰρ ὀφείλεις φυλάττεσθαι τὸ ἄπορον. τὸ δὲ ἐν τοσούτῳ πλήθει, μὴ δ' ἄνδρας ὑμᾶς ἔχειν γενναίως ἀγωνιουμένους, παντελῶς ἐστε οὐ τύχης ἐνδεεῖς, ἀλλὰ δὲ σωτηρίου γνώμης ἐλεγχόμενοι. εἰ δὲ μήτε τὰ εἰς ἀρετὴν ἀσκεῖτε, μήτε ὅσα πρὸς ἰσχὺν πράσσειν ἀναγκάζεσθε, ἀδίκως ἐστὲ πόλις λεγόμενοι.

Μιλήσιοι, πρὸς ταῦτα.

κ Αὶ χρημάτων, καὶ στρατιωτῶν ἐνδεῖν αἰσχρόν, οὐ τοῖς μὴ εἰς ἰδίαν καθεστῶσι χρείαν. πολὺ δὲ μᾶλλον τοῖς εἰ καὶ οἴκοθεν εὐποροῖεν, διὰ γοῦν τὸ μὴ ἐπαρκεῖν, ἄλλων προσδεομένοις. ἡμεῖς δέ, τῆς γνώμης ἕνεκα, ἕως δὴ εἰς τὸ δεῦρο τύχης, ἀρκοῦμεν πόλις εἶναι. μέχρι τοῦ, εἰ καὶ μὴ ἑτέροις ἐπαρκεῖν, ἀλλ' οὖν μηδὲ τῶν πέλας χρῄζειν.

Βροῦτος Μιλησίοις.

ε Ι μέν ἐστιν ὑμῖν ὅπλα ἐν κοινῷ, μὴ χρώμενοι τούτοις, ἁμαρτάνετε. μία γὰρ ἰσχὺς ὅπλων, τὸ χρῆσθαι. εἰ δὲ καὶ δὴ κατα

σκευῆς αὐτῶν ἀμελεῖτε, μεμφθέντες ἂν εἰ καὶ ἔχοντες μὴ ἐχρῆσθε, πόσῳ μεμπτότεροι μηδὲ ἔχοντες.

Μιλήσιοι, πρὸς ταῦτα.

ὀ Υ τὰ ὅπλα ἰσχὺς ἀνδρῶν, ἀλλὰ τῶν ὅπλων οἱ ἄνδρες. ἐκεῖνα μὲν γὰρ δίχα τῶνδε, ἄπρακτα· οἵδε, καὶ ποιῆσαι αὐτὰ, καὶ χρήσασθαι αὐτοῖς δύνανται. οὔτε ὧν εἰ ἄπεστιν ὅπλα ἐνδεῖ τοῖς ποιῆσαι αὐτὰ δυναμένοις, οὔτε χρήσιμα τυγχάνει, τοῖς καὶ ἔχουσι, χρῆσθαι μὴ δυναμένοις.

Βροῦτος, Τραλλιανοῖς.

ἐ Ι μὲν ἐν τῇ ὑμετέρᾳ στρατοπεδεύειν Δολοβέλλαν ἀνεχόμενοι, οἴεσθε μηδὲν ἀδικεῖν με, οὐκ ὀρθῶς φρονεῖτε. εἰ δὲ νομίζετε ὧν ἂν τοὺς πολεμίους ἀφελώμεθα, τούτων ὑμῖν ὡς ὄντων οἰκείων παραχωρήσειν, αὐτίκα πλανᾶσθαί μοι δοκεῖτε. ἢ εἴργετε οὖν αὐτὸν τῆς σφετέρας, ἢ ὅλως μὴ δι᾽ ὑφ᾽ ἡμῶν ἀδικεῖσθαι φάσκετε, ὧν ἂν ἔχειν αὐτοὶ Δολοβέλλαν ἀφελόμενοι, ἀλλὰ μὴ ὑμῖν παραχωρεῖν ἀξιῶμεν.

Τραλλιανοὶ πρὸς ταῦτα.

κ Αἱ Δολοβέλλας ἐν τῇ ἡμετέρᾳ στρατοπεδεύει, καὶ πᾶς ὁ μετ᾽ ἐκεῖνον βιαζόμενος, ἴστω μὴ ἕξων αὐτὴν δορύκτητον. οὐ γὰρ εἰ στρατηγῶν ῥωμαίων σύμμαχοι ὄντες, μὴ εἴργομεν τῆς ἑαυτῶν, ἤδη καὶ τοῖς πρὸς ἐκεῖνον διαφερομένοις, ἆθλον αὐτὴν πολέμου κατηγγείλαμεν. ἀλλ᾽ ὃς ἂν ἀκόντων ἡμῶν εἰς βιάζηται, δείξομεν ἔργῳ· ἢ Δολοβέλλαν μὴ ἂν ἄλλως, εἰ μὴ ἑκόντων στρατοπεδεύεσθαι.

Βροῦτος, Τραλλιανοῖς.

κ Αἱ πρόσθεν ὑμῖν ἐπέστειλα, ὅτι ἁμαρτάνετε, Δολοβέλλαν ἐν τῇ ὑμετέρᾳ στρατοπεδεύειν περιορῶντες. τὸ παρὸν ἴστε. εἰ μὲν ὡς οἰκείας αὐτῷ παραχωρεῖτε, οὐδ᾽ ἂν εἰ πρὸς ἡμῶν ἀφαιρε-

θείητε

θέλητε, ὧν ἐκείνῳ ὡς ἀλλοτρίων ἐξέστητε, ἡμῖν ὡς ἰδίων ἀντιποιησόμενοι. εἰ δὲ ὡς φίλῳ ἐν τῇ ὑμετέρᾳ στρατοπεδεύειν δίδοτε, κοινωνεῖν αὐτῷ καὶ τοῦ πολέμου τύχης ἀρξάμενοι, οὐδὲ ἡμῖν ἀκούσιοι πολέμιοι φανεῖσθε.

Τραλλιανοὶ πρὸς ταῦτα.

ε. Δηλώσαμέν σοι καὶ πρότερον περὶ Δολοβέλλα. καὶ νῦν ἴσθι, ὅτι οὔτε ἐν ἰδίᾳ στρατοπεδεύει πόλει. ἔστι γὰρ ἡμετέρα. οὔτε εἴ τις αὐτὴν ἀφέλοιτο ἄλλος, συγχωρήσομεν ἀκόντων ἔχειν. ὅτι τὰ παρ' ἡμῶν ἐπιτραπέντα βιάσαιτο. εἰ δὲ ἀδικοῦμεν καὶ ἡμεῖς τῷ πολέμῳ τύχης αὐτῷ κοινωνεῖν, αἱρετώτερον ἄρχουσι χειρῶν ἀντιπρᾶξαι, ἢ σύμμαχον ἄνδρα ἐξείργοντας ἀκουσίως Ῥωμαίοις ἐχθροὺς φανῆναι.

Βροῦτος τοῖς αὐτοῖς.

ἠ. Γγέλθη μοι Μηνόδωρον ὑμέτερον πολίτην, ξένον καὶ φίλον Δολοβέλλα τῷ ἡμετέρῳ πολεμίῳ, καὶ πρότερον ὑμᾶς μὴ εἴργειν αὐτὸν ἐν τῇ ὑμετέρᾳ στρατοπεδεύειν πεῖσαι. καὶ νῦν ὅπως καὶ αὐτὸν, καὶ τὴν στρατιὰν αὐτοῦ, τῇ πόλει δέξησθε συμβουλεύειν. ἐγὼ δὲ, ὡς μὲν οὐδὲν ὀνήσει Δολοβέλλαν, εἰ καὶ ταῦτα, καὶ ἔτι πλείω προσαχθείητε τούτων ποιῆσαι ὑπὸ Μηνοδώρου, ἢ καὶ εἴ τις ἄλλος πείσειεν, οὐκ ἀγνοῶ. οὐδὲ μὴν, ὅτε Μηνόδωρον, ἢ Δολοβέλλα φιλία καὶ ξενία. οὐ μὴν, ἀλλ' οὐχ ὅπως κολάσαιμί τινας σκοπῶν, ἐφεδρεύειν οἶμαι τοῖς ἑνὸς ἑκάστου ἁμαρτήμασιν. ἵνα μέντοι μηδὲν κολάσεως ἄξιον ἁμαρτεῖν ἀναγκασθῆτε. καὶ νῦν κελεύω ὑμᾶς Μηνόδωρον φυγαδεῦσαι καὶ τῆς πατρίδος, τοῦ ἰδίου λυσιτελοῦς ἕνεκα. εἰ δὴ λυσιτελεῖν ἔμελλεν αὐτῷ τὴν πατρίδα πωλοῦντι Δολοβέλλᾳ ἤ, μήτε τῇ πόλει δεδέχθαι, καὶ τῆς γῆς ἐξελάσαι. βιαζόμενον δὲ, ὅπλοις ἀμύνεσθαι. ἢ ἀπειθοῦντας, οὐχ ὑπὸ Μηνοδώρου, ταῦθ' ὑμᾶς οἰη-

σόμεθα προαχθέντας πεισθῆναι, ἀλλ᾽ αὐτοὺς Μηνοδώρῳ ταύτην ἀφορμὴν δοῦναι ἐθελοντάς. Τραλλιανοὶ πρὸς ταῦτα.

ὁ Ὑμηνόδωρος ὑποδέξασθαι τῇ πόλει Δολοβέλλαν, καὶ τὴν στρατιὰν αὐτοῦ, προηγάγετο ἡμᾶς, ὥσπερ οὐδὲ πάλαι στρατοπεδεύοντα περιορᾶν ἔπειθεν. ἀλλ᾽ οὐδὲ εἰ ταῦτα ἐπέπρακτο, ἡγούμεθα δοκεῖν αὐτῷ Μηνοδώρῳ, τοιαύτης ἀβουλίας ἀφορμὴν περιεσχῆσθαι. τάχιον δὲ τὴν πρὸς Ῥωμαίους ὁμολογήσαι μὲν συμμαχίαν, ἡμεῖς ἢ σὺ τοῖς περὶ ἡμῶν τὴν Δολοβέλλα ξενίαν ὑπερβαλεῖς. οἷς εἰ καὶ μηδὲν ὡς λέγεις ὄφελος οἴσεται ἡ πρὸς ἀλλήλους ὁμόνοια, μέγα γοῦν περιεγένετο αὐτῷ ἐκ τῆς πίστεως τὸ συνειδητόν. ὃ πλέον μέντοι καὶ φυγῆς δείας, οὐδέν τι τοῖς πράγμασι προσδεῖ. Μηνόδωρος δὲ συναπῆρε Δολοβέλλᾳ. μάλιστα, οὐχ ὡς ὑπερασπίζειν τὴν πατρίδα κεκωλυμένος, ἀλλὰ τὴν ἀρχὴν οὐδὲ νομίζων ἀδίκημα, τῷ φίλῳ συγκατασκευᾶσθαι τὰ ἐπιτήδεια. σὺ δ᾽ εἰ καλὸν ὑπολαμβάνεις, ὥσπερ καὶ ἔστι καλὸν, τὸ μὴ περιμένειν ποτὲ ἁμαρτάνοντας ἀμύνεσθαι, πολλῷ μᾶλλον οἰήθητι δεῖν μὴ προεξανίστασθαι τῶν διαβολῶν, ἀλλ᾽ ἐπὶ τῷ συμβησομένῳ τὴν κρίσιν τηρεῖν. ἐπεὶ δόξεις, οὐκ ἐφ᾽ οἷς ἂν μέμφῃ τοῖς πέλας, δυσμενῶς διατίθεσθαι. πρὸς οὓς δ᾽ ἂν ἔχθραν ἔχῃς, αἰτίας τούτοις ἐπιφέρειν. Βροῦτος, τοῖς αὐτοῖς,

χ Ῥήματα ὅσα Δολοβέλλας κατέθετο παρὰ Μηνοδώρῳ τῷ ἑαυτοῦ ξένῳ, εἴτε τινὰς ἄλλας παρακαταθήκας παρὰ τῶν τέκνων αὐτοῦ κομισάμενοι, τῶν διαδεξαμένων αὐτοῦ τὴν οὐσίαν μετὰ τὴν ἐκείνου φυγὴν, ἀντιπέμψατε πρός με. εἰ δὲ τι μὴ εἶναι φατὲ, αὐτοὺς τοὺς ἄνδρας πα[illegible], μετὰ τέκνων, καὶ γυναικῶν. οὐ γὰρ ἂν δίκαιον εἴη τοῖς τῶν ἐμῶν πολεμίων φίλοις καὶ ξένοις, περαιτέρω τοῦ μηδὲν αὐτοὺς παθεῖν, λυσιτελῆσαι τὴν ἡμετέραν ἐπιείκειαν.

Τραλλιανοὶ πρὸς ταῦτα.

ὁ Ὑπε Δολοβέλλαν ἐν τοῖς διαπονηροτάτοις τοῦ πολέμου καιροῖς, ἀπεθησαυρίσαμεν παρακαταθήκας εἰκὸς, οὔτε Μηνόδωρον ἀπαλλαττόμενον ἐκ τῆς πατρίδος, οἳ οὔτε καταλιπεῖν οἴκοι, τὰ τῆς φυγῆς ἐφόδια. τὸ μέντοι γε ἀναπέμπειν πρὸς σὲ, ἢ τὰ μὴ ὄντα χρήματα, ἢ τοὺς ἀναιτίους ἀνθρώπους τὸ μὲν, ἀδύνατον· τὸ δὲ, ἄδικον· οὐ γὰρ ἄξιον τοῖς ἡμετέροις πολίταις διὰ τοὺς σοὺς πολεμίους, μέχρι συμφορᾶς ἀλυσιτελῆσαι τὴν παρ' ἡμῶν ἐὰν πεισθῶμεν προδοσίαν. Βροῦτος Βιθυνοῖς.

μ Ἠδενὶ δοκείτω χαλεπὸν, εἰ πολλὰ εἰσπραττόμεθα, πολλῶν δεόμενοι· τούτων γὰρ ἡμεῖς ἔργα ἀποδίδομεν. εἰ δὲ τὸ τῶν εἰσφορῶν πλῆθος βαρύνεσθε, μεμνῆσθαι χρὴ ὅσοι ξένοι σὺν τοῖς διδομένοις ὑφ' ὑμῶν ἀναλίσκονται. παντὶ γὰρ δῆλον, ὡς τοῦ παρασκευαζομένου, ὁ ταῖς παρασκευαῖς τοῦ πολέμου χρώμενος, πλεῖον κάμνει. ἄλλως τε καὶ ὑμῶν μὲν τῆς οἰκείας φροντίδος ἑκάστῳ· ἡμῖν δὲ τῆς ἁπάντων προνοεῖν ἀνάγκη. Βιθυνοὶ πρὸς ταῦτα.

ὁ Ὑχ' ὅσων δεῖ δαπάναις συμβέβηκεν ἤδη τὸ ἡμῖν τοσούτων εὐπορεῖν περίεστι. γνοίης δ' ἂν δι' ὅσων ἀθροίζεται τὰ παρασκευαζόμενα καμάτων, ἐξ ὧν αὐτὸς ἀναλίσκων αὐτὰ κοπιᾷς. καίτοι τὸ μὲν ὑπὲρ ἄλλων συνεισφέρειν μετὰ πόνου, καὶ ἀλυσιτελὲς φαίνεται. τὸ δὲ ταῖς ἑτέρων παρασκευαῖς χρῆσθαι μετ' ὠφελείας, ἐστὶ ῥᾴδιον. εἰ δὲ ὑπὲρ πολλῶν φὴς κακοπαθεῖν, καὶ ἀπὸ πλειόνων σοι πλειστέον. οὐ γὰρ οἷόν τε ἡμᾶς δύνασθαι τοὺς περὶ μόνων ἑαυτῶν φροντίζοντας, ταῖς ὑπὲρ ἁπάντων εἰσφοραῖς ἐξαρκεῖν. Βροῦτος τοῖς αὐτοῖς.

ἀ Κύλλαν τὸν ἐμὸν φίλον ἔπεμψα πρὸς ὑμᾶς κατασκευάσοντά μοι ναῦς στρογγύλας πεντήκοντα, καὶ μακρὰς διακοσίας

σαύτας δὲ πυνθάνομαι καὶ Δολοβέλλᾳ ὑμᾶς παρεσχῆσθαι. ὀρθῶς οὖν ποιήσετε, ναύτας καὶ ἐρέτας εἰς ταῦτα τὰ πλοῖα, ἄχρις ἂν εἰς ἐμὲ ἀνακομισθῇ, παρασχόντες τῷ Ἀκύλᾳ. τε σιτηρέσιον τούτοις μηνῶν τεσσάρων. τῶν δὲ εἰς τὴν ναυπηγίαν δεόντων ξύλων, καὶ περὶ τούτων παρακομιδῆς ἐπὶ θάλασσαν, καὶ τεχνιτῶν, οὓς οἶδα, ὅτι οὐδὲν ἀμελήσετε, μηδὲ Δολοβέλλᾳ ἐλλείποντες.

Βιθυνοὶ πρὸς ταῦτα.

ὀ Υκ ἔτι Δολοβέλλας ἔφθασεν ἁρπάσας, τοῦτ' ἤδη καὶ σοὶ λαβεῖν εὔπορον καταλέλοιπεν. οἷς γοῦν ἐκείνῳ πεντήκοντα τε ἑκατὸν ναῦς, ὡς οὐ πλείονας δυνάμενοι παρασχεῖν βιασθέντες, πῶς οἷοί τε ἂν εἴημεν σοί τε ἴσας ἐξ ἀπόρων ναυπηγῆσαι, καὶ μάλιστα σὺν ἐρέταις καὶ ξύλοις τε ναυπηγοῖς, ἅ τε ἅπαξ εἰσενεγκεῖν χαλεπόν. δὶς δὲ, τε ἀδύνατον. σιτηρέσιον μὲν γὰρ οὐδὲ Δολοβέλλας ἡμῖν, ἅτε μηδ' εἰ κεκελευκὼς παρασχεῖν δυνησομένοις, ἐπήγγελλε. σύγγνωθι οὖν, ἡμῖν τε πρὸς σὲ ἀπόροις γενομένοις, τοῖς τε πρὸς ἐκεῖνον ὑπουργῆσαι μὴ δυνηθεῖσιν.

Βροῦτος, τοῖς αὐτοῖς,

ἐ Γραψέ μοι Ἀκύλας, πολλήν τινα ὑμῖν ῥαθυμίαν ἐγκεῖσθαι, περὶ εἰς τὰ πλοῖα ὑπουργίας. ἐγὼ δὲ ἐκεῖνον σφόδρα ἐμεμψάμην περὶ ἀνεξικακίας, πειθόμενον ἐπιστολαῖς μοι ταῖς καθ' ὑμῶν, ἃς καθ' ἑκάστην πέμπων οὐ παύεται, δεῖν μᾶλλον ἢ νεῶν, καὶ εἰσὶν τοῖς κατ' αὐτοὺς πρεσβείαις δέον. οὐ γὰρ οἷόν τε διὰ τούτων ἐκείνας καταρτισθῆναι. ὑμᾶς δὲ ὑπομνῆσαι μὲν ἂν ἡδέως, τε νῦν, καὶ ἔπειτα, τοῦ μὴ ἄκοντας ἡμῖν, ἀλλ' ἑκόντας, καὶ εἰς ταῦτα τε εἰς τὰ ἄλλα πάντα ὁμοίως συναγωνίζεσθαι. καὶ ὅτι τοῦ ἄκοντας ὑπηρετεῖν, ἄμεινόν ἐστι τὸ ἑκόντας. ἐκ τῶν προόντων γε, καὶ περὶ ἐκείνων ῥᾴδιον τεκμήρασθαι.

Βιθυνοὶ

Βιθυνοὶ πρὸς ταῦτα.

ἀ Κύλας ὁ κατήγορος ἡμῶν, τῆς ὀλιγωρίας μᾶλλον, ἢ μάρτυς φαίνεται τῆς ἀσθενείας. εἰ γοῦν ἀμελοῦντας ἀληθῶς ἐπέγνωσεν, οὐκ ἂν παρὸν βιάσασθαι τὴν ὀλιγωρίαν, περὶ αὐτῆς σοι ἐπέστειλεν. ἄλλως τε μὴ δὲ ἡμῶν πρεσβεύεσθαι μελλόντων, καὶ τά σοι διακονούντων πρὸς τὸν πέμψαντα. νυνὶ δὲ Ἀκύλας μὲν σου οἶδε τὸ τῆς χρείας ἀδύνατον. σὺ δὲ δι' ἀπειλῆς λύσειν νομίζων τὸ ἄπορον, ἀδίκως ἅμα καὶ ἀνωφελῶς χαλεπαίνεις. οὔτε γὰρ ἐλπὶς οὔτε φόβος χορηγίας αἴτιον, ἀλλὰ τὸ δύνασθαι.

Βιθυνοῖς Βροῦτος,

ὁ Ι ἄκοντες ἡμῖν ὑπηρετοῦντες, οὐχ ἃ μὴ βούλονται παρέχειν κερδαίνουσιν. ἀγαπητὸν γὰρ ἦν αὐτοῖς τοῦ τόγ. ἀλλὰ τὴν ἐπ' ἐκείνοις χάριν, ἥτις ἂν αὐτοῖς ὠφείλετο ὑφ' ἡμῶν, ἀποβεβλήκασι. κατασκευάσαντες οὖν τὰς ναῦς, ὃν τρόπον ἐπεστείλαμεν σοι, τοῖς ἐρέταις, καὶ τῷ ὀφειλομένῳ σιτηρεσίῳ, πέμψατε. ἢ ἀναγκασθήσεσθε οὐκ ἐπὶ τούτοις ἄχθεσθαι, ἀλλ' ὧν ἂν ὑπολίπωμεν χάριν ἡμῖν εἰδέναι.

Βιθυνοὶ, πρὸς ταῦτα.

ὁ Ι βιαζόμενοι τοὺς ὑπουργεῖν μὴ ἰσχύοντας, οὐχ ἃ προστάττουσιν, ὠφελοῦνται. ἡ δὺ γὰρ ἂν ἦν μὴ γένηται χρείας, ἢ οἱ ἐν ἀπειλῇ. ἀλλὰ τὸ δοκεῖν μὴ εὐγνώμονες εἶναι ζημιοῦνται. ἔξεστι γὰρ τῇ ἀνάγκῃ πρὸς τὸ ἄπορον. καὶ εἰ μὴ διὰ φιλανθρωπίαν τῇ ἐν δείᾳ συνέγνωσαν, ἡμεῖς μὲν οὖν τάχιον ἂν εὐπορήσαιμεν, ἢ ὑπὲρ ἰσχὺν ἠρνησόμεθα χορηγεῖν ἔχοντες. σὺ δὲ, εἰ πλέον οἴει περιέσειν ἀφ' ἡμῶν διὰ βίας, ἴσθι μὴ ὧν ἂν παραλίπῃς, ἀλλ' ὧν ἂν χρήσασθαι δυνηθῇς χάριν ἡμῖν περιέξων.

Βροῦτος, τοῖς αὐτοῖς.

τ Α πλοῖα ἐγὼ πάντα, ὅσων μοι ἔδει ἐν θαλάσσῃ ἔχω, πα

ραζόντων μοι Μακεδόνων, καὶ Λεσβίων, καὶ Φοινίκων. ὑμεῖς μὲν οὖν ἐπεὶ παρὰ τοὺς χειμῶνας αἰφνιδίως ἐπιπεσόντας ὑστερήσατε, πεντακόσιά μοι τάλαντα εἰς τὸ ἐπιβατικὸν αὐτῶν συγκομίσατε. νομίζω γὰρ εἰς μηδὲν ὑμῖν τούτων, αἴτιον τὸν χειμῶνα γεγονέναι. ἐθελησάντων δὲ ὑμῶν, ἐνοχλήσειν.

Βιθυνοὶ πρὸς ταῦτα.

ὁ Μὲν χειμὼν διεκώλυσε τὴν ναυτικὴν ἡμῶν συμμαχίαν. ἡ δὲ ναυτικὴ παρασκευή, ἐξανάλωσε τὰ χρήματα. ὥστε ὑμᾶς εἰ καὶ μὴ σοί, ἀλλ' οὖν αὐτοῖς γε δαπανηρῶς μεμοχθηκέναι. τῆς οὖν χρείας ὑπ' ἄλλων πεπληρωμένης, αἰτούμεθα συγγνώμην. βραδύναντες μὲν διὰ τύχην. ἀποροῦντες δὲ διὰ τὸ ἀνάλωμα. οὐ γὰρ δυνατὸν ἡμῖν τὰς ναῦς ποιῆσαι χρήματα, ὡς ἐκ τῶν χρημάτων ναῦς.

Βροῦτος, τοῖς αὐτοῖς.

α Ι βουλαὶ ὑμῶν ὀλίγωροι. αἱ ὑπουργίαι βραδεῖαι. τί τὸ τέλος τούτων, ἐννοεῖσθε.

Βιθυνοὶ πρὸς ταῦτα.

β Ουλεύεσθαι μὲν ὀκνηρῶς, ἀσφάλεια. ὑπουργεῖν δὲ βραδέως, ἀσθένεια. τούτων ἀμφοτέρων ἓν τέλος, συγγνώμη.

Τέλος τῶν Βρούτου ἐπιστολῶν.

ΕΠΙΣΤΟΛΑΙ ΑΠΟΛΛΩΝΙΟΥ ΤΟΥ ΤΥΑΝΕΩΣ.

Ἀπολλώνιος. Εὐφράτῃ.

ε Μοὶ πρὸς φιλοσόφους ἐστὶ φιλία· πρὸς μέντοι σοφιστὰς, ἢ γραμματιστὰς, ἤ τι τοιοῦτο γένος ἕτερον, ἀνθρώπων κακοδαιμόνων, οὔτε νῦν ἐστὶ φιλία. μήτε ὕστερόν ποτε γένοιτο. τάδε μὲν οὖν οὐ πρὸς σὲ, πλὴν εἰ μὴ καὶ σὺ τούτων εἷς. ἐκεῖνα δὲ καὶ πάνυ πρὸς σέ. θεράπευε σοῦ τὰ πάθη. καὶ πειρῶ φιλόσοφος εἶναι, καὶ μὴ φθονεῖν τοῖς ὄντως φιλοσοφοῦσιν. ἐπεί σοι καὶ γῆρας ἤδη πλησίον, καὶ θάνατος.

Τῷ αὐτῷ.

η Ἀρετὴ, φύσει, μαθήσει, κτήσει, χρήσει. δεῖ μὲν ἕκαστον αὐτῶν εἰ τῶν προειρημένων ἀποδοχῆς ἄξιον. σκεπτέον εἴ τις σοὶ τούτων ἐστὶν, ἢ σοφιστείας παυστέον λοιπὸν, ἢ προῖκα χρηστέον αὐτῇ πρὸς τοὺς ἐντυγχάνοντας. ἐπεί τοι γ' ἤδη σοι καὶ τὰ μεγαβύζου.

Τῷ αὐτῷ.

ε Πῆλθες ἔθνη τὰ μεταξὺ τῆς ἰταλίας, ἀπὸ συρίας ἀρξάμενος, ἐπιδεικνὺς σεαυτὸν, ἐν ταῖς τοῦ βασιλέως λεγομέναις δὴ αὐλαῖς. τρίβων δ' ἦν σοι τότε καὶ πώγων, λευκὸς, καὶ μέγας. πλέον δὲ οὐδέν. εἶτα πῶς διὰ θαλάττης νῦν ὑποστρέφεις. ἄγων φορτίδα μεστὴν ἀργυρίου, χρυσίου, σκευῶν παντοδαπῶν, ἐσθήτων ποικίλων, κόσμου τοῦ λοιποῦ. τύφου, καὶ ἀλαζονείας, καὶ κακοδαιμονίας. τίς ὁ φόρτος καὶ ὁ τρόπος τῆς καινῆς ἐμπειρίας. ζήνων πραγμάτων ἦν ἔμπορος.

Τῷ αὐτῷ.

ὁ Λόγων δεῖσθον τοῖς παισὶν, εἰ φιλοσόφου παῖδες εἴησαν. δεῖ μὲν οὖν μὴ δὲ φροντίσαι πλείω σοι γενέσθαι τῶν ἱκανῶν, ἄλλως τε καὶ μετὰ ἀδοξίας τινός. ἐπεὶ δὲ ἅπαξ ἐγένετο, δεύτερον ἂν εἴη, μεγάλη σπουδὴ ἐν ἡμαῖς ἐπὶ τισὶν ἕνια τῶν ὄντων. ἔχεις δὲ καὶ πατρίδα, καὶ φίλους.

Τῷ αὐτῷ.

τ Ων Ἐπικούρου λόγων ὁ περὶ ἡδονῆς, οὐδενὸς ἔτι συνηγόρου δεῖται τῶν ἐκ τοῦ κήπου, καὶ τῆς ἐκείνου διατριβῆς. πέφηνε γὰρ ὢν, καὶ κατὰ τὴν στοὰν ἀληθέστατος. εἰ δὲ ἀντιλέγων προκομιεῖς τὰς Χρυσίππου χολὰς καὶ δόγματα, γέγραπται αὐτίκα καὶ ἐν τοῖς βασιλικοῖς γράμμασιν. Εὐφράτης ἔλαβε, καὶ πάλιν ἔλαβεν. Ἐπίκουρος δὲ, οὐκ ἂν ἔλαβεν.

Τῷ αὐτῷ.

ἠ Ρόμην πλουσίους τινὰς ἐπεραίνοντο. τί δ' οὐ μέλλομεν ἔφασαν. ἠρόμην οὖν καὶ τὴν αἰτίαν τῆς ἀνάγκης. ἢ τί ὧν τὸ τὸν πλοῦτον. σὺ δ' ὦ τάλαν νεόπλουτος.

Τῷ αὐτῷ.

ἐ Αν ὅτι τάχος εἰς Αἰγὰς ἀφίκῃ, καὶ κενώσῃς ἐκεῖ τὴν ναῦν, ἰτέον ἐστί σοι πάλιν, ὅτι τάχος εἰς τὴν Ἰταλίαν, καὶ κολακευτέον ὁμοίως νοσοῦντας. γέροντας. γραῦς. ὀρφανούς. πλουσίους. θρυπτομένους. Μίδας. Γέτας. πάντα φασὶ δεῖν τὸν ἔμπορον κάλων σείειν. ἐμοὶ δ' εἴη τὴν ἁλίαν τρυπᾶν ἐνθέμιδος οἴκῳ.

Τῷ αὐτῷ.

ᾱ Ρᾶτι καὶ σὺ γράψαις ἄν. εἰ γὰρ οὕτω γένοιο γενναῖος. καὶ ἔχοις δ' ἂν εἰπεῖν τὰ συνήθη ταῦτα καὶ πρόχειρα. λουτρὸν ἅπαν Ἀπολλώνιος παραιτεῖται. καὶ τῆς οἰκίας οὐδέποτε πρόεισι. καὶ σωζομένους ἔχει τοὺς πόδας. οὐδὲν ὁρᾶται τῶν τοῦ σώματος κινῶν.

δι' ὅλου

δι' ὅλου γὰρ τὴν ψυχὴν κινεῖ. κομᾷ τὴν κεφαλήν. καὶ δὲ ὁ ἕλ-
λην, ὅτι ἕλλην, οὐ βάρβαρος. ἐσθῆτα φορεῖ λινῆν. καὶ τῶν ἱερῶν
τὰ καθαρώτατα. μαντικῇ χρῆται. πολλὰ δὲ τὰ ἄδηλα. καὶ ἄλ-
λως ἀμήχανον, προειδέναι τι τῶν ἐσομένων. ἀλλ' οὐ πρέπον φιλο-
σόφῳ τὸ τοιοῦτον, ὃ πρέπει θεῷ. σωμάτων δὲ ὀδύνας ἀφαιρεῖ,
καὶ πάθη παύει τοῦ τόπου, καὶ πρὸς τὸ ἀσκληπιοῦ κοινὸν τὸ ἔγ-
κλημα. σιτεῖται μόνος, οἱ δὲ λοιποὶ ἐσθίουσι. βραχέα λέγει, καὶ τὸ
βραχύ. σιωπῆσαι γὰρ οὐκ ἔστιν ἀδύνατος. σαρκῶν ἀπέχεται παντοίων. καὶ
θηρίων πάντων. διατοῦτο ἄνθρωπός ἐστιν. εἶτ' αὐτὰ ἐρεῖς εὐφρᾶτα γε-
γράφθαι, ἴσως ἐκεῖνο προσθήσεις. ἔτι ἂν, ἔλαβεν ἂν ἀργύριον, ὡς
ἐπὶ δωρεᾶς πολιτείας. ἔτι ἂν, οὐκ ἂν ἔλαβεν, ἀλλὰ τῇ πατρίδι
μὲν, ἔλαβεν ἄν. ὁ πατρὶς ἤ, ἢ μὴ οἶδεν ὃ ἔχει. Ἀπολλώνιος δίωνι.

ά Ὕλαις καὶ λύραις κρεῖττόν ἐστι τέρπειν, ἢ λόγῳ. ταῦτα μὲν γὰρ
ἡδονῆς ὄργανα. καὶ μουσικὴ ὄνομα τῇ τέχνῃ. λόγος δὲ τἀ-
ληθὲς ἐξετάζει. τοσοῦτοι πρακτέον. τοῦτο γραπτέον ὅσοι, ῥητέον.
ἣν καὶ περὶ τοῦ τοῦ φιλοσοφῇς. Τῷ αὐτῷ.

ζ Ἤτουσί τινες τὴν αἰτίαν, δι' ἣν πέπαυμαι διαλεγόμενος
ἐν πολλοῖς. εἰδέτωσαν οὖν οἷς ἂν εἰδέναι μέλῃ τὸ τοιοῦτον. ἀ-
δύνατος ὠφελῆσαι λόγος ἅπας, ὃς ἂν εἷς ὤν, μὴ πρὸς ἕνα λέ-
γηται. ὁ τοίνυν ἄλλως διαλεγόμενος, δόξης ἥττων ὢν διαλέγοι τ' ἄν.

Ἀπολλώνιος καισαρέων προβούλοις.

π Πρῶτον εἰς πάντα, θεῶν ἄνθρωποι δέονται, καὶ περὶ παντός.
ἔπειτα πόλεων. τιμητέον γὰρ δεύτερον πόλεις μετὰ θε-
ούς. καὶ τὰ πόλεως προνοητέον παντὶ νοῦν ἔχοντι. εἰ δὲ μὴ πόλις
μόνον εἴη, ἀλλὰ καὶ μεγίστη τῶν πολλαχοῦ, ἀρίστη τε τῶν αὐτόθι,

μεγέθει, καὶ νόμοις, καὶ ἐπιτηδεύμασι, καὶ προγόνων κατὰ πόλεμον ἀρεταῖς, ἔτι τε ἤθεσι κατ' εἰρήνην, καθάπερ ἡ ὑμετέρα πόλις, μάλιστα πασῶν τῶν ἄλλων ἔμοιγε θαυμαστέα, τιμητέα τε, καὶ ἄλλῳ ἢ ὁμοίως παντί που νοῦν ἔχοντι. τοῦ γὰρ μὲν οὖν ἐκ λόγου κοινοῦ τὸ προηγετικὸν αὖ ἢ τὸ κατὰ σύγκρισιν τῶν πολλῶν. ὅταν δὲ καὶ ἀρχὴ πόλις ποτὲ δὴ πρὸς ἕνα τιμῆς ἄνδρα τέλος οὖσα, καὶ τοῦτον ἑαυτῆς ξένον καὶ ἄπωθεν, τί ἂν τούτου τῷ ἀνδρὸς πρὸς ἀμοιβήν, ἢ ὑμῖν ἀλλήλοις τισὶν ἄξιον εἴη. τοῦτο γὰρ μόνον ἴσως εὐθεοφιλής τις ὢν τύχοι, δι' ἅ τινα φύσεως ἐπιτηδειότητα, τὸ εὔχεσθαι τῇ πόλει τὰ ἀγαθά, τυγχάνειν τε δὴ εὐχῆς. ὅπερ ἂν διατελέσαιμι κἀγὼ πράττων ὑπὲρ ὑμῶν. ἐπεὶ παρ' ἤθη ἤθεσιν ἑλληνικοῖς, φαίνουσι τὸ ἴδιον ἀγαθόν, καὶ διὰ γραμμάτων κοινῶν. Ἀπολλωνίδην τὸν Ἀφροδισίου, νεανίαν ἐρρωμένως τῆς φύσεως, ἀξίας τε τοῦ ὑμετέρου ὀνόματος, πειράσομαι χρήσιμον ὑμῖν παρασκευάζειν εἰς ἕκαστα μετὰ τῆς τύχης τινὸς ἀγαθῆς.

Σελευκέων τοῖς προβούλοις.

π Ολις, ἥτις ἂν οὕτω πρός τε θεοὺς ἔχῃ, καὶ ἀνθρώπων πρὸς τοὺς ἀξίους ἀποδοχῆς, αὐτή τε εὐδαίμων, καὶ εἰς ἀρετὴν ὠφέλησε τοὺς μαρτυρηθέντας. ἄρξασθαι μὲν οὖν χάριτος οὐ δυσχερές. ἀλλὰ καὶ τῶν ἐν ἀνθρώποις τὸ κάλλιστον. ἀμοιβὴν δ' οὐ μόνον ῥᾴδιον, ἀλλὰ παντελῶς ὁμοίαν εὑρεῖν, ἀδύνατον. τὸ γὰρ τοῦ τῇ τάξει δεύτερον, οὐδέποτε τῇ φύσει πρῶτον. ὥστε θεὸν ἀνάγκη παρακαλεῖν ὑπὲρ ὑμῶν, ἀμείψασθαι τοὺς οὐ τῇ δυνάμει μόνον, ἀλλὰ καὶ τοῖς ἔργοις κρείττους γινομένους. ἀνθρώπων γὰρ οὐδείς, τάχα τηλικαῦτα δυνατός. καὶ τὸ ἐθελῆσαι δ' ἄν με παρ' ὑμῖν γενέσθαι, δηλ' ὑμῶν ἂν εἴη χάριτος καὶ αὐτὸ εἰς ἡμᾶς. ὡς ἔγωγ' ἂν εὐξαίμην παρ' ὑμῖν καὶ γεγενῆσθαι. οἱ πρέσβεις ὑμῶν τιμιώτεροι. διότι καὶ φίλοι. Ἱερώνυμος καὶ Ζήνων.

τοῖς

Τοῖς αὐτοῖς.

σ Τρατῶν μὲν δὴ ἀνθρώπων οἴχεται, παρ' ὅσον ἦν αὐτῷ θνητόν, τὴν γῆς καταλιπών. χρὴ δὲ τοὺς ἔτι κολαζομένους ἡμᾶς ἐνθάδε ζῆν ἄλλως λεγομένους, ἔχειν τινὰ τῶν ἐκείνου πραγμάτων ἐπιμέλειαν. ἄλλοις μὲν οὖν ἀλλοτριώτερον δικαίως γένοιτο νῦν, ἢ καὶ ὕστερον· οἷς μὲν, ὡς οἰκείοις, οἷς δ' ὡς αὐτὸ μόνον ἀνδράσι φίλοις οὐκ ἐν ἑτέρῳ συνωθησομένοις χρόνῳ. τούτων εἴπερ ἦν τῶν ὀνομάτων ἀληθές τι πρόσθεν. ἐγὼ μέντοι, καὶ ταύτῃ βουλόμενος διαιρέτως ὑμέτερος εἶναι, τὸν ἐκ σελευκίδος υἱὸν αὐτῷ γενόμενον ἀλέξανδρον, καὶ μεταδώσω παιδείας τῆς ἐμῆς. πάντως δ' ἂν μετέδωκα καὶ χρημάτων ὅτι μείζονα δοὺς, εἴπερ ἔχειν ἦν ἄξιον.

Εὐφράτῃ.

π Υνθάνονταί μου πολλοὶ πολλάκις, τίνος ἕνεκεν οὐ μετεπέμφθην εἰς ἰταλίαν, ἢ οὐ μεταπεμφθεὶς, ἀφικόμην. ὥσπερ σὺ καὶ εἴ τις ἕτερος. ἐγὼ δὲ περὶ τοῦ προτέρου μὲν οὐκ ἀποκρινοῦμαι, μὴ καὶ δόξω τισὶν εἰδέναι τὴν αἰτίαν· οὐδ' εἰδέναι μοι μέλον. περὶ δὲ τοῦ δευτέρου. τί ἂν καὶ δέοιμην ἕτερον λέγειν, ἢ ὅτι ἂν μᾶλλον μετεπέμφθην, ἢ ἀφικόμην. Τῷ αὐτῷ.

τ Ην ἀρετὴν ἀδέσποτον εἶναι πλάτων ἔφησεν. εἰ δὲ μὴ τιμᾷ τοῦτο τίς, καὶ στέρηθεν ἐπ' αὐτῷ, ἀλλὰ καὶ ὤνιος γίνεται χρημάτων, πολλοὺς δεσπότας ἑαυτοῦ ποιεῖ. Τῷ αὐτῷ.

μ Αγους οἴει δεῖν ὀνομάζειν, τοὺς ἀπὸ πυθαγόρου φιλοσόφους, ὧδέ που καὶ τοὺς ἀπὸ ὀρφέως. ἐγὼ δὲ, καὶ τοὺς ἀπὸ διὸς, οἶμαι δεῖν ὀνομάζεσθαι μάγους, εἰ μέλλουσιν εἶναι θεῖοί τε καὶ δίκαιοι, Τῷ αὐτῷ.

μ Αγους ὀνομάζουσι τοὺς θεοὺς οἱ πέρσαι, μάγος οὖν ὁ θεραπευτὴς τῶν θεῶν, ἢ ὁ τὴν φύσιν θεῖος· σὺ δ' οὐ μάγος ἀλλ' ἄθεος

τοῦ αὐτοῦ.

ἡ Ράκλειτος ὁ φυσικὸς, ἄλογον εἶναι κατὰ φύσιν ἔφησε τὸν ἄνθρωπον. εἰ δὲ τοῦτο ἀληθὲς, ὥσπερ ἐστὶν ἀληθὲς, ἐγκαλυπτέος ἕκαστος ὁ ματαίως ἔνδοξος γενόμενος. Σκοπελιανοῦ σοφιστοῦ.

π Εντε εἰσὶ σύμπαντες οἱ τοῦ λόγου χαρακτῆρες. ὁ φιλόσοφος. ὁ ἱστορικός. ὁ δικανικός. ὁ ἐπιστολικός. ὁ ὑπομνηματικός. ἐγκειμένων δὲ τῶν γενικῶν χαρακτήρων τῇ τάξει, πάλιν γίνεται πρῶτος μὲν ὁ κατὰ τὴν ἑκάστου δύναμιν, ἢ φύσιν, ἴδιος ὤν. δεύτερος δὲ ὁ ἐν μιμήσει τοῦ ἀρίστου, τῶν ἐκ φύσεως, εἴτις ἐνδεὴς εἴη. τὸ δὲ ἄριστον, δυσεύρετόν τε, καὶ δυσεπίκειτον, ὥστε οἰκειότερος ἑκάστῳ, χαρακτὴρ ὁ ἴδιος, ἐπείπερ καὶ βεβαιότερος.

τοῦ αὐτοῦ.

ἴ Ισοι δύναμις, ἐστὶν ὥσπερ ἐστί, καὶ φρόνησιν ἂν εἴησοι κτητέον. καὶ γὰρ εἰ φρόνησις μὲν, δύναμις δὲ ἀπῆν, ὁμοίως ἔδει σοι δυνάμεως. δεῖται γὰρ ἀεὶ τὸ ἕτερον τοῦ ἑτέρου, ὥσπερ ὄψις φωτὸς, καὶ φῶς ὄψεως.

τοῦ αὐτοῦ.

β Αρβάρων ἀφεκτέον, καὶ οὐκ ἀρκτέον αὐτῶν. οὐ γὰρ θέμις βαρβάρους αὐτοὺς ὄντας ὑπερέχειν.

Λεσβώνακτι.

δ Εὖ πένεσθαι μὲν ὡς ἄνδρα. πλουτεῖν δὲ ὡς ἄνθρωπον.

Κρίτωνι.

τ Ο θειότατον Πυθαγόρας ἰατρικὴν ἔφασκεν. εἰ δὲ ἰατρικὴ τὸ θειότατον, καὶ ψυχῆς ἐπιμελητέον μετὰ σώματος. ἢ τὸ ζῷον οὐκ ἂν ὑγιαίνοι τῷ κρείττονι νοσοῦν.

Ἑλλανοδίκαις, καὶ ἠλείοις.

ἀ Ξιοῦτε με τῷ ἀγῶνι τῶν ὀλυμπίων παραγενέσθαι, καὶ διὰ τοῦτο ἐπέμψατε πρέσβεις. ἐγὼ δὲ παρεγενόμην ἄν, τῶν

σωμάτων

σωμάτων θέαν, καὶ ἅμιλλαν, εἰ μὴ τὸν μείζονα τῆς ἀρετῆς ἀγῶνα, καταλείψειν ἔμελλον.

Πελοποννησίοις.

ο Λύμπια τὸ δεύτερον· καὶ τὸ μὲν πρῶτον ἐγένεσθε πολέμιοι· τὸ δεύτερον δὲ, οὐ φίλοι.

Τοῖς ἐν ὀλυμπίᾳ θεηκόροις.

θ Εοὶ θυσιῶν οὐ δέονται· τί οὖν αὐτοῖς πράττων, χαρίζοιτο αὐτοῖς, φρόνησιν ὡς ἐμοὶ δοκεῖ κτώμενος, ἀνθρώπων τε τοὺς ἀξίους εἰς δύναμιν εὖ ποιῶν· ταῦτα φιλαθέοις· ἐκεῖνα δὲ ἀθέων.

Τοῖς ἐν δελφοῖς ἱερεῦσιν.

α Ι ματι βωμοὺς μιαίνουσιν ἱερεῖς· εἶτα θαυμάζουσί τινες πόθεν αἱ πόλεις ἀτυχοῦσιν, ὅταν μεγάλα δυστυχήσωσιν· ὢ τῆς ἀμαθίας. Ἡράκλειτος δὲ ἦν σοφός· ἀλλ' οὐδὲ ἐκεῖνος ἐφεσίους ἔπεισε, μὴ πηλῷ, πηλὸν καθαίρεσθαι.

Βασιλεῖ σκυθῶν.

ζ Αμολξις, ἀνὴρ ἀγαθὸς ἦν, καὶ φιλόσοφος, εἴπερ μαθητὴς πυθαγόρου ἐγένετο· καὶ εἰ κατ' ἐκεῖνον τὸν χρόνον τοιοῦτος ἦν ὁ ῥωμαῖος, ἑκὼν ἂν ἐγένετο φίλος. εἰ δὲ ὑπὲρ ἐλευθερίας οἴει δεῖν, ἀγῶνα καὶ πόνον ἔχειν, ἄκουε φιλόσοφος, τουτέστιν ἐλεύθερος.

Νομοθέτῃ.

α Ι ἑορταὶ νόσων αἴτιαι· τοὺς μὲν γὰρ πόνους ἀνιᾶσι· τὸ ἐμπίπλασθαι δὲ αὔξουσι.

Ταμίαις ῥωμαίων.

α Ρ χὴν ἄρχετε πρὸ τίνων· εἰ μὲν οὖν ἄρχειν ἐπίστασθε, διὰ τί τὸ παρ' ὑμᾶς χεῖρον ἑαυτῶν αἱ πόλεις ἔχουσιν· εἰ δὲ οὐκ ἐπίστασθε, μαθεῖν ἔδει πρῶτον, εἶτα ἄρχειν.

Διοικηταῖς ἀσίας.

τ Ι ὄφελος ἀγρίων δένδρων φυομένων ἐπὶ βλάβῃ, τοὺς κλάδους κόπτειν, ἐᾶν δὲ τὰς ῥίζας.

Ἐφεσίων γραμματεῦσι

λ Ιθων ἐντελῶν, καὶ γραφῶν ποικίλων, καὶ περιπάτων, καὶ θεάτρων, οὐδὲν ὄφελος, εἰ μὴ νοῦς ἐνείη καὶ νόμος. νοῦς δὲ καὶ νόμος, παρὰ τούτων ἐστὶν, οὐ ταῦτα.

Μιλησίοις.

ὁ Ι παῖδες ὑμῶν, πατέρων δέονται. οἱ νέοι, γερόντων. αἱ γυναῖκες, ἀνδρῶν. οἱ ἄνδρες, ἀρχόντων. οἱ ἄρχοντες, νόμων. οἱ νόμοι φιλοσόφων. οἱ φιλόσοφοι, θεῶν. οἱ θεοὶ, πίστεως. προγόνων ἀγαθῶν ἐστὲ, τὰ παρόντα μισεῖτε.

Τοῖς ἐν μουσείῳ σοφοῖς.

ἐ Γενόμην ἐν ἄργει, καὶ φωκίδι, καὶ ἐν λοκρίδι, καὶ ἐν σικυῶνι καὶ ἐν μεγάροις· καὶ διαλεγόμενος τοῖς ἔμπροσθεν χρόνοις, ἐπαυσάμην ἐκεῖ. τί οὖν εἴ τις ἔροιτο τὸ αἴτιον, ἐγὼ φράσαιμ' ἂν ὑμῖν τε καὶ μούσαις. ἐβαρβαρώθην, οὐ χρόνιος ὢν ἀφ' ἑλλάδος, ἀλλὰ χρόνιος ὢν ἐν ἑλλάδι.

Ἑστιαίῳ.

ἀ Ρετὴ καὶ χρήματα, παρ' ἡμῖν, ἀλλήλοις ἐναντιώτατα. μειούμενον γὰρ τὸ ἕτερον, αὔξει τὸ ἕτερον. αὐξανόμενον δὲ μειοῖ. πῶς οὖν δυνατὸν ἀμφότερα περὶ τὸν αὐτὸν γενέσθαι; πλὴν εἰ μὴ τῷ τῶν ἀνοήτων λόγῳ, παρ' οἷς καὶ ὁ πλοῦτος ἀρετή. μὴ δὴ τοσοῦτον ἡμῶν ἀναισθητεῖν, ἐπίτρεπε τοῖς αὐτόθι. μηδὲ ἔα πλουσίους ἡμᾶς ὑπολαμβάνειν μᾶλλον, ἢ φιλοσόφους. καὶ γὰρ αἴσχιστον ἀποδημεῖν ὑμᾶς διὰ χρήματα δοκεῖν ἐνίων. ἵνα μνήμην ἑαυτῶν καταλίπωσι, μὴ δὲ ἀρετὴν ἀσπασαμένων.

Κορινθίῳ Βάσσῳ.

ἦ Ν πραξιτέλης χαλκιδεὺς, μαινόμενος ἄνθρωπος. οὗτος ἦλθέ ποτε ξιφήρης ἐπὶ θύρας τὰς ἐμὰς, ὑπὸ σοῦ σταλεὶς τοῦ φιλοσόφου, καὶ ἀπωμοθέντος τῶν ἰσθμίων. τοῦ φόνου δ' ἦν μι

αὐτὸς δεδομένος, ἡ δὲ γυναικὸς σου κοινωνία. ὦ μιαρὲ βάσκανε, πολλάκις εὐεργέτης ἐγγόμενος σου. Τῷ αὐτῷ.

ε Ι πυνθάνοιτο κορινθίων τίς, πῶς ὁ βάσσου πατὴρ ἀπέθανεν, ἐροῦσιν ἅπαντες ἀστικοὶ, καὶ οἱ μέτοικοι, φαρμάκῳ τινὸς δόντος, ἐροῦσι καὶ οἱ ὅμοροι, τοῦ φιλοσόφου. ὁ μιαρὸς τῷ πώματι τοῦ πατρὸς ἑπόμενος ἔκλαυσεν. Τοῖς ἐν σάρδεσιν.

α Ρετῆς μὲν ὑμῖν πρωτεῖον οὐκ ἔστι. πῶς γὰρ ἀρετῆς. εἰ δὲ κακίας φέρεσθε τὰ πρῶτα, πάντες ὑφ' ἓν φέρεσθε. τίνες τοῦτο φήσουσι περὶ τῶν ἐν σάρδεσιν, οἱ ἐν σάρδεσιν. οὐδεὶς γὰρ οὐδενὶ τῶν αὐτόθι φίλος, ὥστ' ἀρνεῖσθαί τι τῶν ἀτόπων δι' εὔνοιαν.

Τοῖς αὐτοῖς.

α Ι σχρὰ καὶ τὰ ὀνόματα τῶν ταγμάτων ὑμῶν. κόδδαροι. ξυελισίταυροι. ταῦτα τοῖς τέκνοις τίθεσθε τὰ πρῶτα, εἶτ' εὐτυχεῖτε γίνεσθαι τούτων ἄξιοι. τοῖς αὐτοῖς.

κ Ο δδαροι καὶ ξυελισίταυροι. τὰς δὲ θυγατέρας ὑμῶν, καὶ τὰς γυναῖκας, πῶς ἂν προσαγορεύοιτε. τῶν γὰρ αὐτῶν ταγμάτων εἰσὶ καὶ αὗται, καὶ θρασύτεραι.

τοῖς αὐτοῖς.

ο Υ δὲ τοὺς οἰκέτας ὑμῖν εὐνοεῖν εἰκός. πρῶτον μὲν, ὅτι οἰκέται. εἶθ' ὅτι τῶν ἐναντίων ταγμάτων οἱ πλεῖστοι. κἀκεῖνοι δὲ ὁμοίως ὑμῖν ἀπογόνους. Πλατωνικοῖς.

ε Αν τις ἀπολλωνίῳ χρήματα διδῷ, ὁ διδοὺς ἄξιος νομίζηται, λήψεται δεόμενος. φιλοσοφίας δὲ μισθὸν, οὐ λήψεται, κἂν δέηται. Ἐφόροις.

α Νέων μὲν, τὸ μὴ ἁμαρτάνειν. γερόντων δὲ, τὸ ἁμαρτάνοντας αἰσθέσθαι. λακεδαιμονίων δὲ, καὶ τὸ διορθοῦσθαι.

Ἀπολλώνιος μουσωνίῳ.

β Ούλομαι παρὰ σὲ ἀφικόμενος, κοινωνῆσαί σοι λόγου, καὶ στέγης, ὥστι ὀνῆσαι μὶ σε, εἴ γε μὴ ἀπιστεῖς, ὡς ἡρακλῆς ποτὲ θησέα ἐξ ᾅδου ἔλυσε. γράφε τί βούλει. ἔρρωσο.

Μουσώνιος ἀπολλωνίῳ.

ω Ν μὲν δὴ εὐνοίθης, ἀρκέσει τοῖσι ἔπαινος· ἀνὴρ δὲ ὑπομένας ἀπολογίαν, καὶ ὡς οὐδὲν ἀδικεῖ δείξας, ἑαυτὸν λύει.

Ἀπολλώνιος μουσωνίῳ.

σ Ωκράτης ὁ ἀθηναῖος ὑπὸ τῶν ἑαυτοῦ φίλων λυθῆναι μὴ βουληθείς, παρῆλθε μὲν εἰς τὸ δικαστήριον. ἀπέθανε δέ.

Μουσώνιος ἀπολλωνίῳ.

σ Ωκράτης ἀπέθανεν, ἐπεὶ μὴ παρεσκεύασεν ἑαυτὸν εἰς ἀπολογίαν. ἐγὼ δὲ ἀπολογήσομαι. Απολ· Οὐ ἐάσουσιν αὐτῷ.

ε Δουλώσω τὴν ἑλλάδα, ὥς φασι· καὶ πλέον μὲν οἴει τι ἔχειν ξέρξου. λέληθας δέ, ἔλαττον ἔχων νέρωνος. νέρων γὰρ ἔχων αὐτὸ παρῃτήσατο. Τῷ αὐτῷ.

δ Ιαβεβλημένος οὕτω πρὸς ἕλληνας, ὡς δουλοῦσθαι αὐτοὺς ἐλευθέρους ὄντας, τί ἐμοῦ ξυνόντος δέῃ.

τῷ αὐτῷ.

ν Ερων τοὺς ἕλληνας παίζων ἠλευθέρωσε. σὺ δ' αὐτοὺς σπουδάζων ἐδούλωσας. τοῖς οἰκοσόφοις.

ε Ι λέγει τίς εἶναι συνέρημος ἐμός, λεγέτω, καὶ μένειν ἔνδον. ἀπέχεσθαι λουτροῦ παντός. ζῷα μὴ κτείνειν. μὴ ἐσθίειν σάρκας. ἀπαθῆ σ' εἶναι, φθόνου, κακοηθείας, μίσους, διαβολῆς, ἔχθρας, τὸ τῶν ἐλευθέρων ὀνομάζεσθαι γένος. ἢ φυλακτέος πλάσματι φέρων, τρόπου τε καὶ ἤθους καὶ λόγων ψευδῶν, ἀλλοτρίου βίου πίστιν.

Εστιαίῳ.

τ Ι θαυμαστὸν, εἴ με τῶν ἄλλων ἀνθρώπων ἰσόθεον ἡγουμένων, τινῶν δὲ καὶ θεὸν, μόνη μέχρι νῦν ἡ πατρὶς ἀγνοεῖ. δι' ἣν ἐξαιρέτως ἐσπούδακα λαμπρὸς εἶναι. τουτὶ γὰρ οὐδ' ὑμῖν τοῖς ἀδελφοῖς ὡς ὁρῶ γέγονε φανερὸν, ὡς εἴην τῶν πολλῶν ἀμείνων, λόγους τε καὶ ἦθος. ἐπεὶ πῶς; ἄν μου κατεγνώσκετε χαλεπὴν κατάγνωσιν, ὑπομνήσεως τὴν ἀρχὴν δεομένων. περὶ ὧν μόνων, οὐδὲ τῶν ἀμαθεστάτων αὖτις περιμένειν διδαχθῆναι. λέγω δὲ πατρίδος τε καὶ ἀδελφῶν. καίτοι οὐ λέληθεν ἡμᾶς, ὡς καλῶς ἔχον ἐστὶ, πᾶσάν τε γῆν πατρίδα νομίζειν, καὶ πάντας ἀνθρώπους ἀδελφοὺς καὶ φίλους, ὡς ἂν γένος μὲν ὄντας θεοῦ. μιᾶς δὲ φύσεως. κοινωνίας δ' οὔσης λόγου τε παντὶ καὶ πᾶσι παθῶν τῶν αὐτῆς, ὅπη γε, καὶ ὅπως ἄν τις τύχῃ γενόμενος, εἴτε δὴ βάρβαρος, εἴτε καὶ Ἕλλην. ἄλλως τε καὶ ἄνθρωπος. ἀλλ' ἔστι γάρ πως τὸ συγγενὲς ἀκατασόφιστον, καὶ πᾶν ἀνακλητικὸν αὐτοῦ τὸ οἰκεῖον. οὕτως ὁ Ὁμηρικὸς Ὀδυσσεὺς ὥς φασιν, οὐδὲ ἀθανασίαν ὑπὸ θεᾶς διδομένην, Ἰθάκης προυτίμησεν. ὁρῶ δ' ἔγωγε τὸν νόμον τόνδε, καὶ διὰ τῶν ἀλόγων ζώων πεφοιτηκότα. οὐ γὰρ ὄρνεον πτηνὸν καλλιῶν ἀπόκοιτον ἰδίων. πᾶν τε βύθιον, περαιοῦται μὲν ὑπὸ τοῦ φέροντος, ἐπανάγει δὲ μὴ νικηθέν. θηρία μὲν γὰρ, οὔτε κόρος ἔπεισεν, ἔξω φωλεῶν μένειν αὐτίνα τούτων. ἡ φύσις ἤνεγκεν ἄνθρωπον καὶ ταῦτα σοφὸν λεγόμενον. ᾧ κἂν πάντα τὰ λοιπὰ ἡ πᾶσα περιέχῃ, μνήματα μὲν ἔχει δεῖξαι τὰ πατέρων.

Ἀπολλωνίῳ ἀδελφῷ.

ε Ι τῶν ὄντων τὸ τιμιώτατον φιλοσοφία, πεπιστεύμεθα δ' ἡμεῖς φιλοσοφεῖν, οὐκ ἂν ὀρθῶς ὑπελαμβανοίμεθα μισάδελφοι, καὶ ταύτῃ δι' αἰτίαν, ἀγεννῆ τε ἅμα καὶ ἀνελεύθερον. χρημάτων γὰρ δήπου χάριν ἡ ὑποψία, τούτων δὲ καὶ πρὶν ἢ φιλοσοφεῖν, ἐπειρώμεθα

θαι καταφρονεῖν. ὥστε τοι μὴ γράφειν, εὐλογώτερον ἂν εἴη πρόφασιν ἑτέραν ὑπονοεῖν. ἐφυλαττόμην γάρ, ἀληθῆ μὲν γράφων, ἀλαζὼν δοκεῖν· ψευδῆ δέ, ταπεινός. ὧν ἑκάτερον ἐπίσης ἀνιαρὸν, ἀδελφοῖς τε, καὶ φίλῳ παντί. νυνὶ μέντοι γε τοῦτο τοῦ δηλῶ. συγχωροίη γὰρ ἂν ἴσως τὸ δαιμόνιον, ὅτι συμβαλὼν τοῖς ἐν Ῥόδῳ φίλοις, μετ' ὀλίγον ἐκεῖθεν ἐπάνειμι πρὸς ὑμᾶς λήγοντος ἔαρος.

Γορδίῳ.

ἠ Δικῆσθαί φασιν Ἑστιαῖον ὑπὸ σοῦ, καὶ ταῦτα φίλου γεγονότος, εἴ γε σύ τινος φίλος. ὅρα δή, Γόρδιε, μὴ πεῖραν λάβῃς ἀνδρός, οὐ δοκοῦντος, ἀλλὰ ὄντος. ἄσπασαι τὸν υἱὸν Ἀριστοκλείδην, ὃν εὔχομαι μὴ παραπλήσιόν σοι γενέσθαι. καὶ σὺ δ' ἦς νέος ἄμεμπτος.

Τυανέων τῇ βουλῇ, καὶ τῷ δήμῳ.

π Ρος τάττουσιν ὑμῖν ἐπανιέναι, πείθομαι. τοῦτο γὰρ δὴ πρὸς ἕνα πόλις πρεπωδέστερον εἴη. εἰ ἕνεκα τιμῆς μεταπέμποιτο πολίτην ἑαυτῆς. καὶ ὃν ἀπεδήμησα δὲ χρόνον, ἀποδεδήμηκα, περιποιῶν ὑμῖν, εἰ καὶ ἐπαχθὲς εἰπεῖν, δόξαν τε καὶ ὄνομα, καὶ φιλίαν πόλεων ἐπιφανῶν. ὁμοίως δὲ καὶ ἀνδρῶν. εἰ δὲ καὶ μείζονος ἔτι, καὶ κρείττονος ὑμεῖς ὑπολήψεως ἄξιοι, τό γε ἐμόν, καὶ τὸ παρὰ τῆς ἐμῆς φύσεως ἐπὶ τοσοῦτον ἐξήρκει μόνον, δυνάμεώς τε καὶ σπουδῆς.

Διοτίμῳ.

ἐ Γλαυκήθης, οἰηθεὶς δεῖσθαί με τινος, ἢ παρ' αὐτοῦ σου, πρὸς ὃν οὐδὲν ἦν μοι ποτὲ κοινόν τι γεγονός, ἢ παρ' ἄλλου τινός, ὁμοίου τε, καὶ ὁμοίως. ἰῶ δέ, οὐδὲ τὸ ἀναλωθέν ἐστι τῶν σοὶ σωτηρίων, πολύ τι χάριν δή μοι παθών. οὐδ' ἐχ' ἀναλώματος. τηρήσει γάρ μου τὸ ἔθος μόνως οὕτως. ὅτι δὲ τοῦτον ἔχω τὸν τρόπον, καὶ ταύτην τὴν διάθεσιν πρὸς ἅπαντάς μου τοὺς πολίτας, ἐῶ σε

λέγειν

λέγειν ὡς καὶ πρὸς πάντας ἀνθρώπους, ἐξὸν μαθεῖν παρὰ τῶν ἄλλων πολιτῶν· εὖ παθόντων μὲν ὁσάκις ἐδεήθησάν τινος, ἀμοιβὴν δὲ αἰτηθέντων μηδεμίαν. μὴ δὴ δυσχεράνῃς, εἰ δὲ οὕτως ὑπερτιμηθεὶς ὁ ἐμός, ὑπὲρ τοῦ προσθεῖναί τι τὴν ἀρχὴν, ἀπέδωκεν εὐθὺς, ὃ ἔλαβε Λυσία τῷ Φίλωνος. φίλῳ δὲ καὶ ἐμῷ. ἐπεὶ μηδένα ἠπίστατο τῶν καταλελειμμένων σου παίδων. εἰ δὲ δύο λόγοι περὶ ἐμοῦ λέγονται, λεχθήσονται δὲ καὶ ἐσύστερον, τί θαυμαστόν. ἀνάγκη γὰρ περὶ παντὸς ἄκρου δοκοῦντος καθ' ὁτιοῦν, ἐναντίους λέγεσθαι λόγους. οὕτως περὶ Πυθαγόρου, περὶ Ὀρφέως, περὶ Πλάτωνος, περὶ Σωκράτους, οὐκ ἐλέχθη μόνον, ἀλλὰ καὶ ἐγράφη τὰ ἐναντία. ὁπουγε τὰ ὅμοια, καὶ περὶ αὐτοῦ τοῦ θεοῦ. ἀλλ' οἱ μὲν ἀγαθοὶ, δέχονται τὸν ἀληθῆ λόγον, ὡς ἂν ἔχοντές τι συγγενές. οἱ δὲ φαῦλοι τὸν ἐναντίον. καὶ ἔστι τοῦ τοιούτου γένους καταγελᾶν. λέγω δὲ τοῦ χείρονος. τοσοῦτο μόνον δίκαιον ὑπομνῆσαι περὶ ἐμαυτοῦ τὸν νῦν, ὅτι περὶ ἐμοῦ, καὶ θεοῖς εἴρηται, ὡς περὶ θείου ἀνδρὸς, οὐ μόνον ἰδία τισὶ πολλάκις, ἀλλὰ καὶ δημοσία. ἐπαχθὲς λέγειν τι περὶ αὐτοῦ πλεῖον, ἢ μεῖζον. ὑγιαίνειν σε εὔχομαι.

Φρουνιανῷ.

π Ανυ τοῖς πεμφθεῖσιν ὑπὸ σοῦ γράμμασιν ἥσθην· πολλὴν γὰρ οἰκειότητα, καὶ γένους ἀνάμνησιν εἶχε. καὶ πέπεισμαι, δι' ἐπιθυμίας εἶναί σοι θεάσασθαί με, καὶ ὑπ' ἐμοῦ θεαθῆναι. αὐτὸς οὖν ἀφίξομαι πρὸς ὑμᾶς ὅτι τάχιστα. ὅθεν ἔχουσα τὴν αὐτόθι, συμμίξεις δ' ἐμοὶ πλησίον γενομένῳ, πρὸ τῶν ἄλλων οἰκείων τε καὶ φίλων. ἐπεὶ καὶ προσήκει σοι τὸ τοιοῦτο.

Εὐφράτῃ.

ε Νηγγελκας μόνον ὅσον φίλτατος Πυθαγόρας ἦν· σὺ δ' ἔτι μοι δοκεῖς πόρρω τῆς φιλοσοφίας εἶναι, καὶ ἀληθινῆς ἐπιστήμης, ἢ οὐκ ἂν οὔτε ἐκεῖνον κακῶς ἔλεγες, οὔτε τινὰς τῶν ζηλούν-

τῶν αὐτῶν μισῶν διετέλεις. ἀλλ' ὅτι σοι νῦν πρακτέον ἂν εἴη. φιλοσοφίας γὰρ ἥμαρτες, οὐδ' ἔτυχες μᾶλλον, ἢ Μενελάου Πάνδαρος ἐν τῇ τῶν ὅρκων συγχύσει. Τῷ αὐτῷ.

δ Επιτιμῶσί σοι τινές, ὡς εἰληφότι χρήματα παρὰ τοῦ βασιλέως· ὅπερ οὐκ ἄτοπον, εἰ μὴ φαίνοιο φιλοσοφίας εἰληφέναι μισθόν, καὶ τοσαυτάκις, καὶ ἐπὶ τοσοῦτον, καὶ παρὰ τοῦ πεπιστευκότος εἶναί σε φιλόσοφον. Τῷ αὐτῷ.

ε Αν τις ἀνδρὶ πυθαγορείῳ συγγένηται, τίνα παρ' αὐτοῦ λήψεται καὶ ὁπόσα, φαίην ἂν ἔγωγε νομοθετικήν. γεωμετρίαν. ἀστρονομίαν. ἀριθμητικήν. ἁρμονικήν. μουσικήν. ἰατρικήν. πᾶσαν θείαν μαντικήν. τὰ δὲ καλλίω, μεγαλοφροσύνην. μεγαλοψυχίαν. μεγαλοπρέπειαν. εὐστάθειαν. εὐφημίαν. γνῶσιν θεῶν, οὐ δόξαν. εἴδησιν δαιμόνων οὐχὶ πίστιν. φιλίαν ἑκατέρων. αὐτάρκειαν. ἐκτένειαν. λιτότητα. βραχύτητα τῶν ἀναγκαίων. εὐαισθησίαν. εὐκινησίαν. εὔπνοιαν. εὔχροιαν. ὑγείαν. εὐψυχίαν. ἀθανασίαν. παρὰ σοῦ δὲ τί λαβόντες ἔχουσιν οἱ ἰδόντες. ἢ δηλονότι τὴν ἀρετὴν ἣν ἔχεις.

Κλαύδιος τυανέων τῇ βουλῇ.

α Πολλώνιον τὸν ὑμέτερον πολίτην, πυθαγόρειον φιλόσοφον, καλῶς ἐπιδημήσαντα τῇ ἑλλάδι καὶ τοὺς νέους ἡμῶν ὠφελήσαντα, τιμήσαντες ἀξίαις τιμαῖς, αἷς πρέπει τοὺς ἀγαθοὺς ἄνδρας, καὶ ἀληθῶς προισταμένους φιλοσοφίας, τὴν εὔνοιαν ἡμῶν ἠθελήσαμεν ὑμῖν δι' ἐπιστολῆς φανερὰν γενέσθαι.

Απολλώνιος δικασταῖς ῥωμαίων.

λ Ιμένων, καὶ οἰκοδομημάτων, καὶ περιβόλων, καὶ περιπάτων, ἐνίοις ὑμῶν πρόνοια. παίδων δὲ τῶν ἐν ταῖς πόλεσιν ἢ νέων, ἢ γυναικῶν, οὐδ' ἡμῖν, οὔτε τῶν νόμων φροντίς. ἦ καλῶς ἂν ἦν τὸ ἄρχειν.

Τοῖς ἀδελφοῖς ἀπολλωνίῳ.

φ Ύσιν ἔχει τῶν τελειωθέντων ἕκαστον ἀπεῖναι. καὶ τοῦ γὰρ παντὶ πέρας ἐστί. μεθ᾽ ὃ μηκέτι μένει. μὴ δή σε λυπείτω τῆς γυναικὸς ἡ ἐν ἀκμῇ τῆς ἡλικίας ἀποβολή. μὴ δὲ ἐπεὶ θάνατός τι λέγεται, κρεῖττον αὐτοῦ τὸ ζῆν ὑπολάμβανε, χεῖρον ὂν τῷ παντὶ, τοῖς νοῦν ἔχουσι. γίνου δὴ ἀδελφὸς, τὸ μὲν κοινότατον φιλοσόφου. τὸ δ᾽ ἐξαίρετον πυθαγορείου, καὶ ἀπολλωνίου. καὶ σὺ τὴν οἰκίαν τὴν αὐτὴν ποίησον. εἰ μὲν γὰρ ἐνεκαλοῦμέν τι τῇ προτέρᾳ, κἂν εἰκότως ἔδοξας ἡμῖν ἀποδειλιᾶν. εἰ δ᾽ ἡμῖν σεμνή τε διετέλεσεν οὖσα καὶ φίλανδρος, καὶ διὰ τοῦτο τῆς ζητήσεως ἀξία, τί καὶ διανοηθέντες, οὐκ ἂν ὅμοια καὶ περὶ τῆς μελλούσης προσδοκῷμεν. ἣν εἰκὸς ἂν ἐθελῆσαι καὶ ἀμείνονα γενέσθαι, μηδαμοῦ τῆς προτέρας ἀμελείᾳ κακωθείσης; δυσωπείτω δέ σε καὶ τὰ τῶν ἀδελφῶν, οὕτω μέχρι νῦν ἔχοντα. τῷ πρεσβυτάτῳ μὲν γὰρ οὐδὲ γάμος οὐδέπω. τῷ νεωτάτῳ δὲ ἐλπὶς μὲν ἔτι παιδοποιίας. ἐν προκοπῇ δέ γε τοῦ χρόνου. καὶ ἡμεῖς μὲν ἑνὶ τρεῖς γεγόναμεν. τρισὶ δὲ ἡμῖν, οὐδὲ εἷς. ἴσως δὲ καὶ ὁ κίνδυνος τῇ πατρίδι, καὶ τῷ βίῳ τῷ μεθ᾽ ἡμᾶς. εἰ γὰρ ἡμεῖς ἀμείνους τοῦ πατρὸς, ἄλλως δὲ καθ᾽ ὃ πατὴρ χείρους, πῶς οὐκ ἂν βελτίους ἐξ ἡμῶν εἰκὸς ἂν ὑπάρξαι. γενέσθωσαν οὖν τινὲς, οἷς παραθησόμεθα γοῦν ὀνόματα, ὡς ἡμῶν οἱ πρόγονοι συνύφηναν. ὑπὸ δακρύων οὐχ οἷός τε ἐγενόμην, πλείονα γράψαι. καὶ οὐδὲ εἶχον ἀναγκαιότερα τούτων.

Σαρδιανοῖς.

κ Ροῖσος ἀπέβαλε τὴν λυδῶν ἀρχὴν, ἅλυν διαβάς. ἐλήφθη ζῶν. ἐδέθη πέδαις. τὸ πῦρ ἀνεβιβάσθη. τὸ πῦρ εἶδεν ἡμμένον. αἰρόμενον εἰς ὕψος. ἔζησεν. ἔδοξε γὰρ τῷ θεῷ τετιμημένος. τί οὖν ὕστερον οὗτος, ὁ πρόγονος ὑμῶν ἅμα καὶ βασι-

λοις. ὁ τοσαῦτα παθὼν παρὰ τὴν ἀξίαν, τραπέζης ἐκοινώνησε τῶν πολεμίων· σύμβουλος ἦν εὔνους, πιστὸς φίλος· ὑμῖν δὲ ἄσπονδα καὶ ἀκήρυκτα. καὶ ἀμείλικτα· ἔτι τε ἀνίερα, καὶ ἄθεα. τὰ πρὸς γονέας, πρὸς τέκνα. τὰ πρὸς φίλους. συγγενεῖς. φυλέτας· ἐχθροὶ γεγόνατε, μήτε τὸν ἄλλων διαβάντες, μήτε δεξάμενοί τινα ἀνθρώπων ἔξωθεν. καὶ ἡ γῆ φέρει καρπὸν ὑμῖν; ἄδικος ἡ γῆ.

Συγγραφεῦσι λογίοις.

Φ Ως παρουσία πυρός. ἢ οὐκ ἂν ἄλλως γένοιτο. πῦρ μὲν οὖν αὐτὸ τὸ πάθος, ἐν ᾧ γίνεται. καίεται γοῦν. φῶς δὲ ταῖς ὄψεσι μόνον, αὐγὴν ἑαυτοῦ παρέχεται, μὴ βιαζόμενον αὐτάς, ἀλλὰ πεῖθον. τοίνυν καὶ λόγος, ὁ μὲν, ὥσπερ πῦρ. καὶ πάθος, ὁ δ᾽, ὥσπερ αὐγή, καὶ φῶς ἐστιν. ὃ κρεῖττον ὄν, εἰ μὴ μεῖζον εὔχησθε τὸ ῥηθησόμενον, ἐμοί.

Οὐαλερίῳ.

Θ Ανατος οὐδεὶς οὐδενός, ἢ μόνον ἐμφάσει. καθάπερ οὐδὲ γένεσις οὐδενός, ἢ μόνον ἐμφάσει. τὸ μὲν γὰρ ἐξ οὐσίας τραπὲν εἰς φύσιν, ἔδοξε γένεσις. τὸ δὲ ἐκ φύσεως εἰς οὐσίαν, κατὰ ταυτὰ θάνατος, οὔτε γινομένου κατὰ ἀλήθειαν τινὸς, οὔτε φθειρομένου ποτέ. μόνον δὲ ἐμφανοῦς ὄντος, ἀοράτου τε ὕστερον. τοῦ μὲν διὰ παχύτητα τῆς ὕλης, τοῦ δὲ διὰ λεπτότητα τῆς οὐσίας. οὔσης μὲν αἰεὶ τῆς αὐτῆς, κινήσει δὲ διαφερούσης, καὶ στάσει. τοῦτο γάρ που τὸ ἴδιον ἀνάγκη, τῆς μεταβολῆς οὐκ ἔξωθεν γινομένης ποθέν. ἀλλὰ τοῦ μὲν ὅλου μεταβάλλοντος εἰς τὰ μέρη. τῶν μερῶν δὲ, εἰς τὸ ὅλον τρεπομένων, ἑνότητι τοῦ παντός. εἰ δὲ ἐρήσεταί τις, τί τοῦτό ἐστι τὸ ποτὲ μὲν ὁρατὸν, ποτὲ δὲ ἀόρατον, ἢ τοῖς αὐτοῖς γινόμενον, ἢ ἄλλοις, φαίη τις ἄν, ὡς ἔθος ἑκάστου ἐστὶ τῶν ἐνθάδε γενῶν. ὃ πληρωθὲν μὲν ἐφάνη, διὰ τὴν τῆς παχύτητος ἀντιτυπίαν. ἀό-

ρατον δ' οὐσίαν εἰ κενωθὲν διὰ λεπτότητα, τῆς ὕλης βίᾳ περιχυθείσης, ἐκρυείσης τε τοῦ περιέχοντος αὐτὴν ἀϊδίου μέτρου. γεννητοῦ δ' οὐδαμῶς, οὐδὲ φθαρτοῦ. τί δὲ καὶ τὸ τῆς πλάνης τοσοῦτον ἀνέλεγκτον. οἴονται γάρ τινες, ὃ πεπόνθασιν αὐτοί, τοῦτο πεποιηκέναι. μὴ εἰδότες, ὡς ὁ γεννηθεὶς διὰ γονέων γεγέννηται, οὐχ ὑπὸ γονέων, καθάπερ τὸ διὰ γῆς φυὲν, οὐκ ἐκ γῆς φύεται. πάθος τε οὐδὲν τῶν φαινομένων περὶ ἕκαστον, ἀλλὰ μᾶλλον περὶ ἑνὸς ἑκάστου. τοῦτο δὲ τί ἂν ἄλλο τις εἴπων, ἢ τὴν πρώτην οὐσίαν, ὀρθῶς ἂν ὀνομάσειεν. ἣ δὴ μόνη ποιεῖ τε καὶ πάσχει, πᾶσι γινομένη πάντα. διὰ πάντων θεὸς ἀΐδιος. ὀνόμασι καὶ προσώποις ἀφαιρουμένη τὸ ἴδιον. ἀδικουμένη τε, καὶ τοῦτο μὲν ἔλαττον. κλαίεταί τις, ὅταν θεὸς ἐξ ἀνθρώπου γένηται, τόπου μεταβάσει καὶ οὐχὶ φύσεως. ὡς δὲ ἔχει τὸ ἀληθές, οὐ πενθητέον σοι θάνατον, ἀλλὰ τιμητέον καὶ σεβαστέον. τιμὴ δέ, ἡ ἀρίστη τε καὶ πρέπουσα, εἰ ἀφεὶς θεῷ τὸν ἐκεῖ γενόμενον, ἀνθρώπων τῶν πεπιστευμένων ἄρχοις, ὡς πρότερον ἦρχες. αἰσχρὸν, εἰ χρόνῳ μὴ λογισμῷ γένοιο βελτίων. εἰ χρόνος καὶ τοὺς κακοὺς λύπης ἔπαυσε. μέγιστον, ἀρχὴ ἱκανή, καὶ περὶ μεγίστων. ἄρχων ἄριστος, ὃς ἂν αὑτοῦ πρότερον ἄρχῃ. πῶς δὲ καὶ ὅσιον ἀπεύχεσθαι τὸ βουλήσει θεοῦ γινόμενον. εἰ τάξις ἐστὶ τῶν ὄντων, ἔστι δέ, καὶ θεὸς ἐπιστατεῖ ταύτης, ὁ δίκαιος, οὐ βουλήσεται τὰ ἀγαθά. πλεονεκτικὸν γὰρ καὶ παρὰ τάξιν τὸ τοιοῦτον. κτήσεται δὲ τὰ γινόμενα συμφέρειν. πρόελθε καὶ θεράπευσαι. δίκασον, καὶ παρηγόρησον τοὺς αἰτίους. τῶν δὲ δακρύων οὕτως ἀποτρέψεις. οὐ τὰ ἴδια τῶν κοινῶν, ἀλλὰ τὰ κοινὰ τῶν ἰδίων προτιμητέον. οἷον δέ σοι καὶ τὸ τῆς παραμυθίας εἶδος. σὺν ὅλῳ τὸν υἱὸν ἔθνει πεπένθηκας. ἄμειψαι τοὺς μετὰ σοῦ λελυπημένους. ἀμείψῃ δέ, ἐὰν λυπούμενος παύσῃ τάχιον. ἐὰν μὴ προέλθῃς, φίλους οὐκ

ἔχεις, υἱὸν ἢ ἔχεις καὶ νῦν τὸν τεθνηκότα, φήσει τις τῶν νοῦν ἐχόντων. τὸ γὰρ ὂν, οὐκ ἀπόλλυται. διὰ γοῦν τοῦτο ὂν, ὅτι ἔσται διὰ παντός. ἢ καὶ τὸ μὴ ὂν γίνεται. πῶς δ' ἂν γένοιτο μὴ ἀπολλυμένου τοῦ ὄντος. εἴπερ ἂν ἕτερός τις, ὡς ἀσεβεῖς τε καὶ ἀδικεῖς. ἀσεβεῖς μὲν τὸν θεόν. ἀδικεῖς δὲ τὸν υἱόν. μᾶλλον δὲ κἀκεῖνον ἀσεβεῖς. βούλει δὲ μαθεῖν, οἷόν ἐστι θάνατος; ἄνελε με πέμψας μετὰ ταύτην τὴν φωνήν. ἣν ἐὰν μὴ μεταμφιέσῃ, πρᾶγμα κρεῖττόν με σεαυτοῦ πεποίηκας. ἔχεις χρόνον. ἔχεις γυναῖκα ἔμφρονα, φίλανδρον. ὁλόκληρος εἶ. παρὰ σεαυτοῦ λάβε τὸ λεῖπον. ῥωμαῖός τις τῶν πάλαι γεγονότων, ἵνα σώσῃ τὸν τῆς ἀρχῆς νόμον τε καὶ κόσμον. υἱὸν ἴδιον ἀπέκτεινε. καὶ στεφανώσας ἀπέκτεινε. πόλεων ἄρχεις πεντακοσίων ῥωμαίων ὁ εὐγενέστατος. ταῦτα σαυτὸν διατίθης. ἐξ ὧν οὐδ' οἰκίας τις εὐσταθῶς ἄρξει. μή τι γε πόλεών τε καὶ ἐθνῶν. ἀπολλώνιος εἰ παρῆν, φαβούλλαν ἂν μὴ πενθεῖν ἔπεισε.

Βασιλεὺς βαβυλωνίων Γάρμος, Νεογύνδῃ ἰνδῶν βασιλεῖ.

ε I μὴ περίεργος ἦς, οὐκ ἂν ἦσθα ἐν τοῖς ἀλλοτρίοις πράγμασι δίκαιος. οὐδ' ἂν ἄρχων ἐν ἰνδοῖς, ἐδίκαζες βαβυλωνίοις. πόθεν γάρ σοι γνώριμος ἦν ὁ ἡμέτερος δῆμος. νῦν δὲ ἐπείρασας ἀρχὴν τὴν ἐμὴν, ὑποκοριζόμενος ἐπιστολαῖς, καὶ τοιαύτας ἀρχὰς καθιείς. καὶ πρόσχημα ποιούμενος τῆς πλεονεξίας τὴν φιλανθρωπίαν. περανεῖς δὲ οὐδέν. οὔτε γὰρ λαθεῖν δύναιο.

Ἀπολλώνιος εὐφράτῃ.

ἠ N πραξιτέλης χαλκιδεὺς μεμηνὼς αὐτός. οὗτος ὤφθη παρὰ ταῖς θύραις ταῖς ἐμαῖς, ξίφος ἔχων ἐν κόλπῳ, μετὰ σοῦ γνωρίμου. τίς οὖν ἡ τῆς ἐπιβουλῆς αἰτία. οὐ γάρ πώποτε σὰς βοῦς ἤλασα. ἐπεὶ μάλα πολλὰ μεταξὺ ὄρεά τε σκιόεντα, θάλασσά τε ἠχήεσσα, τῆς τε ἐμῆς φιλοσοφίας, καὶ τῆς σῆς.

λεσβῶ

Λεσβώνακτι.

ἀ Νάχαρσις ὁ σκύθης ἦν σοφός. εἰ δὲ σκύθης, ὅτι καὶ σκύθης.

Λακεδαιμόνιοι Ἀπολλωνίῳ.

τ Αἱ δεδομέναι τιμαὶ σοι ἀπεστάλκαμεν τόδε ἀντίγραφον, σημηνάμενοι τῇ δημοσίᾳ σφραγῖδι ἵνα εἰδῇς.

Ἀπολλώνιος ἐφόροις, καὶ Λακεδαιμονίοις.

ἀ Νδρας ὑμῶν ἐθεασάμην ὑπήνην μὴ ἔχοντας. τοὺς μηροὺς καὶ τὰ σκέλη, λείους τε καὶ λευκούς. μαλακὰς χλανίδας ἠμφιεσμένους λεπτάς. δακτυλίους πολλοὺς καὶ καλοὺς περικειμένους. ὑποδεδεμένους ὑπόδημα τὸ ἰωνικόν. οὐκ ἐπέγνων οὖν τοὺς λεγομένους πρέσβεις. ἡ δὲ ἐπιστολὴ, Λακεδαιμονίους ἔφασκεν.

Τοῖς αὐτοῖς.

κ Αλεῖτέ με πολλάκις βοηθὸν ὑμῖν τῶν νόμων, καὶ τῶν νέων ἐσόμενον. ἡ Σόλωνος δὲ πόλις, οὐ καλεῖ με. Λυκοῦργον αἰδεῖσθε.

Ἐφεσίων τοῖς ἐν Ἀρτέμιδι.

ἔ Θος ὑμῖν ἅπαν ἀγιστείας. ἦθος δὲ βασιλικῆς τιμῆς. ἀλλ' ὑμεῖς, ἑστιάτορες μὲν καὶ δαιτυμόνες οὐ μεμπτοὶ, μεμπτοὶ δὲ σύνοικοι τῇ θεῷ, νύκτας τε καὶ ἡμέρας, ἢ οὐκ ἂν ὁ κλέπτης τε καὶ λῃστὴς, καὶ ἀνδραποδιστὴς, καὶ πᾶς εἴ τις ἄδικος ἢ ἱερόσυλος ἦν ὁρμώμενος αὐτόθεν, τὸ γὰρ τῶν ἀποστερούντων, τύχης ἐστίν.

Τοῖς αὐτοῖς.

ἧ Κεν ἐκ τῆς Ἑλλάδος ἀνὴρ Ἕλλην τὴν φύσιν, οὐκ Ἀθηναῖος, οὐδὲ Μεγαρεύς. γλοῖον ὄνομα, παροικήσων ὑμῶν τῇ θεῷ. δότε μοι τόπον, ἔνθα μὴ καθαρσίων δεήσει μοι, κἂν πάνυ ἔνδον ἀεὶ μένοντι.

Τοῖς αὐτοῖς.

ἀ Νεῶται θύουσι τὸ ἱερὸν, εὐχομένοις, ὑμνοῦσιν. ἱκέταις. ἕλλησι, βαρβάροις, ἐλευθέροις, δούλοις. ὑπὲρ φυῶς θεῖος ὁ νόμος. ἐπιγνώσῃ ὥσπερ τὰ σύμβολα, τὰ διός τε καὶ λητοῦς, ἐὰν μόνα ταῦτα.

Μιλησίοις.

σ Εισμὸς ὑμῶν τὴν γῆν ἔσεισε. καὶ γὰρ ἄλλων πολλῶν πολλάκις. ἀλλ' ἔπασχον μὲν, ἃ ἠτύχουν ἐξ ἀνάγκης. ἐλεοῦντες δὲ, οὐ μισοῦντες ἀλλήλους ἐφαίνοντο. μόνοι δὲ ὑμεῖς, καὶ θεοῖς ὅπλα, καὶ πῦρ ἐπηνέγκατε, καὶ θεοῖς τοιούτοις, ὧν ἐκ τοῖς ἔμπροσθεν δέοντο, καὶ μετὰ κινδύνους, καὶ πρὸ κινδύνων. ἀλλὰ καὶ φιλόσοφον ἄνδρα. ἡμεῖς ἑλλήνων δύο, δημοσίᾳ τὸ πάθημα φήναντα. πολλάκις ἐκ προαγορεύσαντα γινομένους τοὺς σεισμοὺς αὐτὸν, ὅτε ἔσεισεν ὁ θεὸς, τριῶν ἐλέγχετε καθ' ἑκάστην ἡμέραν. ὢ τῆς δημοσίας ἀμαθίας. ὁ πατὴρ ὑμῶν λέγεται θαλῆς.

Τραλλιανοῖς.

π Ολλοὶ πολλαχόθεν, ἄλλοι κατ' ἄλλας αἰτίας, νεώτεροί τε καὶ πρεσβύτεροι φοιτῶσι παρ' ἐμέ. τὰς φύσεις οὖν ἑνὸς ἑκάστου σκέπτομαι, καὶ τοὺς τρόπους, ὡς ἐνὶ μάλιστα συνετώτατα. τό, τε πρὸς τὴν ἑαυτοῦ πόλιν ἑκάστου δίκαιον ἦθος, ἢ τοὐναντίον. εἰς τὴν δὲ τὴν ἡμετέραν οὐκ ἂν ἔχοιμι προκεῖναι, τραλλιανῶν ὑμῶν, οὐ λυδοὺς, οὐκ ἀχαιοὺς, οὐκ ἴωνας, ἀλλ' οὐδὲ τοὺς τῆς ἀρχαίας ἑλλάδος θουρίους, κρότωνας, ταραντίνους, ἤ τινας ἄλλους τῶν ἐκεῖ λεγομένων εὐδαιμόνων ἰταλιωτῶν, ἢ ἑτέρων τινῶν. τίς οὖν ἡ αἰτία, δι' ἣν ἀποδέχομαι μὲν ὑμᾶς, οὐ γίνομαι δὲ τοιούτοις ἀνδράσι σύνοικος, καίπερ ὢν γένος ὑμέτερον, ἄλλοτέ ποτ' ἂν εἴποιμι. νῦν δὲ μόνον ὑμᾶς ἐπαινεῖν καιρὸς, ἄνδρας τε τοὺς ἡγουμένους ὑμῶν

ὡς πολὺ

ὧ; πολὺ κρείττους τῶν παρ᾽ ἑτέροις, ἀρετῇ, τε λόγῳ, καὶ μᾶλλον παρ᾽ οἷς γίγνηνται. Σαΐταις.

α Θηναίων ἀπόγονοί ἐστε, καθάπερ ἐν Τιμαίῳ Πλάτων φησίν. οἱ δὲ, τὴν κοινὴν ὑμῶν θεὸν ἐξορίζουσι τῆς Ἀττικῆς, νῆιν μὲν τὴν ὑφ᾽ ὑμῶν, Ἀθηνᾶν δὲ τὴν ὑπ᾽ αὐτῶν ὀνομαζομένην, οὐ μένοντες Ἕλληνες. ὅπως δ᾽ οὐ μένοντες ἐγὼ φράσω. γέρων σοφὸς οὐδεὶς Ἀθηναῖος. οὐ γὰρ ἔφυγεν ἡ πᾶσα παντὸς, ὅτι μηδεμία μηδενός. ὁ κόλαξ παρὰ ταῖς πύλαις. ὁ συκοφάντης πρὸ τῶν πυλῶν. ὁ μαστροπὸς, ἐπὶ πρὸ τῶν μακρῶν τειχῶν. ὁ παράσιτος, πρὸ τῆς Μουνυχίας, καὶ πρὸ τοῦ Πειραιῶς. ἡ θεὸς δὲ, οὐδὲ Σούνιον ἔχει. Ἴωσιν.

ἕ Λληνες οἴεσθε δεῖν ὀνομάζεσθαι διὰ τὰ γένη, καὶ τὴν ἔμπροσθεν ἀποικίαν. Ἕλλησι δὲ, ὥσπερ ἔθη καὶ νόμοι, καὶ γλῶτται, καὶ βίος ἴδιος, οὕτω καὶ σχῆμα καὶ εἶδος ἀνθρώπων. ἀλλ᾽ ὑμῶν γε οὐδὲ τὰ ὀνόματα μένει τοῖς πολλοῖς, ἀλλ᾽ ὑπὸ τῆς νέας ταύτης εὐδαιμονίας ἀπολωλέκατε τὰ τῶν προγόνων σύμβολα. καλῶς οὐδὲ τοῖς τάφοις ἐκεῖνοι δέχοιντ᾽ ἂν, ἅτε ἀγνῶτας αὐτοῖς γενομένους. εἴγε πρότερον ἡρώων ἦν ὀνόματα, καὶ ναυμάχων, καὶ νομοθετῶν. νυνὶ δὲ Λουκούλλων τε, καὶ Φαβρικίων, καὶ Λευκανίων τῶν μακαρίων. ἐμοὶ μὲν εἴη μᾶλλον ὄνομα Μίμνερμος. Ἑστιαίῳ.

ὁ Πατὴρ ἡμῶν Ἀπολλώνιος ἦν τρὶς τοῦ Μνησοδότου. σὺ δ᾽ ἅπαξ ἐθέλεις ὀνομάζεσθαι Λουκρήτιος. ἢ Λούπερκος. τίνος σὺ τούτων ἀπόγονος; αἰσχρὸν, εἰ ὄνομα μὲν ἔχοις τινὸς, τὸ δὲ εἶδος αὐτοῦ μὴ ἔχοις. Τῷ αὐτῷ.

π Ατρίδος ἐς μὲν πορρωτέρω σὺν δαίμονι. ἤδη δὲ τὰ τῆς πόλεως πράγματα ἐν νῷ ἐβαλόμην. ὀλίγη μοῖρα πρὸς τέλος ἀνδρῶν. οἳ τὴν πρώτην λελόγχασι τιμήν. ἄρξει δὲ τὸ

λοιπὸν παιδεία, καὶ μικρὸν ἐπάνω τούτων μείρακες, ἐν ταῦθά-
που δέος, μὴ σφαλῇ τὰ ὑπὸ νέων κυβερνώμενα. σοὶ δ' οὐ δέος, ἐπεὶ
βεβιώκαμεν. Τοῖς στωϊκοῖς.

ὤ Ρα καὶ λιμὸς ἦν βάστω, καίπερ ὄντων τῶν παρὰ σοὶ συχνῶν χρη-
μάτων. πρῶτον μὲν οὖν ἔφυγε Μεγάραδε, σὺν ἑνὶ τῶν λεγομέ-
νων ἐραστῶν. ἅμα δὲ καὶ μαστροπῶν. τροφῆς γὰρ ἀμφοτέροις ἔδει, καὶ
ἐφοδίων. ἔπειτα ἐκεῖθεν εἰς Συρίαν. ὑπεδέχετο δὲ τὸν ὡραῖον Εὐφρά-
της, καὶ εἴ τις ὁμοίως ἐδεῖτο τοῦ τότε καλοῦ, ὥστε αἱρεῖσθαί τι τῶν
ἀτόπων δι' εὔνοιαν. Τοῖς ἐν Σάρδεσιν.

ὁ Παῖς Ἀλυάττεω σῶσαι τὴν ἑαυτοῦ πόλιν ἀδύνατος ἐγέ-
νετο καὶ ἀμήχανος. καίπερ ὢν βασιλεύς τε καὶ Κροῖσος. ὑμεῖς
δὲ τίνι ποτὲ πεποιθότες ἄρα Λέοντι, πόλεμον ἄσπονδον ἤρασθε. παῖδες, νέοι,
πάντες, ἄνδρες γέροντες, ἀλλὰ καὶ παρθένοι, καὶ γυναῖκες. Ἐριννύων
νομίσαι αὐτίς τὴν πόλιν εἶναι, καὶ οὐχὶ Δήμητρος. ἡ δὲ θεὰ, φιλάν-
θρωπος. ὑμῖν δὲ τίς οὗτος ὁ χόλος. Τοῖς αὐτοῖς.

ἐ Ικὸς εἰς πόλιν ἀρχαίαν τε καὶ μεγάλην, ἐθελῆσαι φιλόσο-
φον ἀρχαῖον παραγγέλλεσθαι. καὶ παραγενόμενον ἂν αὐτὸς ἑ-
κὼν, κληθῆναι μὴ περιμείνας, ὡς ὑφ' ἑτέρων πολλῶν, εἰ ποιήσειν μί-
αν ὑμῶν τὴν πόλιν ἔμελλον, ἤθει, καὶ φύσει, καὶ νόμῳ, καὶ θεῷ. καὶ τὸ ὅ-
σον ἐπ' ἐμοὶ, πάντως ἂν ἐποίησα. στάσις δὲ ὥς ἔφη τις, πολέμου χα-
λεπώτερον. Φοιτηταῖς.

δ Ια φιλοσοφίαν εἴρηται τῶν εἰρημένων ἕκαστον, οὐ δι' Εὐφρά-
την. μὴ τὸ Πραξιτέλους ξίφος, ἢ τὸ Λυσίου φάρμακον πε-
φοβῆσθαι μέ τις δόξῃ. καὶ τοῦτο γὰρ ῥῆσιν Εὐφράτου. Σιτοκαπήλοις.

ἡ Γῆ πάντων μήτηρ. δικαία γάρ. ὑμεῖς δὲ ἄδικοι ὄντες, πεποιή-
σθε αὐτὴν ἑαυτῶν μόνων μητέρα. καὶ εἰ μὴ παύσησθε, οὐκ ἐάσω
ὑμᾶς ἐπ' αὐτῆς ἑστάναι. βασι

Βασιλεὺς Φραώτης Ἰάρχᾳ διδασκάλῳ, καὶ τοῖς περὶ αὐτὸν σοφοῖς.

ἀ Πολλώνιος ἀνὴρ σοφώτατος, σοφωτέρους ὑμᾶς ἑαυτοῦ ἡγεῖται, καὶ μαθησόμενος ἥκει τὰ ὑμέτερα, πέμπετε οὖν αὐτὸν εἰδότα, ὁπόσα ἴστε. ὡς ἀπολεῖται οὐδὲν τῶν μαθημάτων ὑμῖν. καὶ γὰρ λέγει ἄριστα ἀνθρώπων, καὶ μέμνηται. ἰδέτω καὶ τὸν θρόνον, ἐφ' οὗ καθίσαντί μοι, τὴν βασιλείαν ἔδωκας Ἰάρχα πάτερ. καὶ οἱ ἑπόμενοι δὲ αὐτῷ ἄξιοι ἐπαίνου, ὅτι τοιοῦδε ἀνδρὸς ἤρτηνται.

Ἀπολλώνιος τοῖς αὐτοῖς.

ἀ Φικομένῳ μοι πεζῇ πρὸς ὑμᾶς, ἐδώκατε τὴν θάλασσαν. ἀλλὰ καὶ σοφίας τῆς ἐν ὑμῖν κοινωνήσαντες, δεδώκατε καὶ διὰ τοῦ οὐρανοῦ πορεύεσθαι. μεμνήσομαι τούτων, καὶ πρὸς Ἕλληνας. κοινωνήσω τε ὡς παροῦσι λόγων, εἰ μὴ μάτην ἔπιον τοῦ Ταντάλου.

Τίτῳ βασιλεῖ.

μ Ἡ βουληθέντι σοι ἐπ' αἰχμῇ κηρύττεσθαι, μηδὲ ἐπὶ δηΐων αἵματι, δίδωμι ἐγὼ τὸν σωφροσύνης στέφανον. ἐπειδὴ ἐφ' οἷς δεῖ στεφανοῦσθαι, γινώσκεις.

Δημητρίῳ κυνικῷ.

δ Ιδωμί σε βασιλεῖ Τίτῳ διδάσκαλον τοῦ τῆς βασιλείας ἤθους. σὺ δὲ, ἀληθεῦσαί τε με πρὸς αὐτὸν δίδου. καὶ γίνου αὐτῷ, πλὴν ὀργῆς, πάντα.

Αὐτοκράτωρ Οὐεσπεσιανὸς Ἀπολλωνίῳ φιλοσόφῳ χαίρειν.

ἐ Ι πάντες Ἀπολλώνιε, κατὰ ταὐτά σοι φιλοσοφεῖν ἤθελον, σφόδρα ἂν εὐδαιμόνως ἔπραττον, φιλοσοφία τε καὶ πενία. φιλοσοφία μὲν ἀδεκάστως ἔχουσα. πενία δὲ αὐθαιρέτως. Ἔρρωσο.

Τέλος.

ΙΟΥΛΙΑΝΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΕΠΙΣΤΟΛΑΙ.

ε

Γὼ μὲν ᾤμην σε τὸν νεῖλον πάλαι κατειληφέναι. καὶ πολλάκις εἰς μνήμην λαμβάνων τοῦτο δὴ τὸ εἰωθὸς ἐμοὶ ὡς εὐδαίμονες ἔλεγον τῶν αἰγυπτίων οἱ παῖδες, πάλαι μὲν τὸν νεῖλον ἔχοντες χορηγόν, τῶν ὅσα φέρειν οἶδεν ἐκεῖνος. νυνὶ δὲ καὶ τὴν σὴν μοῦσαν προσειληφότες οὐδὲν ἀτιμοτέραν τοῦ νείλου. παρ' ἐμοὶ δὲ κρείττω τάχα καὶ μείζω. ὁ μὲν γὰρ τὴν χώραν αὐτῶν ἐπιρρέων πλουτεῖν ἐπιτρέπει. σὺ δὲ ταῖς νέων ψυχαῖς τὴν γλῶτταν ἐπαφιείς, ὡς τὸν τῆς ἐπιστήμης πλοῦτον ἰθύνεις. οὐδὲν ἔλαττον ἢ πάλαι πυθαγόρας αὐτοῖς ἐπιδημῶν. καὶ μετ' ἐκεῖνον πλάτων. ταῦτα μὲν ἐλογιζόμην. σὺ δ' οὐ μακρὰν ἀπέχων, ἐλάνθανες. ὡς δὲ ἧκεν ὁ τὴν ἐπιστολὴν ἐπιδούς, τὸ μὲν πρῶτον θαυμάζων, ἀπάτην ἡγούμην τὸ πρᾶγμα καὶ οὐκ ἐπειθόμην τοῖς ὀφθαλμοῖς. ὡς δὲ τοῖς γεγραμμένοις ἐντυχὼν ἐπείσθην, μὴ ἂν ἄλλου τὰς χάριτας, ἤσθην πῶς δοκεῖς. ἐγγυτέρας γὰρ αὐτὰς ἐμοὶ τοῦδε πάλιν ἰδεῖν ἡγούμην ἐλπίδας καὶ συνέχαιρον εἰκότως εἰ τὴν σὴν πατρίδα ζηλωτὴν μικρὸν γοῦν ἀπέφηνας χρόνον. σὺ δέ μοι δοκεῖς παίζων αὐτῆς κατηγορεῖν. ὅτι μὲν γὰρ τὸν ὑπὲρ κεφαλῆς ἀέρα οἷον ἔφης εἶναι συμβαίνει καὶ ὡς τὸ ὕδωρ πίνοντας εἰς μνήμην ἄγει θαλάττης, καὶ ἄρχος ὑμῖν ἐκεῖθεν ἥκει μεμιγμένος, οὐκ ἀρνηθείην. καὶ ἔλαττον ἐξαγώδη ταῖς σοι ταῦτα φέρει δοὶ τῆς πατρίδος. ἀλλ' ὅμως ὦ βέλτιστε χάριν ἐχρῆν εἰδέναι ταύτῃ πρὸς φιλοσοφίαν ἀσκούσῃ τὴν γνώμην. ὅπως ἂν εἰδείης ποτὲ τρυφῆς αἰγυπτίας ὑπερορῶν. ὀδυσσέα δὲ τὸν σοφὸν νῆσον οἰκοῦντα μικρὰν ὁμοῦ καὶ τραχεῖαν, καὶ τί γὰρ ἀλλ' ἢ τὴν ἰθάκην, οὔτε καλυψὼ πέπεικεν. οὔτε φύσεως τὸ κρεῖττον μεταβολή, τὸ μὴ τὴν ἰθάκην ἀντὶ τούτων αἱρεῖσθαι. ἀλλ' οὐδὲ σπαρτιάτης οἶμαι τὴν οἴκοι δίαιταν ἐννοῶν τὴν σπαρτιατῶν ἐμέμψατο. ἀλλ' οἶδα τοῦ θεοῦ ποτε κατηγορεῖν ἐπήρθης

φιλοχρημάτως ἔχεις ὦ λῶστε. εἶτα βραχύ τι τοῦ λήμματος ἀποστὰς, ἰοὺ ἰοὺ βοᾷς. καὶ τὸν νεῖλον πολλάκις καὶ τὸν ἐκεῖθεν πλοῦτον ἀνακαλῇ. τοῦτό που σε ξένον ὡς αὐτὸς ἔφης ποιεῖ. καὶ τὸ σῶμα, τοῦ χαιρεφῶντος οὐδὲν ἀσθενέστερον ἔχειν. οἶμαι δέ σε καὶ νύμφης ἐρωτικῆς περιέχεσθαι. καὶ πειρᾶσθαι μόλις ὁπόσα δύναται πόθος. ἀλλὰ γένοιτο ταῦθ' οὕτως ὅπως ἀφροδίτῃ φίλον.

Ἐρρώσῃ καὶ ἔρρωσο καί σε θᾶττον προσείποιμι καὶ παίδων πατέρα.

Προαιρεσίῳ.

τ Ι δὲ οὐκ ἔμελλον ἐγὼ προαιρέσιον τὸν καλὸν προσαγορεύειν. ἄνδρα ἐφιέντα τοῖς λόγοις ὥσπερ οἱ ποταμοὶ τοῖς πεδίοις ἐφιᾶσι τὰ ῥεύματα. καὶ ζηλοῦντα τὸν περικλέα κατὰ τοὺς λόγους ἔξω τοῦ συνταράττειν καὶ συγκυκᾶν τὴν ἑλλάδα. θαυμάζειν δ' οὐ χρὴ, τὴν λακωνικὴν εἰ πρὸς σὲ βραχυλογίαν μιμησαίμην. ὑμῖν γὰρ πρέπει τοῖς σοφοῖς μακροὺς καὶ μεγάλους ποιεῖσθαι λόγους. ἡμῖν δ' ἀρκεῖ καὶ τὰ βραχέα πρὸς ὑμᾶς. ἴσθι δὴ τά μοι πολλὰ πάντοθεν κυκλῶ πράγματα ἐπιρρεῖν. τὰς αἰτίας εἰ μὲν ἱστορίαν γράφοις, ἀκριβέστατα ἀπαγγέλλω σοι. δοὺς τὰς ἐπιστολὰς ἀποδείξεις ἐγγράφους. εἰ δὲ ἔγνωκας ταῖς μελέταις καὶ τοῖς γυμνάσμασιν εἰς τέλος ἄχρι γήρως προσκαρτερεῖν, οὐδὲν ἴσως μου τὴν σιωπὴν μέμψῃ.

Λιβανίῳ.

ἐ Πῶς δὴ τῆς ὑποσχέσεως ἐπελάθου. τρίτη γοῦν ἐστὶ σήμερον. καὶ ὁ φιλόσοφος πρίσκος αὐτὸς μὲν οὐχ ἥκε. γράμματα δὲ ἀπέστειλεν ὡς ἔτι χρονίσων, ὑπομιμνήσκω σε τὸ χρέος ἀπαιτῶν. ὄφλημα δέ ἐστιν ὡς οἶσθα σοὶ μὲν ἀποδοῦναι ῥᾴδιον. ἐμοὶ δ' ἥδιστον πάνυ κομίσασθαι. πέμπε δὴ τὸν λόγον καὶ τὴν ἱερὰν συμβουλήν. ἀλλὰ πρὸς ἑρμοῦ καὶ μουσῶν, ταχέως. ἀλλὰ καὶ τούτων μετὰ τῶν τριῶν ἡμερῶν ἴσθι συντρίψας. εἴπερ ἀληθῆ φησιν

ὁ Σικελιώτης ποιητὴς, ἐν ἤματι φάσκων τοὺς ποθοῦντας γηράσκειν·
εἰ δὴ τοῦτό ἐστιν ὥσπερ οὖν ἐστὶ, τὸ γῆρας ἡμῖν ἐτριπλασίασας ὦ γεν-
ναῖε. ταῦτα μεταξὺ τοι πράττειν ὑπηγόρευσα συγγράφειν· καὶ
οὐχ οἷός τε ἤμην, ἀργοτέραν ἔχων διὰ γλώττης τὴν χεῖρα. καί μοι τε
τὴν γλῶτταν εἶναι συμβέβηκεν ὑπὸ ἀπαιδευσίας ἀργοτέραν καὶ ἀ-
διάρθρωτον. ἔρρωσό μοι ἀδελφὲ ποθεινότατέ τε καὶ προσφιλέστατε.

Ἀρισομένῃ Φιλοσόφῳ.

ἆ Ρά γε χρὴ περιμένειν κλῆσιν ἢ τὸ ἀεὶ προτιμᾶν μηδαμοῦ;
ἀλλ' ἄρα μὴ χαλεπὴν ταύτην εἰσαγάγωμεν τὴν νομοθε-
σίαν, εἰ ταῦτα χρὴ παρὰ τῶν φίλων περιμένειν, ὅσα καὶ παρὰ τῶν ἀ-
πλῶν καὶ ὡς ἔτυχε συνήθων. ἀπορήσει τίς ἐνταῦθα. πῶς δὲ οὐκ εἰ-
δότες ἀλλήλους ἐσμὲν φίλοι, πῶς δὲ τοῖς πρὸ χιλίων ἐτῶν γεγονό-
σι, καὶ ναὶ μὰ Δία δισχιλίων· ὅτι σπουδαῖοι πάντες ἦσαν. καὶ τὸν τρό-
πον καλοί τε κἀγαθοί. ἐπιθυμοῦμεν δὲ καὶ ἡμεῖς εἶναι τοιοῦτοι. εἰ
καὶ τοῦ εἶναι τό γε εἰς ἐμὲ, πάμπληθες ἀπολειπόμεθα. πλὴν, ἀλ-
λ' ἥ γε ἐπιθυμία, ταύτης πῶς ἡμᾶς εἰς τὴν αὐτὴν ἐκείνοις μερίδα. καὶ
τί τοιαῦτα ἐγὼ ληρῶ μακρότερον. εἴτε σὲ ἄκλητον ἰέναι χρὴ, ἧξες δή
ποθεν. εἴτε καὶ κλῆσιν περιμένεις, ἰδού σοι καὶ παράκλησις ἥκει πα-
ρ' ἡμῶν. ἐντυχοίης ἡμῖν περὶ τὰ τοιαῦτα πρὸς Διὸς ξενίου. δεῖξον
ἡμῖν ἄνδρα ἐν Καππαδόκαις καθαρῶς ἕλληνα. τέως γὰρ τοὺς μὲν
οὐ βουλομένους. ὀλίγους δέ τινας ἐθέλοντας μὲν, οὐκ εἰδότας δὲ,
θύειν ὁρῶ.

Ἰουλιανὸς Θεοδώρᾳ τῇ αἰδεσιμωτάτῃ.

τ Α πεμφθέντα παρὰ σοῦ βιβλία πάντα ὑπεδεξάμην καὶ
τὰς ἐπιστολὰς ἄσμενος διὰ τοῦ βελτίου Μυγδονίου. καὶ μό-
γις ἄγων σχολὴν, ὡς ἴσασιν οἱ θεοὶ, οὐ κακιζομένῳ λόγῳ, ταῦτα ἀν-
τέγραψα πρὸς σέ. σὺ δὲ εὖ πράττοις, καὶ γράφοις ἀεὶ τοιαῦτα.

Ἐκδικίῳ ἐπάρχῳ αἰγυπτίων.

ε Ι καὶ τῶν ἄλλων ἕνεκα μὴ γράφεις ἡμῖν, ἀλλ᾽ οὖν περί γε τοῦ τοῖς θεοῖς ἐχθροῦ ἐχρῆν σε γράφειν ἀθανασίου. καὶ ταῦτα πρὸ πλείονος ἤδη χρόνου τὰ καλῶς ἡμῖν ἐγνωσμένα πεπυσμένον. ὄμνυμι δὲ τὸν μέγαν σάραπιν, ὡς εἰ μὴ πρὸ τῶν δεκεμβρίων καλανδῶν ὁ θεοῖσιν ἐχθρὸς ἀθανάσιος ἐξέλθοι, ἐκείνης μᾶλλον δὲ πάσης τῆς αἰγύπτου, τῇ ὑπακουούσῃ τάξει προτιμήσαιμι χρυσοῦ λίτρας ἑκατόν. οἶσθα δὲ πῶς εἰμὶ βραδὺς μὲν εἰς τὸ καταγνῶναι· πολλῷ δὲ ἐπιβραδύτερος εἰς τὸ ἅπαξ καταγνοὺς ἀνεῖναι. καὶ τῇ αὐτοῦ χειρὶ. πάνυ με λυπεῖ τὸ καταφρονεῖσθαι τοὺς θεοὺς πάντας. οὐδὲν οὕτως ἴδοιμι μᾶλλον δὲ ἀκούσαιμι μηδενὸς παρὰ σοῦ πραχθέντος, ὡς ἀθανάσιον ἐξεληλαμένον τῶν τῆς αἰγύπτου τόπων, τὸν μιαρόν. ὃς ἐτόλμησεν ἑλληνίδας ἐπ᾽ ἐμοῦ γυναῖκας τῶν ἐπισήμων, βαπτίσαι διώκεσθαι.

Ἀρταβίῳ.

ε Γὼ νὴ τοὺς θεοὺς, οὔτε κτείνεσθαι τοὺς γαλιλαίους οὔτε τύπτεσθαι παρὰ τὸ δίκαιον οὔτε ἄλλο τι πάσχειν κακὸν βούλομαι. προτιμᾶσθαι μέντοι τοὺς θεοσεβεῖς, καὶ πάνυ φημὶ δεῖν. διὰ γὰρ τὴν γαλιλαίων μωρίαν, ὀλίγου δεῖν ἅπαντα ἀνετράπη. διὰ δὲ τὴν τῶν θεῶν εὐμένειαν, σωζόμεθα πάντες. ὅθεν χρὴ τιμᾶν τοὺς θεοὺς. καὶ τοὺς θεοσεβεῖς ἄνδρας τε καὶ πόλεις.

Γεωργίῳ.

η Λυθες τηλέμαχε φησὶ τὸ ἔπος. ἐγὼ δέ σε καὶ εἶδον ἤδη τοῖς γράμμασι καὶ τῆς ἱερᾶς σου ψυχῆς τὴν εἰκόνα, καθάπερ ὀλίγῃ σφραγῖδι μεγάλου χαρακτῆρος τύπον ἀνεμαξάμην. ἔστι γὰρ ἐν ὀλίγῳ πολλὰ δειχθῆναι. ἐπεὶ καὶ φειδίας ὁ σοφὸς οὐκ ἐκ τῆς ὀλυμπίασι μόνον ἢ ἀθήνησιν εἰκόνος ἐγνωρίζετο. ἀλλ᾽ ἤδη καὶ μικρῷ γλύμματι μεγάλης τέχνης ἔργον ἐγκλεῖσαι, οἷον γὰρ τὸν τέττιγα φασιν αὐ-

ζοῦ καὶ τὴν μέλιτταν, εἰ δὲ βούλει καὶ τὴν μυῖαν, εἶναι· ὡς ἕκαστον ἐν καὶ τῇ φύσει κεκάλλωπται, τῇ τέχνῃ ἐμψύχωται. ἀλλ' ἐν ἐκείνοις μὲν ἴσως αὐτῷ καὶ ἡ σμικρότης τῶν ζώων, εἰς τὴν κατὰ λόγον τέχνην, τὸ εἰκὸς ἐχαρίζετο· σὺ δὲ ἀγαγὼν τὸν ἐφ' ἵππου θηρῶντα ἀλέξανδρον εἴδου πως, σκόπει· οὐ τὸ μεῖζον οὐδὲ πᾶν, ὄνυχος δακτύλου χειρός, οὐ μεῖζον. οὕτω δὲ ἐφ' ἑκάστου τὸ θαῦμα τῆς τέχνης δέχεται, ὥστε εἰ μὲν ἀλέξανδρος τὸ θηρίον βάλλει, καὶ τὸν θεατὴν φοβεῖ, διόλου δυσωπῶν τοῦ σχήματος. ὁ δὲ ἵππος ἐν ἄκρᾳ τῶν ποδῶν τῇ βάσει, τὴν στάσιν φυγών, ἐν τῇ τῆς ἐνεργείας κλοπῇ, τῇ τέχνῃ κινεῖται. ὃ δὴ καὶ αὐτὸς ἡμῖν ὦ γεννάδα ἐποίησας· ὥσπερ γὰρ ἐν ἑρμοῦ λόγου σταδίοις διαύλου πολλάκις τοῦ δρόμου στεφανωθεὶς ἤδη, δι' ὧν ἐν ὀλίγοις γράφεις, τῆς ἀρετῆς τὸ ἄκρον ἐμφαίνεις· καὶ τῷ ὄντι τὸν ὀδυσσέα τὸν ὁμήρου ζηλοῖς. ὅστις καὶ μόνον εἰπὼν ἤρκει τοὺς φαίακας ἐκπλῆξαι. εἰ δ' ἔτι καὶ παρ' ἡμῶν τοῦ κατὰ σὲ φιλικοῦ δέῃ, φθόνος οὐδείς. πάντως που καὶ παρὰ τῶν ἡττόνων εἶναί τι χρηστὸν, ὁ μῦς τὸν λέοντα τῷ μισθῷ σώσας, ἀρκούντως δείκνυσι.

Ἐκδικίῳ ὑπάρχῳ αἰγύπτου.

Ἄλλοι μὲν ἵππων, ἄλλοι δὲ ὀρνέων, ἄλλοι θηρίων ἐρῶσιν· ἐμοὶ δὲ βιβλίων κτήσεως ἐκ παιδαρίου δεινὸς ἐντέτηκε πόθος. ἄτοπον οὖν εἰ ταῦτα περιίδοιμι σφετερισαμένους ἀνθρώπους, οἷς οὐκ ἀρκεῖ τὸ χρυσίον ἀναπλῆσαι τὸν πολὺν ἔρωτα τοῦ πλούτου. πρὸς δὲ καὶ ταῦτα ὑφαιρεῖσθαι ῥᾳδίως ὑποδιανοουμένους. ταύτην οὖν μοι ἰδιωτικὴν δὸς χάριν· ὅπως ἀνευρεθείη πάντα τὰ γεωργίου βιβλία. πολλὰ μὲν γὰρ ἦν φιλόσοφα παρ' αὐτῷ. πολλὰ δὲ ῥητορικά. πολλὰ δὲ ἦν καὶ τῆς τῶν γαλιλαίων διδασκαλίας. ἃ βουλοίμην μὲν ἠφανίσθαι πάντη. τὸ δὲ μὴ σὺν τούτοις ἀφαιρεθῆναι τὰ χρησιμώτερα, ζητείσθω κἀκεῖνα μετὰ ἀκριβείας ἅπαντα. ἡγεμὼν δὲ τῆς ζητήσεως ἔστω σοι ταύτης, ὁ νοτάριος γεωργίου· ὃς

μετὰ

μετὰ πίστεως ἀνιχνεύσας αὐτὰ γέρας ἴσθι ληψόμενος ἐλευθερίας. εἰ δ' ἄλλως γένοιτο κακοῦργος περὶ τὸ πρᾶγμα, βασάνων εἰς πεῖραν ἥξων. μετέδωκε γάρ μοι περὶ τὴν καππαδοκίαν ὄντι πρὸς μεταγραφὴν, τινά. καὶ ταῦτα ἔλαβε πάλιν.

Ἰουλιανὸς βυζαντίοις.

τ Οὺς βουλευτὰς πάντας ὑμῖν ἀποδεδώκαμεν καὶ τοὺς πατροβούλους, εἴτε τῇ γαλιλαίων ἑαυτοὺς ἔδοσαν θρησκείᾳ, εἴτε ὅπως ἄλλως πραγματεύσαιντο, διαδρᾶναι τὸ βουλευτήριον, ἔξω τῶν ἐν τῇ μητροπόλει λελειτουργηκότων.

Βασιλείῳ.

ἡ Μὲν παροιμία φησὶν, οὐ πόλεμον ἀπαγγέλλεις. ἐγὼ δὲ προσθείην ἐκ τῆς κωμῳδίας, ὦ χρυσὸν ἀγγείλας ἐπῶν. ἴθι οὖν ἔργοις αὐτὸ δεῖξον. καὶ σπεῦδε παρ' ἡμᾶς. ἀφίξῃ γὰρ φίλος παρὰ φίλον. ἡ δὲ περὶ τὰ πράγματα κοινὴ καὶ συνεχὴς ἀσχολία, δοκεῖ μὲν εἶναί πως τοῖς μὴ παρέργως αὐτὸ πράττουσιν ἐπαχθής. οἱ δὲ τῆς ἐπιμελείας κοινωνοῦντες, εἰσὶν ἐπιεικεῖς ὡς ἐμαυτὸν πείθω καὶ συνετοί. καὶ πάντες ἱκανοὶ πρὸς πάντα. δίδωσι οὖν μοι ῥᾳστώνην ὥστε ἐξεῖναι μηδὲν ὀλιγωροῦντι καὶ ἀναπαύεσθαι. σύνεσμεν γὰρ ἀλλήλοις, μετὰ τῆς αὐλικῆς ὑποκρίσεως μόνης. ἧς οἶμαί σε μέχρι τοῦ δεῦρο πεπειρᾶσθαι. καθ' ἣν ἐπαινοῦντες, μισοῦσι τηλικοῦτον μῖσος ἡλίκον οὐδὲ τοὺς πολεμιωτάτους. ἀλλὰ μετὰ τῆς προσηκούσης ἀλλήλοις ἐλευθερίας ἐξελέγχοντές τε ὅταν δέῃ, καὶ ἐπιτιμῶντες, οὐκ ἔλαττον φιλοῦμεν ἀλλήλους τῶν σφόδρα ἑταίρων. ἔνθεν ἔξεστιν ἡμῖν, ἀπείη δὲ φθόνος ἀνιεμένοις τε σπουδάζειν, καὶ σπουδάζουσι μὴ ταλαιπωρεῖσθαι. καθεύδειν δὲ ἀδεῶς. ἐπεὶ καὶ ἐγρηγορὼς, οὐχ ὑπὲρ ἐμαυτοῦ μᾶλλον ἢ καὶ ὑπὲρ τῶν ἄλλων ἁπάντων ὡς εἰκὸς ἐγρήγορα. ταῦτα ἴσως κατηδολέσχησά σου καὶ κατελήρησα. παθών τι βλακῶδες. ἐπῄνεσα γὰρ ἐμαυτὸν ὥσπερ Ἀστυδάμας. ἀλλ' ἵνα σε πείσω προὔρ(γου τι μᾶλλον ἡμῖν τὴν σὴν παρουσίαν ἅτε

ἀνδρὸς ἔμφρονος νικήσειν ἢ παραιρήσεσθαί τι τοῦ καιροῦ, ταῦτα ἐπέσταλκα. σπεῦδε οὖν ὅπερ ἔφην δημοσίῳ χρησάμενος δρόμῳ. συνδιατρίψας δὲ ἡμῖν ἐφ' ὅσον σοι φίλον, οἵπερ ἂν θέλῃς ὑφ' ἡμῶν πεμπόμενος, ὡς προσῆκόν ἐστι βαδιῇ.

Ἰουλιανὸς Ἰουλιανῷ θείῳ.

τ Ρίτης ὥρας νυκτὸς ἀρχομένης, οὐκ ἔχων οὐδὲ τὸν ὑπογράφοντα διὰ τὸ πάντας ἀσχόλους εἶναι, μόλις ἴσχυσα πρὸς σὲ ταῦτα γράψαι. ζῶμεν δὲ διὰ τοὺς θεοὺς ἐλευθερωθέντες τοῦ παθεῖν ἢ δρᾶσαι τὰ ἀνήκεστα. μάρτυς δὲ ὁ ἥλιος ὃν μάλιστα πάντων ἱκέτευσα συναράσθαί μοι, καὶ ὁ βασιλεὺς Ζεὺς, ὡς οὔπωποτε ηὐξάμην ἀποκτεῖναι Κωνστάντιον, μᾶλλον δὲ ἀπηυξάμην. τί οὖν ἦλθον; ἐπειδή μοι οἱ θεοὶ διαρρήδην ἐκέλευσαν, σωτηρίαν μὲν ἐπαγγελλόμενοι πειθομένῳ, μένοντι δὲ ὃ μηδεὶς θεῶν ποιήσειεν. ἄλλως τε ὅτι καὶ πολέμιος ἀποδειχθεὶς ᾤμην φοβῆσαι μόνον, καὶ εἰς ὁμιλίας ἥξειν ἐπιεικεστέρας τὰ πράγματα. εἰ δὲ μάχῃ κριθείη, τῇ τύχῃ ἅπαντα καὶ τοῖς θεοῖς ἐπιτρέψας, περιμένειν ὅπερ ἂν αὐτῶν τῇ φιλανθρωπίᾳ δόξῃ.

Ἰουλιανὸς Λιβανίῳ.

ἀ Νέγνων χθὲς τὸν λόγον πρὸ ἀρίστου σχεδόν, ἀριστήσας δὲ, πρὶν ἀναπαύσασθαι, τὸ λοιπὸν προσαπέδωκα τῆς ἀναγνώσεως. μακάριος εἶ λέγειν οὕτω, μᾶλλον δὲ φρονεῖν οὕτω δυνάμενος. ὢ λόγος. ὢ φρένες. ὢ σύνεσις. ὢ διαίρεσις. ὢ ἐπιχειρήματα. ὢ τάξις. ὢ ἀφορμαί. ὢ λέξις. ὢ ἁρμονία. ὢ συνθήκη.

Ἰουλιανὸς Μαξίμῳ φιλοσόφῳ.

ἀ Λέξανδρον μὲν τὸν μακεδόνα τοῖς ὁμήρου ποιήμασιν ἐφυπνώττειν λόγος. ἵνα δὴ καὶ νύκτα καὶ μεθημέραν αὐτοῦ τοῖς πολεμικοῖς ὁμιλῇ συνθήμασιν. ἡμεῖς δὲ σοῦ ταῖς ἐπιστολαῖς ὥσπερ παιωνίοις τισὶ φαρμάκοις συγκαθεύδομεν. καὶ οὐ διαλεί-

πομεν

πομεν ἐντυγχάνοντες ἀεὶ, καθάπερ νεαραῖς ἔτι, καὶ πρῶτον εἰς χεῖρας ἡκούσαις. εἴπερ οὖν ἐθέλεις ἡμῖν εἰκόνα τῆς σῆς παρουσίας τὴν ἐν τοῖς γράμμασιν ὁμιλίαν προξενεῖν, γράφε καὶ μὴ λῆγε συνεχῶς τοῦτο πράττων. μᾶλλον δὲ ἧκε σὺν θεοῖς. ἐνθυμούμενος, ὡς ἡμῖν ἕως ἂν ἀπῇς, οὐδὲ ὅτι ζῶμεν, εἰπεῖν ἔξεστιν. ἢ ὅτι μόνον τοῖς παρὰ σοῦ γραφομένοις ἐντυχεῖν ἔξεστιν.

Ἰουλιανὸς τῷ αὐτῷ.

Ὁ μὲν μῦθος ποιεῖ τὸν ἀετὸν, ἐπειδὰν τὰ γνήσια τῶν κυημάτων βασανίζῃ, φέρειν ἄπτιλα πρὸς τὸν αἰθέρα. καὶ ταῖς ἡλίου προσάγειν ἀκτῖσιν. ὥσπερ ὑπὸ μάρτυρι τῷ θεῷ, πατέρα τε ἀληθῶς νεοττοῦ γινόμενον, καὶ νόθου γονῆς ἀλλοτριούμενον. ἡμεῖς δέ σοι καθάπερ ἑρμῇ λογίῳ, τοὺς ἡμετέρους λόγους ἐγχειρίζομεν. καὶ εἰ μὲν ὑπομένωσι τὴν ἀκοὴν τὴν σὴν, ἐπὶ σοὶ τὸ κρῖναι περὶ αὐτῶν. εἰ καὶ πρὸς τοὺς ἄλλους εἰσὶ πτήσιμοι. εἰ δὲ μὴ, ῥῖψον ἐκεῖ καθάπερ μουσῶν ἀλλοτρίους ἢ ποταμῷ κλύσον ὡς νόθους. πάντως οὐδὲ ὁ ῥῆνος ἀδικεῖ τοὺς κελτούς. ὃς τὰ μὲν νόθα τῶν βρεφῶν ὑποβρύχια ταῖς δίναις πέμπει, καθάπερ ἀκολάστου λέχους τιμωρὸς πρέπων. ὅσα δ᾽ αὖ ἐπιγνῷ καθαροῦ σπέρματος, ὑπεραίρει τοῦ ὕδατος ἀιωρεῖ. καὶ τῇ μητρὶ τρεμούσῃ πάλιν εἰς χεῖρας δίδωσιν, ὥσπερ ἀδέκαστόν τινα μαρτυρίαν αὐτῇ καθαρῶν καὶ ἀμέμπτων γάμων τὴν τοῦ παιδὸς σωτηρίαν ἀντιδωρούμενος.

Ἰουλιανὸς ὀρειβασίῳ.

Τῶν ὀνειράτων δύο πύλας εἶναι φησὶν ὁ θεῖος ὅμηρος. καὶ διάφορον εἶναι αὐτοῖς καὶ τὴν ὑπὲρ τῶν ἀποβησομένων πίστιν. ἐγὼ δὲ νομίζω σε νῦν, εἴπερ ποτε καὶ ἄλλοτε, σαφῶς ἑωρακέναι περὶ τῶν μελλόντων. ἐθεασάμην γὰρ καὶ αὐτὸς τοιοῦτον σήμερον.

δένδρον γὰρ ᾤμην ὑψηλὸν ἔν τινι ξηρικλίνῳ σφόδρα μεγάλῳ πεφυτευμένον εἰς ἔδαφος ῥέπον· ἐν τῇ ῥίζῃ παραπεφυκότος ἑτέρου μικροῦ καὶ νεοφυοῦς ἀνθηροῦ λίαν. ἐγὼ δὲ περὶ τοῦ μικροῦ σφόδρα ἠγωνίων, μήτις αὐτὸ μετὰ τοῦ μεγάλου συναποσπασθῇ. ἐπεὶ τοίνυν ἐπειδὴ πλησίον ἐγενόμην, ὁρῶ τὸ μέγα μὲν ἐπὶ τῆς γῆς ἐκτεταμένον. τὸ μικρὸν δὲ ὀρθὸν μὲν, μετέωρον δὲ ἀπὸ γῆς. ὡς οὖν εἶδον, ἀγωνιάσας ἔφην· οἴμοι δένδρου κίνδυνος ἔστι μὴ δὲ τὴν παραφυάδα σωθῆναι. καί τις ἀγνὼς ἐμοὶ παντελῶς, ὅρα ἔφησεν ἀκριβῶς. καὶ θάρρει. τῆς ῥίζης γὰρ ἐν τῇ γῇ μενούσης, τὸ μικρότερον ἀβλαβὲς διαμενεῖ καὶ βεβαιότερον ἱδρυθήσεται. τὰ μὲν δὴ τῶν ὀνείρων τοιαῦτα. θεὸς δὲ οἶδεν εἰς ὅ,τι φέρει. περὶ δὲ τοῦ μιαροῦ ἀνδρογύνου μάθοιμ' ἂν ἡδέως ἐκεῖνο, πότε διελέχθη περὶ ἐμοῦ ταῦτα. πότερον πρὶν ἢ συντυχεῖν ἐμοί, ἢ μετὰ τοῦτο. δήλωσον οὖν ἡμῖν ὅ,τι ἂν οἷός τε ᾖς. ὑπὲρ δὲ τῶν πρὸς αὐτὸν, ἴσασιν ὅτι πολλάκις αὐτοῦ τοὺς ἐπάρχοντας ἀδικήσαντος, ἐσιώπησα παρὰ τὸ πρέπον ἐμαυτῷ, τὰ μὲν οὐκ ἀκούων, τὰ δὲ οὐ προσιέμενος. ἄλλοις δὲ ἀπιστῶν. ἔνια δὲ εἰς τοὺς συνόντας αὐτῷ τρέπων. ὅτι δέ μοι μεταδοῦναι τῆς τοιαύτης ἠξίωσεν αἰσχύνης, ἀποστείλας τὰ μιαρὰ καὶ πάσης αἰσχύνης ἄξια ὑπομνήματα, τί με πράττειν ἐχρῆν; ἆρα σιωπᾶν ἢ μάχεσθαι, τὸ μὲν οὖν πρῶτον, εἶναι ἠλίθιον καὶ δουλοπρεπὲς καὶ θεομίσητον. τὸ δεύτερον δέ, δίκαιον μὲν καὶ ἀνδρεῖον καὶ ἐλευθέριον, ὑπὸ δὲ τῶν ἐχόντων ἡμᾶς πραγμάτων οὐ συγχωρούμενον. τί τοίνυν ἐποίησα. πολλῶν παρόντων, οὓς ᾔδειν ἀναγγελοῦντας αὐτῷ, πάντη πάντως εἶπον διορθώσει τὰ ὑπομνήματα οὕτως ὁ δεῖνα. ἐπεὶ δεινῶς ἀσχημονεῖ. τοῦτο ἐκεῖνος ἀκούσας, τοσοῦτον ἐδέησε τοῦ σωφρόνως τι πρᾶξαι, ὥστε περιηκέναι, ὅσα νὴ τὸν θεὸν οὐδὲ εἷς μέτριος τύραννος. τούτου μὲν πλησίον ὄντος, ἐνταῦθα τί πράττειν ἐχρῆν ἄνδρα τὸν

πλάτωνος καὶ ἀριστοτέλους ζηλωτὴν δογμάτων, ἆρα περιορᾶν αὐτοὺς ἀθλίους τοῖς κλέπταις ἐκδιδομένους, ἢ κατὰ δύναμιν αὐτοῖς ἀμύνειν, οἴμαι ὡς ἤδη τὸ κύκνειον ᾄσαντας διὰ τὸ θεομισὲς ἐργαστήριον τῶν τοιούτων. ἐμοὶ μὲν οὖν αἰσχρὸν εἶναι δοκεῖ τοὺς μὲν χιλιάρχους, ὅταν λείπωσι τὴν τάξιν καταδικάζειν· καίτοι χρὴ ἱκανὰ τεθνάναι παραχρῆμα καὶ μὴ ταφῆς ἀξιοῦσθαι· τὴν δὲ ὑπὲρ ἀθλίων ἀνδρῶν ὑπολείπειν τάξιν, ὅταν δέῃ πρὸς κλέπτας ἀγωνίζεσθαι τοιούτους· καὶ ταῦτα τοῦ θεοῦ συμμαχοῦντος ἡμῖν ὥσπερ οὖν ἔταξεν. εἰ δὲ καὶ παθεῖν τι συμβαίη, μετὰ τοῦ καλοῦ τοι συνειδότος οὐ μικρὰ παραμυθία προσθήσεται. τὸν δὲ χρηστὸν στόλον σοι θεοὶ μὲν μοι χαρίσαιντο. κἂν συμβαίη δέ τι διὰ τοῦτο τυχεῖν διαδόχου, λυπήσει τυχὸν οὐδέν. ἄμεινον γὰρ ὀλίγον ὀρθῶς, ἢ πολὺν κακῶς πρᾶξαι χρόνον. οὐκ ἔστιν ὥς λέγουσί τινες τὰ περιπατητικὰ δόγματα τῶν στωικῶν ἀγεννέστερα. τοσούτῳ δὲ μόνον ἀλλήλων, ὡς ἐγὼ κείνω, διαφέρει. τοὶ μὲν γὰρ οὖν ἀεὶ θερμότερα καὶ ἀβουλότερα. τοὶ δὲ φρονήσεως ἄξια, τοῖς ἐγνωσμένοις ἐμμένειν. Ἰουλιανὸς εὐγενίῳ φιλοσόφῳ

δ Δαίδαλον μὲν ἰκαρίῳ φασὶν ἐκ κηροῦ πτερὰ συμπλάσαντα, τολμῆσαι τὴν φύσιν βιάσασθαι τῇ τέχνῃ. ἐγὼ δὲ ἐκεῖνον μὲν εἰ καὶ τῆς τέχνης ἐπαινῶ, τῆς γνώμης οὐκ ἄγαμαι. μόνος γὰρ κηρῷ λυσίμῳ τοῦ παιδὸς ὑπέμεινε τὴν σωτηρίαν πιστεῦσαι. εἰ δέ μοι θέμις ἦν κατὰ τὸν τήιον ἐκεῖνον μελοποιὸν εὐχῇ τὴν ὀρνίθων ἀλλάξασθαι φύσιν, οὐκ ἂν δήπου πρὸς ὄλυμπον. οὐδὲ ὑπὲρ μέμψεως ἐρωτικῆς, ἀλλ᾽ εἰς αὐτοὺς ἂν τῶν ὑμετέρων ὀρῶν τοὺς πρόποδας ἔπτην, ἵνα σὲ τὸ μέλημα τοὐμόν, ὥς φησιν ἡ σαπφὼ, περιπτύξωμαι. ἐπεὶ δέ με ἀνθρωπίνου σώματος δεσμῷ κατακλείσασα ἡ φύσις, οὐκ ἐθέλει πρὸς τὸ μετέωρον ἀπλῶσαι τὸν λόγον, οἷς ἔχω σε πτεροῖς μετέρχομαι, καὶ γράφω καὶ σύνειμι τὸν δυνατὸν τρόπον. πάντως που καὶ ὅμηρος αὐτοὺς οὐκ ἄλλου του χάριν, ἢ τούτου πτερόεντα ὀνομάζει

ὥσπερ οἱ ταχύταται τῶν ὀρνίθων ἢ ἂν ἐθέλωσιν, ᾄττοντες. γράφε δὲ καὶ αὐτὸς ὦ φίλος. ἴση γὰρ δήπου σοι τῶν λόγων, εἰ μὴ καὶ μείζων ὑπάρχει ἡ πτέρωσις. ἣ τοὺς ἑταίρους μεταθεῖναι δύνασαι, καὶ πανταχόσε ὡς παρὼν εὐφραίνειν.

Ἰουλιανὸς Ἐκηβόλῳ.

π Ινδάρῳ μὲν ἀργυρέας εἶναι δοκεῖ τὰς μούσας· οἱονεὶ τὸ ἔκδηλον αὐτῶν καὶ περιφανὲς τῆς τέχνης, εἰς τὸ τῆς ὕλης λαμπρότερον ἀπεικάζοντι. ὅμηρος δὲ ὁ σοφὸς τόν τε ἄργυρον αἰγλήεντα λέγει, καὶ τὸ ὕδωρ ἀργύρεον ὀνομάζει, καθάπερ ἡλίου καθαραῖς ἀκτῖσιν αὐτῷ τῷ τῆς εἰκόνος φαιδρῷ μαρμαρύσσον. σαπφὼ ἡ καλὴ τὴν σελήνην ἀργυρέαν φησί. καὶ διὰ τοῦτο τῶν ἄλλων ἀστέρων ἀποκρύπτειν τὴν ὄψιν. οὕτω τοῖς θεοῖς τὸν ἄργυρον μᾶλλον ἢ τὸν χρυσὸν εἰκάσειεν, εἰς σὲ πρέπειν· ἀνθρώποις γε μὴν, ὅτι πρὸς τὴν χρείαν ἐστὶν ὁ ἄργυρος τοῦ χρυσοῦ τιμιώτερος, καὶ σύνεστι μᾶλλον αὐτοῖς οὐχ ὥσπερ ὁ χρυσὸς ἐπὶ γῆς κρυπτόμενος, ἢ φεύγων αὐτῶν τὴν ὄψιν. ἀλλὰ καὶ ὀφθῆναι καλὸς. καὶ ἐν διαιτήματι κρείττων. οὐκ ἐμὸς ἴδιος, ἀλλὰ παλαιῶν ἀνδρῶν ὁ λόγος ἐστίν. εἰ δὲ καὶ σοὶ τοῦ πεμφθέντος ὑπὸ σοῦ χρυσοῦ νομίσματος, εἰς τὸ ἴσον τῆς τιμῆς ἕτερον ἀργύρεον ἀντιδίδομεν, μὴ ἐκείνης ἥττω τὴν χάριν. μὴ δὲ ὥσπερ τοῦ γλαύκῳ πρὸς τὸ ἔλαττον οἰηθῇς εἶναι τῶν ὅπλων τὴν ἀντίδοσιν. ἐπεὶ μὴ δὲ ὁ διομήδης ἴσως ἀργυρᾶ χρυσῶν ἀντέδωκεν ἅτε δὴ πολλῷ τῶν ἑτέρων ὄντα χρησιμώτερα. καὶ τὰς αἰχμὰς οἱονεὶ μολίβδου δίκην ἐκτρέπειν εἰδότα· ταῦτά σοι προσπαίζομεν, ἀφ' ὧν αὐτὸς γράφεις, τὸ ἐνδόσιμον εἰς σὲ τῆς παρρησίας λαμβάνοντες. σὺ δὲ εἰ τῷ ὄντι χρυσοῦ τιμιώτερα ἡμῖν δῶρα ἐθέλεις ἐκπέμπειν, γράφε. καὶ μὴ λῆγε συνεχῶς τοῦτο πράττων· ἐμοὶ γὰρ καὶ γράμμα παρὰ σοῦ μι-

κρὸν

κρὸν ὅτου πὲρ ἂν ἐπιτύχοις ἀγαθοῦ κάλλιον ἂν εἶναι κεῖνέ τοι.

Ἰουλιανὸς Εὐστοχίῳ.

ἡ Σιόδῳ μὲν δοκεῖ τῷ σοφῷ καλεῖν ἐπὶ τὰς ἑορτὰς τοὺς γείτονας, ὡς συνησθησομένους· ἐπειδὴ καὶ συναλγοῦσι καὶ συναγωνιῶσιν ὅταν τις ἀπροσδόκητος ἐμπέσῃ ταραχή. Φημὶ δὲ ἐγὼ τοὺς φίλους δεῖν καλεῖν, οὐ τοὺς γείτονας. τὸ αἴτιον δὲ ὅτι γείτονα μὲν ἔνεστιν ἐχθρὸν ἔχειν· φίλον δὲ οὐ μᾶλλον, ἢ τὸ λευκὸν μέλαν εἶναι. καὶ τὸ θερμὸν ψυχρόν. ὅτι δὲ ἡμῖν οὐ μόνον νῦν, ἀλλὰ καὶ πάλαι φίλος εἶ, καὶ διετέλεσας εὐνοϊκῶς ἔχων, εἰ καὶ μηδὲν ὑπῆρχεν ἄλλο τεκμήριον, ἀλλὰ τόγε ἡμᾶς οὕτω διατεθεῖσθαι καὶ διακεῖσθαι περὶ σὲ, μέγα ἂν εἴη τούτου σημεῖον. ἧκε τοίνυν μεθέξων τῆς ὑπατείας αὐτός. ἄξει δέ σε ὁ δημόσιος δρόμος, ὀχήματι χρώμενον ἑνὶ καὶ παρίππῳ. εἰ δὲ χρή τι καὶ ἐπεύξασθαι, τὴν ἐνοδίαν εὐμενῆ σοι καὶ τὸν ἐνόδιον παρακεκλήκαμεν.

Ἰουλιανὸς Καλλιξείνῃ.

χ Ρόνος δίκαιον ἄνδρα δείκνυσι μόνος· ὡς παρὰ τοῖς ἔμπροσθεν ἔγνωμεν. ἐγὼ δὲ φαίην, ὅτι καὶ τὸν εὐσεβῆ, καὶ τὸν φιλόθεον. ἀλλ᾽ ἐμαρτυρήθη φησὶ καὶ ἡ Πηνελόπη φίλανδρος. εἶτα μετὰ τοῦ φιλάνδρου τὸ φιλόθεον τίς ἐν γυναικὶ δεύτερον τίθησι, καὶ οὐ φανεῖται πολλὴν πάνυ τὴν μανδραγόραν ἂν ἐκπεπωκώς. εἰ δὲ καὶ τοὺς καιρούς τις ἐν νῷ λάβοι, καὶ τὴν Πηνελόπην ἐπαινουμένην σχεδὸν ὑπὸ πάντων ἐπὶ τῇ φιλανδρίᾳ, κινδυνευούσας δὲ τὰς εὐσεβεῖς ὀλίγῳ πρότερον γυναῖκας, καὶ προσθήκη δὲ τῶν κακῶν, ὅτι καὶ διπλάσιος ὁ χρόνος, ἆρ᾽ ἔστι σοι τὴν Πηνελόπην ἀξίως παραβάλλειν. ἀλλὰ μὴ μικροὺς ποιοῦ τοὺς ἐπαίνους· αὐθεῶν ἀμείψονται μὲν σε πάντες οἱ θεοί· καὶ τὰ παρ᾽ ἡμῶν δὲ διπλῇ σε τιμήσομεν τῇ ἱερωσύνῃ πρὸς ᾗ πρότερον εἶχες τῆς αἰτιωτάτης θεοῦ Δήμητρος, καὶ τὴν μεγά-

στῆς μητρὸς θεᾶς τῆς φρυγίας ἐν τῇ θεοφιλεῖ πισινοῦντι τὴν ἱερωσύνην ἐπιτρέπομέν σοι. Ἰουλιανὸς Λεοντίῳ.

ο Λόγος ποιεῖ ὁ θουκυδίδειος ὦτα εἶναι ἀνθρώποις ὀφθαλμῶν ἀπιστότερα. τοῦτο ἐπὶ σοῦ ἐναντίαν ἔχω γνώμην ἐγώ. πιστότερα γάρ ἐστί μοι τὰ ὦτα τῶν ὀφθαλμῶν. οὐ γὰρ εἴποτε εἶδόν σε δεκάκις, οὕτως ἂν ἐπίστευσα τοῖς ὀφθαλμοῖς, ὡς νῦν ταῖς ἀκοαῖς πιστεύω ταῖς ἐμαυτοῦ, παρ' ἀνδρὸς οὐδαμῶς οἵου τε ψεύδεσθαι δεδιδαγμένος, ὅτι πάντων ἀνήρ ὤν, αὐτὸς ἑαυτοῦ κρείττων εἶ περὶ τὸ ῥέξαι, φησὶν Ὅμηρος, χερσί τε καὶ ποσίν. ἐπιτρέψαντες οὖν σοι τὴν τῶν ὅπλων χρῆσιν, ἀπεστείλαμέν τε πανοπλίαν, ἣ τέως τοῖς πεζοῖς ἁρμόττει. κουφοτέρα δέ ἐστιν αὕτη τῆς τῶν ἱππέων. ἐγκατελέξαμεν δέ σε τῷ τῶν οἰκείων συντάγματι. γίνονται δὲ ἀπὸ τῶν ἀποφλωρησάντων οὗτοι καὶ στρατευσαμένων. Ἑρμογένει ὑπάρχῳ αἰγύπτου.

δ Ὥς μοι κατὰ τοὺς μελικτὰς εἰπεῖν. ὦ παρ' ἐλπίδα σεσωσμένος ἐγώ. ὦ παρ' ἐλπίδας ἀκηκοὼς ὅτι διαπέφευγεν, οὔτι μὰ Δία τὴν πολυκέφαλον ὕδραν τὸν ἀδελφόν μου Κωνστάντιον. ἐκεῖνος μὲν ἦν οἷος ἦν. ἀλλὰ τὰ περὶ αὐτὸν θηρία, πᾶσιν ἀποφθαλμιῶντα, καὶ κἀκεῖνον ἐποίει χαλεπώτερον, οὐδὲ τὸ καθ' ἑαυτὸν ὄντα τοῖς πᾶσι πρᾶον, εἰ καὶ ἐδόκει πολλοῖς τοιοῦτος. ἐκείνῳ μὲν δὴ ἐπειδὴ μακαρίτης ἐγένετο, κούφη γῆ καθὰ τὸ λόγιον. τούτους δὲ ἀδίκως τί παθεῖν οὐκ ἂν ἐθέλοιμι. ἴστω Ζεύς. ἐπειδὴ δὲ αὐτοῖς ἐπανίστανται πολλοὶ κατήγοροι, δικαστήριον ἐπείχθη τι. θεάσασθαι γάρ σε ηὐχόμην νὴ τοὺς θεούς. καὶ νῦν δυνάμενος τάχα ὅτι διεσώθης ἀκηκοώς, ἥκειν παρακελεύομαι. Ἰουλιανὸς Σαραπίωνι τῷ λαμπροτάτῳ.

α Ἄλλοι μὲν ἄλλοις τὰς πανηγύρεις νομίζουσιν. ἐγὼ δὲ ἡδύσοι γλυκείας ἑορτῆς σύνθημα τῶν ἐπιχωρίων ἰσχάδων τὰς μακρὰς ἑκατὸν ἐκπέμπω. τὸ μέντοι δῶρον μεγέθει μικρόν. τῷ καλ

λεῖ γ' ἴσως ἀρκοῦσαν ἡδονὴν μνημονεύων. Ἀριστοφάνης μὲν οὖν δοκεῖ εἶ-
ναι πλὴν μέλιτος τῶν ἄλλων γλυκύτερον τὰς ἰσχάδας· καὶ οὐδὲ τοῦ-
τ' ἀνέχεται τῶν ἰσχάδων εἶναι γλυκύτερον, ὡς αὐτὸς ἐπικεῖνας λέγει.
Ἡροδότῳ δ' ἄρα τῷ συγγραφεῖ, πρὸς ἐπίδειξιν ἐρημίας ἀληθοῦς ἤρ-
κεσεν εἰπόντι· παρ' οἷς οὔτε σῦκα ἐστὶν, οὔτε ἄλλο ἀγαθὸν οὐδέν· ὥσπερ
οὔτε ἄλλου τινὸς ἐν καρποῖς ἀγαθοῦ, προτέρου τοῦ σύκου ὄντος, οὔ-
τε ἔτι πάντως ἀγαθοῦ δέοντος, παρ' οἷς ἂν τὸ σῦκον. Ὅμηρος δὲ ὁ σο-
φὸς, τὰ μὲν ἄλλα τῶν καρπῶν εἰς μέγεθος ἢ χρόαν ἢ κάλλος ἐπαινεῖ·
μόνῳ δὲ τῷ σύκῳ τὴν τῆς γλυκύτητος ἐπωνυμίαν συγχωρεῖ. καὶ
τὸ μὲν μέλι χλωρὸν καλεῖ, δεδιὼς, μὴ λάθῃ γλυκὺ προσειπὼν,
ὃ καὶ πικρὸν εἶναι πολλαχοῦ συμβαίνει. τῷ σύκῳ δ' ἄρα μόνῳ ἀπο-
δίδωσι τὴν οἰκείαν εὐφημίαν, ὥσπερ τῷ νέκταρι. διότι καὶ μόνον γλυκὺ
τῶν ἄλλων ἐστί. καὶ μέλι μὲν Ἱπποκράτης φησὶ καὶ γλυκὺ τὴν αἴσθησιν, καὶ
πικρὸν εἶναι πάντως τὴν ἀνάδοσιν. καὶ οὐκ ἀπιστῶ τῷ λόγῳ. χολῆς
γὰρ αὐτὸ ποιητικὸν εἶναι σύμπαντες ὁμολογοῦσι. καὶ τρέπειν τοὺς
χυμοὺς εἰς τοὐναντίον τῆς γεύσεως. ὃ δὴ καὶ μᾶλλον τῆς ἐκ φύσεως
αὐτοῦ πικρότητος κατηγορεῖ τὴν γένεσιν. οὐ γὰρ ἂν εἰς τοῦτο μετέβαλ-
λεν ὅπερ ἐστὶν, εἰ μὴ καὶ πάντῃ αὐτῷ προσῆν ἐξ ἀρχῆς τοῦτο, ἀφ' οὗ
πρὸς τὸ ἕτερον μετέπιπτε. σῦκον δ' οὐκ αἰσθήσει μόνον ἡδύ, ἀλλὰ καὶ ἀ-
ναδόσει κρεῖττόν ἐστιν. οὕτω δὲ ἐστὶν ἀνθρώποις ὠφέλιμον, ὥστε καὶ ἀλεξι-
φάρμακον αὐτὸ παντὸς ὀλεθρίου φαρμάκου φησὶν Ἀριστοτέλης εἶναι.
καὶ τοῖς δείπνοις οὐκ ἄλλου τινὸς ἢ τούτου χάριν προτίθεσθαί τε καὶ ἐπιφα-
σηματίζεσθαι, καθάπερ αὐτὸ ἄλλης τινὸς ἀλεξήσεως ἱερᾶς ταῖς τῶν βρω-
μάτων ἀδικίαις περιστησόμενον. καὶ μὴν ὅτι θεοῖς τὸ σῦκον ἀνά-
κειται, καὶ θυσίας ἐστὶν ἁπάσης ἐμβώμιον, καὶ ὅτι παντὸς λιβανω-
τοῦ κρεῖττον εἰς θυμιάματος σκευασίαν ἐστὶν, οὐκ ἐμὸς ἴδιος

ἔχοι ὁ λόγος· ἄλλος τις τὴν χρείαν αὐτοῦ ἔμαθεν, οἶδεν ὡς ἀνδρὸς σοφοῦ καὶ ἱεροφάντου λόγος ἐστί. Θεόφραστος δὲ ὁ καλὸς ἐν γεωργίας παραγγέλματι τὰς τῶν ἑτεροφύτων δένδρων γενέσεις ἐντιθείς, καὶ ὅσαι ἀλληλούχοις ἐγκεντρίσεσιν εἴκουσι, πάντων οἶμαι τῶν φυτῶν μᾶλλον ἐπαινεῖ τὸ τῆς συκῆς τὸ δένδρον ὡς αὐτὸ ποικίλης καὶ διαφόρου γενέσεως δεκτικόν. καὶ μόνον τῶν ἄλλων εὔκολον παντοίου γένους ἐγκεῖν βλάστην· εἴ τις αὐτοῦ τῶν κλάδων ἐκτεμὼν ἕκαστον, εἶτα ἐκρήξας ἄλλην ἐς ἄλλον τῶν πρέμνων ἐμφυῆ γονὴν ἐναρμόσειεν, ὡς ἀρκεῖν ἤδη πολλάκις αὐτοῦ καὶ αὐτὸ ὅλον κλήρου κήπου τὴν ὄψιν, οἷον ἐν λειμῶνι χαρίεσσαν τῷ ποικίλῳ τινὰ καὶ πολυειδῆ τῶν καρπῶν ἀφ' ἑαυτοῦ τὴν ἀγλαΐαν αὐτίκα πεπομφότος. καὶ τὰ μὲν ἄλλα τῶν ἀκροδρύων, ἐστὶν ὀλιγοχρόνια, καὶ τὴν μονὴν οὐκ ἀνέχονται. μόνῳ δὲ τῷ σύκῳ καὶ ὑπερενιαυτίζειν ἔξεστι, καὶ τῇ τοῦ μέλλοντος καρποῦ γενέσει συνενεχθῆναι. ὥστε φησὶ καὶ Ὅμηρος ἐν Ἀλκινόου κήπῳ, τοὺς καρποὺς ἀλλήλοις ἐπιγηράσκειν. ἐπὶ μὲν οὖν τῶν ἄλλων ἴσως ἂν μῦθος ποιητικὸς εἶναι δόξειε. μόνῳ δὲ τῷ σύκῳ πρὸς τὸ τῆς ἀληθείας ἐναργὲς ἂν συμφοροῖτο. διότι καὶ μόνον τῶν ἄλλων καρπῶν ἐστὶ νομιμώτερον. ταύτην δὲ ἔχον οἶμαι τὸ σύκον τὴν φύσιν, πολλῷ κρεῖττόν ἐστι πρὸς ἡμῖν τὴν γένεσιν. ὡς εἶναι τῶν μὲν ἄλλων φυτῶν αὐτὸ τιμιώτερον· αὐτοῦ δὲ τοῦ σύκου τὸ παρ' ἡμῖν θαυμασιώτερον. καὶ νικᾷ μὲν αὐτὸ τῶν ἄλλων τὴν γένεσιν· αὖθις δὲ ὑπ' αὐτοῦ τοῦ παρ' ἡμῖν ἡττᾶσθαι. καὶ τῇ πρὸς ἑκάτερον ἐγκλίσει πάλιν σώζεσθαι. κρατοῦν μὲν ὡς εἰκός. οἷς δ' αὖ κρατεῖσθαι δοκεῖ, πάλιν ἐς τὸ καθόλου νικῶν. καὶ τοῦτο οὐκ ἀπεικότερον παρ' ἡμῖν μόνοις συμβαίνει. ἔδει γὰρ οἶμαι τὴν διὸς πόλιν ἀληθῶς καὶ τὸν τῆς ἑῴας ἁπάσης ὀφθαλμόν. τὴν ἱερὰν καὶ μεγίστην δάμασκον λέγω, τοῖς τε ἄλλοις σύμπασιν, οἷον ἱερῶν κάλλει, καὶ ἱερῶν

μεγέθει

μεγέθει, καὶ ὡρῶν εὐκαιρία, καὶ πηγῶν ἀγλαΐα, καὶ ποταμῶν πλήθει καὶ γῆς εὐφορία νικῶσαν, μόνην ἄρα καὶ περὶ τοιούτῳ φυτῷ πρὸς τὴν τοῦ θαύματος ὑπεροχὴν ἀρκέσαι. οὐδὲν οὖν ἀνέχεται τῆς μεταβολῆς τὸ δένδρον. οὐδὲ ὑπερβαίνει τοὺς ἐπιχωρίους ὅρους τῆς βλάστης. ἀλλ' ὥσπερ αὐτόχθονος φυτοῦ νόμῳ τὴν ἐξ ἀποικίας γένεσιν ἀρνεῖται. καὶ χρυσὸς μὲν, οἶμαι καὶ ἄργυρος ὁ αὐτὸς πολλαχοῦ φύεται. μόνη δὲ ἡ παρ' ἡμῖν χώρα, τίκτει φυτὸν ἀλλαχοῦ φῦναι μὴ δυνάμενον. ὥσπερ τὰ ἐξ ἰνδῶν ἀρώματα. καὶ οἱ περσικοὶ σῆρες. ἢ ὅσα ἐν τῇ αἰθιόπων γῇ τίκτεται μὲν καὶ λέγεται, περὶ δὲ τῆς ἐμπορείας νόμῳ πανταχοῦ διαβαίνει. οὕτω δὴ καὶ τὸ παρ' ἡμῖν σῦκον ἀλλαχοῦ τῆς γῆς οὐ γινόμενον, πανταχοῦ παρ' ἡμῶν στέλλεται. καὶ οὔτε πόλις οὔτε νῆσος ἐστὶν, ἣν οὐκ ἐπέρχεται τῷ τῆς ἡδονῆς θαύματι. ἀλλὰ καὶ τράπεζαν βασιλικὴν κοσμεῖ. καὶ παντὸς δείπνου σεμνὸν ἐστὶν ἐγκαλλώπισμα. καὶ οὔτε ἔνθρυπτον οὔτε στρεπτὸν, οὔτε νεήλατον, οὔτε ἄλλο καρυκείας γένος οὐδὲν, ἔσται ἥδυσμα ἴσον, ἢ ἀφίκοιτο. τοσοῦτον αὐτῷ τῶν τε ἄλλων ἐδεσμάτων καὶ δὴ καὶ τῶν ἑκασταχοῦ περίεστι τοῦ θαύματος. καὶ τὰ μὲν ἄλλα τῶν σύκων ἢ ὀπωρινὴν ἔχει τὴν βρῶσιν. ἢ τερσαινόμενα ἐς τὸ ὅμοιον ἔρχεται. τὸ δὲ παρ' ἡμῖν μόνον ἀμφοτερίζει τῇ χρείᾳ. καὶ καλὸν μὲν ἐστὶν ἐπιδείδριον. πολλῷ δὲ κάλλιον, εἰ ἐς περσίαν ἔλθοι. εἰ γὰρ καὶ τὴν ὥραν αὐτοῦ τὴν ἐν τοῖς δένδροις ὀφθαλμοῖς λάβοις, καὶ ὅπως ἑκάστου τῶν πρέμνων ἐπιμήκεσι τοῖς κλάδοις οἱονεὶ καλύκων δίκην ἀπήρτηται, ἢ ὅπως ἐν κύκλῳ περιθεῖ τῷ καρπῷ τὸ δένδρον ἄλλας μετ' ἄλλας ἐν τοίχῳ περιφερεῖ κλυδεῖς ἀγλαΐας μηχανώμενον, φαίης ἂν αὐτῷ καθάπερ ἐν ὅρμῳ δέρρης τοὺς τῶν δένδρων ἐξαιρέσεις αὐτοῦ. καὶ ἡ πρὸς χρείαν μὲν οὐδ' ἐπιτέχνησις, οὐκ ἐλάττονα τῆς ἐς τὴν χρείαν ἡδονῆς ἔχει φιλοτιμίαν. οὐ γὰρ ὥσπερ τὰ ἄλλα τῶν σύκων ὁμοῦ καὶ κατὰ ταυτὸν ἔρριπται. οὐδὲ καθάπερ σωρηδὸν

ἢ χύδην ἡλίῳ περαίνεται. ἀγαπητὸν μὲν ἠρέμα τῶν δένδρων αὐτὸ ταῖς χερσὶν ἀποδρέπουσιν. ἔπειτα ὀρπῆξιν, ἢ ῥάβδοις ἀκανθώδεσι τῶν τοίχων ἀπὸ τῶσιν· ἵνα λευκαίνηται μὲν ἡλίῳ καθαρῷ προσομιλοῦντα· μάλιστα δὲ ἀνεπιβούλευτα, τῶν ζώων τε καὶ ὀρνιθίων οἷον ἐκ τῶν κέντρων τῇ ἀλεξήσει δορυφορούμενα. καὶ ὑπὲρ μὲν γενέσεως αὐτῶν καὶ γλυκύτητος καὶ ὥρας καὶ ποιήσεως καὶ χρείας, ταῦτά σοι παρ' ἡμῶν ἡ ἐπιστολὴ προσπαίζει. ὅτι μὲν τῶν ἑκατὸν ἀριθμὸς, ὅς ἐστι τῶν ἄλλων τιμιώτερος, καὶ τὸ τέλεον ἐν αὐτῷ τῶν ἀριθμῶν περιγράφων, μάθοις ἂν τις θεωρῶν τῇδε. καὶ ἑκάστου μὲν, ὡς παλαιῶν καὶ σοφῶν ἀνδρῶν ὁ λόγος, τοῦ ἀρτίου τὸν περιττὸν προκεῖσθαι. οὐδὲ ὡς ἀρχὴν φασὶν αὐξήσεως εἶναι τὸ μὴ συνδυάζον. τὸ γὰρ ὅμοιον θατέρῳ, μένειν ὁποῖον καὶ τὸ ἕτερον. δυοῖν δὲ γινόμενοι, τὸν τρίτον εἶναι τὴν περιττότητα. ἐγὼ δὲ, εἰ καὶ τολμηρότερος ὁ λόγος ἐστὶ, φαίην ὅμως. ἀρχῆς μὲν εἰσὶν οἱ ἀριθμοὶ πάντως ἐξηρτημένοι· καὶ τὸ προσεχὲς τῆς αὐξήσεως διὰ παντὸς κομίζοντο. πολλῷ γε μὴν εἶναι δικαιότερον τῷ ἀρτίῳ μᾶλλον ἢ τῷ περιττῷ τὴν τῆς αὐξήσεως αἰτίαν προσκεῖσθαι. ὁ μὲν γὰρ εἷς ἀριθμὸς, οὐκ ἂν εἴη περιττὸς, οὐκ ἔχων ὅτου περιττὸς γένοιτο. ἡ δὲ τῆς δυάδος συζυγία, τίκτει διπλῆν τὴν περιττότητα. κἀκ τῶν δυοῖν ἀριθμῶν, ὁ τρίτος εἰκότως εἰς αὔξησιν ἔρχεται. πάλιν τε ἐν τῇ τῆς ἑτέρας δυάδος μίξει, τῆς τετράδος τὴν ὑπεροχὴν λαμβάνει. καὶ ὅλως ἡ πρὸς ἄλληλα κοινωνία, τὴν ἐξ ἑκατέρου περιττότητα φαίνουσα, εἰς τὸν τῆς δυάδος ἀριθμὸν περικλείεται. δεδομένου δὴ τούτου, φαίην ἂν οἶμαι τῆς πρώτης δεκάδος τὴν εἰς αὐτὸ περιφέρειαν ἀνακυκλούσης, εἰς τὸν τῆς ἑκατοντάδος ἀριθμὸν τὸ ὅλον διαβαίνειν. ὡς τῷ μὲν ἑνὶ τὴν αὔξησιν εἰς δέκα συντείνειν. πάλιν δὲ αὖ τὴν δεκάδα δι' αὐτῆς ἀνιοῦσαν εἰς τὸν ἑκατὸν ἀριθμὸν συντελεῖσθαι. καὶ αὐτόθεν αὖ πάλιν ἐξ ἑκατοντάδων τὸ ὅλον τοῦ ἀριθμοῦ τὴν δύναμιν κρατύνεσθαι. μήτε τοῦ ἑνὸς ἠρεμοῦντος

ἑμήτι τῆς δυάδος ἐν τῇ μίξει τὸ περιττὸν ἀεὶ τικτούσης τε καὶ εἰς ἑαυ-
τὴν αὖθις ἀνακαλουμένης, ἄχρις ἂν ἑτέρᾳ πάλιν ἑκατοντάδι τῶν
ἀριθμῶν τὸ συναγόμενον κεφαλαιώσῃ· καὶ τὸ τέλεον αὐτοῦ προσάπτουσα
πάλιν δὲ αὐτοῦ εἰς τὸ ἕτερον ἑρπύσῃ. ταῖς τῶν ἑκατοντάδων ἐπηγορί-
αις ἀεὶ τὸ ὅλον εἰς τὸ τῆς καταλήψεως ἄπειρον ἀναφέρουσα. δοκεῖ δέ
μοι ὁ ὅμηρος οὐχ ἁπλῶς οὐδὲ ἀργῶς ἐν τοῖς ἔπεσι τὴν ἑκατοντα-
θύσανον αἰγίδα τῷ Διὶ περιθεῖναι· αἰτίᾳ τινὶ κρείττονι καὶ ἀπορρήτῳ λό-
γῳ τοῦτο αἰνίττεται λέγων, ὡς ἄρα τῷ τελεωτάτῳ θεῷ, τὸ τέλεον τῶν
ἀριθμῶν περιάπτει. ὁ ᾧ μόνῳ παρὰ τοὺς ἄλλους ἂν δικαιότερον κοσμοῖτο.
ἢ ὅτι τὸν ξύμπαντα κόσμον, ὃν εἰς αἰγίδος σχήματος τῆς εἰκόνος περι-
φερεῖ ξυνείληφεν, ἢ ἄλλος πως, ἢ ὅτι ἑκατὸν ἀριθμὸς περιγράφει
τῇ κατὰ κύκλον ἑκατοντάδι, τὴν εἰς τὸ ὅλον τοῦ νοητοῦ κατανόησιν ἐ-
φαρμόττων. ὁ δ' αὐτὸς λόγος οὗτος, ὁ τὸν ἑκατοντάχειρα τὸν Βριάρεω
καθίζει πάρεδρον τῷ Διί. καὶ πρὸς τὴν τοῦ πατρὸς ἅμιλλαν αὖθις συγχω-
ρεῖ δύναμιν. οἷον ἐν τῷ τοῦ ἀριθμοῦ τελέῳ τὸ τέλεον αὐτοῦ τῆς ἰσχύ-
ος ἀποδιδούς. ἢ μὴν καὶ πίνδαρος ὁ θηβαῖος, τὴν ἀναίρεσιν τοῦ Τυ-
φωέως ἐν ἐπινικίοις κηρύττων, ὁ τοῦ μεγίστου τούτου γίγαντος κρά-
τος τῷ μεγίστῳ βασιλεῖ τῶν θεῶν περιτιθείς, οὐχ ἑτέρωθεν αὐτοῦ τῆς εὐφη-
μίας κρατύνει τὴν ὑπερβολήν, ἢ ὅτι τὸν γίγαντα τὸν ἑκατοντακέφα-
λον ἐνὶ βλήματι καθελεῖν ἤρκεσεν. ὡς οὔτε τινος ἄλλου εἰς χεῖρα τοῦ
Διὸς ἐλθεῖν ἀντιμάχου γίγαντος νομισθέντος, ἢ ὃν ἡ μήτηρ μόνον τῶν ἄλ-
λων ἑκατὸν κεφαλαῖς ὥπλισεν, οὔτε ἑτέρου τινὸς θεῶν, ἢ μόνου Διὸς ἀξιο-
νικοτέρου πρὸς ταύτην τοσούτου γίγαντος καθαίρεσιν ὄντος. σιμωνίδης
δ' ἄρα τῷ μελικῷ πρὸς τὴν Ἀπόλλωνος εὐφημίαν ἀρκεῖ τὸν θεὸν ἑκα-
τὸν προσειπόντι. ὁ καθάπερ ἄλλου τινὸς ἱεροῦ γνωρίσματος αὐτοῦ
τῇ ἐπωνυμίᾳ κοσμήσας. διότι τὸν πύθωνα τὸν δράκοντα βέλεσιν ἑκατὸν, ὡς
φησιν, ἐχειρώσατο. καὶ μᾶλλον αὐτὸν ἑκατὸν ἢ πύθιον χαίρει προσα-

γορευόμενον, οἷον κλήρου τινὸς ἐπωνυμίας συμβόλῳ προσφωνούμε νον· ἥγε μὴν τὸν Δία θρεψαμένη νῆσος ἡ Κρήτη, καθάπερ τροφεῖα τῆς Διὸς ὑποδοχῆς ἀντιλαβοῦσα, τὸ ἑκατὸν πλέον ἀριθμῷ τετίμηται. καὶ Θήβας δὲ ἄρα τὰς ἑκατοντα πύλους, οὐκ ἄλλου τινὸς ἢ τούτου χάριν ἐπαινεῖ Ὅμηρος, διότι ταῖς πύλαις ταῖς ἑκατὸν, κάλλος ἦν θαυμαστόν. καὶ σιωπῶ θεῶν ἑκατόμβας καὶ ναοὺς ἑκατοντα πέδους, καὶ βωμοὺς ἑκατοντακρηπῖδας καὶ τοὺς ἑκατοντα δόχους ἀνδρῶν. καὶ τὰς ἀρούρας δὲ τὰς ἑκατονταπλέθρους. καὶ ὅσα ἄλλα θεῖά τε καὶ ἀνθρώπινα τῇ ἀριθμοῦ τοῦδε προσηγορίᾳ συνείληπται. ὅτε μὴν ἀριθμὸς οὗτος οἶδε καὶ στρατιωτικὴν ὁμοῦ καὶ εἰρηνικὴν τάξιν κοσμῆσαι. καὶ φαιδρύνει τὴν ἑκατοντάνδρων λοχαγίαν. τιμᾷ δὲ ἤδη δικαστῶν ἐς τὸ ἶσον ἤκουσαν ἐπωνυμίαν. καί με καὶ πλείω τούτων ἔχοντα λέγειν, ὁ τῆς ἐπιστολῆς ἐπιστρέφει νόμος. σὺ δὲ ἀλλὰ συγγνώμην ἔχειν τῷ λόγῳ, διότι καὶ ταῦτα πλείω τῶν ἱκανῶν εἴρηται. καὶ εἰ μὲν ἔχει μέτριον ὑπὸ σοὶ κριτῇ, καλὸν ἐγχείρημα, πάντως καὶ πρὸς τοὺς ἄλλους ἔκφορον ἔσται, τῆς παρὰ σοῦ ψήφου τὴν μαρτυρίαν δεξάμενον. εἰ δὲ χειρὸς ἑτέρας προσδεῖται πρὸς τὸ τοῦ σκοποῦ συμπλήρωμα, τίς ἂν σοῦ καιρίων εἴη τὴν γραφὴν εἰς κάλλος ἀκριβώσαντος πρὸς τὴν τῆς θέας ἡδονὴν ἀπολαῦσαι.

Ἰουλιανὸς Ἰουδαίων τῷ κοινῷ. εἰ γνήσιος.

π Ανυ ὑμῖν φορτικώτερον γεγένηται ἐπὶ τῶν παρῳχηκότων καιρῶν τῶν ζυγῶν τῆς δουλείας, τὸ διαγραφαῖς ἀκηρύκτοις ὑποτάττεσθαι ὑμᾶς. καὶ χρυσίου πλῆθος ἄφατον εἰσκομίζειν τοῖς τοῦ ταμείου λόγοις. ὧν πολλὰ μὲν αὐτόπτης ἐθεώρουν. πλείονα δὲ τούτων ἔμαθον εὑρὼν τὰ βρέβια τὰ καθ᾽ ὑμῶν φυλαττόμενα. ἔτι δὲ καὶ μέλλουσαν πάλιν εἰσφορὰν καθ᾽ ὑμῶν προστάττεσθαι εἶρξα. καὶ τὸ τοιαύτης δυσφημίας ἀσέβημα, ἐνταῦθα ἐβιασάμην στῆσαι. καὶ πυρὶ παρέ-

δωκα

δωκα τὰ βρέβια τὰ καθ' ὑμῶν ἐν τοῖς ἐμοῖς σκρινίοις ἀποκείμενα· ὡς μηκέτι δύνασθαι καθ' ὑμῶν τινα τοιαύτην ἀκοντίζειν ἀσεβείας φήμην. καὶ τούτων μὲν ὑμῖν οὐ τοσοῦτον αἴτιος κατέστη ὁ τῆς μνήμης ἄξιος κωνστάντιος ὁ ἀδελφός, ὅσον οἱ τὴν γνώμην βάρβαροι καὶ τὴν ψυχὴν ἄθεοι οἱ τὴν τούτου τράπεζαν ἑστιώμενοι. οὓς μὲν ἐγὼ ἐν χερσὶν ἐμαῖς λαβόμενος εἰς βόθρον ὤσας ὤλεσα. ὡς μήτε μνήμην ἔτι φέρεσθαι, ἢ εἶναι παρ' ἡμῖν τῆς αὐτῶν ἀπωλείας. ἐπὶ πλέον δὲ ὑμᾶς εὐωχεῖσθαι βουλόμενος τὸν ἀδελφὸν ἴουλον τὸν αἰδεσιμώτατον πατριάρχην παρῄνεσα, καὶ τὴν λεγομένην εἶναι παρ' ὑμῖν ἀποστολὴν κωλυθῆναι· καὶ μηκέτι δύνασθαι τὰ πλήθη ὑμῶν, τινὰ ἀδικεῖν τοιαύταις φόρων εἰσπράξεσιν. ὡς πανταχόθεν ὑμῖν ἀμέριμνον ὑπάρχειν τῆς ἐμῆς βασιλείας· ἵνα ἀπολαύοντες, ἔτι μείζονας εὐχὰς ποιῆτε τῆς ἐμῆς βασιλείας τῷ πάντων κρείττονι καὶ δημιουργῷ θεῷ τῷ καταξιώσαντι στέψαι με τῇ ἀχράντῳ αὐτοῦ δεξιᾷ. πέφυκε γὰρ τοὺς ἔν τινι μερίμνῃ ἐξεταζομένους περιδεεῖς τὴν διάνοιαν καὶ μὴ τοσοῦτον εἰς τὴν προσευχὴν τὰς χεῖρας ἀνατείνειν τολμᾶν. τοὺς δὲ πανταχόθεν ἔχοντας τὸ ἀμέριμνον, ὁλοκλήρῳ ψυχῇ χαίροντας ὑπὲρ τοῦ βασιλείου, ἱκετηρίους λατρείας ποιεῖσθαι τῷ μείζονι. τῷ δυναμένῳ κατευθῦναι τὴν βασιλείαν ἐπὶ τὰ κάλλιστα, καθάπερ προαιρούμεθα. ὅπερ χρὴ ποιεῖν ὑμᾶς. ἵνα κἀγὼ τὸν τῶν περσῶν πόλεμον διορθωσάμενος, τὴν ἐκ πολλῶν ἐτῶν ἐπιθυμουμένην παρ' ὑμῖν ἰδεῖν οἰκουμένην πόλιν ἁγίαν ἱερουσαλὴμ ἐμοῖς καμάτοις ἀνοικοδομήσας οἰκήσω. καὶ ἐν αὐτῇ δόξαν δώσω μεθ' ὑμῶν τῷ κρείττονι.

τνι. Ἰουλιανοῦ νόμος περὶ τῶν ἰατρῶν.

Τ Ἡν ἰατρικὴν ἐπιστήμην σωτήριον δὴ τοῖς ἀνθρώποις τυγχάνειν, τὸ ἐναργὲς τῆς χρείας μαρτυρεῖ. διὸ καὶ ταύτην ἐξ οὐρανοῦ πε

φοιτηκέναι δικαίως φιλοσόφων παῖδες κηρύττουσι· τὸ γὰρ ἀσθενὲς τῆς ἡμετέρας φύσεως, καὶ τὰ τῶν ἐπισυμβαινόντων ἀρρωστημάτων ἐπανορθοῦται διὰ ταύτης. Καὶ γὰρ κατὰ τὸν τοῦ δικαίου λογισμὸν, συνῳδὰ τοῖς ἄνωθεν βασιλεῦσι θεσπίζοντες, ἡμετέρᾳ φιλανθρωπίᾳ κελεύομεν τῶν βουλευτικῶν λειτουργημάτων ἀνενοχλήτους ὑμᾶς τοὺς λοιποὺς χρόνους διάγειν.

Ἀλεξανδρεῦσι διάταγμα.

ε Χρῆν τὸν ἐξελαθέντα βασιλικοῖς πολλοῖς πάνυ καὶ πολλῶν αὐτοκρατόρων προστάγμασιν, ἓν γοῦν ἐπίταγμα περιμεῖναι βασιλικὸν, εἶθ' οὕτως εἰς τὴν ἑαυτοῦ κατιέναι. ἀλλὰ μὴ τόλμῃ μηδὲ ἀπονοίᾳ χρησάμενον, ὥσπερ οὐκ οὖσιν ἐνυβρίζειν τοῖς νόμοις. ἐπεί τοι καὶ τὸ νῦν ὑφ' ἡμῶν τοῖς Γαλιλαίοις, τοῖς φυγαδευθεῖσιν ὑπὸ τοῦ μακαρίτου Κωνσταντίου, οὐ κάθοδον εἰς τὰς ἐκκλησίας αὐτοῖς, ἀλλ' εἰς τὰς πατρίδας συνεχωρήσαμεν. Ἀθανάσιον δὲ πυνθάνομαι τὸν τολμηρότατον ὑπὸ τοῦ συνήθους ἐπαρθέντα θράσους, ἀντιλαβέσθαι τοῦ λεγομένου παρ' αὐτοῖς ἐπισκοπῆς θρόνου. τοῦτο δὲ εἶναι καὶ τῷ θεοσεβεῖ τῶν ἀλεξανδρέων δήμῳ μετρίως ἀηδές. ὅθεν αὐτῷ προαγορεύομεν ἀπιέναι τῆς πόλεως ἐξ ἧς ἂν ἡμέρας τὰ τῆς ἡμετέρας ἡμερότητος γράμματα δέξηται παραχρῆμα. μένοντι δὲ αὐτῷ τῆς πόλεως εἴσω, μείζους πολὺ καὶ χαλεπωτέρας προαγορεύομεν τιμωρίας.

Ἰουλιανὸς Λιβανίῳ σοφιστῇ καὶ κοιαίστωρι.

Εχρι τῶν λιτάρβων ἦλθον· ἔστι δὲ ἡ κώμη χαλκίδος. καὶ
μ ἐνέτυχον ὁδῷ λείψανα ἐχούσῃ χειμαδίων ἀντιοχικῶν, ἦν δὲ αὐτῆς οἶμαι, τὸ μὲν τέλμα, τὸ δὲ ὄρος. τραχεῖα δὲ πᾶσα. καὶ ἐνέκειντο τῷ τέλματι λίθοι ὥσπερ ἐπίτηδες ἐρριμμένοις ἐοικότες ὑπ' οὐδεμιᾶς τέχνης συγκείμενοι, ὃν τρόπον εἰώθασιν

ἐν ταῖς

ἐν ταῖς ἄλλαις πόλεσι τὰς λεωφόρους οἷον ἐξοικοδομοῦντες ποιεῖν. αὐτὴ μὲν τῆς κονίας πολὺν τὸν χοῦν ἐποικοδομοῦντες. πυκνοὺς δὲ ὥσπερ ἐν τοίχῳ τιθέντες τοὺς λίθους. ἐπεὶ δὲ διαβὰς μόλις ἦλθον εἰς τὸν πρῶτον σταθμὸν, ἐννέα που σχεδὸν ἦσαν ὧραι. καὶ ἐδεξάμην εἴσω τῆς αὐλῆς τὸ πλεῖστον τῆς παρ' ὑμῖν βουλῆς. ἃ δὲ διελέχθημεν πρὸς ἀλλήλους, ἴσως ἐπύθου. μάθοις δ' ἂν καὶ ἡμῶν ἀκούσας, εἰ θεοὶ θέλοιεν. ἀπὸ τῶν Λιτάρβων εἰς τὴν Βέρροιαν ἐπορευόμην. καὶ ὁ Ζεὺς αἴσια πάντα ἐσήμηνεν. ἐναργῆ δείξας τὴν διοσημίαν. ἐπιμείνας δὲ ἡμέραν ἐκεῖ, τὴν ἀκρόπολιν εἶδον. καὶ ἔθυσα τῷ Διὶ βασιλικῶς ταῦρον λευκόν. διελέχθην δὲ ὀλίγα τῇ βουλῇ περὶ θεοσεβείας. ἀλλὰ τοὺς λόγους ἐπῄνουν μὲν ἅπαντες, ἐπείσθησαν δὲ αὐτοῖς ὀλίγοι πάνυ. καὶ οὗτοι οἳ καὶ πρὸ τῶν ἐμῶν λόγων ἐδόκουν ἔχειν ὑγιῶς. ἐλάβοντο δὲ ὥσπερ παρρησίας ἀποξύσασθαι τὴν αἰδῶ καὶ ἀποθέσθαι. πέφυκε γὰρ ὦ θεοὶ τοῖς ἀνθρώποις ἐπὶ μὲν τοῖς καλοῖς ἐρυθριᾶν ἀνδρείᾳ ψυχῆς καὶ εὐσεβείᾳ. καλλωπίζεσθαι δὲ ὥσπερ τοῖς χειρίστοις ἱεροσυλίᾳ καὶ μαλακίᾳ γνώμης καὶ σώματος. ἔνθεν ὑποδέχονταί με Βάτναι χωρίον οἷον οὐκ εἶδον παρ' ὑμῖν ἔξω τῆς Δάφνης, ἣ νῦν ἔοικε ταῖς Βάτναις. ὡς τά γε πρὸ μικροῦ σωζομένου τοῦ νεὼ καὶ τοῦ ἀγάλματος, ὅσῃ καὶ πλείω καὶ τὰς ὀλύμπου κορυφαῖς ἐν τοῖς Θετταλικοῖς Τέμπεσιν ἄγων ἐπίσης. ἢ καὶ προτιμῶν ἁπάντων ὁμοῦ τὴν Δάφνην οὐκ αἰσχυνοίμην. ἱερὸν Διὸς ὀλυμπίου καὶ ἀπόλλωνος πυθίου τὸ χωρίον. ἀλλ' ἐπὶ μὲν τῇ Δάφνῃ γέγραπταί σοι λόγος. ὁποῖον ἄλλος οὐδὲ εἷς τῶν οἳ νῦν κομψοὶ εἰσὶ καὶ μάλα ἐπιχειρήσας ἂν καμεῖν, ἐργάσαιτο. νομίζω δὲ ἐν τῶν ἔμπροσθεν οὐ πολλοὺς πάνυ. τί οὖν ἐγὼ νῦν ἐπιχειρῶ περὶ αὐτῆς, γρά-

φειν οὕτω

λαμπρᾶς ἐπ' αὐτῇ συγγεγραμμένης. ὡς μή ποτε ὤφελε τοιοῦτον. αἵ γε μὲν βάτναι βαρβαρικὸν ὄνομα τοῦτο, χωρίον ἐστὶν ἑλληνικόν. πρῶτον μὲν ὅτι διὰ πάσης τῆς πέριξ χώρας ἀτμοὶ λιβανωτοῦ πανταχόθεν ἦσαν ἱερεῖά τε ἐβλέπομεν εὐτρεπῆ πανταχοῦ. τοῦτο μὲν οὖν εἰ καὶ λίαν εὔφρανέ με, θερμότερον ὅμως ἐδόκει καὶ τῆς εἰς τοὺς θεοὺς εὐσεβείας ἀλλότριον. ἐκτὸς πάτου γὰρ εἶναι χρὴ καὶ δρᾶσθαι καθ' ἡσυχίαν. ἐπ' αὐτὸ γὰρ τοῦτο πορευομένων οὐκ ἐπ' ἄλλο τι βαδιζόντων τὰ πρὸς τοὺς θεοὺς ἱερεῖά τε καὶ ὅσια. τοῦτο μὲν οὖν ἴσως τεύξεται τῆς ἁρμοζούσης ἐπιμελείας αὐτίκα. τὰς βάτνας δὲ εὑρὼν πεδίον λάσιον ἄλση κυπαρίττων ἔχον νέων. ἦν ἐν ταύταις οὐδὲν γεράνδρυον οὐδὲ σαπρόν. ἀλλὰ ὁμοίως ἅπαντα θάλλοντα τῇ κόμῃ. καὶ τὰ βασίλεια πολυτελῆ μὲν ἥκιστα. πηλοῦ γὰρ ἦν μόνον καὶ ξύλων. οὐδὲν ποικίλον ἔχοντα. κῆπος δέ τις μὲν ἀλκινόου καταδεέστερον, παραπλήσιον δὲ τῷ λαέρτου. καὶ ἐν αὐτῷ μικρὸν ἄλσος πάνυ, κυπαρίττων μεστόν. καὶ παρὰ τῷ τοίχῳ δὲ πολλὰ τοιαῦτα παραπεφυτευμένα δένδρα στίχῳ καὶ ἐφεξῆς. εἶτα τὸ μέσον πρασιαί. καὶ ἐν ταύταις λάχανα, καὶ δένδρα παντοίαν ὀπώραν φέροντα. τί οὖν ἐνταῦθα. ἔθυσα δείλης. εἶτα ὄρθρου βαθέος, ὅπερ εἴωθα ποιεῖν ἐπιεικῶς ἑκάστης ἡμέρας. ἐπεὶ δὲ ἦν καλὰ τὰ ἱερά, τῆς πόλεως ἐχόμεθα καὶ ὑπαντῶσιν ἡμῖν οἱ πολῖται. ὑπεδέξατό με ξένος, ὀφθεὶς μὲν ἄρτι. φιλούμενος δὲ ὑπ' ἐμοῦ πάλαι. τὴν δὲ αἰτίαν, αὐτὸς μὲν οἶδ' ὅτι συνείρεις. ἐμοὶ δὲ ἡδὺ καὶ ἄλλως φράσαι. τὸ γὰρ ἀεὶ περὶ αὐτῶν ἀκούειν καὶ λέγειν, ἐστί μοι νέκταρ. ἰαμβλίχου τοῦ θειοτάτου τὸ θρέμμα σώπατρος. τούτου κηδεστὴς ὁ ξένος. ἐμοὶ γὰρ τὸ μὴ πάντα ἐκείνων τῶν ἀνδρῶν ἀγαπᾶν, ἀδικημάτων οὐδὲν οὕτω φαυλότατον εἶναι δοκεῖ. πρόσεστι ταύτης αἰτία μείζων. ὑποδεξάμενος

γὰρ

καὶ πολλάκις, τόν, τε ἀνεψιὸν τὸν ἐμὸν καὶ τὸν ὁμοπάτριον ἀδελφόν. καὶ προτραπεὶς ὑπ' αὐτῶν οἰκείως πολλάκις ἀποστῆναι τῆς εἰς θεοὺς δυσσεβείας, ὃ χαλεπόν ἐστιν οὐκ ἐλήφθη τῇ νόσῳ. Ταῦτα εἶχον ἀπὸ τῆς ἱερᾶς πόλεως σοι γράφειν, ὑπὲρ τῶν ἐμαυτοῦ. τὰς δὲ στρατιωτικὰς ἢ πολιτικὰς οἰκονομίας, αὐτὸν ἐχρῆν οἶμαι παρόντα ἐφορᾶν καὶ ἐπιμελεῖσθαι. μεῖζον γάρ ἐστιν ἢ κατ' ἐπιστολὴν εὖ ἴσθι καὶ τοσοῦτον ὅσον οὐ ῥᾴδιον οὐδὲ τριπλάσια τούτου περιλαβεῖν σκοποῦντι τἀκριβές. ἐπεὶ καὶ φαίην δέ σοι, καὶ ταῦτα φράσω δι' ὀλίγων. πρὸς τοὺς σαρακηνοὺς ἔπεμψα πρέσβεις ὑπομιμνήσκων αὐτοὺς ἥκειν εἰ βούλοιντο. ἓν μὲν δὴ τοιοῦτο. ἕτερον δὲ, λίαν ἐγρηγορότας ὡς ἐνεδέχετο τοὺς παραφυλάξοντας ἐξέπεμψα. μή τις ἐνθένδε πρὸς τοὺς πολεμίους ἐξέλθῃ λαθὼν, ἐσόμενος αὐτοῖς ὡς κεκινήμεθα μηνυτής. ἐκεῖθεν ἐδίκασα νίκην στρατιωτικὴν, ὡς ἐμαυτὸν πείθω, πρᾳότατα καὶ δικαιότατα. ἵππους περιττοὺς καὶ ἡμιόνους παρεσκεύασα, τὸ στρατόπεδον εἰς ταυτὸ συναγαγών. ναῦς πληροῦνται ποτάμιαι πυροῦ. μᾶλλον δὲ ἄρτων ξηρῶν καὶ ὄξους. καὶ τούτων ἕκαστον ὅπως ἐπράχθη, καὶ τίνες ἐφ' ἑκάστῳ γεγόνασι λόγοι, πόσου μήκους ἐστὶ συγγραφὴ, ἐννοεῖς. ἐπιστολαῖς δὲ ὅσαις ὑπέγραψα καὶ βιβλίοις ἑπόμενα ὥσπερ σκιά μοι, καὶ ταῦτα συμπερινοστοῦντα πανταχοῦ, τί δεῖ νῦν πράγματα ἔχειν ἀπαριθμούμενον.

Ἰουλιανὸς γρηγορίῳ ἡγεμόνι.

Ἐμοὶ καὶ γράμμα παρὰ σοῦ μικρὸν, ἀρκεῖ μεγάλης ἡδονῆς πρόφασιν μνηστεῦσαι. καὶ τοίνυν οἷς ἔγραψας λίαν ἡσθεὶς, ἀντιδίδωμι καὶ αὐτὸς τὴν ἴσην, οὕτω τῶν ἐπιστολῶν μῆκος μᾶλλον, ἢ τῷ τῆς εὐνοίας μεγέθει τὰς τῶν ἑταίρων φιλίας ἐκτείνεσθαι δεῖν κρίνων.

Ἰουλιανὸς Ἀλυπίῳ ἀδελφῷ Καισαρείου.

ὁ Συλοσῶν ἀπῆλθε φησὶ παρὰ τὸν Δαρεῖον, καὶ ὑπέμνησεν αὐτὸν τῆς χλανίδος, καὶ ᾔτησεν ἀντὶ ἐκείνης παρ' αὐτοῦ τὴν Σάμον. εἶτα ἐπὶ τούτῳ Δαρεῖος μὲν ἐμεγαλοφρονεῖτο, μεγάλα ἀντὶ μικρῶν νομίζων ἀποδεδωκέναι. Συλοσῶν δὲ λυπηρὰν ἐλάμβανε χάριν. σκόπει δὴ τὰ ἡμέτερα νῦν πρὸς ἐκεῖνα. ἓν μὲν δὴ τὸ πρῶτον οἶμαι κρεῖσσον ἔργον ἡμέτερον. οὐ γὰρ ὑπεμείναμεν ὑπομνησθῆναι παρ' ἄλλου· τοσούτῳ δὲ χρόνῳ τὴν μνήμην τῆς φιλίας διαφυλάξαντες ἀκέραιον, ἐπειδὴ πρῶτον ἡμῖν ἔδωκεν ὁ θεὸς οὐκ ἐν δευτέροις ἀλλ' ἐν τοῖς πρώτοις ἐμέ τε καλέσαι. τὰ μὲν οὖν πρῶτα τοιαῦτα. περὶ δὲ τῶν μελλόντων ἅ γάρ μοι δώσεις τί, καὶ γάρ εἰμι μαντικός. προαγορεῦσαι, μακρῷ νομίζω κρεῖττον ἐκείνων. ἀδράστεια δὲ εὐμενὴς εἴη. οὔτε γὰρ οὐδὲν δέῃ συγκαταστρεφομένου τὴν πόλιν βασιλέως. ἐγώ τε πολλῶν δέομαι τῶν συνεπανορθούντων μοι τὰ πεπτωκότα κακῶς. ταῦτά σοι γαλλικὴ καὶ βάρβαρος μοῦσα προσπαίζει. σὺ δὲ ὑπὸ τῇ τῶν θεῶν πομπῇ χαίρων ἀφίκοιο· καὶ τὴν αὐτοῦ χερσὶ λιπὼν, καὶ τῆς ἐν τοῖς χειμαδίοις θήρας τῶν προβατίων ἧκε πρὸς τὸν φίλον. ὅς σε τότε καὶ πρὶν οὔπω γινώσκων ὅσος εἶ δυνάμενος, ὅμως περιεῖπον.

Ἰουλιανὸς τῷ αὐτῷ.

ἤ Δη μὲν ἐτύγχανον ἀνειμένος τῆς νόσου. τὴν γεωγραφίαν ὅτε ἀπέστειλας. οὐ μὴν ἔλαττον διὰ τοῦτο ἡδέως ἐδεξάμην τὸ παρὰ σοῦ πινάκιον ἀποσταλέν. ἔχει γὰρ καὶ τὰ διαγράμματα τῶν πρόσθεν κάλλιον. καὶ κατεμούσωσας αὐτὸ, προσθεὶς τοὺς ἰάμβους οὐ μάχην ἀείδοντας τὸν βουπάλιον κατὰ τὸν κυρηναῖον ποιητήν. ἀλλ' οἵους ἡ καλὴ σαπφὼ βούλεται τοῖς ὕμνοις ἁρμόττειν. καὶ τὸ

μὲν

μὲν δῶρον τοιοῦτόν ἐστιν, ὁποῖον ἴσως σοί πέμπειν δυνατὸν, ἐμοί τε ἥδιστον δέξασθαι. περὶ δὲ τὴν διοίκησιν τῶν πραγμάτων, ὅτι δραστηρίως ἅμα καὶ πράως ἅπαντα περαίνειν προθυμῇ, συνηδόμεθα. μῖξαι γὰρ πραότητα καὶ σωφροσύνην ἀνδρείᾳ καὶ ῥώμῃ, καὶ τῇ μὲν χρῆσθαι πρὸς τοὺς ἐπιεικεστέρους, τῇ δὲ ἐπὶ τῶν πονηρῶν ἀπαραιτήτως πρὸς ἐπανόρθωσιν, οὐ μικρᾶς ἐστι φύσεως, οὐδὲ ἀρετῆς ἔργον, ὡς ἐμαυτὸν πείθω. τούτων εὐχόμεθά σε τῶν σκοπῶν ἐχόμενον ἀμφότερα πρὸς ἓν τὸ καλὸν αὐτοὺς συναρμόσαι. τοῦτο γὰρ ἁπάσαις προκεῖσθαι ταῖς ἀρεταῖς τέλος, οὐκ εἰκῆ τῶν παλαιῶν ἐπίστευον οἱ λογιώτατοι. ἐρρωμένος καὶ εὐδαιμονῶν διατελοίης ἐπὶ μήκιστον ἀδελφὲ ποθεινότατε καὶ φιλικώτατε.

Ἰουλιανὸς ἀετίῳ ἐπισκόπῳ.

λ Οι κοῖς μὲν ἅπασι τοῖς ὁπωσοῦν ὑπὸ τοῦ μακαρίτου κωνσταντίου πεφυγαδευμένοις, ἕνεκεν τῆς τῶν γαλιλαίων ἀπονοίας ἀνῆκα τὴν φυγήν. σὲ δὲ οὐκ ἀνίημι μόνον. ἀλλὰ καὶ παλαιᾶς γνώσεώς τε καὶ συνηθείας μεμνημένος, ἀφικέσθαι προτρέπω μέχρις ἡμῶν. χρήσῃ δὲ ὀχήματι δημοσίῳ μέχρι τοῦ στρατοπέδου τοῦ ἐμοῦ καὶ ἑνὶ παρίππῳ.

Ἰουλιανὸς Λουκιανῷ σοφιστῇ.

γ Ράφω καὶ ἀντιτυχεῖν ἀξιῶ τῶν ἴσων. εἰ δὲ ἀδικῶ συνεχῶς ἐπιστέλλων, ἀνταδικηθῆναι δέομαι τῶν ὁμοίων παθῶν.

Ἰουλιανὸς δοσιθέῳ.

μ Ικροῦ μοι ἐπῆλθε δακρῦσαι. καίτοι γε ἐχρῆν εὐφημεῖν τοὔνομα τὸ σὸν φθεγγόμενον. ἀνεμνήσθην γὰρ τοῦ γενναίου καὶ πάντα θαυμασίου πατρὸς ἡμῶν. ὃν εἰ μὲν ζηλώσειας, καὶ αὐτός τε εὐδαίμων ἔσῃ καὶ τῷ βίῳ δώσεις, ὥσπερ ἐκεῖνο, ἐφ' ὅτῳ φιλοτιμήσεσθ

ῥαθυμήσας δὲ, λυπήσεις ἐμέ. σαυτοῦ δὲ ὅτι μηδὲν ὄφελος, μέμ-
ψῃ.

Ἰουλιανὸς ἰαμβλίχῳ φιλοσόφῳ.

ὀ Δυσσεῖ μὲν ἐξήρκει τοῦ παιδὸς τὴν ἐφ' αὑτῷ φαντασίαν ἀναστέλλοντι λέγειν οὔ τοι τις θεός εἰμι. τί μ' ἀθανάτοισιν ἐΐσκεις; ἐγὼ δὲ οὐδ' ἂν ἀνθρώπων εἶναι φαίην ἂν ὡς ὁ λόγος. ἕως ἂν ἰαμβλίχῳ μὴ συνῶ. ἀλλ' ἐραστὴς μὲν εἶναι ὁμολογῶ. καθάπερ ἐκεῖνος τοῦ τηλεμάχου πατήρ. κἂν γὰρ ἀνάξιόν με λέγῃ τις, οὐδὲ οὕτω τοῦ ποθεῖν ἀφαιρήσεται. ἐπεὶ καὶ ἀγαλμάτων καλῶν ἀκούω πολλοὺς ἐραστὰς γενέσθαι μὴ μόνον τοῦ δημιουργοῦ τὴν τέχνην μὴ βλάπτοντας, ἀλλὰ καὶ τῷ περὶ αὐτὰ πάθει τὴν ἔμψυχον ἡδονὴν τῷ ἔργῳ προστιθέντας. τῶν γε μὴν παλαιῶν καὶ σοφῶν ἀνδρῶν, οἷς ἡμᾶς ἐγκρίνειν ἐθέλεις παίζων, τοσοῦτον ἀπέχειν φαίην ὅσον αὐτῷ φοιτώντων ἀριθμῷ μετεῖναί τις δύω. καίτοι σύ γε οὐ πίνδαρον μόνον, οὐδὲ δημόκριτον, ἢ ὀρφέα τὸν παλαιότατον ἀλλὰ καὶ ξύμπαν ὁμοῦ τὸ ἑλληνικὸν ὅσον εἰς ἄκρον φιλοσοφίας ἐλθεῖν μνημονεύεται, καθάπερ ἐν λύρας ποικίλων φθόγγων ἐναρμονίῳ συστάσει πρὸς τὸ ἐντελὲς τῆς μουσικῆς κέρας ἔχεις. καὶ ὥσπερ ἄργον τὸν φύλακα τῆς ἰοῦς, οἱ μῦθοι πρόνοιαν ἔχοντα τῶν διὸς παιδικῶν ἀκοιμήτοις πάντοθεν ὀφθαλμῶν βολαῖς περιφράττουσιν, οὕτω καί σε γνήσιον ἀρετῆς φύλακα καθαροῖς παιδεύσεως ὀφθαλμοῖς ὁ λόγος φωτίζει. πρωτέα μὲν δὴ τὸν αἰγύπτιόν φασι ποικίλαις μορφαῖς ἑαυτὸν ἐξαλλάττειν, ὥσπερ δεδιότα, μὴ λάθῃ τοῖς δεομένοις. ὡς ἦν σοφὸς ἐκφήνας. ἐγὼ δὲ εἴπερ ἦν ὄντως σοφὸς πρωτεύς, καὶ οἷος πολλὰ τῶν ὄντων γινώσκειν, ὡς ὅμηρος λέγει, τῆς μὲν ὧν ᾔδει φύσεως αὐτὸν ἐπαινῶ. τῆς γνώμης δὲ οὐκ ἄγαμαι. διότι μὴ φιλανθρώπου τινὸς, ἀλλὰ ἀπατεῶνος

ἔργον

ἔργοις ἐποίει κρύπτειν ἑαυτόν· ἵνα μὴ χρήσιμος ἀνθρώποις ᾖ. σὲ δὲ ὦ γενναιότατε τίς οὐκ ἂν ἀληθῶς θαυμάσειεν ὡς οὐδέν τι τοῦ πρωτέως τοῦ σοφοῦ μεῖον εἶ. καὶ μὴ μᾶλλον εἰς ἀρετὴν ἄκραν τὴν κορυφὴν ὧν ἔχεις καλῶν, ἀφθονεῖς ἀνθρώποις. ἀλλ' ὥσπερ ἡλίου καθαρῶς δίκην ἀκτῖνάς σου ἀκραιφνεῖς ἐπὶ πάντας ἄγεις. οὐ μόνον τοῖς παροῦσι τὰ εἰκότα ξυνών· ἀλλὰ καὶ ἀπόντας, ἐφ' ὅσον ἔξεστι τοῖς παρὰ σαυτοῦ σεμνύνων. νικᾷς δ' αὖ οὕτω καὶ τὸν ὀρφέα τὸν καλὸν οἷς πράττεις. ἐκεῖνος μὲν τὴν οἰκείαν μουσικὴν εἰς τὰς τῶν θηρίων ἀγέλας καταναλίσκε. σὺ δὲ ὥσπερ ἐπὶ σωτηρίᾳ τοῦ κοινοῦ τῶν ἀνθρώπων γένους τὰ χθές, ἀσκληπιοῦ χεῖρα πανταχοῦ ζηλῶν, ἅπαντας ἐπέρχῃ λογίῳ τε καὶ σωτηρίῳ νεύματι. ὥστ' ἔμοιγε δοκεῖ καὶ ὅμηρος εἰ ἀνεβίου πολλῷ δικαιότερον δύναιτο ἐπὶ σοὶ ἐκεῖνο τὸ ἔπος αἰνίξασθαι, τὸ, εἷς δ' ἔτι που ζωὸς κατερύκεται εὐρέϊ κόσμῳ. τὸ γὰρ πῦρ τοῦ παλαιοῦ κόμματος ἡμῖν οἱονεὶ σπινθήρ τις ἱερὸς ἀληθοῦς καὶ γονίμου παιδεύσεως ὑπὸ σοὶ μόνῳ ζωπυρεῖται. καὶ εἴη γε ζεῦ σῶτερ καὶ ἑρμῆ ἄγε τὸ κοινὸν ἁπάσης τῆς οἰκουμένης ὄφελος ἰάμβλιχον τὸν καλὸν ἐπὶ μήκιστον χρόνον τηρεῖσθαι. πάντως που καὶ ἐφ' ὁμήρῳ καὶ πλάτωνι καὶ σωκράτει. καὶ εἴ τις ἄλλος ἄξιος τοῦ χοροῦ τούτου, δικαίας εὐχῆς ἐπίτευγμα τοῖς πρότερον εὐτυχηθέν, οὕτω τοὺς ἐκείνων καιροὺς ἐπὶ μεῖζον ηὔξησεν. οὐδὲν δὴ κωλύει καὶ ἐφ' ἡμῶν ἄνδρα καὶ λόγῳ καὶ βίῳ τῶν ἀνδρῶν ἐκείνων ἀντάξιον, ὑφ' ὁμοίαις εὐχαῖς ἐς τὸ ἀκρότατον βίου γῆρας ἐπ' εὐδαιμονίᾳ τῶν ὅλων παραπεμφθῆναι.

Ἀνεπίγραφος ὑπὲρ ἀργείων

ὑ

Γὲρ τῆς ἀργείων πόλεως πολλὰ μὲν ἄν τις εἰπεῖν ἔχοι, σεμνύνων αὐτῆς ἐθέλων παλαιά τε καὶ νέα πράγματα. τοῦτό τε δὴ τρωϊκὸν καθάπερ ὕστερον ἀθηναίοις τε καὶ λακεδαιμονίοις τοῦτο προσήκει τὸ πλέον ἐκεί-

δοκεῖ μὲν γὰρ ἄμφω κοινῇ πραχθῆναι πρὸ τῆς ἑλλάδος· ἄξιον δὲ ὥσπερ τῶν ἔργων καὶ τῆς φροντίδος, οὕτω καὶ τῶν ἐπαίνων τοὺς ἡγεμόνας τὸ πλέον μετέχειν. ἀλλὰ ταῦτα μὲν ἀρχαῖά πως εἶναι δοκεῖ· τὰ δὲ μετὰ ταῦτα, ἡ ἡρακλειδῶν κάθοδος· καὶ ὡς τῷ πρεσβυτάτῳ γέρας ἐξῃρέθη, ἥ τε εἰς μακεδονίαν ἐκεῖθεν ἀποικία, καὶ τὸ λακεδαιμονίοις οὕτω πλησίον προσοικοῦντας, ἀδούλωτον ἀεὶ καὶ ἐλεύθερον φυλάξαι τὴν πόλιν, οὐ μικρᾶς οὐδὲ τῆς τυχούσης ἀνδρείας ἦν. ἀλλὰ δὴ καὶ τὰ τοιαῦτα περὶ τοὺς πέρσας ὑπὸ τῶν μακεδόνων γιγνόμενα ταύτῃ προσήκει τῇ πόλει δικαίως ἄν τις ὑπολάβοι. φιλίππου τε γὰρ καὶ ἀλεξάνδρου τῶν πάνυ προγόνων πατρὶς ἦν αὕτη. ῥωμαίοις δὲ ὕστερον οὐχ ἁλοῦσα μᾶλλον ἢ κατὰ ξυμμαχίαν ὑπήκουσε. καὶ ὥσπερ οἶμαι, μετεῖχε καὶ αὐτὴ, καθάπερ αἱ λοιπαὶ τῆς ἐλευθερίας καὶ τῶν ἄλλων δικαίων, ὅσα νέμουσι ταῖς περὶ τὴν ἑλλάδα πόλεσιν οἱ κρατοῦντες ἀεί. κορίνθιοι δὲ νῦν αὐτὴν προσγινομένην αὐτοῖς, οὕτω γὰρ εἰπεῖν εὐπρεπέστερον, ἀπὸ τῆς βασιλευούσης πόλεως, εἰς κακίαν ἐπαρθέντες συντελεῖν αὐτοὺς ἀναγκάζουσι. καὶ ταύτης ἦρξαν, ὥς φασι τῆς καινοτομίας, ἕβδομος οὗτος ἐνιαυτός. οὔτε τὴν δελφῶν οὔτε τὴν ἠλείων συντέλειαν, ἧς ἠξιώθησαν, ὑπὲρ τοῦ διατιθέναι τοὺς παρὰ σφίσιν ἱεροὺς ἀγῶνας αἰδεσθέντες. τεττάρων γὰρ ὄντων, ὡς ἴσμεν τῶν μεγίστων καὶ λαμπροτάτων ἀγώνων περὶ τὴν ἑλλάδα, ἠλεῖοι μὲν ὀλύμπια, δελφοὶ δὲ πύθια, καὶ τὰ ἐν ἰσθμῷ κορίνθιοι, ἀργεῖοι δὲ τὴν τῶν νεμέων συγκροτοῦσι πανήγυριν. πῶς οὖν εὔλογον ἐκείνοις μὲν ὑπάρχειν τὴν ἀτέλειαν τὴν πάλαι δοθεῖσαν. τοὺς δὲ ἐπὶ ὁμοίοις δαπανήμασιν ἀφεθέντας πάλαι, τυχὸν δὲ οὐδὲ τὴν ἀρχὴν ὑπαχθέντας νῦν ἀφῃρῆσθαι τὴν προνομίαν, ἧς ἠξιώθησαν; πρὸς δὲ τούτοις ἠλεῖοι μὲν καὶ δελφοὶ, διὰ τῆς πολυθρυλλήτου πενταετηρίδος ἅπαξ ἐπιτελεῖν εἰώθασι. δὶς τὰ δὲ ἐν νέμεα παρὰ τοῖς ἀργείοις κα-

θαι διὰ τὰ ἴσθμια παρὰ κορινθίοις. ἐν μέντοι τούτῳ τῷ χρόνῳ καὶ δύο προσήκοντα πρὸς τοῖς ἀργείοις ἀγῶνες ἕτεροι οἵδε. ὥστε εἶναι τέσσαρας πάντας ἐν αὐτοῖς τέσσαρσι. πῶς οὖν εἰκὸς ἐκείνους μὲν ἀπράγμονας εἶναι λειτουργοῦντας ἅπαξ. τούτους δὲ ὑπάγεσθαι πρὸς ἑτέρων συντελεῖν, ὑπὲρ τετραπλασίοις τοῖς οἰκείοις λειτουργήμασιν. ἄλλως τε οὐδὲ πρὸς ἑλληνικὴν οὐδὲ παλαιὰν πανήγυριν. οὐδὲ γὰρ ἐς χρῆσιν ἀγώνων γυμνικῶν ἢ μουσικῶν, οἱ κορίνθιοι τῶν πολλῶν δέονται χρημάτων. ὑπὲρ δὲ τὰ κυνηγέσια τὰ πολλάκις ἐν τοῖς θεάτροις ἐπιτελούμενα, ἄρκτους καὶ παρδάλεις ὠνοῦνται. ἅπερ αὐτοὶ μὲν εἰκότως φέρουσι διὰ τὸν πλοῦτον καὶ τῶν ἀναλωμάτων τὸ μέγεθος. ἄλλως τε καὶ πολλῶν πόλεων ὡς εἰκὸς αὐτοῖς εἰς τοῦτο συναιρομένων, ὠνοῦνται τὴν τέρψιν τοῦ φρονήματος. ἀργεῖοι δὲ χρημάτων τε ἔχοντες ἐνδεέστερον, καὶ ξενικῇ θέᾳ καὶ παρ᾽ ἄλλοις ἐπιδουλεύειν ἀναγκαζόμενοι, πῶς οὐκ ἄδικα μὲν καὶ παράνομα, τῆς τε περὶ τὴν πόλιν ἀρχαίας δυνάμεώς τε καὶ δόξης ἀνάξια πείσονται. ὄντες γὰρ αὐτοῖς καὶ αὐτοὶ γείτονες, οὓς προσῆκον ἦν ἀγαπᾶσθαι μᾶλλον. εἴπερ ὀρθῶς ἔχει, τὸ οὐδ᾽ ἂν βοῦς ἀπόλοιτο εἰ μὴ διὰ κακίαν γειτόνων. ἀργεῖοι δὲ ἐοίκασιν οὐχ ὑπὲρ ἑνὸς πολυπραγμονούμενοι βοὸς διὰ ταῦτα τοῖς κορινθίοις αἰτιᾶσθαι. ἀλλ᾽ ὑπὲρ πολλῶν καὶ μεγάλων ἀναλωμάτων οἷς οὐ δικαίως εἰσὶν ὑπεύθυνοι. καίτοι πρὸς τοὺς κορινθίους εἰκότως ἄν τις καὶ τοῦτο προσθείη. πότερον αὐτοῖς δοκεῖ καλῶς ἔχειν τοῖς τῆς παλαιᾶς ἑλλάδος ἕπεσθαι νομίμοις, ἢ μᾶλλον οἷς ἔναγχος δοκοῦσι παρὰ τῆς βασιλευούσης προσειληφέναι πόλεως. εἰ μὲν γὰρ τῶν παλαιῶν νομίμων ἀγαπῶσι σεμνότητα, ἀργείοις μᾶλλον εἰς κόρινθον, ἢ κορινθίοις εἰς ἄργος συντελεῖν προσήκει. εἰ δὲ τοῖς νῦν ὑπάρξασι τὴν πόλιν, ἐπειδὴ τὴν ῥωμαϊκὴν ἀποικίαν ἐδέξαντο ἰσχυριζόμενοι, πλέον ἔχειν ἀξιοῦσι, παραιτησόμεθα μετρίως αὐτοὺς μὴ τῶν πατέρων

ὅσα καλῶς ἐκεῖνοι κρίναντες, ταῖς περὶ τὴν Ἑλλάδα διεφύλαξαν πόλεσιν ἔθιμα, ταῦτα καταλύειν καὶ καινοτομεῖν ἐπιβάλλεσθαι, καὶ λυμῇ τῶν ἀσυγγράπτων, ἄλλως τε καὶ νεωτέρᾳ χρωμένους τῇ ψήφῳ, καὶ τὴν ἀπραγμοσύνην ὑπὲρ τῆς Ἀργείων πόλεως τὴν δίκην εἰσελθεῖν, ἕρμαιον ἔχοντας τῆς πλεονεξίας. ἣ γὰρ ἂν ἐφῆκεν ἔξω τῆς Ἑλλάδος ἁπάντων τὴν δίκην. οἱ Κορίνθιοι ἔλαττόν τε ἰσχύειν ἔμελλον. καὶ τὸ δίκαιον ἐξεταζόμενον καλῶς φαίνεσθαι πρὸς τῶν πολλῶν καὶ γενναίων τούτων συνηγόρων. ὑφ᾽ ὧν εἰκός ἐστι τὸν δικαστὴν προτιθέμενον, τὰ περί τοι κατὰ τὴν πόλιν ἀξιώματος δυσωπούμενον, ταύτην τὴν ψῆφον ἐξενεγκεῖν. ἀλλὰ τὰ μὲν ὑπὲρ τῆς πόλεως δίκαια καὶ τῶν ῥητόρων, εἰ μόνον ἀκούειν ἐθέλοις, καὶ λέγειν αὐτοῖς ἐπιτραπείη, τὴν δίκην ἀπ᾽ ἀρχῆς πεύσῃ, καὶ τὸ πρᾶγμα ἐκ τῶν λεγομένων, ὀρθῶς κριθήσεται. ὅτι δὲ χρὴ καὶ τοῖς πρεσβείαν ταύτην προστάττουσι δι᾽ ἡμῶν πεισθῆναι, μικρὰ προσθεῖναι χρή. Διογένης μέντοι καὶ Λαμπρίας φιλοσοφοῦσι μὲν εἴπερ τις ἄλλος τῶν καθ᾽ ἡμᾶς. τῆς πολιτείας δὲ τὰ μὲν ὄνομα τὰ κερδαλέα διαπεφεύγασι. τῇ πατρίδι δὲ ἐπαρκεῖν ἀεὶ κατὰ δύναμιν προθυμούμενοι, ὅταν ἡ πόλις ἐν χρείᾳ μεγάλῃ γένηται, τότε ῥητορεύουσι καὶ πολιτεύονται, καὶ πρεσβεύουσι, καὶ δαπανῶσιν ἐκ τῶν ὑπαρχόντων προθύμως ἔργοις ἀπολογούμενοι τὰ φιλοσοφίας ὀνείδη, τὰ τὸ δοκεῖν ἀχρήστους εἶναι ταῖς πόλεσι τοὺς μετιόντας φιλοσοφίαν, ψεῦδος ἐλέγχοντες. χρῆται δὲ αὐτοῖς ἥ τε πατρὶς εἰς ταῦτα. καὶ πειρῶνται βοηθεῖν αἰτίᾳ τοῦ δικαίου δι᾽ ἡμῶν· ἡμεῖς δὲ αὖθις διὰ σοῦ. τοῦτο δὲ καὶ μόνον λείπεται τοῖς ἀδικουμένοις εἰς τὸ σωθῆναι. τὸ τυχεῖν δικαστοῦ κρίνειν τε ἐθέλοντος καὶ δυναμένου καλῶς, ὁπότερον δὲ ἂν ἀπῇ τούτων, ἐξαπατηθέντος ἢ καταπροδόντος αὐτοῦ, τὸ δίκαιον οἴχεσθαι πάντως ἀνάγκη. ἀλλ᾽ ἐπειδὴ νῦν ἡμῖν τὰ μὲν τῶν δικαστῶν

ὑπάρχει καὶ τοὺς ἄλλους, λέγειν δὲ οὐκ ἔνι μὴ πώποτε ἐφέντας, ἀξιοῦσι τοῦτο πρῶτον αὐτοῖς ἀποδοθῆναι. καὶ μὴν τὴν ἀπραγμοσύνην αὐτοῦ τότε συμφέρουσαν τῇ πόλει καὶ τὴν δίκην ἐπιτροπεύσαντος αἰτίαν αὐτῇ γενέσθαι εἰς τὸν ἔπειτα αἰῶνα βλάβης τοσαύτης. ἄτοπον δὲ οὐ χρὴ νομίζειν, τὸ, τὴν δίκην αὖθις ἀνάδικον ποιεῖν. τοῖς μὲν γὰρ ἰδιώταις συμφέρει τὸ κρεῖττον καὶ λυσιτελέστερον ὀλίγων περιιδεῖν τὴν εἰς τὸν ἔπειτα χρόνον ἀσφάλειαν ὠνουμένοις. οὗτος γὰρ αὐτοῖς ὀλίγου βίου, ἡδὺ μὲν καὶ τὸ μετ' ὀλίγον ἡσυχίας ἀπολαῦσαι. φοβερὸν δὲ καὶ τὸ πρὸ τοῦ δικαστηρίου ἀπελέσθαι κρινομένους. καὶ παραπέμψαι τὴν δίκην ἀτελῆ. ὥστε κινδυνεύειν κρεῖσσον εἶναι τὸ καλὸν ὁπωσοῦν προσλαβεῖν ἥμισυ, ἢ περὶ τοῦ παντὸς ἀγωνιζόμενον ἀποθανεῖν. ταῖς πόλεσι δὲ ἀθανάτοις οὔσαις, εἰ μή τις δικαίως κρίνας, καὶ πρὸς ἀλλήλας φιλονεικίας ἀπαλλάξει, ἀθάνατον ἔχειν τὴν δύσνοιαν πάντως ἀναγκαῖον. καὶ τὸ μῖσος δὲ ἰσχυρὸν τῷ χρόνῳ κρατυνόμενον εἴρηται, φασὶν οἱ ῥήτορες. ὁ ἐμὸς λόγος· κείνοις δ' αὐτὸς τὰ δέοντα.

Ἰουλιανὸς αὐτοκράτωρ πορφυρίῳ χαίρειν.

π Ολλή τις ἦν πάνυ καὶ μεγάλη βιβλιοθήκη γεωργίου παντοδαπῶν μὲν φιλοσόφων. πολλῶν δὲ ὑπομνηματογράφων. οὐκ ἐλάχιστα δὲ ἐν αὐτοῖς καὶ τὰ τῶν γαλιλαίων, ἀλλὰ καὶ παντοδαπὰ βιβλία. πᾶσαν οὖν ἀθρόως τὴν βιβλιοθήκην ἀναζητήσας, φρόντισον εἰς ἀντιόχειαν ἀποστεῖλαι. γινώσκων ὅτι μεγίστῃ δὴ καὶ αὐτὸς περιβληθήσῃ ζημίᾳ, εἰ μὴ μετὰ πάσης ἐπιμελείας ἀνιχνεύσειας καὶ τοὺς ὁπωσοῦν ὑπόπτους ἔχοντας ὑφῃρῆσθαί τι τῶν βιβλίων. πᾶσι μὲν ἐλέγχοις παντοδαποῖς δὲ ὅρκοις, πλέον δὲ τῶν οἰκετῶν βασάνῳ, πείθειν εἰ μὴ δύναιο καταναγκάσαι εἰς μέσον πάντα προκομίσαι. Ἀμερίῳ.

ο Υκ ἀδακρυτί σου τὴν ἐπιστολὴν ἀνέγνων, ἣν ἐπὶ τῷ τῆς συνοικούσης θανάτῳ πεποίησαι, τὸ πάθους τὴν ὑπερβολὴν ἀγγέλλουσαν·

πρὸς δὲ τῷ καθ' ἑαυτὸ λύπης τὸ συμβὰν ἄξιον εἶναι, γυναῖκα νέ-
αν καὶ σώφρονα καὶ θυμήρη τῷ γήμαντι, πρὸς δὲ καὶ παίδων ἱερῶν
μητέρα, πρὸ ὥρας αὐτὸ παθεῖν καθάπερ δᾷδα ἡμμένην, εἶτα ἐν
ὀλίγῳ καταβαλοῦσαν τὴν φλόγα, ἔτι καὶ τὸ τοῦ πάθους εἰς σὲ τεῖνον,
οὐκ ἔχει τὸ ὁμοιοῦσθαι λυπηρὸν εἶναι. ἥκιστα γὰρ δὴ πάντων ἄξιος ἦν ὁ
καλὸς ἡμῶν Ἀμέριος, ἀλλ' οὐδενός τινος εἰς πεῖραν ἐλθεῖν. ἀνὴρ καὶ λό-
γῳ χρηστὸς ἐν ἡμῖν εἰς τὰ μάλιστα τῶν φίλων ὁ ποθεινότατος. οὐ μὴν
ἀλλ' εἰ μὲν ἑτέρῳ ἢ ὡς γράφειν ὑπὲρ τούτων ἐχρῆν, πάντως ἂν ἔδει μοι πλεί-
ονος εἰς τοῦτο λόγων. τό, τε συμβάν, ὡς ἄπιστον καὶ τὸ φέρειν, ὡς ἀναγ-
καῖον, καὶ τὸ μηδὲν ἐκ τοῦ μᾶλλον ἀλγεῖν, ἔχειν πλέον εὑρεῖν, καὶ πάν-
τα ὅσα ἐδόκει πρὸς τὴν τοῦ πάθους παραμυθίαν ἁρμόττειν, ὡς ἀγνοοῦν-
τι διδάσκοντι. ἐπεὶ δὲ αἴσχιον ἡγοῦμαι πρὸς ἄνδρα τοὺς ἄλλους νου-
θετοῦντα ποιεῖσθαι λόγους, οἷς χρὴ τοὺς μὴ εἰδότας σωφρονεῖν καὶ
παιδεύειν, φέρε σοι τὰ ἄλλα παρεὶς, ἀνδρὸς εἴπω σοφοῦ μῦθον εἴ-
τε δὴ λόγον ἀληθῆ. σοὶ μὲν ἴσως οὐ ξένον. τοῖς πλείοσι δὲ ὡς εἰκὸς ἄ-
γνωστον. ᾧ δὴ μόνῳ χρησάμενος, ὥσπερ φαρμάκῳ νηπενθεῖ, λύσιν
ἂν εὕροις τοῦ πάθους οὐκ ἐλάττω τῆς κύλικος, ἣν ἡ Λάκαινα τῷ
Τηλεμάχῳ πρὸς τὸ ἴσον τῆς χρείας ὀρέξασθαι προσφέρεται. φασὶ γὰρ
Δημόκριτον τὸν Ἀβδηρίτην, ἐπειδὴ Δαρείῳ γυναικὸς καλῆς ἀλγοῦν-
τι θάνατον, οὐκ εἶχεν ὅ, τι ἂν εἰπὼν εἰς παραμυθίαν ἀφίκοιτο, ὑ-
ποσχέσθαι οἱ τὴν ἀπελθοῦσαν εἰς φῶς ἀνάξειν, ἢν ἐθελήσῃ τῶν εἰς
τὴν χρείαν ἡκόντων, ὑποστῆναι τὴν χορηγίαν. κελεύσαντος δὲ ἐκεί-
νου μὴ φείσασθαι, ὅτι ἂν δέῃ λαβόντα, τὴν ὑπόσχεσιν ἐμπεδῶσαι, μι-
κρὸν ἐπισχόντα χρόνον, εἰπεῖν. ὅτι τὰ μὲν ἄλλα αὐτῷ πρὸς τὴν τοῦ
ἔργου πρᾶξιν συμπαρεσκευασθείη. μόνου δὲ ἑνὸς προσδέοιτο. ὃ δὴ αὐτὸν μὲν
οὐκ ἔχειν ὅπως ἂν λάβοι. Δαρεῖον δὲ ὡς βασιλέα τῆς ὅλης Ἀσίας οὐ χαλε-
πῶς

πῶς ἂν ἴσως εὑρεῖν. ἐρομένου δ' ἐκείνου, τί ἂν εἴη τοσοῦτον ὃ μόνῳ βασιλεῖ συνευρεθῆναι συγχωρεῖται, ὑπολαβόντα φασὶ τὸν δημόκριτον, εἰ τριῶν ἀπενθήτων ὀνόματα τῷ τάφῳ τῆς γυναικὸς ἐπιγράψειεν, εὐθὺς αὐτὴν ἀναβιώσεσθαι, τῷ τῆς τελευτῆς νόμῳ δυσωπουμένην. ἀπορήσαντος δὲ τοῦ δαρείου, καὶ μηδένα ἄνδρα δυνηθέντος εὑρεῖν ὅτῳ μὴ καὶ πάθος λυπηρόν τι συνηνέχθη, γελάσαντα συνήθως τὸν δημόκριτον, εἰπεῖν. ἔτι ὦ πάντων ἀτοπώτατε θρηνεῖς ἀναιδῶς, ὡς μόνος ἀλγεινῷ τοσούτῳ συμπλακείς, ὁ μηδὲ ἕνα τῶν πώποτε γεγονότων ἄμοιρον οἰκείου πάθους ἔχων εὑρεῖν; ἀλλὰ ταῦτα μὲν ἀκούειν ἔδει τὸν δαρεῖον ἀνὴρ βάρβαρος καὶ ἀπαίδευτος. ἐκ δόξης ἡδονῇ καὶ πάθει. σὲ δὲ ἄνδρα ἕλληνα καὶ παιδείαν ἀληθῆ πρεσβεύοντα, καὶ παρὰ σαυτοῦ τὸ εἰκὸς ἔχειν ἄρχειν. ἐπεὶ καὶ ἄλλως αἰσχύνη τοῦ λογισμοῦ γένοιτ' ἄν, εἰ μὴ ταὐτὸν δύναιτο, τῷ χρόνῳ.

Μαξίμῳ φιλοσόφῳ.

π Αντα ἀθρόα ἐπεισί μοι. καὶ ἀποκλείει τὴν φωνὴν ἄλλο ἄλλῳ προελθεῖν οὐ συγχωροῦν τῶν ἐμῶν διανοημάτων. εἴτε ψυχρὸν τῶν παθῶν, εἴτε ὅπως φίλοι κατονομάζειν τὰ τοιαῦτα. ἀλλὰ ἀποδῶμεν αὐτοῖς ἣν ὁ χρόνος ἀπέδωκε τάξιν, εὐχαριστήσαντες τοῖς πάντα ἀγαθοῖς θεοῖς. οἳ τέως μὲν γράφειν ἐμοὶ συνεχώρησαν. ἴσως δὲ ἡμῖν καὶ ἀλλήλους ἰδεῖν συγχωρήσουσιν. ὡς πρῶτον αὐτοκράτωρ ἄκων ἐγενόμην ὡς ἴσασιν οἱ θεοί. καὶ τοῦτο αὐτοῖς καταφανὲς ὃν ἐνεδέχετο τρόπον ἐποίησα. στρατεύσας ἐπὶ τοὺς βαρβάρους ἐκείνης μοι γενομένης τριμήνου τῆς στρατιᾶς. ἐπανιὼν εἰς τοὺς γαλατικοὺς ἐπεσκόπουν. καὶ τῶν ἐκεῖθεν ἡκόντων ἀνεπυνθανόμην, μή τις φιλόσοφος, μή τις σχολαστικὸς ἢ τριβώνιον ἢ χλαμύδιον φορῶν κατῆρεν, ἐπεὶ δὲ περὶ τὴν βικεντίωνα, πολίχνιον

δὲ νῦν ἐστιν ἀνειλημμένη, πάλαι δὲ μεγαλοπρεπῶς, καὶ πολυτελέσιν ἱεροῖς ἐκεκόσμητο, τείχει καρτερῷ, καὶ προσέτι τῇ φύσει τοῦ χωρίου, περιρρεῖ γὰρ αὐτὴν ὁ δάνουβις ποταμὸς, ἡ δὲ ὥσπερ ἐν θαλάττῃ πετρώδης ἄκρα ἀνέστηκεν, ἄβατος ὀλίγου δέω φάναι καὶ αὐτοῖς ὄρνισι. πλὴν ὅσα ὁ ποταμὸς αὐτὴν περιρρέων, ὥσπερ τινὰς αἰγιαλοὺς ἔχει προκειμένους. ταύτης πλησίον τῆς πόλεως, ἀπήντησεν κοινός τις ἀνὴρ, ἔχων τρίβωνα καὶ βακτηρίαν. τοῦτον πόῤῥωθεν θεασάμενος, οὐδὲν ἄλλο ὑπέλαβον ἢ σέ. πλησίον δὲ ἤδη προϊὼν, παρὰ σοῦ πάντως ἥκειν αὐτὸν ἐνόμιζον. οὗτος ἀνὴρ φίλος μὲν, ἧττον δὲ τῆς προσδοκωμένης ἐλπίδος. ἓν μὲν δὴ τοιοῦτον ὄναρ ἐγένετό μοι. μετὰ τοῦτο δὲ ᾤμην σε πολυπραγμονήσαντα τὰ κατ' ἐμὲ τῆς ἑλλάδος ἐκτὸς οὐδαμῶς εὑρεθῆναι. ἴστω ζεὺς, ἴστω μέγας ἥλιος, ἴστω ἀθηνᾶς κράτος. καὶ πάντες θεοὶ καὶ πᾶσαι, πῶς κατιὼν ἐπὶ τοὺς ἰλλυριοὺς ἀπὸ τῶν κελτῶν ἔτρεμον ὑπὲρ σοῦ. καὶ ἐπυνθανόμην τῶν θεῶν, αὐτὸς μὲν οὐ τολμῶν. οὐ γὰρ ὑπέμενον οὔτε ἰδεῖν τοιοῦτον, οὔτε ἀκοῦσαι οὐδὲν, οἷον ἄν τις ὑπέλαβε δύνασθαι τηνικαῦτα περὶ σὲ γίνεσθαι. ἐπέτρεπον δὲ ἄλλοις. οἱ θεοὶ δὲ ταραχὰς μέν τινας ἔσεσθαι περὶ σὲ περιφανῶς ἐδήλουν. οὐδὲν μέντοι δεινόν. οὐδὲ εἰς ἔργον τῶν ἀθέσμων βουλευμάτων. ἀλλ' ὁρᾶς ὅτι μεγάλα καὶ πολλὰ παρέδραμον. μάλιστά σε πυθέσθαι ἄξιον. πῶς μὲν ἀθρόως τῆς ἐπιφανείας ᾐσθόμεθα τῶν θεῶν. τίνα δὲ τρόπον τὸ τοσοῦτον τῶν ἐπιβούλων πλῆθος διαπεφεύγαμεν κτείναντες οὐδένα. χρήματα οὐδενὸς ἀφελόμενοι. φυλαξάμενοι δὲ μόνον, οὓς ἐλαμβάνομεν ἐπ' αὐτοφώρῳ. ταῦτα μὲν οὖν ἴσως οὐ γράφειν, ἀλλὰ φράζειν χρή. οἶμαι δέ σε καὶ μάλα ἡδέως πεύσεσθαι. θρησκεύομεν τοὺς θεοὺς

ἀναφαν

ἀναφανδόν. καὶ τὸ πλῆθος τοῦ συγκαταπλέοντός μοι στρατοπέδου θεοσεβές ἐστιν. ἡμεῖς φανερῶς βουθυτοῦμεν. ἀπεδώκαμεν τοῖς θεοῖς χαριστήρια, ἑκατόμβας πολλάς. ἐμὲ κελεύουσιν οἱ θεοὶ τὰ πάντα ἁγνεύειν εἰς δύναμιν. καὶ πείθομαί γε καὶ προθύμως. αὐτοῖς μεγάλους καρποὺς τῶν πόνων ἀποδώσειν φασίν, ἢν μὴ ῥαθυμῶμεν. ἦλθε πρὸς ἡμᾶς εὐάγριος.

Χ Ρὴ ξεῖνον παρεόντα φιλεῖν ἐθέλοντα δὲ πέμπειν ὅμηρος ὁ σοφὸς ἐνομοθέτησεν. ἡμῖν δὲ ὑπάρχει πρὸς ἀλλήλους ξενικῆς φιλίας ἀμείνων, ἥ, τε διὰ τῆς ἐνδεχομένης παιδείας καὶ τῆς περὶ τοὺς θεοὺς εὐσεβείας. ὥστε οὐκ ἄν με τίς ἐγράψατο δικαίως τὸν ὁμήρου παραβαίνοντα νόμον, εἰ καὶ ἐπὶ πλεῖόν σε μένειν παρ᾽ ἡμῖν ἀξιώσαιμι. ἀλλά σοι τὸ σωμάτιον ἰδὼν ἐπιμελείας πλείονος δεόμενον, ἐπέτρεψα βαδίζειν εἰς τὴν πατρίδα. καὶ ῥᾳστώνης ἐπεμελήθην τῆς πορείας. ὀχήματι σοι ἐξεῖναι δημοσίῳ χρήσασθαι. προπέμποιεν δέ σε σὺν ἀσκληπιῷ πάντες οἱ θεοί. καὶ πάλιν ἡμῖν συντυχεῖν δοῖεν.

Ιαμβλίχῳ.

ἀ Ιαθάνομαί σου καὶ ἐν τῇ μέμψει γλυκύτητος. καὶ ὥς ἐκ αὐτοῦ περ ἀξίου πράττεις. καὶ οἷς γράφεις τιμῶν, καὶ οἷς ἐγκαλεῖς παιδεύων. ἐγὼ δ᾽ εἰ μέν τι συνῄδειν ἐμαυτῷ τοῦ πρὸς σὲ γινομένου καθ᾽ ἡμέραν μικροῦ ἐλλείψαντι, πάντως ἢ τὰς προφάσεις εὐλόγως εἰπὼν, ἐπειρώμην ὡς ἐνῆν τὴν μέμψιν ἐκκλίνειν, ἢ συγγνώμην ἁμαρτὼν αἰτεῖν ᾐρούμην. ἐπεὶ μὴ δὲ ἄλλως ἀσύνετον οἶδά σε πρὸς τοὺς σούς, ἔτι τῶν πρὸς σὲ φιλικῶν ἐξήμαρτον ἄκοντι. νῦν δέ, οὐ γὰρ ἦν οὔτε παροφθῆναι θέμις, οὔτε ἡμᾶς ἀμελεῖν, ἵνα τύχοιμεν ὧν ἀεὶ ζηλοῦντες ποθοῦμεν, φέρε σοι καθάπερ ἐν ὅρῳ γραφῆς ἀπολογήσομαι. καὶ δείξω μηδὲν ἐμαυτὸν, ὧν ἐχρῆν, εἰς σὲ παριδεῖν, ἀλλὰ μηδέ με λήσεσθαι

τολμήσαντα. ἦλθον ἐκ παιονίας ἤδη τρίτον ἔτος τουτί, μόλις ἀφ'
ὧν οἶσθα κινδύνων καὶ πόνων σωθείς. ὑπερβὰς δὲ τὸν καλχηδόνιον
πορθμὸν καὶ ἐπιστὰς τῇ νικομήδους πόλει, σοὶ πρώτῳ καθάπερ πα-
τρίῳ θεῷ, τὰ προτέλεια τῆς ἐμαυτοῦ σωτηρίας ἀπέδωκα, σύμβο-
λον τῆς ἀφίξεως τῆς ἐμῆς, οἷον ἀντ' ἀναθήματος ἱεροῦ τὴν
εἰς σὲ πρόρρησιν ἐκπέμπων. ἣν ὁ κομίζων τὰ γράμματα τῶν
βασιλέων ὑπασπιστῶν εἷς. Ἰουλιανὸς ὄνομα. βακχύλου παῖς. ἀπα-
μεὺς τὸ γένος. ᾧ διὰ τοῦτο μάλιστα τὴν ἐπιστολὴν ἐνεχείριζον, ὅτι
καὶ πρὸς ὑμᾶς ἥξειν καὶ σὲ ἀκριβῶς εἰδέναι καθυπισχνεῖτο. Μετὰ
ταῦτά μοι καθάπερ ἐξ ἀπόλλωνος ἱερὸν ἐφοίτα παρὰ σοῦ γράμ-
μα, τὴν ἄφιξιν τὴν ἡμετέραν ἀσμένως ἀκηκοέναι δηλοῦντος. ἦν
τε τοῦτο ἐμοὶ δεξιὸν οἰώνισμα καὶ χρηστῶν ἐλπίδων ἀρχή. ἰάμβλι-
χος ὁ σοφὸς καὶ τὰ ἰαμβλίχου γράμματα. τί με δεῖ λέγειν ὅ-
πως ηὐφράνθην. ἢ ἃ περὶ τὴν ἐπιστολὴν ἔπαθον σημαίνειν. εἰ γὰρ
ἐδέξω τὰ παρ' ἡμῶν ἕνεκα τούτου γραφέντα, ἣν δὲ δὴ ἡμεροδρό-
μου τῶν ἐκεῖθεν ἡκόντων ὡς σὲ πεμφθέντα, πάντως ὁπόσην
ἐπ' αὐτοῖς ἡδονὴν ἔχον, ἀφ' ὧν ἐδήλουν συνῆκας. πάλιν ἐπανιόν-
τος οἴκαδε τοῦ τροφέως τῶν ἐμαυτοῦ παιδίων, ἑτέρων ἦρχον πρὸς
σὲ γραμμάτων. ὁμοῦ καὶ τὴν ἐπὶ τοῖς φθάνουσι χάριν ὁμολογῶν,
καὶ πρὸς τὸ ἑξῆς, ἐν ἴσω παρὰ σοῦ τὴν ἀντίδοσιν αἰτῶν. μετὰ
ταῦτα ἐπρέσβευσεν ὡς ἡμᾶς ὁ καλὸς σώπατρος. ἐγὼ δὲ ὡς ἔγνων,
εὐθὺς ἀναπηδήσας ἧξα. καὶ περιπλακείς, ἐδάκρυον ὑφ' ἡδονῆς. οὐ-
δὲν ἄλλο ἢ σὲ καὶ τὰ παρὰ σοῦ πρὸς ἡμᾶς ὀνειροπολῶν γράμ-
ματα. ὡς δὲ ἔλαβον, ἐφίλουν, καὶ τοῖς ὀφθαλμοῖς προσῆ-
γον καὶ ἀπρὶξ εἰχόμην, ὥσπερ δεδιώς, μὴ λάθῃ με ἀποπτᾶσα
ἐν τῇ τῶν γραμμάτων ἀναγνώσει τὸ τῆς σῆς εἰκόνος ἴνδαλ-
μα.

μαι. καὶ δὴ καὶ ἀντεγράφομεν εὐθύς. οὐ πρὸς σὲ μόνον, ἀλλὰ
καὶ πρὸς τὸν ἱερὸν Σώπατρον τὸν ἐκείνου παῖδα, καθάπερ θρυλεῖ ὁ
μῦθος. ὅτι τὸν κοινὸν ἑταῖρον ἐκ τῆς Ἀπαμείας οἷον ἐνέχυρον τῆς
ὑμετέρας ἀπουσίας ἀντειληφότες εἴημεν δὴ ἐκείνου. ταύτην ἤ-
δη πρὸς σὲ γεγραφὼς, αὐτὸς οὐδὲ μίαν ἄλλην, ἢ τὴν ἐν ᾗ
μέμφεσθαι δοκεῖς ἐπιστολὴν ἐδεξάμην. εἰ μὲν δὴ διὰ τοῦτο ἐγ-
καλεῖς, ἵνα τῷ τῆς αἰτίας σχήματι, πλείονας ἡμῖν ἀφορμὰς
τοῦ γράφειν προξενῇς, δέχομαι τὴν μέμψιν ἄσμενος πάν-
των. καὶ ἐν οἷς λαμβάνω τὸ πᾶν τῆς χάριτος εἰς ἐμαυτὸν οἰκει-
οῦμαι. εἰ δὲ ὡς ἀληθῶς ἐλλείψαντά τι τοῦ πρὸς σὲ καθήκον-
τος αἰτιᾷ, τίς ἂν ἐμοῦ γένοιτ' ἂν ἀθλιώτερος, διὰ γραμμα-
τοφόρων ἀδικίαν ἢ ῥᾳθυμίαν, πάντων ἥκιστα τούτου τυγχά-
νοντος. καί τοι ἐγὼ μὲν κἂν μὴ πλεονάκις γράφω, δίκαιός
εἰμι συγγνώμης παρὰ σοῦ τυγχάνειν. οὐ τῆς ἀσχολίας ἣν ἐν χερσὶν
ἔχω, φαίην ἄν· μὴ γὰρ οὕτω πράξαιμι κακῶς, ὡς μὴ καὶ ἀ-
σχολίας ἁπάσης καθ' ἅ φησι Πίνδαρος, τὸ κατὰ σὲ κρεῖττον ἡγεῖ-
σθαι. ἀλλ' ὅτι πρὸς ἄνδρα τηλικοῦτον, οὗ καὶ μνησθῆναι φόβος,
ὁ τὸ γράφειν κατοκνῶν, τοῦ πλέον ἢ προσήκει θαρροῦντός ἐστι
σωφρονέστερος. ὥσπερ γὰρ οἱ τὰς ἡλίου μαρμαρυγὰς ἀντι-
βλέπειν συνεχῶς τολμῶντες ἂν μὴ θεῖοί τινες ὦσι καὶ τῶν ἀ-
κτίνων αὐτοῦ καθάπερ οἱ τῶν ἀετῶν γνήσιοι καθορῶσιν, οὔτε ἃ
μὴ θέμις ὀφθῆναι, θεωρεῖν ἔχουσι καὶ ὅσῳπερ μᾶλλον φιλονει-
κοῦσι, τοσούτῳ πλέον, ὅτι μὴ δύνωνται τυχεῖν ἐμφαίνουσι. τοῦτο
καὶ ὁ πρὸς σὲ γράφειν τολμῶν, ὅσῳπερ ἂν ἐθέλῃ θαρρεῖν, τοσούτῳ
(μᾶλλον, ὅτι χρὴ δεδιέναι, και-

θαρρῶν δείκνυσι. σοί τε μὴν ὦ γενναῖε πάντων, ὡς εἰπεῖν, τοῦ ἑλλη-
νικοῦ σωτῆρι καθεστῶτι, πρέπον ἦν ἀφθόνως τε ἡμῖν γράφειν καὶ
τὸν παρ' ἡμῖν ὄκνον, ἐφ' ὅσον ἐξῆν καταστέλλειν. ὥσπερ γὰρ ὁ ἥλι-
ος, ἵνα δὴ πάλιν ἐκ τοῦ θεοῦ πρὸς σὲ τὴν εἰκόνα λάβῃ ὁ λόγος, ὁ δ'
οὖν ἥλιος, ὥσπερ ὅταν ἀκτῖσι καθαρθεὶς ὅλος λάμπῃ, οὐ δὲ ἀπο-
κρίνει τοῦ πρὸς τὴν αἴγλην ἐλθόντος, ὁ μὴ τὸ οἰκεῖον ἐργάζεται, οὕ-
τω δὴ καὶ σὲ χρῆν ἀφθόνως τῶν παρὰ σοῦ καλῶν, οἷον φωτὸς, τὸ
ἑλληνικὸν ἐμπαρέχοντα μὴ ἀποκνεῖν, εἴ τις ἢ αἰδοῖ ἢ δέους ἕνεκα
τοῦ πρὸς σὲ, τὴν ἀντίδοσιν δυσωπεῖται. οὐδὲ γὰρ ὁ ἀσκληπιὸς ἐν
ἀμοιβῆς ἐλπίδι τοὺς ἀνθρώπους ἰᾶται. ἀλλὰ τὸ οἰκεῖον αὐτοῦ
φιλανθρώπευμα καθάπερ μάθημα πανταχοῦ πληροῖ. ὃ δὴ καὶ
σὲ χρῆν ὡς περὶ ψυχῶν ἐλλογίμων ἰατρὸν ὄντα ποιεῖν. καὶ τὸ τῆς
ἀρετῆς παράγγελμα διὰ πάντων σώζειν. οἷον ἀγαθὸν τοξότην. ὃς κἂν
μὴ τὸν ἀντίπαλον ἔχῃ, πάντως δ' οὖν τὸ ἱκαίελον ἀεὶ τὴν χεῖρα γυμνά-
ζει. ἐπεὶ μηδὲ ὁ σκοπὸς ἑκατέροις ὁ αὐτὸς, ἡμῖν τε τῶν παρὰ σοῦ
δεξιῶν τυχεῖν, καὶ σὲ τοῖς παρ' ἡμῶν διδομένοις ἐντυχεῖν. ἀλλ' ἡμεῖς
μὲν, κἂν μυριάκις γράφωμεν, ἴσα τοῖς ὁμηρικοῖς παισὶ παί-
ζομεν. οἳ παρὰ τὰς θῖνας, ὅτι ἂν ἐκ πηλοῦ πλάσωσιν, ἀφιᾶσιν αὖ
σαλῷ κλύζεσθαι. παρὰ σοῦ δὲ καὶ μικρὸν γράμμα, παντὸς ἐστὶ
γονίμου ῥεύματος κρεῖττον. ὃ δεξαίμην ἂν ἔγωγε ἰαμβλίχου μᾶλ-
λον ἐπιστολὴν μίαν, ἢ τὸν ἐκ λυδίας χρυσὸν κεκτῆσθαι. εἰ δὲ μέλει
τί σοι τῶν ἐραστῶν τῶν σῶν, μέλει δὲ εἰ μὴ σφάλλομαι, μὴ περιίδῃς
ὥσπερ νεοττοὺς ἡμᾶς ἀεὶ τῶν παρὰ σοῦ τροφῶν ἐν χρείᾳ τυγχά-
νοντας. ἀλλὰ καὶ γράφε συνεχῶς, καὶ τοῖς παρὰ σαυτοῦ καλοῖς
ἑστιᾶν μὴ κατόκνει. κἂν ἐλπίζωμεν, αὐτὸς ἑκατέρου τὴν χρείαν
οἰκείου, καὶ ὧν δίδως καὶ ὧν αἰτοῦμεν τὸ ἴσον πρεσβεύεις. πρέπει δὲ

ἑρμοῦ

ἑρμοῦ λογίου μαθητὴν εἶδε βούλει τρόφιμον, οὕτω σε μαθητὴν ἐκεί-
νου, ῥάβδον οὐκ ἐν τῷ καθεύδειν ποιεῖν, ἀλλ᾽ ἐν τῷ κινεῖν καὶ διεγεί-
ρειν μᾶλλον ἐθέλειν μιμεῖσθαι.

Τοῦ αὐτοῦ.

ε Χρῆν μὲν ἡμᾶς τῷ γράμματι πειθομένους τῷ Δελφι-
κῷ γνῶσαι ἑαυτοὺς καὶ μὴ τολμᾶν ἀνδρὸς ἀκοαῖς τοσού-
του καταθαρσεῖν· ᾧ καὶ ὀφθέντι μόνον ἀντιβλέψαι δυσχερές, ἤπερ
τὴν πάνσοφον ἁρμονίαν κινοῦντι πρὸς τὸ ἴσον ἐλθεῖν. ἐπεὶ καὶ πα-
νὶ μέλος λιγυρὸν ἠχοῦντι, πᾶς ὅστις ἐκστάη, κἂν ἄριστος ᾖ,
καὶ ἀπόλλωνι πρὸς κιθάραν ψάλλοντι, πᾶς ὅστις ἠρεμεῖ, κἂν τὴν
ὀρφέως μουσικὴν εἰδείη. τὸ γὰρ ἧττον τῷ κρείττονι καθόσον ἧττόν
ἐστιν, εἴκοι ἂν δικαίως. εἰ μέλλοι τό, τε οἰκεῖον καὶ τὸ οὐ χεῖρον, τί ἐστι γι-
νώσκειν· ὅστις δὲ ἐν θεσμῷ μουσικῆς θνητοῦ, ἐναρμόσαι μέλος ἤλπι-
σεν, οὐκ ἔμαθέ που τὸ μαρσύου τοῦ Φρυγὸς πάθος. οὐδὲ τὸν ὁμώνυ-
μον ἐκείνῳ ποταμόν, ὃς μανέντος αὐλητοῦ τιμωρίαν ῥεῖ. ἀλλ᾽ οὐδὲ
τὴν θαμύριδος τοῦ θρᾳκὸς τελευτὴν ἤκουσεν, ὃς ταῖς μούσαις
οὐκ εὐτυχῶς ἀντεφθέγξατο. τί γὰρ δεῖ τὰς σειρῆνας λέγειν· ὧν ἔτι
τὸ πτερὸν ὑπὸ τοῦ μετώπου φέρουσιν αἱ νικήσασαι. ἀλλ᾽ ἐκείνων μὲν
ἕκαστος ἀμούσου τόλμης, ἀρκοῦσαν ἔτι καὶ νῦν ἐκτίνει τῇ μνήμῃ
δίκην. ἡμᾶς δέ, ἔδει μὲν ὡς ἔφην, εἴσω τῶν οἰκείων ὅρων ἑστάναι,
καὶ τῷ ὑπὸ σοῦ μουσικῆς ἐμφορουμένους ἠρεμεῖν. ὥσπερ οἱ τὴν ἀ-
πόλλωνος μαντείαν ἐξ ἀδύτων ἱερῶν προσιοῦσαν ἡσυχῇ δέχονται.
ἐπεὶ δὲ αὐτὸς ἡμῖν τοῦ μέλους τὸ ἐνδόσιμον μνηστεύεις, καὶ οἷον ἑρ-
μοῦ ῥαβδῷ κινεῖς καὶ διεγείρεις καθεύδοντας, φέρεσθαι καθάπερ
οἱ τῷ διονύσῳ τὸν θύρσον κρούσαντι πρὸς τὴν χορείαν αὐτοὶ φέ-
ρονται, οὕτω καὶ ἡμεῖς ὑπὸ τῷ σῷ πλήκτρῳ τὸ εἰκὸς ἀντιχήσω-

μὲν ὥσπερ οἱ τῷ χοροστάτῃ πρὸς τὸ ἀνάκλημα τοῦ ῥυθμοῦ συνομαρτοῦντες. καὶ πρῶτόν σοι τῶν λόγων οὓς βασιλεῖ κελεύσαντι πρὸς τὴν ἀοίδιμον τοῦ πορθμοῦ ζεῦξιν ἔναγχος ἐξειργασάμεθα, ἐπειδὴ τοῦτ' ἔδει δοκοῦν ἀπαρξώμεθα, μικρὰ μὲν ἀντὶ μεγάλων τοῖς παρὰ σοῦ καὶ τῷ ὄντι χαλκὸν χρυσοῦ ἀντιδιδόντες. οἷς δὲ ἔχομεν ξενίοις τὸν ἑρμῆν τὸν ἡμέτερον ἑστιῶντες. πάντως οὐδὲ τῆς ἑκάλης ὁ θησεὺς τοῦ δείπνου τὸ λιτὸν ἀπηξίωσεν. ἀλλ' ᾔδει καὶ μικροῖς ἐς τὸ ἀναγκαῖον ἀρκεῖσθαι. ὁ πὰν δὲ ὁ νόμιος τοῦ παιδὸς τοῦ βουκόλου τὴν σύριγγα προσαρμόσαι τοῖς χείλεσιν οὐκ ἠτίμασεν. πρόσθου δὴ καὶ αὐτὸς τὸν λόγον εὐμενεῖ νεύματι καὶ μὴ ἀποκνήσῃς ὀλίγῳ μέλει μεγάλην ἀκοὴν ἐνδοῦναι. ἀλλ' ἐὰν μὲν ἔχῃ τι δεξιόν, αὐτός τε ὁ λόγος εὐτυχεῖ καὶ ὁ ποιητὴς αὐτοῦ τὴν παρὰ τῆς ἀθηνᾶς ψῆφον τὴν μαρτυρίαν προσλαβών. εἰ δὲ ἐπιχειρὸς ἐντελοῦς εἰς τὸ τοῦ ὅλου πλήρωμα προσδεῖται, μὴ ἀπαξιώσῃς αὐτὸς τὸ ἐνδέον προσθεῖναι. ἤδη που καὶ ἀνδρὶ τοξότῃ κληθεὶς ὁ θεὸς παρέστη καὶ συνεφήψατο τοῦ βέλους, καὶ κιθαρῳδῷ τὸν ὄρθιον ᾄδοντι πρὸς τὸ ἐλλεῖπον τῆς χορδῆς ὑπὸ τῷ τέττιγι, τὸ ἴσον ὁ πύθιος αὐτὸς φθέγξατο.

π Αιδείαν ὀρθὴν εἶναι νομίζομεν, οὐ τὴν ἐν τοῖς ῥήμασιν οὐδὲ τῇ γλώττῃ πολυτελῆ εὐρυθμίαν. ἀλλὰ διάθεσιν ὑγιῆ νοῦν ἐχούσης διανοίας. καὶ ἀληθεῖς δόξας ὑπέρ τε ἀγαθῶν τε καὶ κακῶν, καλῶν τε καὶ αἰσχρῶν. ὅστις οὖν ἕτερα μὲν φρονεῖ, διδάσκει δὲ ἕτερα τοὺς πλησιάζον-

τας

τως, αὐτὸς ἀπολελεῖφθαι δοκεῖ τοσούτῳ παιδείας ὅσῳ καὶ τοῦ χρη-
στὸς ἀνὴρ εἶναι. καὶ εἰ μὲν ἐπὶ σμικροῖς εἴη τὸ διάφορον τῆς γνώμης πρὸς
τὴν γλῶτταν, κακὸν μὲν εἰς τόδε, ὅμως τῷ τοσῷ γίνεται. εἰ δ' ἐν τοῖς
μεγίστοις, ἄλλο μὲν φρονοίη τίς, ἐπεναντίον δὲ ὧν φρονεῖ διδάσκει,
πῶς οὐ τοῦτο ἐκεῖνο καπήλων ἐστὶν, οὔτι χρηστῶν ἀλλὰ παμπονήρων
βίος ἀνθρώπων. οἳ μάλιστα παιδεύουσιν, ὅσα μάλιστα φαῦλα νομί-
ζουσιν ἐξαπατῶντες καὶ δελεάζοντες τοῖς ἐπαίνοις. εἰς οὓς μετατι-
θέναι τὰ σφέτερα ἐθέλουσιν εἶναι κακά. πάντας μὲν οὖν χρὴ
τοὺς καὶ ὁτιοῦν διδάσκειν ἐπαγγελλομένους, εἶναι τὸν τρόπον ἐπι-
εικεῖς. καὶ μὴ μαχόμενα τοῖς δημοσίᾳ, μεταχαρακτηρίζοντα τὰ ἐν
τῇ ψυχῇ φέρειν δοξάσματα. πολὺ δὲ πλέον ἁπάντων οἶμαι δεῖν
εἶναι τοιούτους, ὅσοι ἐπὶ νέοις τοῖς λόγοις συγγίνονται. τῶν παλαι-
ῶν ἐξηγηταὶ γινόμενοι συγγραμμάτων. εἴτε ῥήτορες εἴτε γραμμα-
τικοὶ καὶ ἔτι πλέον οἱ σοφισταί. βούλονται γὰρ πρὸς τοῖς ἄλλοις
οὐ λέξεων μόνον, ἠθῶν δὲ εἶναι διδάσκαλοι. καὶ τὸ κατὰ σφᾶς εἶ-
ναί φασι τὴν πολιτικὴν φιλοσοφίαν. εἰ μὲν οὖν ἀληθὲς ἢ μή, τοῦτο
γε ἀφείσθω νῦν. ἐπαινῶν δὲ αὐτοὺς οὕτως ἐπάγγελμα τῶν καλῶν
ὀρεγομένους, ἐπαινέσαιμ' ἂν ἔτι πλέον εἰ μὴ ψεύδοιντο μὴ δὲ ἐξελέγ-
χοιεν αὐτοὺς, ἕτερα μὲν φρονοῦντας διδάσκοντας δὲ τοὺς πλη-
σιάζοντας ἕτερα. τί οὖν. ὁμήρῳ μέν γε καὶ ἡσιόδῳ. καὶ δημοσθένει
μέν τοι καὶ ἡροδότῳ καὶ θουκυδίδῃ καὶ ἰσοκράτει καὶ λυσίᾳ θεοὶ
πάσης ἡγοῦνται παιδείας. οὐχ οἱ μὲν ἑρμοῦ σφᾶς ἱερούς, οἱ δὲ, μου-
σῶν ἐνόμιζον; ἄτοπον μὲν οἶμαι τοὺς ἐξηγουμένους τὰ τούτων, ἀ-
τιμάζειν τοὺς ὑπ' αὐτῶν τιμηθέντας θεούς. οὐ μὴν ἐπειδὴ τοῦτο ἄ-

τόπον οἶμαι φημὶ δεῖν αὐτοὺς μεταθεμένους τοῖς νέοις, σωνδίδωμι δὲ αἵρεσιν, μὴ διδάσκειν ἃ μὴ νομίζουσι σπουδαῖα βουλομένους διδάσκειν ἔργῳ πρῶτον. καὶ πείθειν τοὺς μαθητὰς, ὡς οὔτε ὅμηρος οὔτε ἡσίοδος, οὔτε τούτων οὓς ἐξηγοῦνται καὶ κατεγνωκότες ἀσέβειαν, ἄνοιάν τε καὶ πλάνην εἰς τοὺς θεούς. ἐπεὶ τρέφονται ἐξ ὧν γεγράφασι παρατρέφονται, μισθαρνοῦντες, εἶναι ὁμολογοῦσιν αἰσχροκερδέστατοι καὶ δραχμῶν ὀλίγων ἕνεκα πάντως ὑπομένειν. ἕως μὲν οὖν τούτου, πολλὰ ἦν τὰ αἴτια τοῦ μὴ φοιτᾶν εἰς τὰ ἱερά. καὶ ὁ πανταχόθεν ἐπικρεμάμενος φόβος, ἐδίδου συγγνώμην ἀποκρύπτεσθαι τὰς ἀληθεστάτας ὑπὲρ τῶν θεῶν δόξας. ἐπειδὴ δὲ ἡμῖν οἱ θεοὶ τὴν ἐλευθερίαν ἔδοσαν, ἄτοπον εἶναί μοι φαίνεται διδάσκειν ἐκεῖνα τοὺς ἀνθρώπους, ὅσα μὴ νομίζουσιν εὖ ἔχειν. ἀλλ' εἰ μὲν οἴονται σοφοὺς ὧν εἰσιν ἐξηγηταὶ, καὶ ὧν ὥσπερ προφῆται κάθηνται, ζηλούτωσαν αὐτῶν πρῶτον τὴν εἰς τοὺς θεοὺς εὐσέβειαν. εἰ δὲ εἰς τοὺς τιμιωτάτους ὑπολαμβάνουσι πεπλανῆσθαι, βαδιζόντων εἰς τὰς τῶν γαλιλαίων ἐκκλησίας ἐξηγησόμενοι ματθαῖον καὶ λουκᾶν. οἷς πεισθέντες, ἱερέων ὑμεῖς ἀπέχεσθαι νομοθετεῖτε. βούλομαι ὑμῶν ἐγὼ καὶ τὰς ἀκοὰς ὡς ἂν ὑμεῖς εἴποιτε καὶ τὴν γλῶτταν ἐξαναγεννηθῆναι τούτων ὧν ἔμοιγε εἴη μετέχειν ἀεὶ καὶ ὅστις ἐμοὶ φίλα νοεῖ τε καὶ πράττει. τοῖς μὲν καθηγεμόσι καὶ διδασκάλοις, οὑτωσὶ κοινὸς κεῖται νόμος. ὁ βουλόμενος δὲ τῶν νέων φοιτᾶν, οὐκ ἀποκέκλεισται. οὐ δὲ γὰρ οὐδὲ εὔλογον ἀγνοοῦντας ἔτι τοὺς παῖδας ἐφ' ὅ,τι τρέπωνται, τῆς βελτίστης ἀποκλείειν ὁδοῦ, φόβῳ δὲ καὶ ἄκοντας ἄξειν ἐπὶ τὰ πάτρια. καίτοι δίκαιον ἦν ὥσπερ τοὺς φρενιτίζοντας οὕτω καὶ τούτους ἄκοντας ἰᾶσθαι. πλὴν ἀλλὰ συγγνώμην ὑπάρχειν ἅπασι τῆς τοιαύτης νόσου. χρὴ γὰρ οἶμαι διδάσκειν, ἀλλ' οὐχὶ κολάζειν χρὴ τοὺς ἀνοήτους.

Ελη

ε Γὼ μὲν κέκρικα τοῖς γαλλιλαίοις ἅπασιν οὕτω πράως καὶ φιλανθρώπως, ὥστε μηδένα μηδαμοῦ βίαν ὑπομένειν μηδὲ ἐς ἱερὸν ἕλκεσθαι. μηδὲ εἰς ἄλλο τι τοιοῦτον ἐπηρεάζεσθαι παρὰ τὴν οἰκείαν πρόθεσιν. οἱ δὲ τῆς ἀρειανικῆς ἐκκλησίας ὑπὸ τοῦ πλούτου τρυφῶντες, ἐπεχείρησαν τοῖς ἀπὸ τοῦ οὐαλεντίνου καὶ τετολμήκασι τοσαῦτα κατὰ τὴν ἔδεσαν, ὅσα οὐδέποτε ἐν εὐνομουμένῃ πόλει γένοιτ᾽ ἄν. οὐκοῦν ἐπειδὴ ἑαυτοῖς ὑπὸ τοῦ θαυμασιωτάτου νόμου προείρηται, ἵν᾽ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν εὐοδώτερον πορευθῶσι πρὸς τοῦτον συναγωνιζομένοις τοῖς ἀνθρώποις αὐτῶν τὰ χρήματα τῆς ἐδεσσηνῶν ἐκκλησίας, ἅπαντα ἐκελεύσαμεν ἀναληφθῆναι, δοθησόμενα τοῖς στρατιώταις, καὶ τὰ κτήματα τοῖς ἡμετέροις προστεθῆναι πριβάτοις. ἵνα πενόμενοι σωφρονῶσι, καὶ μὴ στερηθῶσιν ἧς ἔτι ἐλπίζουσιν οὐρανίου βασιλείας. τοῖς οἰκοῦσι δὲ τὴν ἔδεσαν προαγορεύομεν, ἀπέχεσθαι πάσης στάσεως καὶ φιλονεικίας. ἵνα μὴ τὴν ἡμετέραν φιλανθρωπίαν κινήσαντες, καθ᾽ ὑμῶν αὐτῶν ὑπὲρ τῆς τῶν κοινῶν ἀταξίας δίκην τίσητε, ξίφει καὶ φυγῇ καὶ πυρὶ ζημιωθέντες.

Λιβανίῳ.

α Ρτίμοι πεπαυσαμένῳ τῆς χαλεπῆς πάνυ καὶ ταχείας νόσου τῇ τοῦ πάντα ἐφορῶντος προνοίᾳ, γράμματα εἰς χεῖρας ἦλθεν ὑμέτερα καθ᾽ ἣν ἡμέραν πρῶτον ἐλουσάμην. δῆλος ἤδη ταῦτα ἐκεῖνα γνούς, οὐκ ἂν εἴποις ῥαδίως ὅπως ἐρρωννύμην. αἰ-

θανόμενος τῆς ἀκραιφνοῦς καὶ καθαρᾶς εὐνοίας ἧς εἴθε γενοίμην ἄξιος. ὡς ἂν μὴ καταισχύναιμι τὴν σὴν φιλίαν. τὰς μὲν οὖν ὑμετέρας ἐπιστολὰς, εὐθὺς ἀνέγνων. καίτοι οὐ σφόδρα τοῦτο ποιεῖν εἰωθώς μέν. τὰς δὲ τοῦ Ἀντωνίου πρὸς τὸν ἀλέξανδρον, εἰς τὴν ὑστεραίαν ἐταμιευσάμην. ἐκεῖθεν ἑβδόμησι ταῦτα ἔγραφον ἡμέρᾳ. μετὰ λογισμοῦ τῆς ῥώσεως προχωρούσης, διὰ τὴν τοῦ θεοῦ προμήθειαν. σώζοιό μοι ποθεινότατέ τε καὶ φιλικώτατε ἀδελφέ.

Ζήνωνι.

π Ολλὰ μὲν καὶ ἄλλαις μαρτυρεῖ καὶ τῆς ἰατρικῆς τέχνης εἰς τὰ πρῶτα ἀφῆκεν καὶ ἤθους καὶ εὐσεβείας. καὶ βίου σωφροσύνης συμφώνως πρὸς τὴν τέχνην ἔχειν. νῦν δὲ προσῆλθε τὸ κεφάλαιον τῆς μαρτυρίας. τὴν τῶν ἀλεξανδρέων πόλιν ἀπὸ ὧν ἐπέστρεψας εἰς σεαυτόν. τοσοῦτον αὐτῇ κέντρον ὥσπερ μέλιττα καταλέλοιπας. εἰκότως. καλῶς γὰρ εἰρῆσθαι καὶ ὁμήρῳ δοκεῖ. ἰητρὸς ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων. σὺ δὲ οὐκ ἰατρὸς ἁπλῶς, ἀλλὰ καὶ διδάσκαλος τοῖς βουλομένοις τῆς τέχνης. ὥστε σχεδὸν, ὃ πρὸς τοὺς πολλοὺς εἰσὶν οἱ ἰατροὶ, τοῦτο ἐκείνοις σύ. λυπεῖ δέ σοι τὴν ψυχὴν καὶ ἡ πρόφασις αὐτὴ καὶ μάλα λαμπρῶς. εἰ γὰρ διὰ γεωργίας μετέστης τῆς ἀλεξανδρείας, οὐ δικαίως μετέστης. τῇ δικαιότατα ἂν ὀπίσω κατέλθοις. κάτιθι τοίνυν ἐπίτιμος καὶ τὸ πρότερον ἔχων ἀξίωμα. καὶ ἡμῖν κοινὴ πρὸς ἀμφοτέρους χάρις αὐτίκα ἔστω, ἀλεξανδρεῦσι μὲν Ζήνωνα, σοὶ δὲ ἀποδοῦσα τὴν ἀλεξάνδρειαν.

Υγῆ τησείδιον μικρὸν ἀγρῶν τεττάρων δοκοῦν τῷ
λαβὼν παρὰ τῆς τήθης ἐν τῇ βιθυνίᾳ, τῇ σῇ διαθέ-
σει δῶρον δίδωμι· ἔλαττον μὲν ἢ ὥστε ἄνδρα εἰς περι
ουσίαν ἐννοῆσαί τι μέγα καὶ ἀποφῆναι ὄλβιον· ἔχον δ᾽
ὅμως οὐ παντάπασιν ἀτερπῆ τὴν δόσιν, εἴ σοι τὰ καθέκαστα περὶ αὐ
τοῦ διέλθοιμι. παίζειν δὲ οὐδὲν κωλύει πρὸς σὲ, χαρίτων γέμοντα
καὶ εὐμουσίας. ἀπῴκισται μὲν τῆς θαλάσσης σταδίους οὐ πλέον εἴ
κοσι· καὶ οὔτε ἔμπορος οὔτε ναύτης ἐνοχλεῖ λάλος καὶ ὑβριστὴς τῷ
χωρίῳ· οὐ μὴν ἀφῄρηται τὰς παρὰ νηρέως χάριτας παντελῶς.
ἔχει δὲ ἰχθὺν πρόσφατον ἀεὶ καὶ ἀσπαίροντα. καὶ ἐπί τινος ἀπὸ
τῶν δωμάτων προελθὼν γηλόφου, ὄψει τὴν θάλασσαν τὴν προ
ποντίδα καὶ τὰς νήσους· τήν τε ἐπώνυμον πόλιν τοῦ γενναίου βα
σιλέως, οὐ φυκίοις ἐφεστὼς καὶ βρύοις, οὐδὲ δυσοχλούμενος ὑπὸ
τῶν ἐκβαλλομένων εἰς τοὺς αἰγιαλοὺς καὶ εἰς τὰς ψάμμους ἀτερ
πῶν πάνυ καὶ οὐδὲ ὀνομαζομένων ὑπὲρ μικρόν· ἀλλ᾽ ἐπὶ σμίλα-
κος καὶ θύμου· καὶ πόας εὐώδους. ἡσυχία δὲ πολλὴ κατακλινο-
μένῳ εἰς τὸ βιβλίον ἀφορῶντι, εἶτα διαναπαύοντι τὴν ὄψιν, ἥδι-
στον ἀπιδεῖν εἰς τὰς ναῦς καὶ τὴν θάλατταν· τοῦτο ἐμοὶ μειρακίῳ
κομιδῇ νέῳ θυείδιον ἐδόκει φίλτατον. ἔχει γὰρ καὶ πηγὰς οὐ
φαύλας. καὶ λουτρὸν οὐκ ἀναφρόδιτον· καὶ κῆπον, καὶ δένδρα.
ἀνὴρ δὲ ὢν ἤδη τὴν παλαιὰν ἐκείνην ἐπόθουν δίαιταν· καὶ ἦλθον
πολλάκις καὶ γέγονεν ἡμῖν οὐκ ἔξω λόγων ἡ σύνοδος. ἔστι δὲ ἐνταῦ
θα καὶ γεωργίας ἐμῆς μικρὸν ὑπόμνημα, φυταλιὰ βραχεῖα,
φέρουσα οἶνον εὐώδη καὶ ἡδύν· οὐκ ἀναμένοντά τι παρὰ τοῦ χρό-
νου προσλαβεῖν τὸν διόνυσον· ὄψει τὰς χάριτας. ὁ βότρυς δὲ ἐπὶ

τῆς ἀμπέλου καὶ ἐπὶ τῆς ληνοῦ θλιβόμενος, ἀπόζει τῶν ῥόδων. τὸ γλεῦκος δὲ ἐν τοῖς πίθοις ἤδη τοῦ νέκταρός ἐστιν ἀπορρὼξ ὁμήρῳ πιστεύοντι. τί δῆτα οὐ πολὺ γέγονεν. οὐδὲ ἐπὶ πλέθρα πάνυ πολλὰ τοιούτων ἀμπέλων. τυχὸν δὲ οὐδὲ ἐγὼ γεωργὸς γέγονα πρόθυμος. ἀλλ' ἐπεὶ ἐμοὶ νηφάλιος ὁ τοῦ διονύσου κρατὴρ, καὶ ἐπὶ πολὺ τῶν νυμφῶν δέ ἐστιν, ὅσον εἰς ἐμαυτὸν καὶ τοὺς φίλους, ὀλίγον δὲ ἐστὶ τὸ χρῆμα τῶν ἀνδρῶν παρεσκευασάμην. νῦν δέ σοι δῶρον αὖ φίλη κεφαλὴ δίδωμι. μικρὸν μὲν ὅπερ ἐστί· χάρισιν δὲ φίλῳ παρὰ φίλου· οἴκοθεν οἴκαδε κατὰ τὸν σοφὸν ποιητὴν πίνδαρον. τὴν ἐπιστολὴν ἐπισύρων πρὸς λύχνον γέγραφα, ὥστε εἴ τι ἡμάρτηται μὴ πικρῶς ἐξέταζε μηδὲ ὡς ῥήτωρ ῥήτορα.

β Α σιλεῖ μὲν πρὸς κέρδος ὁρῶντι, χαλεπὸν ἂν ὑμῶν ἐφάνη τὸ αἴτημα. καὶ οὐκ ἂν ᾤηθην δεῖν τὴν δημοσίαν εὐπορίαν βλάπτειν τῇ πρός τινας ἰδίᾳ χάριτι. ἐπεὶ δὲ ἡμεῖς οὐχ ὅτι πλεῖστα παρὰ τῶν ὑπηκόων ἀθροίζειν πεποιήμεθα σκοπὸν, ἀλλ' ὅτι πλείστων ἀγαθῶν αὐτοῖς αἴτιοι γίνεσθαι, τοῦτο καὶ ὑμῖν ἀπολύσει τὰ ὀφλήματα. ἀπολύσει δὲ οὐχ ἁπλῶς ἅπαντα. ἀλλὰ μερισθήσεται τὸ πρᾶγμα τὸ μὲν εἰς ὑμᾶς. τὸ δὲ εἰς τὴν τῶν στρατιωτῶν χρείαν· ἐξ ἧς οὐκ ἐλάχιστα καὶ αὐτοὶ δήπου φέρεσθε τὴν εἰρήνην καὶ τὴν ἀσφάλειαν. τοιγαροῦν μέχρι μὲν τῆς τρίτης ἐπινεμήσεως, ἀφίεμεν ὑμῖν πάντα, ὅσα ἐκ τοῦ φθάνοντος ἐλλείπει χρόνου. μετὰ ταῦτα δὲ, εἰσοίσεται κατὰ τὸ ἔθος. ὑμῖν τε γὰρ ἀφεῖμεν, χάρις ἱκανή. καὶ ἡμῖν τῶν κοινῶν οὐκ ἀμελητέον. περὶ τούτου καὶ τοῖς ἐπάρχοις ἐπέσταλκα. ἵν' ἡ χάρις ὑμῖν εἰς ἔργον προχωρήσῃ.

π Αὐτῶν μὲν ἐνεκάμοι τὸ σῶμα διαλύεται μετρίως. οὐ μὴν ἀλλὰ καὶ τὰ τῆς γνώμης ἔχει καλῶς. οἶμαι δὲ ἐγὼ τούτου προοίμιον εἶναι μηδὲν κρεῖττον ἐπιστολῇ φίλῳ παρὰ φίλου πεμπομένῃ. τίνος οὖν ἐστι τὸ προοίμιον αἰτήσεως οἶμαι. τίς δὲ ἡ αἴτησις. ἐπιστολῶν ἀμοιβαίων. ὡς εἴη γε καὶ κατὰ διάνοιαν ὁμολογῆσαι τοῖς ἐμαῖς, εἴσια παρὰ σοῦ ταῦτα πρὸς ἡμᾶς ἀπαγγελλούσας.

Τέλος τῶν Ἰουλιανοῦ Ἐπιστολῶν.

α	γ	ε
ΕΠΙΣΤΟΛΑΙ	τῷ ῥεύματι	πειν ἀλλ
ΕΠΙΣΤΟΛΑΙ	τῷ ὁρωμένῳ	τως ὁ
τῶν οἴσω	αὐτὸν.	ἡττᾶσθαι
αὐτούς.	μασι	δὲ με
β	δ	ζ
ἢ ἑτέροις	λίας	
γοντι	τῷ αὐτῷ.	ΙΣΟΚΡΑ
ξίου	μεθα	ἑλλάδος
τούτω	εἰσῶθις	πρέπον

η	λ	ο
κιῶν αὐτὸς	Φιλοτίμου	τῶν ἀδελ
ἰσοκρά	μελιταί	φαῶν
λαὶ κις	προαιρέ	Λεσβῶ
	μὲν ἄλλων	ὡς πολὺ
θ	**μ**	**π**
ΦΑΛΑΡΙ	τὸ μὴ	τομὲν
γέγραφα	ταχεῖν	πλάτωνος
Ἰσόκρω	Ἰσόκρω	ἱερὸν ὄντου
μεσηνὸ	ται μόνον	λέγει
ι	**ν**	**ρ**
ὀνήτο	βροῦτος πε	γὰρ πολλά
μελῶς	θεμένοις	μὲν δῶρον
ὑπόλα	εἰς οὐδὲν	ἔργον
τηλε	βροῦτος καὶ	θάπερ
κ	**ξ**	**σ**
δῆμοι	βιθυνοὶ	
κοπηθὲν	ΕΠΙΣΤΟ	ἑρμοῦ
ὑμᾶς	διόλου	τας, αὐτὸς
Μνησικλῆς	τοῖς αὐτοῖς.	Εκηβόλω

Ἅπαντά εἰσι τετράδια πλὴν τῶν. ζ. η. σ. τριαδίων.

Omnes sũt quaterni præter. ζ. η. σ. ternos.

Ἐνετίησι καὶ τοῦτο παρ' Ἄλδῳ τοῖς φθάσασιν ὁμοιοτρόπως.

Venetiis apud Aldum. eadẽ qua cætera cõditione.

Ἐπιστολαὶ διαφόρων φιλοσόφων· ῥητό-
ρων· σοφιστῶν· ἓξ πρὸς τοῖς εἴκοσι·
ὧν τὰ ὀνόματα ἐν τῇ
ἑξῆς εὑρήσεις
σελίδι·

Epiſtolæ diuerſorum philoſophorum· ora-
torum. Rhetorum ſex & uiginti.
Quorum nomina inſe
quenti in uenies
Pagina.

Ἐπιστολικοὶ τύποι καὶ ὀνόματα τῶν συνταξαμένων τὰς ἐν τῇδε τῇ βίβλῳ περιεχομένας ἐπιστολάς.

Συνέσιος.
Δημοσθένης.
Πλάτων.
Ἀριστοτέλης.
Φίλιππος.
Ἀλέξανδρος.
Ἱπποκράτης.
Δημόκριτος.
Ἡράκλειτος.
Διογένης.
Κράτης.
Ἀνάχαρσις.
Εὐριπίδης.
Θεανώ.
Μέλισσα.
Μυῖα.
Ἀλκίφρων.
Φιλόστρατος.
Θεοφύλακτος.
Αἰλιανός.
Αἰνείας.
Προκόπιος.
Διονύσιος.
Λῦσις.
Ἄμασις.
Μουσώνιος.

τέλος.

Ἐπιστολῶν ἄθροισις ἀνδρῶν πανσόφων,
Οὓς ὁ πρὶν ἐβλάστησεν ὡς ῥόδα χρόνος,
Ὧν ῥεῖ μὲν ἄνθος, ἡ δὲ τῶν μύρου χάρις,
Μένει διαρκῶς εἰς πνοὴν εὐωδίας.
Καὶ τῶν σοφῶν γάρ, ἡ μὲν ἀκμὴ τοῦ βίου
Πρηνῶς παρῆλθεν· ἡ δὲ τῶν λόγων χάρις
Μένει διαρκῶς εἰς ἀείμνηστον κλέος.

Epiſtolares ſtili & nomina eorũ qui cõpoſuerũt quas hoc uolumen continet epiſtolas.

Epiſtolarum congregatio uirorum doctorum
Quos priſcum produxit ceu roſas tempus.
Quarum & ſi defluit flos, at unguenti elegãtia
Permanet ſatis ad flatum boni odoris.
Sic & doctorum & ſi uiridis ætas uitæ
Velociter tranſacta eſt, at lucubrationũ elegantia,
Permanet abunde ad ſempiternam gloriam

Ων ἐπιστολικῶν τύπων Ἡρακλείδη ἐχόντων τὴν θεωρίαν, συνεστάναι μὲν ἀπὸ πλειόνων εἰδῶν, ἀναλαμβάνεσθαι δὲ ἀπὸ τῶν ἀεὶ πρὸς τὸ παρὸν ἁρμοζόντων, καὶ καθηκόντων μὲν ὡς τεχνικώτατα γράφεσθαι, γραφομένων δὲ ὡς ἔτυχεν ὑπὸ τῶν τὰς τοιαύτας τοῖς ἐπὶ πραγμάτων τεταγμένοις ὑπουργίας ἀναδεχομένων, θεωρῶν σε φιλοτίμως ἔχοντα πρὸς φιλομάθειαν, ἐπραγματευσάμην διά τινων σύστασιν ἰδεῶν. καὶ πόσας καὶ ἃς ἔχουσι διαφοράς. καὶ καθάπερ δεῖγμα τῆς ἑκάστου γένους τάξεως ὑποδέδειχα. προεκθέμενος μερικῶς τὸν περὶ ἑκάστου λόγον. ἅμα μὲν ὑπολαμβάνων καὶ σοὶ τοῦτο κεχαρισμένον ὑπάρχειν, εἴγε τῶν ἄλλων περισσότερον εἰδείης, τὸ λαμπρὸν τοῦ βίου τιθέμενος οὐκ ἐν τοῖς βρώμασιν, ἀλλ' ἐν τοῖς ἐπιστήμασιν. ἅμα δὲ καὶ ἕτερα νομίζων τοῦ προσήκοντος ἐκείνου μεθέξειν.

Γένη μὲν οὖν ἐστιν ὧν τοῦ παρόντος οἷς ἐντετυχήκαμεν, ἓν καὶ εἴκοσι. τάχα δ' ἂν ἐνέγκοι πολλαπλάσια τούτων ὁ χρόνος. δύναμις γὰρ εὑρετὴς καὶ τεχνῶν καὶ θεωρημάτων οὗτος. ἄλλος δὲ τῶν καθ' ἡμᾶς οὐδεὶς ἐπίκαιρος εἰς ἐπιστολικὸν τρόπον ἀνήκων τύπος. Ἐπονομάζεται δὲ ἕκαστος αὐτῶν ἀφ' ἧς ἐστιν ἰδέας οὕτως.

Φιλικός. συστατικός. μεμπτικός. ὀνειδιστικός. παραμυθητικός. ἐπιτιμητικός. νουθετητικός. ἀπειλητικός. ψεκτικός. ἐπαινετικός. συμβουλευτικός. ἀξιωματικός. ἐρωτηματικός. ἀποφαντικός. ἀλληγορικός. αἰτιολογικός. κατηγορικός. ἀπολογητικός. συγχαρητικός. εἰρωνικός. ἀπευχαριστικός.

Μὲν οὖν φιλικός ἐστιν ὁ δοκῶν ὑπὸ φίλου γράφεσθαι πρὸς φίλον. γράφουσι δὲ οὐχ οἱ πάντες φίλοι. πολλάκις γὰρ ἐν ὑπεροχαῖς κείμενοι πρὸς ὑποδεεστέρους ὑπό τινων ἀξιοῦνται

φιλικὰ γράψαι· καὶ πρὸς ἀλλήλους ἴσως στρατηγούς· διοικητάς·
ἔστιν ὅτε καὶ προσγράφουσι τοὺς ἀγνοοῦντας. οὐ γὰρ διὰ τὸ συγκε-
κρᾶσθαι καὶ μὴ ἔχειν αἵρεσιν τοῦτο πράττουσιν· ἀλλ' οὐδένα νομί-
ζοντες ἀντερεῖν αὐτοῖς φιλικὰ γράφουσιν. ὅ, τε τύπος τῆς ἐπιστολῆς
καλεῖται φιλικὸς ὡς πρὸς φίλον γραφόμενος. ἔστι δὲ οὕτως.

Παράδ. Εἰ καὶ πολύ σου διάστημα τυγχάνω κεχωρισμένος, τῷ σώματι μό-
νον τοῦτο πάσχω. σοῦ γὰρ οὐδέποτε δυνατὸν ἐπιλαθέσθαι με. οὐδὲ τῆς
γεγονυίας ἡμῖν ἐκ παίδων ἀνεγκλήτου συναναστροφῆς. εἰδὼς δὲ ἐ-
μαυτὸν τὰ πρὸς σὲ γνησίως διακείμενον, καὶ πάντοτε τὸ σοὶ συμ-
φέρον ἀπροφασίστως ὑπηρετήσοντα, τὴν αὐτὴν ὑπείληφα καὶ σὲ
περὶ ἐμοῦ ἔχοντα γνώμην, κατὰ μηδὲν ἀντερεῖν πρός με. καλῶς
οὖν ποιήσεις πυκνότερον ἐπισκοπῶν τοὺς ἐν οἴκῳ, μή τινος ἔχωσι χρείαν.
καὶ συμπεριστάμενος ἐν οἷς ἂν δέωνται καὶ γράφων ἡμῖν περὶ ὧν
αἱρῇ.

2. Ὁ δὲ συστατικὸς ὃν ὑπὲρ ἄλλου πρὸς ἄλλον γράφομεν ἔπαινον συγ-
καταπλέκοντες ἅμα καὶ τοὺς πρότερον ἀγνοουμένους ἄγοντες εἰς
γνῶσιν. Οἷον οὕτως.

Παρ. Τὸν δεῖνα τὸν παρακομίζοντά σοι τὴν ἐπιστολὴν, καὶ παρ' ἡμῖν κεκρι-
μένον, καὶ διὰ τὴν ἔχει πίστιν ἀγαπώμενον, καλῶς ποιήσεις ἀποδο-
χῆς ἀξιώσας καὶ δι' ἐμὲ καὶ δι' αὐτόν. ἔτι δὲ καὶ διὰ σαυτόν. οὐ μεταμε-
λήσει γάρ, ἐν οἷς θέλεις εἴτε λόγον ἀπόρρητον, πρᾶξίν τε εἰπεῖν· ἀλ-
λὰ καὶ σὺ πρὸς ἑτέρους ἐπαινέσεις αὐτὸν αἰσθόμενος ἣν ἐν παντὶ
δυνατὸς χρείαν ἐστὶ παρασχέσθαι.

3 Μεμπτικός ἐστιν ὁ μὴ νομίζεσθαι βαρεῖν προσδεχόμενος.
Εἰ μὴ παραδέδωκέ σοι καιρὸς μηδέπω ὧν εὖ πέπονθας ἐκ τινῶν
χάριτας, οὐδ' αὐτὸ τοῦτο καλῶς ἔχει ὑπείληφας τὸ μνημονεύειν.

ὧν ἔπαθες. ἀλλὰ τὸ δυσχερὲς καθ' ἡμῶν λόγους προέθου· σὲ μὲν οὖν οὐ μέμφομαι τρόπον ἔχοντα τοιοῦτον. ἑαυτοὺς δὲ ὅτι σε τοιοῦτον ὄντα ἀσυνοοῦμεν. Ὀνειδιστικὸς δέ ἐστιν ὅταν τὸν ὑφ' ἡμῶν προευεργετηθέντα ἐφ' οἷς ἔπραξε μετ' ἐγκλημάτων ὀνειδίζωμεν.

Ἔδει σε τὸ συνωθίσαι τὸν μαθόντα, τότε καὶ ἑτέροις προσφέρεσθαι δυσκόλως. νῦν γε μὴν ὑφ' ἡμῶν τρεφόμενος καὶ δι' ἡμᾶς ἔχων τὸ πνεῦμα, μεῖζον φρονεῖς τοῦ δέοντος. ἡμεῖς δὲ τούτου αἴτιοι. σὲ γὰρ ἔδει μὴ τυχεῖν ἐλευθέρου σχήματος. καὶ εἴπερ δὲ νῦν ἐλεύθερος γέγονας, ὅμως ἔχεις σχῆμα δουλοπρεπές. λέγεις δὲ κακῶς. ἐπεὶ καλῶς λέγειν οὐκ ἔμαθες. Παραμυθητικὸς δέ ἐστιν ὁ γραφόμενος τοῖς ἐπὶ λύπαις καθεστηκόσι δυσχεροῦς τινὸς γεγονότος. ἔχει δὲ οὕτως.

Ἀκούσας τὰ δεινὰ τῆς ἀχαρίστου σου τύχης ἀπηντημένα, καθ' ὑπερβολὴν ἤλγησα νομίσας οὐ σοὶ μᾶλλον ἢ ἐμοὶ συμβεβηκέναι τὸ γεγονός. ἐκείνην μὲν οὖν τὴν ἡμέραν ἅπαντα ἰδὼν τὰ πρὸς τὸν βίον ἔσω τὰ συνεφώραζον. ἐννοηθεὶς δὲ ὅτι τὰ τοιαῦτα πᾶσιν ἐστὶν ὑποκείμενα τῆς φύσεως, οὔτε χρόνον οὔτε ἡλικίαν ὑφισταμένης, καθ' ἣν δεῖ τι πάσχειν, ἀλλ' ἀδήλως μετὰ σκαιότητος οὐκ ἀξίως πολλάκις ἀπαντώσης, ἐπεὶ μὴ παρὼν ἔτυχον, παρακαλεῖν σε δι' ἐπιστολῆς ἔκρινα τοῦτο ποιῆσαι. φέρε γοῦν τὸ γεγονὸς ὡς δύνῃ κουφότατα. καὶ καθὼς ἄλλῳ παρῄνεσας, σαυτῷ παραίνεσον. ἐπίστασαι γὰρ ὅτι τὸ μέλλον χρόνῳ κουφιεῖν σε, τοῦτο ὁ λόγος εὐμαρέστερον ποιήσει.

Ἐπιτιμητικὸς δέ ἐστιν ὁ ἐφ' ἁμαρτήμασι προγεγονόσι μετ' ἐπιπλήξεως γραφόμενος, οὕτως.

Τῶν ἁμαρτημάτων τὰ μὲν ἑκουσίως γίνεται, τὰ δὲ ἀκουσίως. καὶ τὰ μὲν μεγάλα καθέστηκε, τὰ δὲ μικρά. καὶ τὰ μὲν μόνοις βλαβερὰ τοῖς ἁμαρτάνουσι, τὰ δὲ ἑτέροις· σοὶ δὲ

καθά

καθάπερ ὑπὸ τῆς ἀδημασύ συμβεβηκόντα· καὶ γὰρ οὐ κακῶν μεγάλα ἀλλὰ πολλὰ βλαβερὰ διαπέπραχας· προσήκει μὲν οὖν σε μείζονος ἐπιτυχεῖν ἐπιπλήξεως. εἰ δὴ κατὰ τὸ πρότερον συντετύχηκε καὶ ἐπὶ ἑτέρων τῶν ἀδικηθέντων· ἀλλ' ἔτι γε δυνατόν ἐστιν ἰάσεως τυχεῖν γεγονὸς πλημμέλημα, πρὸς διόρθωσιν γὰρ ἀγαθὸν αὐτὸς αἴτιος γενήσῃ τοῦ μὴ γεγονέναι καθάπερ ἐγὼ τοῦ γεγονέναι. Νουθετικὸς δέ ἐστιν ὃς καὶ διὰ τῆς ὀνομασίας ὁποῖός ἐστι δηλοῖ· τὸ γὰρ νουθετεῖν ἐστιν οὖν ἐντιθέναι τῷ νουθετουμένῳ καὶ διδάσκειν τί πρακτέον καὶ μή. Κακῶς ἐποίησας τοῦτο χρησάμενος ἀνδρὶ καλῶς ἀναστραμμένῳ καὶ κατὰ λόγον βεβιωκότι καὶ τὸ ὅλον μηδὲν ἄτοπον εἰς σὲ πεποιηκότι. παραιτήσεως οὖν ἀξίωσον τὸ πρᾶγμα. καὶ γὰρ σὺ πάλιν ὑπ' ἄλλου παθὼν, ῥᾳδίως ἂν ἐπέγνωκας. τὸ δὲ ὑπὲρ σαυτὸν δικαιῶν· μὴ δόκει οὖν μήτε γενναῖον μήτε ἀγαθοῦ τετυχηκέναι, μήτε τὸ πᾶν ἔσχατον συνιέντα τινὰ ἢ φίλον ἔχειν τὸν ἐπιτιμήσοντα τοῖς ἁμαρτήμασιν.

Ἀπειλητικὸς δέ ἐστιν ὅταν μετ' ἐπιτάσεως φόβον τισὶν ἐμποιῶμεν ἐπὶ πεπραγμένοις ἢ πραχθησομένοις. οὕτως.

Εἰ μὲν ὑπολαμβάνετε μηδεμίαν ὑφέξειν δίκην ὧν ἐφ' οἷς διαπέπραξαι, πρᾶττε. ἴσθι δὲ ἀκριβῶς ὡς οὔτε ἀναπτησόμενος, οὔτε καταδυσόμενος οὐδενὶ τρόπῳ χρόνον ὑπ' αὐτοῦ κενοῦ. ὁδὸν γὰρ οὐκ ἂν εὕροις δι' ἧς ἀποφύγοις ἅ σε δεῖ παθεῖν.

Ψεκτικὸς δέ ἐστιν ὅταν τρόπου κακίαν ἢ δυσχέρειαν πράξεως κατά τινος διαγγέλλωμεν. οὕτως.

Ὁ δεῖνα πῶς κέχρηται τοῖς ἐγκεχειρισμένοις ἀνελευθέρως καὶ τῆς προαιρέσεως ἀναξίως, κἂν ἐγὼ σιωπῶ, παρὰ ἄλλων ἀκούσῃ. γράφειν γὰρ προσήκει περὶ ὧν ἂν μή τινες ἐπίστωνται. περὶ δὲ τῶν ἅπασι φανερῶν καὶ ὑπὸ πάσης τῆς φήμης ἀναγγελλομένων, περιττόν τε

καὶ τὸ μηνυθὲν ἃ δι' αὐτῶν ἐλέγχεται σιωπωμένων.
Ἐπαινετικὸς δέ ἐστιν ὅταν ἐφ' οἷς ἂν ἐπράξέ τις ἢ προείλετο παρα 10
καλοῦμεν, ἀποδεχόμενοι τὸν πρόσωπον τοῦτον.
Ἐγὼ εἰ καὶ πρότερον ἔγραψας, γράμμασι μετειλήφειν τῆς σῆς π.
φιλοκαλίας, καὶ νῦν ἐφ' οἷς πέπραχας, ἀποδέχομαί τε καὶ παρακα
λῶ. συνοίσει γὰρ ἡμῖν ἀμφοτέροις.
Συμβουλευτικὸς δέ ἐστιν, ὅταν τὴν ἰδίαν γνώμην προφερόμενοι 11-
προτρέπωμεν ἐπί τινα ἢ ἀποτρέπωμεν ἀπό τινος. οἷον οὕτως.
Ἐξὸν εὐδοκιμῆσαι, διὰ τῶν ἀρχομένων, κεφαλαιωδῶς ὑποδεδει- π.
χάσοι, γίνωσκε μὲν οὖν ὅτι τὸ σὺ τῷ τρόπῳ δυνατὸς εἶ τὴν παρὰ τῶν
ὑποτεταγμένων εὔνοιαν περιποιεῖσθαι τῶν ὑπηκόων. ἔτι δὲ φίλους
πλείσους μὲν οὐ κτᾶν· πρὸς ἅπαντας δὲ μετρίως ἔχειν τὸ φιλαν
θρώπως. τοιοῦτος γὰρ ὤν, παρὰ τῶν ὄχλων τὴν εὐφημίαν καὶ τὴν
ἀρχὴν ἀσφαλῆ ἕξεις.
Ὁ δὲ ἀξιωματικὸς ἐν δεήσει κείμενος τὸ ταῖς αἰτίαις καὶ ταῖς κα 12-
λουμέναις λιτανείαις. κεῖται ἢ μετὰ παραιτήσεως ἐνίοτε οὕτως.
Ἐπιτετίμηκα τῷ δεῖνι περὶ ὧν εἰς σὲ διαπέπρακται. καὶ πικρότε
ρον ἢ προσῆκεν αὐτῷ διηνέχθην. καὶ σχεδὸν μᾶλλον ἢ πάντων ἂν αὐ
τὸς ὑπὲρ σαυτοῦ διελέχθης. ἀλλ' ἐμοὶ τὴν ἀδικίαν ἀντίθες εἰς
τὸ πάλιν συνάξαι. οἶδα δέ σε καὶ χρήσιμον ὄντα καὶ τοῖς φίλοις χα
ριζόμενον. ὁλοσχερῶς οὖν ἀξιώθητι κατὰ τὸ ὁμηρικόν, δάμασον δὲ θυ
μὸν μέγαν· οὐδέ τί σε χρὴ Νηλεὲς ἦτορ ἔχειν· στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί.
Ἐρωτηματικὸς δέ ἐστιν ὅταν περί τινων πυνθανόμενοι παρακαλῶ 13
μεν ἡμῖν ἀντιφωνεῖν.
Ἀκούω τὸν δεῖνα τὸν φιλόσοφον ἐπιδεδημηκέναι πρὸς σέ. διασα-
σάφησον οὖν μοι πότερον πάρεστιν ἢ κεχώρισται.

Ἀποφαν

14. Ἀποφαντικὸς δέ ἐστιν ὅταν πρὸς τὸν πυνθανόμενον ὁποῖόν τι ἀποφαινώμεθα.

π. Ἔγραψάς μοι πυνθανόμενος εἰπεῖν ἡμῖν ἐστιν ὃν ὑπείληφας. ἐπειδὴ δὲ καὶ νῦν ὡς ἀκούεις τὸ πάρεστιν ἔτι καὶ σὲ προσδεχόμενος ἑπομένην φησί,

15. Ἀλληγορικὸς δέ ἐστιν ὅταν πρὸς ὃν γράφομεν, αὐτὸν εἰδέναι βουλώμεθα μόνον. καὶ ἑτέρου πράγματος εἰκόνα σημαίνωμεν.

Ἀκούω τὸν πρὸς σὲ ἀγωνισάμενον ἀθλητὴν, γυμνὸν ἔξω τῶν πυλῶν ἐν σκοτεινῷ κατοικεῖν οἰκήματι. κρατήσεις δὴ πάντως. οὐ γὰρ ἐσήμηνεν ὅτι ὑπείληφεν αὐτοῦ τὸν ἀντίδικον ἀπολωλέναι. καὶ ὡς ἑτέροις ἀπειλῶν ἔγραψεν. οὐ βούλεσθε παύσασθαι ἕως ἂν ἴδητε τοὺς τέττιγας ὑπὸ τῶν βώλων ᾄδοντας. διὰ γὰρ τοῦ πράγματος ἄλλο πρᾶγμα σεσήμαγκε. βούλεται γὰρ εἰπεῖν, οὐ βούλεσθε παύσασθαι, ἕως ἂν ἴδητε τὴν χώραν ὑμῶν κατεσκαμμένην καὶ δενδροκοπημένην. οὐ γὰρ ἂν ἄλλως οἱ τέττιγες ὑπὸ τῶν βώλων ᾄδοιεν, εἰ μήτε δένδρα μήτε τοίχους ἔχοιεν.

16. Αἰτιολογικός ἐστιν ὅταν τὰς αἰτίας δι᾽ ἃς οὐκ ἐγγέγονεν ἢ γενήσεται σημαίνωμεν ὅτι δήποτε οὖν. οἷον

Ἔγραψάς μοι διὰ ταχέως πρὸς σὲ διακομίζεσθαι. κἀμοὶ δὲ τοῦτο μέλει. ἀπορῶ μέντοι. τῷ πάντα ἡμῖν τὰ πρὸς τὸν πλοῦν ἀντιπεπτωκέναι. οὔτε γὰρ πλοῖόν ἐστιν εὑρεῖν, πρὸς τὰς λῃστουργίας ἐληλυσμένων ἁπάντων. οὐ γὰρ ἂν εὕροιμεν ἀνέμων ὄντων ἐναντίων. ἐν καιρῷ δὲ τῷ μεταξὺ καὶ εἰς κέρσιν ἐμπεπλέγμεθα. τὸν δὲ συσταθησόμενον οὐκ ἔχομεν καὶ διεξάξοντα. πρὸς δὲ τούτοις ἠσθένηκα τῷ σώματι. ἐὰν ἅπαντα μεταπέσῃ ταῦτα, ἐκδέχου.

17. Κατηγορικός ἐστιν ἐν καταιτιάσει τινῶν κείμενος παρὰ τὸ δέον ἐνηργημένων.

Οὐχ ἡδέως μὲν ἔφερον ἀκούων τὰ κατὰ σοῦ λεγόμενα πρὸς τὸν στρατηγόν. ἦν γὰρ τῆς ἀξίας ἀγωγῆς. καλῶς δὲ καὶ σὺ γὰρ κατ' ἐμοῦ ταῦτα λέγοντι αὐτὸν ἐπεχείρησας. ἐπιστάμενος αὐτὸν καὶ διάβολον καὶ ψευδολόγον, οἶδα γὰρ ὑπὲρ οὗ γράφουσι, τὸ καθόλου δὲ φίλοι ἔχων, ὃν ἤδεις ἁπάντων ἐχθρόν. οὐ δὲ τοῦτο δοκιμάσεις. διότι καὶ ἄλλον πρὸς σὲ κατηγορήσαντα, καὶ πρὸς ἄλλους εἰκὸς ἦν ἐρεῖν τι κατὰ σοῦ. μέμφομαι οὖν ἐκείνῳ μὲν, ὅτι ταῦτα πράττει· σοὶ δὲ ὅτι δοκῶν φρονεῖν, οὐκ ἔχεις κρίσιν ὑπὲρ φίλων.

Ἀπολογητικὸς δέ ἐστιν ὁ πρὸς κατηγοροῦντα, τοὺς ἐναντίους λό- 18
γους μετὰ ἀποδείξεως εἰσφέρων.

Γεγραφέναι πρὸς σὲ μετ' ἐμοῦ τινα καὶ πεπέμφθαι σε πρὸς τὸν στρατηγὸν ὑπ' ἐμοῦ. καλῶς δὲ πεποίηκεν ἡ τύχη, μεγάλα μοι πρὸς τὴν ἀπόδειξιν ποιήσασα. κατὰ γὰρ τοὺς χρόνους φασὶ τοῦτο πεποιηκέναι· μᾶλλον δὲ καὶ πρὸ τριῶν μηνῶν καταπλεῦσαι εἰς ἀλεξάνδρειαν. οὔτε μὴν τὸν στρατηγὸν ἑώρακα, οὔτε ἐκεῖνος ἐμέ· διὰ γραμμάτων δὲ οὐδὲ αὐτοὶ λέγουσιν ὅτι πεπέμφθαι κατὰ σοῦ. καὶ γὰρ ἦν ἄλογον, οὐδὲ μιᾶς μοι γεγονυίας πρὸς σὲ διαφορᾶς, ἀξιοῦν κατηγορεῖν τοῦ μηδὲν ἀδικοῦντος· ἀλλὰ φαίνονται αὐτοὶ πράξαντες ἄτοπον, ἂν εἶεν ὑπὸ σοῦ γνωσθέντες, μή τινές σοι προσπεσόντες κατ' αὐτῶν προδιαβεβλήκωσιν. οὐδὲ εἰ εἶχεν ἣν φασὶν ἐπιστολὰς εἰπέ· εἰ διαμένεις οἷον δεῖ, πρὸς ἐμοῦ παραγγομένου μαθήσῃ πάντα. καὶ γὰρ εἰ μὲν κατ' ἄλλων πρὸς σὲ πώποτε εἴρηκα, πιστὸν ἦν καὶ κατὰ σοῦ πρὸς ἄλλους ἐρεῖν. προσδέχου με συντόμως καὶ πάντα πρὸς ἔλεγχον ἄξομεν. ἵνα σὺ μὲν γνώσῃ ὡς καλῶς με κέκρικας φίλον. ἐγὼ δὲ σοῦ πεῖραν ἔργῳ λάβω. σχεδὸν γὰρ οἱ διαβάλλοντες, ἡμᾶς μὲν συνάξουσιν. ἑαυτοὺς δὲ ἀποπνίξουσιν.

Συγχα

19. Συγχαριστικὸς δέ ἐστιν ὅταν τοῖς μεγάλοις πράγμασιν ἢ παραδόξοις γενομένοις περί τινα συνηδόμενοι γράφωμεν.

Οὐχ ὑπείληφα περὶ σὲ τὸν τοῦ πράγματος κύριον γεγονέναι τοσαύτην χαράν, ὅσην οἶδα περὶ ἐμὲ πυθόμενον τὰ σοὶ συμβεβηκότα. πέποιθα δὲ ἐθελούσης τῆς τύχης σε μείζονα γενέσθαι. τὸ σὸν γὰρ ἦθος οὐδὲ παρὰ τοῖς μείζοσιν ἀπαρασήμαντον. δι' ἣν ἔχεις πρὸς μὲν τοὺς ἀνθρώπους ἀπάντησιν. πρὸς δὲ τοὺς θεοὺς εὐσέβειαν.

20 Εἰρωνικὸς δέ ἐστιν ὅταν ἐναντίοις πράγμασιν, ἐναντία λέγωμεν καὶ τοὺς κακοὺς ἀγαθοὺς λέγωμεν.

Ἀπόδεξαι τὴν πρὸς ἡμᾶς εὔνοιαν, ἣν ἐκ παλαιῶν χρόνων ἔχεις. οὐ γὰρ λέληθεν ἡ καλή σου καὶ ἀγαθὴ προαίρεσις. διότι τὸ κατὰ σαυτὸν μέρος ἤρηκας ἡμᾶς. ἐὰν δὲ τῶν ἴσων τυγχάνῃς, μὴ δυσφόρει. πεπείσμεθα γὰρ ἂν οἱ θεοὶ θέλωσι, καιρὸν ἕξειν οἷον εὑρήσεις καθ' ἡμῶν οὐδέποτε.

21. Ἀπευχαριστικὸς δέ ἐστιν ὁ μνημονεύειν τῆς χάριτος τὸν εὐεργέτην δεικνύναι βουλόμενος.

Ἐφ' οἷς εὐηργέτησάς με, διὰ λόγων νῦν εὐχαριστῶ. ἀλλὰ δεῖξαι τῷ ἔργῳ ἣν ἔχω διάθεσιν πρὸς σὲ πάνυ γλιχόμενος, ὑπείληφα τὸ δ' ἐμοῦ σοι γενόμενον ἔλαττον τοῦ καθήκοντος. οὐδὲ γὰρ τὸν βίον ὑπὲρ σοῦ προθέμενος, ἀξίαν ἀποδοίην χάριν ὧν πέπονθα. τῶν κατ' ἐμὲ δὲ ὅτι βούλει ποιῆσαι μὴ γράφε παρακαλῶν, ἀλλ' ἀπαιτῶν χάριν. ὀφείλω γάρ.

Ἄλλη.

Μουσικόν σοι τὸ πρόσρημα σοφώτατε. οὐ λίαν ἀπεῖναί σοι λύρα δοκεῖ. νῦν γὰρ ἡ γραφὶς μουσικὴν ἐνδείκνυται τέχνην. ᾆσμά σοι δι' ἡμῶν μελῳδοῦσα τὸ φίλιον. σπουδῇ τε τῇ πάσῃ καὶ

προθυμίᾳ τῇ πρεπούσῃ. πρὸς φωνὴν ἡμετέραν προθυμου-
μένη παιδεύειν· καὶ γὰρ ἔννομόν τε καὶ θεῖον τοὺς προεστηκότας
ὑμᾶς καὶ προστήσεσθαι μέλλοντας, ἀσπάζεσθαι ταῖς προσρήσεσι
διὸ πεπληρώκαμεν τὸν νόμον καὶ προσκεκυνήκαμεν ὡς ἔδει
καὶ αὐτίκα λοιπὸν μεμνῆσθαι μὲν ἡμῶν παρ' ὑμῖν. γράφειν δὲ ἡ-
μῖν ἐνθάδε. ὑπὲρ δὲ τῆς σωτηριώδους ὑμῶν διαμονῆς ὁσημέραι
εὐχόμενος, εὖ ἔχειν πυνθάνεσθαι ταύτην, λίαν ἔχομεν ἐρωτικῶς.

Ἄλλη.

Συνήθως εὔφρανας δέσποτα τῇ τῶν γραμμάτων διαδοχῇ. σωμα-
τικὴν ἡμῖν τὴν παρουσίαν ἐπιδειξάμενος. καὶ τὴν ὑμῶν ἀπου-
σίαν, τῇ παρουσίᾳ σημάνας, χαίρειν πάλιν ἀνέπλησας· καὶ πά-
λιν εὐφραίνεσθαι. τὰ γὰρ τῆς σῆς λαμπρότητος ὑπερφυᾶ γράμ-
ματα, εὐφροσύνης ἡμῖν αἴτια γίνεται. ἡμῖν μὲν γὰρ δέσποτα
καὶ δοκῶν ἀπεῖναι παρῇς. καὶ παρὼν ἐν τοῖς τῶν ψυχῶν ἡμῶν δι-
καίως ἀναγεγραμμένος ὑπάρχεις ἀνεξαλείπτοις μνήμαις τῇ
τῶν γλυκέων παίδων παρουσίᾳ καὶ τῇ τῶν χρεωστου μέ-
νων σοι ἀνάγκῃ καὶ τῇ τῶν ψυχῶν
ἀρετῇ. ψυχῆς γὰρ ὥσπερ καὶ ὀ-
φθαλμῶν τὰ γράμ-
ματα ἑορτὴ καὶ
πανήγυ-
ρις.

ΣΥΝΕΣΙΟΥ ἘΠΙΣΤΟΛΑΙ

ΝΙΚΑΝΔΡῼ.

Ἀΐδιος ἐγὼ λόγους ἐγεννησάμην· τοὺς μὲν, ἀπὸ τῆς
π σεμνοτάτης φιλοσοφίας καὶ τῆς συνναοῦ ταύτῃ ποιητικῆς· τοὺς δὲ, ἀπὸ τῆς πανδήμου ῥητορικῆς. ἀλλ᾽ ἐπιγνοίη τις ἂν ὅτι πατρός εἰσιν ἑνὸς ἅπαντες, νῦν μὲν εἰς σπουδὴν, νῦν δὲ εἰς ἡδονὴν ἀποκλίναντος. ὁ δὴ παρὼν οὗτος λόγος ἧς τινος μὲν ἐστι μερίδος, ἀπὸ τῆς ὑποθέσεως αὐτοῦ κατερεῖ. πατρί μου δὲ οὕτως ἠγαπήθη διαφερόντως, ὥς ἤδη γ᾽ ἂν αὐτὸν εἰς ποίησιν φιλοσοφίᾳ καὶ τοῖς γνησίοις ἐγκρῖναι. ἀλλὰ τοῦτο μὲν οὔ φασιν ἐπιτρέψειν, οὐδὲ οἱ νόμοι τῆς πολιτείας. θεσμοὶ γάρ εἰσιν εὐγενείας προστάται. ἔχει δὲ κέρδος, ὅτι ἂν αὐτῷ λάθρα χαρίσωμαι, τὰ παρὰ τῆς σπουδαίας μερίδος, εἰς αὐτὸν συνενήνοχα. ἂν μὲν οὖν καὶ σοὶ δοκῇ, κοίνωσαι τὸν λόγον τοῖς Ἕλλησιν. ἀποψηφισθεὶς δὲ ἐπανίτω παρὰ τὸν πέμψαντα. τοὺς πιθήκους γάρ φασιν ἐπειδὰν τέκωσιν, ὥσπερ ἀγάλμασιν ἐνατενίζειν τοῖς βρέφεσιν, ἀγαμένας τοῦ κάλλους. οὕτως ἐστὶν ἡ φύσις φιλότεκνον. τὰ δ᾽ ἀλλήλων ὁρῶσιν, ἅπερ ἐστὶ, πιθήκων παιδία. ἑτέροις οὖν ἐπιτρεπτέον, ἐξετάζειν τὰ ἔκγονα· αἱ δ᾽ εὔνοιαι, δειναὶ δικάσαι τὰς ψήφους. διὰ τοῦτο Λύσιππος Ἀπελλῆν εἰς τὰς γραφὰς εἰσῆγε, καὶ Λύσιππον Ἀπελλῆς.

α Ἰωάννῃ.

Φοβία μεγίστη, τὸ φοβεῖσθαι τοὺς νόμους. σὺ δὲ, αὐτοὺς ἠξιώθης, ἀεὶ φαίνεσθαι φοβούμενος. τοιγαροῦν δέδιθι τοὺς ἐχθροὺς, καὶ μετὰ τούτων τοὺς δικαστὰς, ἂν μὴ κλέπτωσι· κἂν κλέπτωσι μὲν, μὴ σὺ δ᾽ ἧς ὁ τὰ πλείω διδοὺς, οὐδὲν ἧττον εὐλαβητέον. ὀργίζονται γὰρ ὑπὲρ τῶν νόμων, ὅταν καὶ μισθοδότας προσλάβωσιν.

Τῷ ἀδελφῷ Εὐοπτίῳ.

τ Ρίτη μὲν ἦν Αἰσχίνῃ κειμένῳ· ἡ δὲ ἀδελφιδῆ τότε πρῶτον ἤκουσεν ἀμφὶ τὸν τάφον· οὐ γὰρ οἶμαι νομίζεται νυμφίου τριταίας βαδίζειν ἐπὶ τὴν ἐκφοράν. ἀλλ' ἐν φοινικίδι καὶ τότε. καὶ διαφανὴς ὁ κεκρύφαλος. καὶ χρυσία καὶ λίθους ἐξήρτη τότε καὶ περιέκειτο, ἵνα μὴ τῆς νυμφείου σύμβολος ἀπαίσιος γένηται. καθεζομένη οὖν ἐπ' ἀμφικεφάλου καθέδρας, φασίν, ἀργυρόποδος, πολλὰ κατεμέμφετο τὴν ἀκαιρίαν τῆς συμφορᾶς· ὡς ἢ πρότερον ἐχρῆν, ἢ μετὰ τὸν γάμον ἀποθανεῖν. καὶ πρὸς ἡμᾶς, ἐφοῖς· ἐδυσυχοῦ μὲν ἐμήνιε. μόλις δὲ οὖν περιμείνασα τὴν ἑβδόμην, καθ' ἣν ἡμεῖς εἱστιάκαμεν τὸ δεῖπνον τὸ ἐπιτάφιον, αὐτήν τε καὶ τὴν φλήναφον γραῦν τὴν τιτθήν, ἐπὶ τὸ ζεῦγος ἀναβιβασαμένη τὸ ὀρικόν, πληθούσης ἀγορᾶς, ἅπασι τοῖς παρασήμοις ἐπόμπευσεν εὐθὺ Τευχείρων ἐλαύνουσα. μέλλει γὰρ καὶ εἰς τὴν ἐπιοῦσαν ἑβδόμην, τυμπανιώσεσθαί τε καὶ πυργοφόρος καθάπερ ἡ Κυβέλη περιελαύνεσθαι. τούτοις ἡμεῖς μὲν οὐδὲν ἀδικούμεθα, πλὴν τοῦ καταφανεῖς γεγονέναι, λίαν ἀναισθήτους ἔχοντες συγγενεῖς. ὁ δὲ ἀδικούμενος, Ἁρμόνιός ἐστιν ὁ τοῦ θυρωροῦ πατήρ· ὡς ἂν εἴποι Σαπφώ, τὰ μὲν ἄλλα σώφρων καὶ μέτριος ἐν τῷ καθ' ἑαυτὸν βίῳ γενόμενος. ἀλλ' ὑπὲρ εὐγενείας ἀμφισβητῶν τῷ Κέκροπι διετέλεσε. τούτου τοι πλέον ἢ Κέκροπος τὴν θυγατριδῆν, ὁ θεῖος ἡρώδης ἐπὶ θυρωρὸς, εἰς οὐσίας ἢ τυβίους ἀπέδοτο. πλὴν εἰ μή τι λέγουσιν, ὅσοι ἐπὶ τὸν νυμφίον ἡμῖν μητρόθεν ἀποσεμνύνουσι, γενεαλογοῦντες αὐτὸν ἀπὸ τῆς ἐν φήμῃ Λαΐδος. ἡ γὰρ Λαῒς ἔφη τις ἤδη λογογράφος, ἀνδράποδον ἦν συγκαρικόν, ἐκ Σικελίας ἐωνημένον. ὅθεν ἡ καλλίπαις ἡ τεκοῦσα τὸν περιβόητον. καὶ αὐτὴ πάλαι μὲν ἐπαλλακεύετο

ναυκλήρῳ

ναυκλήρῳ δεσπότῃ· ἐπεὶ τῷ μὲν γὰρ ῥήτορι· καὶ τούτῳ δεσπότῃ. γὰρ ἰ
τῷ μετ᾽ ἐκείνους ὁμοδούλῳ. καὶ λάθρα τῇ πόλει· ἐπεὶ τῷ λαμπρῶς
τῇ πόλει, καὶ προύσῃ τῆς τέχνης. ἧς ἐπειδὴ τὴν ἐργασίαν ὑπὸ χα
λαρᾶς ῥυτίδος κατέλυσε, τοὺς ἐν ἡλικίᾳ παιδοτριβεῖ. καὶ τοῖς ξέ-
νοις ἀντικαθίστησιν. οὐδὲ γὰρ υἱὸς ὁ ῥήτωρ, ἀφεῖσθαί φησι τῆς ἀνάγκης
τοῦ νόμου, μητέρα γὰρ ἔφυ ἑταίραν. ἅπασι τοῦ νόμου τοῖς δ᾽ οὕτω γε
γονόσιν, ἀποδέδεικται μὲν ἡ μήτηρ. ὁ δὲ λοιπὸς τῶν γονέων, ἀμφι
σβητήσιμος. ὅσον οὖν ἀμφοτέροις παρὰ τῶν εὖ γεγονότων ὀφείλε-
ται, τοῦτο πᾶν ἥκειν ἔδει παρὰ τῶν ἀποχρῶν εἰς τὰς μητέρας.

Τῷ αὐτῷ.

Ὑσαντες ἐκ Βενδιδείου πρὸ δείλης ἑώας, μόλις ὑπὲρ
λ μεσοῦσαν ἡμέραν, τὸν Φάριον μύρμηκα παρηλλά-
ξαμεν. δίς που καὶ τρὶς ἐνσχεθείσης τῆς νεὼς περὶ τὸν λι
μένος ἐδάφει. εὐθὺς μὲν οὖν, καὶ τοῦτο κακὸς οἰωνὸς ἐδόκει. καὶ σο
φὸν ἦν ἀποβῆναι νεὼς, ἐκ πρώτης ἀφετηρίας οὐκ εὐτυχοῦς.
ἀλλὰ φυγεῖν παρὸν μὲν ἔγκλημα δειλίας ᾐσχύνθημεν. καὶ διὰ-
τοῦτο οὔπω ἔτι ἔσχεν ὑποστρέψαι οὐδ᾽ ἀναδῦναι. ὥστε κἂν ἔτι
συμβαίνη, δι᾽ ὑμᾶς ἀπολούμεθα. καίτοι τί δεινὸν ἦν ὑμᾶς τε
γελᾶν καὶ ἡμᾶς ἔξω κινδύνων ἑστάναι. ἀλλὰ τῷ ἐπιμηθεῖ φα-
σι, τὸ μὲν μέλλειν, οὐκ ἦν. τὸ δὲ μεταμέλειν, ἐνῆν, ὥσπερ ἡμῖν. τό
τε γὰρ δέον σώζεσθαι, νῦν πρὸς ἐρήμοις ἀκταῖς συναυλίαν ὀλοφυ
ρόμεθα, καὶ πρὸς ἀλεξάνδρειαν ὁρῶντες, ὡς οἷόν τε, καὶ τὴν
μητέρα κυρήνην. ὧν τὴν μὲν, ἔχοντες ἀπελίπομεν. τὴν δὲ,
εὑρεῖν οὐ δυνάμεθα, ἰδόντες τε καὶ παθόντες, ἃ μηδ᾽ ὄναρ ἠλ-
πίσαμεν. ἄκουε γάρ, ἵνα μὴ δὲ σὺ πάνυ χαίρειν χολάζῃς.

καὶ πρῶτον ὅπως ἡμῖν εἶχε τὰ τοῦ πληρώματος· ὁ μὲν ναύκληρος ἐθανάτα κατὰ χρέως ὤν· ναυτῶν δὲ ὄντων δυοκαίδεκα τῶν πάντων, τρισκαιδέκατος γὰρ ὁ κυβερνήτης ἦν, ὑπὲρ ἥμισυ μὲν καὶ ὁ κυβερνήτης, ἦσαν ἰουδαῖοι· γένος ἔκσπονδον καὶ εὐσεβεῖν ἀναπεπεισμένον, ἂν ὅτι πλείους ἄνδρας ἕλληνας ἀποθανεῖν αἴτιοι γίνωνται· τὸ δὲ λοιπὸν, ἀγελαῖοι· γεωργοί· πέρυσιν οὔπω κώπης ἡμμένοι· κοινῇ δὲ οὗτοι κἀκεῖνοι, πεπηρωμένοι πάντως ἕν γέ τι μέρος τοῦ σώματος. τοιγαροῦν ὡς οὐδὲν δεινὸν ἦν ἡμῖν, ἐκομψεύοντο· καὶ ἐκάλουν ἀλλήλους, οὐκ ἀπὸ τῶν ὀνομάτων· ἀλλ᾽ ἀπὸ τῶν ἀτυχημάτων· ὁ χωλός· ὁ κηλήτης· ὁ ἀριστερόχειρ· ὁ παραβλώψ· ἕκαστος ἕν γέ τι εἶχε τοὐπίσημον· καὶ ἡμῖν τὸ τοιοῦτον, οὐ μετρίαν παρεῖχε τὴν διατριβήν· ἐν τῇ χρείᾳ δὲ, οὐκ ἔτι γέλως ἦν, ἀλλ᾽ ἐπὶ τούτοις αὐτοῖς ἀπῳμώζομεν, ὄντες ἐπιβάται πλεῖν, ἢ πεντήκοντα· τριτημόριόν που μάλιστα γυναῖκες· αἱ πλείους νέαι, καὶ ἀγαθαὶ τὰς ὄψεις. ἀλλὰ μὴ φθονήσῃς· παραπέτασμα γὰρ ἡμᾶς ἀπετείχιζε· καὶ τοῦτο ἐρρωμενέστατον οὐ πάλαι διερρωγότος ἱστίου τεμάχιον· σωφρονοῦσιν ἀνθρώποις τὸ τεῖχος τὸ σεμιράμιδος· ἴσως δὲ καὶ ὁ πρίαπος ἐσωφρόνησεν, Ἀμαράντῳ συμπλέων· ὡς οὐκ ἔστιν ὅ ποτε σχολάζειν ἡμᾶς εἴασεν, ἀπὸ τοῦ δεδιέναι τὸν ἔσχατον κίνδυνον· ὅς τις πρῶτον μὲν ἐπειδὴ τὸμ παρ᾽ ὑμῖν τοῦ ποσειδῶνος νεὼν κατεκάμψαμεν, ἄρας ὅλοις ἱστίοις ἠξίου πλεῖν εὐθὺ ταφοσίριδος καὶ ἀπεπειρᾶτο τῆς σκύλλης, ἣν ἐν τοῖς γραμματίοις ἀποτροπιαζόμεθα· συνενοηκότων δὲ ἡμῶν καὶ ἀνακεκραγότων οὐ πρὶν, ἢ ἐν χρῷ γενέσθαι τοῦ κινδύνου, μόλις ἐκβιασθεὶς, ἀπέστη τοῦ διαναυμαχῆσαι πρὸς τὰς σπιλάδας· ἐν τούτῳ δὲ ὥσπερ ἐκ μετανοίας

ἀποστρέ

ἀποστρέψας τὴν ναῦν, ἐπαφίησι τῷ πελάγει. τέως μὲν ὡς ἐδύ-
νατο καὶ πρὸς κῦμα παραβαλλόμενος. ἔπειτα δὲ ὁ νότος συνε-
πιλαμβάνει λαμπρός. ὑφοῦ ταχὺ μὲν τὴν γῆν ἀπεκρύ-
πτομεν. ταχὺ δὲ μετὰ τῶν ὁλκάδων ἦμεν τῶν διαρμενίων. αἷς
οὐδὲν ἔδει Λιβύης τῆς καθ' ἡμᾶς. ἀλλὰ πλοῦν ἕτερον ἔπλεον. σχε-
τλιαζόντων δὲ ἡμῶν καὶ ἐν δεινῷ ποιουμένων τὸ ἀπηρτῆσθαι τοσοῦ-
τον τῆς γῆς, ὁ Ἰαπετὸς Ἀμάραντος, ἐπὶ τῶν ἰκρίων ἑστὼς, ἐξα-
γώδει τὰς παλαμναιοτάτας ἀράς. οὐ γὰρ δὴ πετησόμεθα ἔφη.
ὑμῖν δὲ πῶς ἄν τις καὶ χρήσαιτο, οἳ καὶ τὴν γῆν καὶ τὴν θάλατταν
ὑποπτεύετε. οὔκ, ἤν γέ τις αὐτοῖς χρῶτο καλῶς, ὦ λῷστε Ἀμά-
ραντε πρὸς αὐτὸν ἔφην. ἡμῖν δὲ οὐδὲ Ταφοσίριδος ἔδει. ζῆν γὰρ ἐ-
δει. καὶ νῦν τοῦ πελάγους τί δεῖ. ἀλλὰ πλέωμεν ἔφην εὐθὺ πεντα-
πόλεως, ἀπέχοντες τῆς γῆς, ὅσον μέτριον. ἔνεστι καὶ χαλεπὸν, οἷα δὴ
τὰ θαλάττης, ἄδηλον ᾗ δήπου καὶ ἔστι τὸ παρ' ὑμῖν λέγεται, λιμὴν
τις ἡμᾶς ἐκ τοῦ σχεδὸν ὑποδέξοιτο. οὔκουν ἔπειθον λέγων. ἀλλ' ἐξε-
κώφει τὸ κάθαρμα, ἕως ἄνεμος ἀπαρκτίας ἐπαράσσει πολὺς, κῦ-
μα ἐλαύνων ὑψηλὸν καὶ τραχύ. οὗτος ἄφνω προσπεσὼν, τὸ ἱστίον
ἔμπαλιν ὤθησε. καὶ τὰ κυρτὰ κοῖλα πεποίηκεν. ἡ δὲ ναῦς ἐγγὺς ἦλ-
θεν ἐπὶ πρύμναν ἀνατετράφθαι. μόλις δ' οὖν αὐτὴν κατεστήσαμεν.
καὶ ὁ βαρύστονος Ἀμάραντος, τοιοῦτον ἔφη τὸ τεχνῆναι τίλ-
λεσθαι. προσδέχεσθαι γὰρ αὐτὸς τὸν ἐκ πελάγους ἄνεμον. καὶ
διὰ τοῦτο μετέωρος πλεῖν. κατιέναι γὰρ νῦν ἐγκάρσιον, ἐνδι-
δόντος τοῦ διαστήματος προστιθέναι τῷ μήκει. τοῦτον δὲ εἶναι τὸν
πλοῦν τὸν ἡμέτερον. οὐκ ἄν, εἴγε παρὰ τὰς ἀκτὰς ἐπλέομεν, προ-
σαναπεπλάσθαι ἂν αὖ τῇ γῇ. καὶ ἡμεῖς ἀπεδεχόμεθα λέγοντος
ἕως ἡμέρα τε ἦν. καὶ τὰ δεινὰ οὔπω παρῆν. ἤρξατο γὰρ δὴ με-

τοῦ τῆς νυκτὸς, ἀεὶ προϊόντος ἐπὶ μεῖζον τοῦ κλύδωνος. ἡμέρα μὲν οὖν ἦν, ἥντινα ἄγουσιν οἱ ἰουδαῖοι παρασκευήν. τὴν δὲ νύκτα, τῇ μετ' αὐτὴν ἡμέρᾳ λογίζονται, καθ' ἣν οὐδενὶ θέμις ἐστὶν, ἐνεργὸν ἔχειν τὴν χεῖρα. ἀλλὰ τιμῶντες διαφερόντως αὐτὴν, ἄγουσιν ἀπραξίαν. μεθίησιν οὖν ἐκ τῶν χειρῶν ὁ κυβερνήτης τὸ πηδάλιον, ἐπειδὴ τὸν ἥλιον εἴκασεν ἀπολελοιπέναι τὴν γῆν. καὶ καταβαλὼν ἑαυτὸν πατεῖν παρεῖχε, τῷ θέλοντι ναυτίλων. ἡμεῖς δὲ τὴν μὲν οὖσαν αἰτίαν, οὐκ εὐθὺς ἐπὶ νοῦν ἐβαλόμεθα. ἀπόγνωσιν δὲ τὸ πρᾶγμα οἰόμενοι, προσῄειμεν, ἐλιπαροῦμεν μὴ καταπροέσθαι μηδέπω τὰς ἐσχάτας ἐλπίδας. καὶ γὰρ δὴ καὶ ἐπεῖχον αἱ τρικυμίαι τοῦ πελάγους καὶ πρὸς ἑαυτὸ στασιάσαντος. γίνεται δὲ τὸ τοιοῦτον, ὅταν μὴ τῷ λήξαντι πνεύματι καὶ τὰ παρ' αὐτοῦ συναναπαύσηται κύματα. ἀλλ' ἰσχύον ἔχῃ τὸ ἐνδόσιμον τῆς κινήσεως, ὑπαντιάζῃ τῇ τοῦ πνεύματος ἐπικρατείᾳ, καὶ ἀντεμβάλλῃ ταῖς ἐμβολαῖς. ἔδει γάρ μοι καὶ φλεγμαινόντων ὀνομάτων, ἵνα μὴ τὰ μεγάλα κακὰ, μικροπρεπέστερον διηγήσωμαι. τοῖς οὖν ἐν τῷ τοιῷδε πλέουσιν, ἀπὸ λεπτοῦ φασὶ μίτου τὸ ζῆν ἠρτῆσθαι. εἰ δὲ καὶ ὁ κυβερνήτης νομοδιδάσκαλος εἴη, τίνα δεῖ ψυχὴν ἔχειν. ἐπεὶ δὲ συνήκαμεν τὸν νοῦν τῆς ἀπολείψεως τῶν πηδαλίων, δεομένων γὰρ ἡμῶν σώζειν ἐκ τῶν ἐνόντων τὴν ναῦν, τὸ βιβλίον ὑπανεγίνωσκε, πειθοῦς ἀπογνόντες, ἀνάγκην ἤδη προσήγομεν. καί τις στρατιώτης γενναῖος, συμπλέουσι δὲ ἡμῖν ἀρράβιοι συχνοὶ τῶν ἀπὸ τοῦ τάγματος τῶν ἱππέων, τὸ ξίφος σπασάμενος, ἠπείλησε τἀνθρώπῳ τὴν κεφαλὴν ἀποκόψειν, εἰ μὴ ἀντιλήψοιτο τοῦ σκάφους. ὁ δὲ αὐτίχρημα μακκαβαῖος, οἷος ἦν ἐγκαρτερῆσαι τῷ δόγματι. μεσούσης δὲ ἤδη τῆς νυκτὸς, ἀνα-

πείθεται

πείθεται παρ' ἑαυτοῦ πρὸς τῇ καθέδρᾳ γενέσθαι. νῦν γάρ φησιν ὁ νόμος ἐφίησιν, ἐπειδὴ νῦν σαφῶς τὴν ὑπὲρ τῶν ψυχῶν θέομεν. πρὸς τοῦτο αἴρεται θόρυβος ἐξ ἀρχῆς. ἀνδρῶν οἰμωγή. γυναικῶν ὀλολυγή. ἅπαντες ἐθεοκλύτουν. ἐποτνιῶντο. τῶν φιλτάτων ὑπεμιμνήσκοντο. μόνος Ἀμάραντος εὔθυμος ἦν, ὡς αὐτίκα ἀποπαραγραψόμενος τοὺς δανειστάς. ἐμὲ δὲ ἐν τοῖς δεινοῖς, ὄμνυμί σοι θεὸν ὃν φιλοσοφία πρεσβεύει, τὸ ὁμηρικὸν ἐθράττεν ἐκεῖνο, μὴ ἄρα ἀληθὲς εἴη, τὸν καθ' ὕδατος θάνατον, ὄλεθρον εἶναι καὶ αὐτῆς τῆς ψυχῆς. λέγει γάρ ἐστιν ὅπου τῶν ἐπῶν. Αἴας δ' ἐξαπόλωλεν, ἐπεὶ πίεν ἁλμυρὸν ὕδωρ, τὸν ἐν θαλάττῃ θάνατον ἀκριβεστάτην ἀπώλειαν εἶναι, τιθέμενος. οὐδένα γὰρ ἄλλον ἀπολωλέναι φησὶν ἀλλ' ἕκαστος ἀποθνήσκων, ἄϊδός γε βέβηκε. ταῦτ' ἄρα καὶ ἐν δυοῖν νεκύαιν ὁ μικρὸς Αἴας οὐδαμοῦ τοῦ δράματος εἰσενήνεκται, ὡς τῆς ψυχῆς οὐκ οὔσης ἐν ᾅδου. καὶ Ἀχιλλεύς, ἀνὴρ εὐτυχέστατός τε καὶ φιλοκινδυνότατος, ἀποδειλιᾷ πρὸς τὸν ἐν ὕδατι θάνατον, ὅν γε καὶ λευγαλέον καλεῖ. τούτοις ἐλίττων τοὺς λογισμούς, ὁρῶ τοὺς στρατιώτας ἅπαντας, ἐσπασμένους μαχαίρας. καὶ πυθόμενος, ἐμάνθανον παρ' αὐτῶν, ὡς καλὸν ἐπὶ τοῦ καταστρώματος ὄντας ἔτι, πρὸς τὸν ἀέρα τὴν ψυχὴν ἐρυγεῖν, ἀλλὰ μὴ πρὸς κῦμα χανόντας. τούτους αὐτοφυεῖς ὁμηρίδας ἐνόμισα καὶ ἐθέμην τῷ δόγματι. εἶτα κηρύττει τίς ἐξαρτᾶσθαι χρυσίον οἷς ἐστι. καὶ οἷς ἦν ἐξήρτητο. καὶ χρυσίον, καὶ ὅτι ἄξιον χρυσίου. καὶ αἱ γυναῖκες αὐταί τε ἐσκευάζοντο, καὶ τοῖς δεομένοις ἀρτεδόνας διένεμον. πάλαι καταδεδειγμένον τοῦτο ἱερόν. νοῦν δὲ ἔχει τοιοῦτον. φέρειν δεῖ τιμὴν ἐντάφιον τὸν

ἐκ ναυαγίου μεικροῦ. ὁ γὰρ προστυχὼν καὶ κερδάνας, νόμους ἀδραστείας αἰδέσεται, μὴ οὐχὶ μικρόν τι μέρος ἀποδώσασθαι τῷ χαρισαμένῳ τὸ πολλαπλάσιον. καὶ οἱ μὲν, ἦσαν πρὸς τούτοις. ἐγὼ δὲ παρακαθήμενος τὸ παλαμναῖον βαλάντιον τὴν παρακαταθήκην τοῦ ξένου, ἔκλαιον ὡς οὐδὲν ὁ ξένιος, οὐκ εἰ τεθνηξοίμην. ἀλλ' εἰ ὁ θρὰξ ἀποστερήσοιτο, τῶν χρημάτων ἕνεκεν. οὗ καὶ ἀποθανὼν ἂν ᾐσχυνόμην. ἐνταῦθα μέν τι τὸ ἐξαπολωλέναι κέρδος ἦν. καὶ συναπολωλέναι. καὶ συναποδράναι τὴν αἴσθησιν. ὁ δὲ ἐποίει παρὰ πολὺ τὸν κίνδυνον, οὐχ ἕτερον ἦν. ἀλλ' ὅτι πᾶσιν ἱστίοις ἡ ναῦς ἐφέρετο. ὑποστείλασθαι δὲ οὐκ ἦν. ἀλλὰ πολλάκις ἐπιχειρήσαντες τοῖς καλῳδίοις, ἀπηγορεύκαμεν, τῶν τροχῶν ἐνδακόντων. καὶ ὑφόρμει δέος οὐκ ἔλαττον, εἰ καὶ διαφυγοίμεθα ἐκ τοῦ κλύδωνος, οὕτως ἔχοντας ἐν νυκτὶ πελάζειν τῇ γῇ. φθάνει δὲ ἡμέρα. καὶ ὁρῶμεν τὸν ἥλιον, ὡς οὐκ οἶδ' εἴ ποτε ἥδιον. τό, τε πνεῦμα ῥᾷον ἐγίνετο τῆς ἁλίας ἐπιδιδούσης. ἡ δρόσος ἐξισουμένη, παρεῖχεν ἡμῖν καὶ χρῆσθαι τοῖς καλῳδίοις, καὶ τὸ ἱστίον μεταχειρίζεσθαι. ὑπαλλάττειν μὲν οὖν ἱστίον ἕτερον πόθεν οὐκ εἴχομεν. ἦν ἐν χρείας γάρ. ἀντιλαμβανόμενοι δὲ ἀεὶ τὸ καθάπερ τῶν χιτώνων τοὺς κόλπους. καὶ πρὶν ὥρας εἶναι τέτταρας, ἀποβαίνομεν οἱ τεθνάναι προσδοκήσαντες, ἐν ἐσχατιᾷ τινὶ πανερήμῳ. καὶ οὔτε πόλιν οὔτε ἀγρὸν ἐχούσῃ γείτονα, σταδίους ἑκατόν που πρὸς τοῖς τριάκοντα κατόπιν ἀγροῦ. ἡ μὲν οὖν ναῦς, ἐσάλευεν ἐπὶ μετεώρων. λιμὴν γὰρ ὁ τόπος οὐκ ἦν. καὶ ἐσάλευεν ἐπ' ἀγκύρας μιᾶς. ἡ ἑτέρα δὲ ἀπημπόλητο. τρίτην γὰρ ἄγκυραν Ἀμάραντος οὐκ ἐκτήσατο. ἡμεῖς δὲ ἐπειδὴ τῆς φιλτάτης ἡψάμεθα γῆς, περιεβάλλομεν, ὥσπερ ἔμψυχον οὖσαν μητέρα.

καὶ ἀπο

καὶ ἀποθύσαντες ὕμνους τῷ θεῷ χαριστηρίους ὥσπερ εἰώθαμεν, προσεθήκαμεν αὐτοῖς καὶ τὴν ἔναγχος τύχην, ὑφ' ἧς παραδόξως ἐσώθημεν. δύο ἑξῆς ἐπιμείναντες ἡμέρας, ἕως ἂν ἀφυβρίσῃ τὸ πέλαγος. ἐπεὶ δὲ ἄπορον ἦν ὁδῷ χρήσασθαι, μηδενὸς ἀνθρώπων ὁρωμένου, πάλιν ἐπετολμήσαμεν τῇ θαλάσσῃ. καὶ ἄραντες εὐθὺς ἀρχομένης ἡμέρας, ἐπλέομεν ἐκ πρύμνης ἀνέμῳ πᾶσαν αὐτὴν καὶ τὴν ἐπιγιγνομένην ἡμέραν. ἧς ἤδη ληγούσης, τὸ πνεῦμα ἀπέλιπεν ἡμᾶς, καὶ μέσως ἠνιάθημεν. ἐμέλλομεν δ' ἄρα ποθήσειν γαλήνην. ἦν μὲν οὖν τρισκαιδεκάτη φθίνοντος. ἐπηωρημένου δὲ τοσούτου κινδύνου, μελλούσης εἰς ταυτὸ συνδραμεῖσθαι τῆς τε συνόδου τῶν ἄστρων καὶ τῶν πολυθρυλλήτων τυχαίων, ἃ μηδείς φασι πλέων ἐθάρσησε, καὶ δέον ἡμᾶς ἐλλιμενίζειν, οἱ δὲ λελήθειμεν αὖθις ἀναδεδραμηκότες ἐπὶ τὸ πέλαγος. ἡ δὲ στάσις, ἤρξατο μὲν ἀπὸ τῶν ἀρκτικῶν πνευμάτων. καὶ ὗσέ γε πολλὰ κατὰ τὴν σύνοδον τὴν νύκτα. ἔπειτα ἠκόσμει τὰ πνεύματα. καὶ ἡ θάλασσα κυκεὼν ἐγένετο. τὰ δὲ περὶ ἡμᾶς, οἷα εἰκὸς ἦν ἐν τοῖς τοιούτοις, ἵνα μὴ πάθη παραπλήσια δὶς ἀφηγώμεθα ἐν οἷς ἦν, ὥρμησέ τι τὸ μέγεθος τοῦ χειμῶνος. τὸ κέρας ἐτετρίγει. καὶ ἡμεῖς ᾠόμεθα προτονίζειν τὴν ναῦν. εἶτα κατεαγὸς μέσον, ἐγγὺς μὲν ἦλθεν ἀπολέσαι πάντας ἡμᾶς. ἐπεὶ δ' οὖν ἡ κἂν ἀπολώλεκεν, αὐτὸ δὴ τοῦτο περιέσωσεν. οὐ γὰρ ἦν ἄλλως ἐνεγκεῖν τὴν βίαν τοῦ πνεύματος. πάλιν δὲ δυσπειθὲς ἦν τὸ ἱστίον. καὶ οὐκ εὔτροχον εἰς καθαίρεσιν. οὕτως οὖν παραδόξως ἀποφορτισάμενοι τὴν ἀπληστίαν τῆς βιαίας φορᾶς, ἡμέραν ἑξῆς καὶ νύκτα ἠνέχθημεν. ἧς ἤδη περὶ δευτέραν οὔσης ὀρνίθων ᾠδήν, ἐλάθομεν ἐγχρίψαντες ἀκαρῆ, πέτρᾳ προβεβλημένῃ τῆς γῆς, ὅσον εἶναι βραχεῖαν χερρόνησον. βοῆς δὲ γινομέ-

μένης, ἐπειδή τις παρεγγύησεν αὐτῇ γῇ πελάσαι, θροῦς ἤρθη πολύς. καὶ ἥκιστα ξύμφωνος· τῶν μὲν ναυτῶν πεφροντικότων, ἡμῶν δὲ ἐξ ἀπειρίας τὼ χεῖρε συγκροτούντων καὶ περιβαλλόντων ἀλλήλους, οὐκ ἐχόντων ὅπως χρησόμεθα τῷ πλήθει τῆς χαρᾶς. ἐλέγετο δὲ ὁ μέγιστος αὐτὸς εἶναι τῶν περιστάντων ἡμᾶς κινδύνων. ἤδη δὲ ὑποφαινομένης ἡμέρας, κατασείει τις ἄνθρωπος χωρικῶς ἐσταλμένος, καὶ διανεύει τῇ χειρὶ τόπους ὑπόπτους, καὶ ἑτέρους οὓς ἔδει θαρρῆσαι. καὶ τέλος μόνος ἦλθεν ἐπὶ κελητίου δισκάλμου. ὅπερ ἐξάψας τοῦ πλοίου, μεταχειρίζεται τὸ πηδάλιον. ὁ δὲ σύρος, ἄσμενος ἐξέστη τῆς προεδρίας, ἀναλύσας δὲ σταδίους οὐ πλείους, ἢ πεντήκοντα, τὴν, περαίαν ἐνορμίζει λιμενίσκῳ χαρίεντι ἀζάριον οἶμαι καλοῦσιν αὐτὸ, καὶ ἡμᾶς ἐπὶ τῆς ἠιόνος ἀπεβίβασε, σωτὴρ καὶ δαίμων ἀγαθὸς ἐπικαλούμενος. καὶ μετὰ μικρὸν ἑτέραν ὁλκάδα εἰσήλασε. καὶ μάλα ἄλλην. καὶ πρὶν ἑσπέραν εἶναι, πέντε γεγόνασι μὲν ὑπὸ τοῦ θεσπεσίου πρεσβύτου περισωθεῖσαι φορτίδες, πρᾶγμα ἐναντιώτατον τῷ ναυκληρίῳ ποιοῦντος καὶ δ' οὐχ ὁμοίως ἐκεῖνος τοὺς ἀπὸ τοῦ χειμῶνος ἐδέξατο. ἐν δὲ τὴν ὑστεραίαν, ἄλλοι καθ' ἑτέραν. ὧν ἔνιοι τῶν προλαβόντων ἡμᾶς ἦσαν ἀπὸ ἀλεξανδρείας ἡμέραν. καὶ νῦν ὁλόκληρος ἐσμὲν στόλος, ἐν νεωρίῳ μικρῷ. ἐπεὶ δὲ ἡμῖν ἤδη καὶ τὰ ἐφόδια κατεδήδοτο, οὐ γὰρ ὄντως ἐθάδες ἀτυχεῖν, οὐδ' ἐλπίσαντες ὑπερήμεροι γενέσθαι, μετρίᾳ τε ἐνετιθέμεθα καὶ οὐδὲ τούτοις μετρίως ἐχρώμεθα. ὁ δὲ πρεσβύτης, καὶ τοῦτο ἱκέσαμεν. δίδωσι μὲν οὐδέν. οὐδὲ γὰρ οὐδ' ὅμοιος ἦν ἔχοντι. δείξας δὲ πέτρας, ἐν αἷς ἄριστον ἔφη καὶ δεῖπνον ἑκάστης ἡμέρας κεκρύφθαι τοῖς

βουλο

βουλομένοις ποιεῖν. ἐντεῦθεν ἰχθυώμενοι, ζῶμεν ἡμέραν ἑβδόμην ἤδη. οἱ μὲν ἐν τέλει, μυραίνας τε καὶ καράβους εὐμεγέθεις αἱροῦντες. τὰ δὲ μειράκια, κωβιοὺς εὐτυχεῖς καὶ ἰούλους. ἐγὼ δὲ καὶ ὁ θρησκευτὴς ὁ ῥωμαῖος, ἐπὶ ταῖς λεπάσι ῥωννύμεθα. ἡ δὲ λεπὰς, ὄστρεόν ἐστι κοῖλον. ὅπερ ἐπειδὰν λάβηται πέτρας, ἀπαυχενίζεται. τὰ μὲν οὖν πρῶτα, στίχρως ἔξω μὲν ἀπὸ θύρας, περιεχόμενος ἕκαστος ὅτου καὶ λάβοιτο. ἐδίδου δὲ δῶρα οὐδεὶς οὐδενί. νυνὶ δὲ ἐν ἀφθονωτέροις ἅπαντες ἀπὸ τοιᾶσδε αἰτίας. αἱ γυναῖκες ταῖς γυναιξίν, αἱ λίβυσσαι ταῖς πλεούσαις, βούλοιντο μὲν ἂν καὶ τὸ ὀρνίθων γάλα παρασχεῖν. παρέχουσι δ' οὖν ὅσα αὐταῖς ἀήρ τε φέρει. καὶ γῆ. τυρούς. ἄλευρα. πέμματα ἐκ κριθῶν. κρέα ἄρνεια. ἀλεκτορίδας. ὠὰ ἀλεκτόρεια. ἤδη δέ τις καὶ ὠτίδα ἔδωκεν, ὄρνεον ἐκτόπως ἡδύ. ἰδὼν ἂν, ἄγροικος ἐπείποι ταὼν. αὗται δὴ κατακομίζουσιν ἐπὶ ναῦν τὰ δῶρα. αἱ δὲ, δεχόμεναι κοινοῦνται τοῖς βουλομένοις. οἱ δὲ, ἡμῖν ἤδη τὰ ἀπὸ τῆς θήρας δωροῦνται. καὶ ἥκει δέ τις ἄλλος ἐπ' ἄλλῳ παῖς ἐπ' ἀνδρί. καὶ ἀνὴρ τῷ παιδί, φέρων ἀεί τι μοι ξένιον. ὁ μὲν, ἡμιβρωμένον ἰχθύδιον. ὁ δ' ἄλλος ἄλλο τι. πάντως ἕν γέ τι ἀγαθὸν ὧν φέρουσι πέτραι. ἐμοὶ γὰρ οὐκ ἔστι βουλομένῳ τὰ παρὰ τῶν γυναικῶν δέχεσθαι, σὴν χάριν καὶ τοῦτο, ἵνα μή τις ἐκεχειρία μοι πρὸς αὐτὰς γένοιτο. καίτοι ἐπειδὰν ἐξόμνυσθαι δέῃ, διαπορῶ ἀρνούμενος. ἐπεὶ τί ἐκώλυε. τὸ γὰρ τοῖς ἐπιτηδείοις τρυφᾶν, ὅτῳ πολλὰ πολλαχόθεν συρρεῖ. σὺ μὲν οὖν ἀρετῇ λογίῃ τὴν φιλοφροσύνην τῶν ἐγχωρίων, ἣν εἰς τοὺς ἐπιξενουμένους ἐνδείκνυνται. τὸ δέ, ἑτεροῖόν ἐστιν, οἷον ἄξιον εἶναι καὶ διηγήσασθαι, καὶ ταῦτα ὑπὸ τῆς νῦν ἡμῖν παρούσης σχολῆς. μνῆμα ἀφροδίτης ὡς εἰκάσαι κα-

τέχει τὴν χώραν. δυστυχοῦσι γὰρ ὥσπερ αἱ Λήμνιαι. αὗται γὰρ ὑ-
πὲρ μαζῶσι καὶ ἀσυμμέτρως ἔχουσι τῶν στέρνων, ὥστε τὰ βρέφη
μὴ διὰ μάλης. ἀλλὰ δι' ὤμων ἀπὸ τῆς θηλῆς ἀναβεβλημένης.
εἰ μή τις εἴποι τὸν ἄμμωνα, καὶ τὴν ἄμμωνος γῆν, οὐ μᾶλλον εἶναι
μηλοτρόφον ἢ κουροτρόφον ἀγαθήν. ἀνεῖναι δὲ τὴν φύ-
σιν ἀνθρώποις ὁμοίως καὶ κτήνεσι, δαψιλεστέρας καὶ ἀδροτέ-
ρας τὰς τοῦ γάλακτος πίδακας, καὶ εἰς τοῦτο δεῖν ἀδροτέ-
ρων οὐθάτων τε καὶ θυλάκων. μανθάνουσι δὴ παρὰ τῶν ἀν-
δρῶν οἷς τι συμβόλαιον γέγονε πρὸς ἄνθρωπον ὑπερόριον, ὅτι μὴ
πᾶν τὸ θῆλυ τοιοῦτόν ἐστιν, ἀπιστοῦσι. καὶ ἐπειδὰν λάβωνται γυ-
ναικὸς ξένης, φιλοφρονοῦνται καὶ πάντα δρῶσιν, ἔστ' ἂν τὰς
ἀγκάλας διερευνήσωνται. ἡ δὲ ἰδοῦσα, λέγει πρὸς ἄλλην. καὶ κα-
λοῦσιν ἀλλήλας ὥσπερ οἱ κίκονες. αἱ δὲ, συμφοιτῶσιν ἐπὶ τὴν θέ-
αν. καὶ ἐπὶ τούτῳ δωροφοροῦσιν. ἡμῖν δὲ ἦν τι καὶ τῶν ἐκ πόν-
του θεραπαινίδιον. ὃ συνελθοῦσαι, τέχνη καὶ φύσις, ὑπὲρ τοὺς
μύρμηκας, ἔντομον ἔδειξαν. ἀμφὶ τοῦτο ἦν ἅπασα σπουδή.
καὶ τοῦτο παρὰ τῶν γυναικῶν πλεῖστα ἐνεπορεύετο. καὶ μετεπέμ-
ποντο αὐτὸ πρότριτα ἄλλη παρ' ἄλλης, γυναῖκες τῶν ἀγρογει-
τόνων, εὐδαίμονες. τὸ δὲ, οὕτω τοι σφόδρα ἴτυμον ἦν, ὥστε δεῖ
ἀποδύσασθαι. τοῦτό σοι δρᾶμα ἐκ τραγικοῦ κωμικόν. ὅ,τι δαί-
μων ἡμῖν ἀνήρμοσε, κἀγὼ τοῖς πρὸς σὲ γράμμασι. καὶ οἶδα μὲν
ἐκτείνας τὴν ἐπιστολὴν τοῦ μετρίου μεῖζον. ἀλλ' ὥσπερ τοῦ συνεῖ-
ναί σοι κατὰ πρόσωπον, οὕτω καὶ τοῦ γράφειν ἀπλήστως ἔχω.
ἅμα δὲ οὐδὲ ἐλπίσας ἔτι σοι διαλέξεσθαι, νῦν ἐπειδὴ ἔξον, ἐμ-
φοροῦμαι. ἀλλὰ καὶ ταῖς ἐφημερίσι περὶ ἃς ἐσπούδακα, τὴν
ἐπιστολὴν ἐναρμόσαις, ὡς συχνῶν ἡμερῶν, ἔχοιμ' ἂν ὑπομνή-

ματα

ματα. ἔῤῥωσο. καὶ τὸν υἱὸν Διόσκορον κέλευε μετὰ τῆς μη-
τρὸς καὶ τῆς τίτθης, ἃς ἐγὼ καὶ φιλῶ, καὶ ἐν ἀδελφαῖς ἄγω. ἄσπα-
σαι τὴν σεβασμιωτάτην καὶ θεοφιλεστάτην φιλόσοφον. καὶ τὸν εὐ-
δαίμονα χορὸν τὸν ἀπολαύοντα τῆς θεσπεσίας αὐδῆς. ἐκ πάντων
δὲ μάλιστα τὸν ἱερώτατον πατέρα Θεότεκνον. καὶ τὸν ἑταῖρον ἡμῶν
Ἀθανάσιον. τὸν δὲ ὁμοψυχότατον ἡμῖν Γάϊον, οὗ οἶδ' ὅτι φρονῶν ὅ-
σα ἐγώ, μετὰ τῶν συγγενῶν πάντων. μετ' ἐκείνων σοι προσειρή-
σθω καὶ ὁ θαυμάσιος γραμματικὸς Θεοδόσιος. ὃς εἰ καὶ μάντις
ὢν ἐκρύπτετο ἡμᾶς, προγνοὺς γὰρ οἷοι ἐσόμεθα, κατέβαλε τὴν
προθυμίαν τῆς σὺν ἡμῖν ἀποδημίας, ἀλλ' οὖν ἔγωγε αὐτὸν καὶ φι-
λῶ καὶ ἀσπάζομαι. σὺ δὲ μηδέποτε πλεύσειας. εἰ δέ ποτε πάν-
τως δεήσοι, ἀλλὰ μήτοι φθίνοντός γε μηνός.

Τοῖς πρεσβυτέροις.

ἀ Γαθὸν πεποιθέναι ἐπὶ Κύριον. ἢ πεποιθέναι ἐπ' ἄνθρωπον. ἀλλὰ
τοὺς ἐκ τῆς ἀθεωτάτης αἱρέσεως Εὐνομίου, πυνθάνομαι
Κυντιανὸν ὄνομα καὶ τὴν ἐπὶ στρατοπέδου θρυλλουμένην ὑπ' αὐ-
τῶν δυναστείαν προστησαμένους, μοιχᾶσθαι πάλιν τὴν ἐκκλησίαν,
καὶ ψευδοδιδασκάλους τινὰς ἐφίστασθαι, παγίδα ταῖς τῶν ἀκεραι-
οτέρων ψυχαῖς, οὓς ἔναγχος οἱ παρὰ Κυντιανοῦ σταλέντες, ἐπ' αὐτὸ
τοῦτο καταπεπλεύκασιν ἄγοντες. ἡ δὲ δίκη, πρόσχημα τῆς ἀσεβεί-
ας. μᾶλλον δὲ ἀγὼν ὑπὲρ δυσσεβείας, οὗτοι τοίνυν οἱ νέοι πρεσβύτεροι, οἱ
νεήλυδες ἀπόστολοι τοῦ διαβόλου τε καὶ Κυντιανοῦ, μὴ λάθω-
σιν ὑμᾶς ἐμπηδήσαντες. ὦ ποιμαίνετε ποιμνίῳ. μὴ λάθωσιν
ὑμᾶς τῷ σίτῳ τὸ ζιζάνιον παρασπείροντες. κατάδηλοι πᾶσίν
εἰσιν αἱ τούτων καταφυγαί. ἴστε τίνων ἀγροὶ δέξαιντ' ἂν αὐτούς

ὥστε τινὰς οἰκείαις ταῖς λῃσταῖς αὐτουργᾶσι. μετέλθετε τοὺς φῶρας ἐ-
νηλατοῦντες. ζηλωταὶ γίνεσθε τῆς εὐλογίας τῆς Μωσαϊκῆς, ἣν εὐλό-
γησε τοὺς ἄνδρας. οἱ κατὰ τῶν ἠσεβηκότων ἐν τῇ παρεμβολῇ καὶ
συνωμίλων καὶ χεῖρας ἐκίνησαν. ἐκεῖνο δὲ εἰπεῖν ἄξιον πρὸς ὑμᾶς ἀ-
δελφοί. τὰ καλὰ, καλῶς γινέσθω. ἡ ὑπὲρ κέρδους ἔρις, ἀνῃρή-
σθω. ἅπαντα διὰ τὸν θεὸν ἐγχειρείσθω. οὐδὲ γὰρ τὴν αὐτὴν ἀρε-
τῆς εἶναι καὶ πονηρίας ὑπόθεσιν. ὑπὲρ εὐσεβείας ὁ δρόμος. ὑπὲρ
ψυχῶν ἀγωνιστέον, μή τινας ἀπὸ τῆς ἐκκλησίας συλήσωσιν, ὅπερ ἔ-
θος, ἤδη πεποίηνται. ὃς δ᾽ ἂν τὴν ἐκκλησίαν προσποιούμενος, αὔξῃ
βαλάντιον, καὶ διὰ τοῦ δοκεῖν εἶναι χρήσιμος ἐν καιροῖς ἀπαι-
τοῦσι δριμύτητα, δυναστείαν ἑαυτῷ κατεργάζηται, οὗτος οὐκ ἔστιν,
ὃν ἡμεῖς συνόδου χριστιανῶν ἐκηρύττομεν. οὐκ ἐποίησεν ὁ θεὸς ἀτε-
λῆ τὴν ἀρετήν. οὐδὲ ἔσται πονηρίας συμμάχου. οὐκ ἐπιλείψουσι στρα-
τιῶται τῷ θεῷ, πρέποντες ἐκκλησίαις. εὑρήσει συμμάχους ἐν-
ταῦθα μὲν ἀμίσθους. ἐν οὐρανῷ δὲ ἐντελομίσθους. ὑμεῖς οὖν γίνοισθε
καλὸν γὰρ καὶ κατορθοῦσι συνεύξασθε. καὶ παραβαίνουσιν ἐπα-
ρᾶσθε. ὅστις ἂν οὖν μαλακισθήσεται καὶ προδῷ, καὶ ὅστις ἂν ἐπε-
ξέλθῃ μὲν, ἁρπάσῃ δέ τι τῶν ἀλλοτρίων, μὴ ἀναίτιος γένοιτο τῷ
θεῷ. ἓν τοῦτο μόνον εἰς μέσον ἑλκύσατε. καὶ τοὺς τραπεζίτας τοὺς
πονηροὺς τοὺς καθάπερ νόμισμα τὸ δόγμα τὸ θεῖον παραχαράτ-
τοντας, περιελέγξατε. πᾶσι ποιήσατε καταφανεῖς οἵτινές εἰσι.
καὶ τούτους, ἄτιμοι τῶν πολεμαΐδος ὅρων ἀπεληλάσθωσαν, ὅ,τι
σὺν αὐτοῖς ἡμῖν χρῆμα τῶν ἀμφαγώγητον ἀποφέροντες. ὁ δὲ πα-
ρὰ ταῦτα ποιῶν, ἐπάρατος τῷ θεῷ, ὅστις ἀσεβῆ σύνοδον ἰδὼν πα-
ρεῖδεν, ἢ ἀκούσας, παρήκουσεν. ἢ κέρδει παρ᾽ αὐτῶν ἐμολύνατο.
τούτοις ἡμεῖς ἀμαληκίτας εἶναι διατάττομεθα. παρὼν οὖν

ἔξεστι

ἔξεστι κομίσασθαι λαφύρου. περὶ δὲ τοῦ λαβόντος φησὶν ὁ θε-
ὸς μεταμεμέλημαι, ὅτι ἐβασίλευσα τὸν Σαούλ. ἀλλ' ὑμῶν ἐπὶ
μηδενὶ μεταμέλοιτο. ἀλλὰ μέλοι μὲν ὑμῶν τῷ θεῷ. μέλοι δὲ ὑ-
μῖν τοῦ θεοῦ. Ἀνυσίῳ.

ο Δὲ Καρνᾶς, ἔτι μέλλει. ὡς οὐδὲν ὢν οὐδ' ὑπ' ἀνάγκης, γί-
νεται δίκαιος. χρὴ γὰρ ἥκειν αὐτὸν ἵνα εἰδῶμεν ὅ,τι καὶ λέγει. καὶ οἷς
τισιν ὀφθαλμοῖς ἡμᾶς ἀντιβλέψεται, παρῶν ἠξίωσε καὶ ἀκόντων,
ὃν κέκλοφεν ἵππον ὠνήσασθαι, ἵνα μὴ στρατιώτης φησὶν, ἄνιπ-
πος ᾖ. προτείνει δὲ κομιδῇ μικρὸν ἀργύριον. καὶ μὴ ἀποδιδομέ-
νοις, οὐκ ἀποδίδωσιν. ἀλλ' οἴεται σὺν δίκῃ τὸν ἵππον ἔχειν, καὶ ταῦ-
τα οὐκ ὢν Ἀγαθοκλῆς, ἢ Διονύσιος, οἷς αἱ τυραννίδες ἐπέτρεπον
οὕτω πάνυ πονηροῖς εἶναι. ἀλλὰ Καρνᾶς ὁ καπφαροδίτης. ὃν
οὐ χαλεπὸν ἐπαναγαγεῖν εἰς τοὺς νόμους. ἂν οὖν διάγῃ τις αὐτὸν
ὡς σὲ, μὴ δὲ ἡμεῖς ἀγνοήσωμεν, ἵνα τοὺς κατὰ πρόσωπον αὐτὸν
ἐλέγξοντας, ἀπὸ Κυρήνης καλέσωμεν. Θεοδώρῳ καὶ τῇ ἀδελφῇ.

π Ὡς δοκεῖτε. δέδηγμαι τὴν καρδίαν, ἐκ δεδομένου λόγου
κατὰ τὴν πόλιν, ὅτι δεινῇ τινι καὶ πέρα δεινῆς ὀφθαλ-
μίᾳ παλαίεις, ἀπειλούσῃ τοῖς ὄψεσι κίνδυνον. ἔπειτα πέφηνεν
ὁ λόγος ψευδής. καὶ οἶμαι πάμπονηρος ἄνθρωπος προφάσεως εἰλημ-
μένος, τοῦ τῆς ὀφθαλμίας ὀνόματος, ἦρεν ἐπὶ μέγα τὴν φή-
μην, ὡς ἐτραγῴδησε. τράποιτο μὲν οὖν εἰς ἐκεῖνον αὐτὸν, ἅττα ὑμῶν
κατεψεύσατο. τῷ δὲ θεῷ χάρις, ὅτι παρέσχεν ἡμῖν ἀκοῦσαι καλ-
λίονα. χρὴ δὲ μὴ τὸ λεγόμενον, ἄγροικα τὰ καθ' ὑμᾶς σημαίνεσθαι. μὴ
δ', ὅ,τι λέγει φήμη πυνθάνεσθαι. ἀλλὰ μάλιστα μὲν ἔχειν συνόντας.
εἰ δὲ μὴ, γράμμασιν ὑμετέροις ἐντυγχάνειν. ὡς παρ' ὑμῶν, τὰ περὶ ὑμῶν
εἰδέναι. ἀλλ' ὑμεῖς ἡμῶν λίαν ἀμελεῖτε. ὥσπερ ἴσως ὁ θεὸς βούλεται.

Τῷ ἀδελφῷ.

ο Ὑμεῖς, ἐρεῖς, ὡς ἔλαθεν ὑμᾶς ὁ διακομιστὴς τῶν πανηγυρικῶν γραμμάτων· ἀλλ' εἰδότες παρεωράκατε, καὶ οὐκ ἔδοξεν ὑμῖν ἄξιον εἶναι τὸν ἀδελφὸν ἐν μνήμῃ ποιήσασθαι, καὶ ἐπιθεῖναι πρὸς αὐτὸν γράμμα, μηνύον ὅπως ἔχετε καὶ ἐν τίσιν ἐστέ. ἐμοὶ γὰρ οὐκ ἀμελές ἐστιν εἰδέναι τὰ περὶ ὑμῶν· ἀλλ' ἐπείπερ ἐν ἅπασι λυποῦμαι τοῖς ἐμαυτοῦ, βουλοίμην ἂν ἐν τοῖς ὑμετέροις εὐφραίνεσθαι. ὑμεῖς δὲ καὶ ταύτης με τῆς παραμυθίας ἀφῄρησθε. χρῆν δὲ οὐχί· καὶ γὰρ εἰμὶ γεγονὼς μὲν ἀπὸ τῶν αὐτῶν, τροφαὶ κοιναί· καὶ παιδεῖαι κοιναί· καὶ τί γὰρ οὐχὶ κοινόν· πάντα διὰ πάντων ἡμᾶς ἀλλήλοις ᾠκείωσεν· ἀλλὰ γὰρ ἔοικεν, ὥσπερ λέγεται, δυσημερία πρᾶγμα ἄφιλον· καὶ ὅταν ἥκῃ τινὶ χρόνος αὐτῆς, ἐνταῦθα τά, τε ἄλλα πάντα καὶ ἀδελφῶν γνῶμαι καὶ φίλων ἐλέγχονται. ἐμοὶ δὲ ἀρκέσει καὶ παρ' ἑτέρων πυνθάνεσθαι τὰ περὶ ὑμῶν. μόνον ὁ θεὸς ἀγαθῶν εἴη νομεύς· τοιοῦτον γὰρ ἐρῶμεν, ὑπὲρ ὑμῶν ἀκροάματος.

Θεοφίλῳ.

ϛ Αὐτό σε γῆρας καὶ λιπαρὸν περιμένοιεν ἁγιώτατέ τε καὶ σοφώτατε· τό, τε γὰρ ἄλλα τῷ βίῳ κέρδος ἂν εἴης σωζόμενος, καὶ μεγίστη προσθήκη τῷ διδασκαλείῳ τοῦ χριστοῦ γίνεται, ὁ τῶν πανηγυρικῶν βιβλίων ἀριθμός, τοῖς ἐνιαυτοῖς συναυξανόμενος. ὡς ὁ γε τῆτες καταπεμφθεὶς λόγος, καὶ ἥσε τοὺς πολλοὺς καὶ ὤνησε. τὸ μὲν, μεγέθει τῶν νοημάτων· τὸ δὲ, τῶν ὀνομάτων τῇ χάριτι.

Τῇ φιλοσόφῳ.

α Ὑγιῶ σε καὶ διὰ σοῦ τοὺς μακαριωτάτους ἑταίρους ἀσπάζομαι δέσποινα μακαρία. πάλαι μὲν ἂν ἐνεκάλεσας ἐφ' οἷς οὐκ ἀξιοῦμαι γραμμάτων. νῦν δὲ οἶδα περιεωραμένος ὑφ' ἁπάντων ὑμῶν. ἐφ' οἷς ἀδικοῦμαι μὲν οὐδέν, ἀτυχῶ δὲ πολλά, καὶ ὅσα αὐτὸς ἀτυχῆσαι δυνατόν.

ἀλλ' εἰ

ἀλλ' εἴπερ εἶχον ἐντυγχάνειν ὑμετέραις ἐπιστολαῖς, καὶ μανθάνειν ἐν οἷς διατρίβετε, πάντως δὲ ἐν ἀμείνοσιν ἐστὲ, καὶ καλλίονος πειρᾶσθε τοῦ δαίμονος, ἐξ ἡμισείας ἂν ἔπραττον ἀνιαρῶς, ἐν ὑμῖν εὐτυχῶν. νῦν δ' ἔστι καὶ τοῦτο τῶν χαλεπῶν ἐστὶν, ἅμα καταλέλοιφεν. ἀπεστέρημαι μετὰ τῶν παιδίων, καὶ τῶν φίλων, καὶ τῆς παρὰ πάντων εὐνοίας. καὶ τὸ μέγιστον, τῆς θειοτάτης σου ψυχῆς, ἣν ἐγὼ μόνην ἐμαυτῷ ἐμμένειν ἤλπισα, κρείττω καὶ δαιμονίας ἐπηρείας. καὶ τῶν ἐξ εἱμαρμένης ῥευμάτων.

Τοῖς πρεσβυτέροις.

ιδ Ὑπὲρ ὅτου πρότερον ὑμῶν ἐγὼ περιῆν, ἁπάσῃ ῥώμῃ καὶ μηχαναῖς ἐκκλίνας ἱερωσύνην, οὔτε νῦν ὑμεῖς ἐμοῦ κεκρατήκατε. ἀλλὰ θεῖον ἄρα ἦν. καὶ τὸ, μήπω τότε, καὶ τὸ νῦν ἤδη. ἐγὼ δὲ πολλοὺς ἂν θανάτους, ἀντὶ τῆσδε τῆς λειτουργίας εἱλόμην. οὐ γὰρ κατ' ἐμαυτὸν εἶναι τὸν κόσμον ἐλογιζόμην τοῦ πράγματος. τοῦ θεοῦ δὲ ἐπενεγκόντος, οὐχ ὅπερ ᾔτουν, ἀλλ' ὅπερ ἐβούλετο, εὔχομαι τὸν γενόμενον νομέα τοῦ βίου, γενέσθαι καὶ τοῦ νεμηθέντος προστάτην. ὁ γὰρ ἐνευκαιρήσας τῇ κατὰ φιλοσοφίαν σχολῇ καὶ θεωρίᾳ τῶν ὄντων ἀπράγμονι, καὶ τοσοῦτον ὁμιλήσας φροντίσιν, ὅσον, ἀφοσιώσασθαι τῷ μετὰ σώματος βίῳ, καὶ δεῖ πολίτης γεγονέναι πόλεως, πῶς ἂν ἀρκέσω μερίμναις ἐχούσαις συνέχειαν. ἢ πῶς, ἐμαυτὸν ἐπιδοὺς ὄχλῳ πραγμάτων, ἔτι προσβαλῶ τοῖς νοῦ κάλλεσιν, ἃ μόνης ἐστὶ καρποῦσθαι τῆς μακαρίας σχολῆς. ἧς χωρὶς, ἐμοὶ καὶ τοῖς ὁμοίοις ἐμοὶ, ἅπας ὁ βίος ἀβίωτος. ἐγὼ μὲν οὐκ ἂν εἰδείην. τῷ θεῷ δὲ φασὶ πάντα δυνατὰ καὶ τὰ ἀδύνατα. αὐτοί τε οὖν ὑπὲρ ἐμοῦ χεῖρας ἱκετίδας ἄρατε πρὸς θεόν. καὶ τῷ, τε ἐν ἄστει δήμῳ, καὶ ὅσοι κατ' ἀγροὺς ἢ κωμητικὰς ἐκκλησίας αὐλίζονται, τὰς ὑπὲρ ὑμῶν εὐχὰς

καὶ κοινῇ καὶ καθ' ἕνα πᾶσι παρεγγυήσατε. εἰ γὰρ μὴ ἔρημος ἀπο-
λειφθείην θεοῦ, τότε γνώσομαι τὴν ἱερωσύνην, οὐκ ἀπόβασιν οὖ-
σαν φιλοσοφίας ἀλλ' ἐπανάβασιν.

Κυρίλλῳ.

ὁ Θι παρὰ τὴν μητέρα τὴν ἐκκλησίαν ἀδελφὲ κυ-
ρίλλε, ἧς οὐκ ἀπεικότης. ἀλλ' εἰς καιρὸν ἐχωρίσθης. ὃ
καὶ τοῖς τῶν ἁμαρτημάτων ἀξίοις διώρισται. δοκῶ δὲ
εἰδέναι σαφῶς, ὅτι τοῦτ' ἂν πάλαι καὶ ὁ κοινὸς ἡμῶν πατὴρ ὁ τῆς ὁ-
σίας μνήμης ἐποίησεν, εἰ μὴ τὸ χρεὼν ἔφθασε. τὸ γὰρ ἐν μέτρῳ
τάξαι τὴν τιμωρίαν, γνώμης ἦν εὐθὺς ὑπισχνουμένης συγγνώ-
μην. αὐτὸν οὖν ἐκεῖνον τὸν ὅσιον ἱερέα, νόμιζέ σοι δεδωκέναι τὴν
κάθοδον. καὶ πρόσελθε τῷ θεῷ καθαρευούσῃ πάθους ψυχῇ. καὶ
ἀμνηστίαν ἐχούσῃ κακῶν. ἀλλὰ καὶ διὰ πάσης εὐφήμου μνήμης
ἄγε τὸν ἱερὸν ἐκεῖνον καὶ θεοφιλῆ πρεσβύτην. τὸν ἀποδείξαντά
σε πρόεδρον δήμου. πάντως σοι καὶ τοῦτο οὐκ ἀπόθυμιον.

Πέτρῳ πρεσβυτέρῳ.

θ Εὸς ἡγείσθω παντὸς ἔργου καὶ λόγου. τὸν δὲ διακομιστὴν τῶν
πανηγυρικῶν γραμμάτων, ἃ καταγγέλλει τὴν κυρίαν
τῆς ἑορτῆς ἡμέραν, ἐννεακαιδεκάτην τοῦ Φαρμουθὶ μηνός, ὡς
τῆς ἐπὶ ταύτην ἀγούσης νυκτός, τὸ ἀναστάσιμον ἐχούσης μυστήρι-
ον, τοῦτον καὶ προσιόντα καὶ ἐπανιόντα, φιλανθρωπίας ἁπάσης
ἀξιώσατε. καὶ ἀμοιβῇ ζώων ἐφ' ἑκάτερα πέμψατε. ὅστις ὑπὲρ
τοῦ μὴ λείπεσθαι ταῖς ἐκκλησίαις ἐλλιπὲς ἔθος ἀρχαῖον καὶ πάτρι-
ον, μέσοις ἑαυτὸν τοῖς τῶν πολεμίων ὅπλοις ἐπέδωκεν, ὑποστὰς
ὁ δυσπορῆσαι διὰ τὸ ἄπορον τῆς χώρας. ταῦτα καὶ πείθει τὴν πόλιν
ὑπὲρ ἡμῶν εὔχεσθαι. δεῖ γὰρ αὐτὴν ἐν τοῖς ἔθεσιν ἤδη τὴν τῆς ἐφη-
μῖν

μὴν ἀκουλίας αἴσθησιν, δέξασθε. ἥτις ἐκάλεσεν εἰς ἱερωσύνην, οὐχ ὧ παρρησία τίς ἐστι πρὸς θεὸν, ὅλου δήμου διαβάντι προσεύξασθαι. ἀλλ' ὅστις αὐτὸς ὑπὲρ τοῦ σωθῆναι, δεῖται γενέσθαι δημαίτητος. ἐπεὶ καὶ τῆς ἐνθάδε συνόδου. πλῆθος δὲ συχνὸν ἱερέων. συντυχία τίς ἦν, ἣν ὁ νῦν καιρὸς ἤθροισεν, ἐπιθεμένῳ μοι γράψαι πρὸς ὑμᾶς. εἰ δὲ μηδὲν ἔχων εἰπεῖν, οἷον ἀκούειν εἰώθατε, συγγνώμην μὲν ἐμοὶ τοῦ χ. ἔγκλημα δὲ ὑμῖν ὅτι τὸν οὐκ εἰδότα τὰ λόγια τοῦ θεοῦ, τῶν εἰδότων ἀνθείλεσθε.

Ἀνυσίῳ.

Οὕτως ἀμύνουσι γονεῦσι παῖδες. ἀπέχω τὴν χάριν. Κουνᾶς ἱκέτης μου γέγονεν. οὗ τὴν ἱκεσίαν ὁ θεὸς, καὶ δεσμωτέραν ἐποίησε. τοῦ ἱερέως, εἰς ἰδίαν ὑπόθεσιν περιιδεῖν ἀγχόμιμον ἄνθρωπον ἐννησίμοις ἡμέραις. ὅς τις οὖν ἦγεν αὐτὸν, οὐκ ἀφῆκεν. ἀλλ' ἀφῃρέθη τὸν ἄνθρωπον. ἂν οὖν ὑπὲρ τοῦ βεβιάσθαι σοι δῶ δίκην, πεπείσεσθε μὲν ὑμεῖς, εἰς τὸ τοῖς μὲν ἠδικηκόσι γενέσθαι φιλάνθρωποι. αὐτοὺς δὲ τοὺς οὐδὲν ἀδικοῦντας, ἠδικηκέναι.

Τῇ Φιλοσόφῳ.

Οὕτω πάνυ πέπραγα πονήρως, ὥστε ὑδροσκοπίου μοι δεῖ. ἐπίταξον αὐτῷ χαλκευθῆναί τε καὶ συνωνηθῆναι. σωλήν ἐστι κυλινδρικός. αὐλοῦ καὶ σχῆμα καὶ μέγεθος ἔχων. οὗτος ἐπὶ τινὸς εὐθείας δέχεται τὰς κατατομὰς, αἷς τῶν ὑδάτων τὴν ῥοπὴν, ἐξετάζομεν. ἐπιπωματίζει γὰρ αὐτὸν κῶνος κατὰ θέσιν ἴσην ἐγκείμενος, ὡς εἶναι κοινὴν βάσιν ἀμφοῖν τοῦ κώνου τε καὶ τοῦ σωλῆνος. αὐτὸ δὴ τοῦτό ἐστι τὸ βαρύλλιον. ὅταν οὖν εἰς ὕδωρ καθῇς τὸν αὐλὸν, ὀρθὸς ἑστήξει. καὶ παρέξει σοι τὰς κατατομὰς ἀριθμεῖν. αἱ δὲ, τῆς ῥοπῆς εἰσὶ γνωρίσματα.

Τῇ αὐτῇ.

Λινοπετὴς ὑπηγόρευσα τὴν ἐπιστολήν, ἣν ὑγιαίνουσα
κ κομίσαιο μῆτερ καὶ ἀδελφὴ καὶ διδάσκαλε· καὶ διὰ πάν-
των τούτων εὐεργετική, καὶ ἅπαν ὅ,τι τίμιον καὶ πρᾶγ-
μα καὶ ὄνομα. ἐμοὶ δὲ τὰ τῆς σωματικῆς ἀσθενείας, ψυχικῆς αἰτί-
ας ἐξῆπται. κατὰ μικρόν με δαπανᾷ τῶν ἀπελθόντων ἡ μνήμη.
μέχρις ἐκείνου ζῆν ἄξιον Συνεσίου, μέχρις ἦν ἄπειρος τῶν τοῦ βίου
κακῶν. εἶτα ὥσπερ ῥεῦμα ἐπισχεθὲν, ἀθρόον ἐρρύη. καὶ μετέβα-
λεν ἡ γλυκύτης τοῦ βίου. παυσαίμην ἢ ζῶν, ἢ μεμνημένος τῶν
υἱέων τοῦ τάφου. σὺ δὲ αὐτή γε ὑγιαίνοις καὶ ἀσπάσαι τοὺς μακαρί-
ους ἑταίρους, ἀπὸ τοῦ πατρὸς Θεοτέκνου καὶ ἀπὸ τοῦ ἀδελφοῦ Ἀθα-
νασίου ἀρξαμένη, πάντας ἑξῆς. καὶ εἴ τις αὐτοῖς προσγέγονεν, ὡς εἶ-
ναί σοι καταθύμιος, ἐμὲ δὲ δεῖ χάριν ὀφείλειν αὐτῷ διό-
τι σοι καταθύμιός ἐστι, κἀκεῖνον ὡς φίλον φίλτατον ἀσπάσαι
παρ' ἐμοῦ. τῶν ἐμῶν, εἴ τι σοι μέλει, καλῶς ποιεῖς. καὶ εἰ μὴ μέλει,
οὐδὲ ἐμοὶ τούτου μέλει.

Ἡλιοδώρῳ.

π Ολλὰ κἀγαθὰ γένοιτο τῷ δεῖνι, διὸ εὐφήμου μνήμης τὴν
σὴν ἄγοντι σεμνοπρέπειαν· καὶ τὰς ἁπάντων ἀκοὰς ἐμπεπληκότι
τῶν ἐπαίνων τῶν κατὰ σοῦ. ὀφείλομεν τῇ χρυσῇ σου ψυχῇ καὶ γλώττῃ.
πλὴν ἀγαπητὰ ἀποδίδως τὴν χάριν τῆς εὐλογίας. ἀντευφημεῖται
γὰρ ὑπὸ μυρίων ὅσων τῶν σῶν ἐραστῶν. οἷς ἅπασιν ἐγὼ τῶν πρωτείων ἀμφις-
βητῶ. μᾶλλον δὲ οὐκ ἀμφισβητῶ. συγχωροῦσι γὰρ ἅπαντες.

Τῷ ἀδελφῷ.

ὁ Δεῖνα βουλευτὴς μέν ἐστι πόλεως, ἐν ᾗ τοὺς παῖδας ἐγεννη-
σάμην. τρόπον οὖν τινα πάντας Ἀλεξανδρείας ὡς πολίτας
ὑφ' ἡμῶν τιμᾶσθαι καὶ ὁρᾶσθαι προσήκει. τούτῳ δὲ ὑπάρχει συγγενεῖ τε εἶναι
τοῦ μακαρίτου Θεοδώρου σφόδρα διὰ μνήμης ἡμῖν ἀνδρὸς γενομένου
καὶ μηδὲν ἀμελεῖσθαι ἀξιῶ παρὰ τῶν τῇδε τὰ πρῶτα ἐχόντων ἐν τῷ πο

λιτεύεσθαι

λιτεύεσθαι. οὗτοί μοι προσήγαγον αὐτὸν, χρυσίου ὡς ὑμᾶς νομίζω στρατιώταις κομίζοντα. καὶ ἐδεήθησαν ἐμοῖς ἐφοδίοις γράμμασι, πρὸς ὑμᾶς πέμψαι, ἡγούμενοι πάντα καλῶς ἕξειν αὐτῷ, τυχόντι του, παρ' ἐμοῦ σοί τε καὶ τῷ δεῖνι συστῆσαι. ἐγὼ μὲν οὖν ὅπερ ᾔτησαν ἔδωκα. εἰ δὲ μὴ μάτην, ὑμεῖς δείξετε.

Ἡρώδῃ καὶ Μαρτινείῳ.

Ὑμετέρα αἰτία μοι δοκεῖ πεποιῆσθαι τὴν κοινωνίαν τῆς ἐπιστολῆς. ἀλλ' εὖ διῴκισα γράμμασι τοὺς συνημμένους τῇ γνώμῃ, τοῦτο αὖ τὸ ὑπαίτιον. προσείρησθε δὴ θαυμάσιοι. καὶ τὸν ἐπιδιδόντα τὴν ἐπιστολὴν, ὃς ἐπὶ χρυσίου διακομιδῇ παρ' ὑμᾶς ἐστάλη δημοσίαν ὁδὸν, θάλψατε τὸν εἰόντα τρόπον, ἐπειδή μοι παρὰ παντὸς συνέστη τοῦ βουλευτηρίου. καὶ βουλοίμην μὲν ἀγαθοῦ τινος αἴτιος αὐτῷ γενέσθαι. οὐ μὴν οἶδα ὅτι μᾶλλον ὑμῶν ἑτέροις μέλειν ἄξιον ἡμῶν τε τούτων αὖ ἡμεῖς ἐπιβαίνωμεν. Διογένει.

Ὡς ἔτι περιῆν ὁ μακαρίτης Θεόδωρος, κοινὸς μὲν ἦν ἁπάντων πένητα πολιτῶν πρόξενος· διαφερόντως δὲ τοὺς ὑμετέρους γονέας ἐξήρτητο, τῇ τε εἰς ἅπαντα σπουδῇ καὶ τῇ τῆς γλώττης εὐστομίᾳ καὶ χάριτι. τῶν οὖν παρ' ἐκείνῳ πολλῶν καὶ ἡδίστων, εἰς Ἀμμώνιον τὸν ἀνεψιὸν τὴν χάριν ἀπομνημονεύσωμεν. ἐγὼ μὲν οὖν τοὐμὸν μέρος, ἀπέτισα. τί δὲ ἦν ἀπόντος ἔργον, ἢ τοῖς παροῦσι τὸν ἄνδρα συστῆσαι. τὸ δὲ μὴ βαρεῖαν αὐτῷ τὴν αὐτόθι γενέσθαι διατριβὴν, ὑμέτερον ἔργον.

Τῷ ἡγεμόνι.

Ι τοῦ Θεοδώρου μνήμη παρὰ τῇ σεμνοπρεπείᾳ τῇ σῇ, πῶς δὲ οὐ μέλλει, χάρισαι τοῖς εἰς τὸν ἀπελθόντα καθήκουσι, τὴν εἰς τὸν ἀνεψιὸν τὸν ἐκείνου τιμήν. καὶ γὰρ ἄνδρα ἀγαθὸν

οὗ πεποίηκας ἔστι, καὶ τῶν τῆς μεγάλης ἀλεξανδρείας βουλευτηρίῳ χαριζόμενος. ὡς ἀθρόοι γενόμενοι, προσαγηόχασιν ἐμοὶ τὸν ἄνδρα. καὶ ἐδεήθησαν ὄνασθαί τι τῶν ἡμετέρων γραμμάτων. τὸ μὲν οὖν δοῦναι τὰς ἐπιστολὰς, ἡμέτερον ἦν. τὸ δὲ εἰς ὄνησιν αὐτῷ γενέσθαι, παρ' ὑμῶν ἐπιζητεῖται.

Ἀναστασίῳ.

Ἡ Σθην. ἀλλὰ πῶς οἴει. πάνυ μὲν οὖν ἀπὸ βαθείας τῆς γνώμης ἥσθην, μαθὼν τὰ χρυσᾶ παιδία τῇ τοῦ βασιλέως φωνῇ νόμιμα παιδία γενόμενα. μάλιστα μὲν, ὅτι σε φιλῶ. τίνα δὲ αὖ δικαιότερον. εἶθ' ὅτι πονηροὺς αὐτοὺς μισῶ. ὧν τὰς ἐν σκότῳ καὶ γωνίαις ἐλπίδας, ἡ χρηστὴ τύχη τῶν παιδίων ὑπετέμετο. Διονύς.

Τ Οιοῦτόν ἐστιν, ἡ σύρων ξυμφυΐα καὶ συγγενῶν καὶ φίλων ἐπιλήσμονας ἀποδείκνυσι. μὴν δὲ οὑτοσὶ πέμπτος, ἀφ' οὗ γράμμασιν ἡμᾶς οὐκ ἠσπάσω. καὶ ταῦτα δούσης σοι τῆς φύσεως οὐ μόνον πρὸς χρείαν, ἀλλὰ καὶ πρὸς ἔνδειξιν καὶ φιλοτιμίαν ὑπαγορεύειν ἐπιστολάς. ἀλλ' αὖ αὐτὸς ὑγιαίνοις, καὶ τὰ χρυσᾶ παιδία καὶ ἡ καλλίπαις μήτηρ αὐτῶν, ἡμῖν καὶ τοῦτο ἅλις ἔχει. Σιμπλικίᾳ.

Ἔ Δει μέντοι ταῖς τύχαις τὰς γνώμας μὴ συνεξαίρεσθαι. μηδὲ τὸ μεμνῆσθαι τῶν πάλαι φίλων, ἔλαττον ἡγεῖσθαι τῆς παρούσης ἀξίας. σὺ δὲ ἡμῶν ἐπιλήσμων ἐγένου χρόνου συχνοῦ. χρὴ δὲ οὐχί. καίτοι σφοδρᾶς συναψάσης ἡμᾶς ἀλλήλοις.

Ἡλιοδώρῳ.

Ἐ Μοὶ μὲν συμπρόσεστι τοῖς ἐνιαυτοῖς, καὶ ἡ τοῦ φίλτρου προσθήκη. σὺ δὲ εἰ μὲν ὁμοίως ἔχων, οὐκ ἄγεις σχολὴν ὑπὸ τοῦ τῶν πραγμάτων ὄχλου γράμμασι τιμᾶν ὡς εἰκὸς ἅπαξ ποτὲ, καὶ οὓς εἰκὸς, κλέψας σαυτὸν ἀπὸ τῶν δημοσίων χρόνον ὅσον ἀρ-

κέσαι

κέσαι πρὸς μέτρον ἐπιστολῆς, αὐτὸ τοῦτο μήνυσον. εἰ δὲ ἐπιγνώ-
σεις ἀληθευομένην κατὰ σοῦ τὴν ὑποψίαν τῆς λήθης, διόρθω
σαι μετανοίᾳ σεαυτὸν ἡμῖν ἐπαναγαγών.

Τρωΐλῳ.

ἀ Λλ' εἰ μήτε κυρηναῖοι, μήθ' αἱ πόλεις ἀσυγγειτόνων ἀποτίσου
σί σοι χάριν ἀξίαν, ἀλλ' οὐ θαυμαστὸν Ἀναστάσιος αὐτοῖς γέγρα
φε, πάντως γε ἡ τῷ θεοῦ σοι προσέσται χάρις. ὦ σεαυτὸν οἰκείοις τῇ
κοινωνίᾳ τῆς εὐεργετικῆς προαιρέσεως. εὐδαιμονοίης ἄριστε φιλο
σόφων, οὕτω γὰρ ἐμοὶ σε φίλον καλεῖν, ὡς πρὸς ὑπογράφει τὰ πρά
γματα.

Κώνσαντι.

ἐ Ι δὲ φιλοσοφίας τιμᾶς ἀρετὴν, οὐ μόνον ἐν παροῦσι
τοῖς μεταχοῦσιν αὐτῆς, ἀλλὰ καὶ ἐν τοῖς ἀποῦσι τιμήσεις. ὁ δὲ θεσπέ
σιος Ἀμμωνιανὸς ὁ παρ' ἡμῖν ποτε τυχὼν ἀμείνονος λήξεως, ἐμοὶ
δοκεῖ πάρεστι καὶ ἀπεῖναι δοκῶν. τούτου συγγενὴς σφόδρα αὐτα-
νέψιον, ὁ παρ' ὑμῖν σωτήριχος ἀδικεῖ. δεῖξον ὅτι κήδῃ διομωσίου,
καὶ πέπαυται σωτήριχος ἀδικῶν.

Σιμπλικίῳ.

ἀ Φιέναι φησὶ δεῖν ὁ θεὸς τὰ ὀφειλήματα. ὀφείλει δὲ ὁ μὲν
τις δάνεισμα χρυσίου. ὁ δὲ, τὸ δοῦναι δίκην. καὶ ὁ τὸ λα-
βεῖν οὖν δίκην ὑπερϊδὼν, ὑπήκουσε τοῦ θεοῦ.

Πενταδίῳ αὐγουσταλίῳ.

Οὐ παρ' ἡμῶν ὄχλου καὶ τῶν πραγμάτων, αὐτὸς σὺ
τ σεαυτὸν αἰτιῶ. φιλοτιμηθεὶς γὰρ πᾶσι γενέσθαι κα-
ταφανὴς, ὅτι με διὰ πάσης ἄγεις τιμῆς, ἅπασι
τοῖς καταπονουμένοις, ἐπ' ἐμὲ τὸν δρόμον ἀνέωξας. οἶδα οὖν
ὅπως ποιήσεις, εἰ δεῖ ποτε πεπαῦσθαι κἀμὲ κοπτόμενον

ὑπὸ πολλῶν καὶ σὲ περὶ πολλῶν ὑπὲρ ἐμοῦ, εἰ καὶ πάνυ δεῖται μετρίων καὶ φιλανθρώπων ὑπὲρ οὗ γράφω, καὶ τυχεῖν ἐστὶν ἀξιώτατος ὡς ἅπαντες ἴσασιν, ἀποτυγχανέτω σου μηδὲν ἧττον, ἢ εἰ παμμόχθηρός τε ἦν, καὶ παμπονήρων ἐδεῖτο πραγμάτων. τοῦτό ποιῶ, καὶ ὅταν ἀφίκωμαι παρὰ σὲ δῆθεν αἰτιασόμενος, πρόσταττε τοῖς ὑπηρέταις, ἐπιζυγῶσαί μοι κατὰ τοῦ προσώπου τὰς θύρας. ἂν τοῦτο γινόμενον οἱ μὲν ἴδωσιν, οἱ δὲ, τῶν ἰδόντων ἀκούσωσι, τοὐντεῦθεν ἐγὼ καὶ σὺ, βαθεῖαν εἰρήνην ἄξομεν. ὡς οὐδεὶς ἔτι τοῦ λοιποῦ προσδραμεῖταί μοι καὶ προσανακλαύσεται. εἰ δὲ ἀποδειλιάσεις καὶ οὐκ ἐθελήσεις ταῦτά σοι τοὺς ἀνθρώπους συμφωνεῖν, ἀνέχου πολλάκις τῆς ἡμέρας ἀγαθόν τι ποιεῖν ἀνθρώπους, ἱκέτας σου γινομένους δι᾽ ἐμοῦ τε καὶ τοῦ θεοῦ. ἀλλ᾽ εὖ οἶδ᾽ ὅτι, οὐκ ἀπαγορεύσεις εὖ ποιῶν. οὐκοῦν οὐδὲ ἐγὼ, πρεπούσας ὑποθέσεις τῇ φύσει σου πορίζόμενος.

Τῷ αὐτῷ.

ἐ Γὼ καὶ σοῦ κήδομαι καὶ τοῦδε. σοῦ μὲν ὡς μὴ ἀδικοίης. τοῦδε δὲ, ὡς μὴ ἀδικοῖτο. εἰ δὲ καὶ σοὶ δοκεῖ μετὰ τοῦ Πλάτωνος, τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι μεῖζον εἶναι κακὸν, ἔοικα σοὶ μᾶλλον, ἢ τῷδε χαρίζεσθαι, δεόμενος ὑπὲρ αὐτοῦ πραττομένου δίκας ὑπὲρ ὧν οὐκ ἐξήμαρτεν.

Αὐρηλιανῷ.

εἰ Ι Τινές εἰσι ψυχαὶ τῶν πλέον, ὥσπερ οὖν εἰσὶν ἔφοροι, θεῖοί τε καὶ δαιμόνιοι, πάσας ἡγοῦσι χάριν εἰδέναι, καὶ ἀναμεμνῆσθαι τῶν ἀγαθῶν ὧν ἐπὶ τῆς μεγάλης ἀρχῆς ἅπασιν ἔθνεσιν αἴτιος γεγονώς. αὐτάς τε οὖν ταύτας παρὰ τοὺς καιροὺς ἑκάστους οἴουσι παρεστάναι συνηγόρους τε καὶ συμμάχους, καὶ τοῦ κοινοῦ θεοῦ δεῖσθαι, γενέσθαι σοι πρεπούσας ἀμοιβὰς τῆς ἐνδεχομένης ἐκείνου μιμήσεως

τὸ γὰρ

τὸ γὰρ εὖ ποιεῖν, ἓν τοῦτο μόνον ἔχουσι κοινὸν ἔργον ἄνθρωπος καὶ θεός. ἡ δὲ μίμησις, οἰκειώσεώς ἐστι. καὶ συνάπτει τῷ πρὸς ὃ μιμεῖται τὸ μιμούμενον. διάκεισο τοίνυν ὡς ἀπειργασμένος οἰκείως τῷ θεῷ. τῇ κοινωνίᾳ τῆς εὐεργετικῆς προαιρέσεως. καὶ σύνεσο γλυκείαις ἐλπίσιν, ὁπόσαι τῇ τοιαύτῃ τῆς ψυχῆς διαθέσει προσήκουσιν, ὦ μεγαλοπρεπέστατε μόνος, ἢ μετ᾽ ὀλίγων οὐ μόνος, δικαίως καλούμενε. ἀσπάζομαι διὰ τῆς σεμνοτάτης φωνῆς τοῦ πατρὸς, τὸν νέον ταῦρον τὰς ἀγαθὰς ῥωμαίων ἐλπίδας. Τῷ ἀδελφῷ.

ὁ Καὶ τοὔνομα δοῦλος καὶ τὴν προαίρεσιν, ὃν ἀγνοήσας, ὡς παιδοτρίβην παρὰ τῶν Θεοδώρου κληρονόμων ὠνημαι, πάλαι μέν ἐστι πονηρός. καὶ γὰρ ἔφυ καὶ τέθραπται κακῶς. καὶ ἀναγωγῆς οὐκ ἀπέτυχεν ἀξίας τῆς φύσεως, ἐκ παιδὸς ἐν τηλίᾳ καὶ κύβοις καὶ καπηλείοις καλινδηθείς. ἀλλὰ νῦν Λυσίας ἂν εἶπεν, ἐξείργασται καὶ τέλος ἔχει. καὶ πέρας ἀδικίας ἐστίν. ἑρμῆν μὲν γὰρ καὶ ἡρακλέα τοῖς παλαίστρας ἐφόροις, οὐδὲ κατὰ μικρὸν πρέπει. κοττύτοις δὲ καὶ τοῖς ἄλλοις ἀττικοῖς κονισάλοις μέτοικος. καὶ εἰ δή τινές εἰσι τούτου τοῦ κόμματος ἕτεροι δαίμονες, ἅπασιν αὐτοῖς μέλει. καὶ τούτων αὐτῷ. δίκην μὲν οὖν ἑτέραν, οὐκ ἂν λάβοιμι παρ᾽ αὐτοῦ. ἀποχρῶσα γὰρ ἡ πονηρία δίκη τῶν πονηρῶν. δοκιμασθεὶς δ᾽ ἀνεπιτήδειος εἶναι συμβιοτεύειν φιλοσόφοις δεσπόταις, ὧν οἰκουρούντων αἰσχύνη περιμοστεῖ, ἐχέτω τὴν ἔχουσαν αὐτὸν πόλιν. ὁ γὰρ ἰδὼν τὸν πορνοτρίβα σοβοῦντα διὰ τῆς ἀγορᾶς, ἐν στεφάνῳ καὶ μύροις μεθύοντα καὶ κωμάζοντα, καὶ πάσης ἀκολασίας ἐμπεπλησμένον. καὶ ᾠδὰς ᾄδοντα πρεπούσας τῷ κίῳ, τοὺς ἔχοντας αὐτὸν τὴν αἰτίαν ἀνῆψαν. ὅπως οὖν αὐτὸν παραδοὺς τοῖς ναυκλήροις πλεῖν ἀναγκάσεις εὐθὺ τῆς ἐνεγκούσης αὐτόν. ἐκείνη γὰρ ἂν αὐ

τοῦ καὶ ἀνάσχοιτο δικαιότερον. πλείτω δὲ μηδὲ ἐπὶ τοιούτου καταστρώμα-
τος· μηδὲ γὰρ εἰς κοίλην ναῦν καταβαίη. ἐπεὶ μὴ θαυμάσῃς, εἰ συχνὰ τῶν
κεραμίων ἡμιδεῆ ποιήσει· ἐν ᾧ δ᾽ ὁ πλοῦς παρατείνοιτο, καὶ μέχρι
τρυγὸς ἂν, ἐκροφοίη τὴν ἀνθοσμίαν. καὶ τοὺς ναύτας δ᾽ ἂν αὐτὰ ταῦ-
τα ποιεῖν ἀναπείσειε. πρὸς γὰρ τοῖς ἄλλοις καὶ πιθανώτατόν ἐστι καὶ,
εἰς ἀπολαύσεις, ἡγήσασθαι. καὶ εἴ τις οὕτως ἐμβριθής ἦν, ὥστε τῷ μισθῷ πλέ-
οντα τὴν θάλατταν, ὡς μὴ διαχυθῆναι τοῦ καθάρματος κορδακί-
σαντος ἐν τῇ τοῦ κτηνώδους περιφορᾷ. καὶ ἅμα πολλὰ βωμολοχεύεται.
πρὸς ἃ δεῖ πεφράχθαι τὸν ναύκληρον. ὁ μὲν οὖν Ὀδυσσεύς, ἵνα μὴ
ὑφ᾽ ἡδονῆς διαφθαρείη, τῶν σειρήνων ἀκούων δεδεμένος παρήμει-
βεν. οὑτοσὶ δέ, ἵνα μὴ τοὺς πλέοντας ἡδονῇ διαφθείρειεν, ἂν ἐκεῖ-
νοι σωφρονῶσι, δεδήσεται. Τῷ φιλοσόφῳ.

ἠ Χοῦς ἔοικα πρᾶγμα ποιεῖν. ἃς παρ᾽ εἴληφα φωνὰς, ἀντιδίδωμι,
τὸν θαυμαστὸν Ἀλέξανδρον ἐπαινῶν παρὰ σοί. Αὐρηλιανῷ.

ὅ Ὑπὸ τῇ προνοίᾳ μέλλει ῥωμαίων ἀγαθὰ μελήσει ποτε· καὶ οὐκ
εἰς ἅπαν οἰκουρήσουσιν, οἱ τὰ κοινὰ σώζειν δυνάμενοι. ἀγαθῷ τῷ
γε ῥήτορι τῷ συσόφῳ, καὶ ἡ παρὰ σοῦ δύναμις ἀφικνεῖται πρὸς ὃ τυγ-
χάνει δεόμενος. ἀπολαυέτω δὴ νῦν μὲν, αὐτὸς μόνος ταύτης· ἔπειτα
μετὰ τῶν ἐθνῶν ἁπάντων, κἀκεῖνος. Τῷ ἀδελφῷ.

ἑ Πικρῷ τρόπῳ τὴν ὁδὸν ἐπὶ τὸ πλουτεῖν ἐβάδισεν Ἀθανάσιος.
ἔγνωκεν ὁ μόσε ἰτέον εἶναι τοῖς ἀποθνήσκουσι. πρακτέον αὐτοὺς,
πειθοῖ καὶ βίᾳ πρὶν ὅτι ἂν δύναιτο. κἂν οὖν αὐτὸν λάθῃ δημόσιος, ἐπὶ
διαθήκῃ καλούμενος. ἀλλὰ συνεὶς ἅλλεται. Τῷ αὐτῷ.

ἑ Κατὰ δεκάτην μηνὸς ἀθὺρ, ὁ μακαρίτης Καστρίκιος, αὐτὸ
τοῦτο ἐγένετο, φάσμα χαλεπὸν ἰδών τε καὶ δειπνησάμενος. Ἀνυσίῳ.

ὀ Ὠανικ, ὃν ὅτι σε φιλεῖ δι᾽ αὐτὸ τοῦτο φιλῶ, νόσῳ χαλεπῇ προσ-
επάλαισεν. καὶ ἦν αὐτῷ θερμὸν, οὐχ ἡ νόσος. ἀλλὰ τὸ σοῦ τῆς ἱε-

ρᾶς ἀπεῖναι κεφαλῆς. ἐπεὶ δὲ νῦν ἐν τοῖς ὁμοίοις ἐστί. τούτῳ δ' ἔτι ἐφ' ἑκάτερον προσὴν χαλεπωτέραν τὴν νόσον ποιεῖ. ἐρᾷ τοι τί τοῦ στρατιώτη πρέπειν. δ δυσκόλως ἔχει πρὸς τὴν ἐξ ἀνάγκης ἀργίαν. Αὐρηλιανῷ.

ὁ Ἰμαίσου τὴν θεσπεσίαν ψυχὴν ἐπαινῶ, τὸ τοῦτο καταπεμφθεῖσαν, ἐφ' ὃ κοινὸν ἀγαθὸν αὐτὸ εἶναι. καὶ χαίρειν εἰδέναι τοῖς συνιστᾶσι τοὺς δεομένους δικαίων, ὅτι σου πρεπούσας ὑποθέσεις τῇ φύσει μείζονι. τὸ δὲ ὅτι συγγενὴς ἐστὶν ἡρώδης ἐμός, ἀλλ' ὅτι δεῖται δικαίων, διὰ τοῦτό σοι τὸν νεανίσκον συνίστημι. ὅστις ἐκ προγόνων λαμπρότατος ὢν καὶ τὴν πρὸ ἀνδρῶν βουλὴν ὑποτελῆ τῇ συγκλήτῳ διαδεξάμενος, ἐπειδὴ γέγονεν ἡγεμών, ἀξιοῦται συντελεῖν ὥσπερ οἱ νεόβουλοι. καὶ γίνεσθαι διπλοῦς λειτουργός. τὸ μέν τι διὰ τὴν οὐσίαν, τὸ δὲ, δι' ἣν ἦρξεν ἀρχήν. Τῷ ἀδελφῷ.

ἑ Ἥκει με παρὰ σὲ πόθος καὶ χρεία. πυνθάνομαι τοίνυν εἰ περὶ μηνὸς ἥξοντα. Οὐρανίῳ.

ἑ Πέμπω σοι δῶρον ἵππον ἀκροφυέστατον, εἰς ἅπασαν ἀρετὴν ἵππῳ προσήκουσαν. ᾧ χρήσῃ μὲν ἐν ἁμίλλαις δρόμων. χρήσῃ δὲ ὅταν τὴν θήραν ἐξάγῃς, ἢ ἐν ἀγῶσι πολεμικοῖς. καὶ ὅταν κατάγῃς τὴν τῶν λιβυκῶν τρόπαιον πομπὴν ἐπινίκιον. ἐγὼ δὲ οἶδα ὅτι μᾶλλον ἢ κυνηγέτης, ἢ κέλης ἐναγώνιος, ἢ πομπεύς. ἢ πολεμιστὴς ἔσται. εἰ δὲ νικαίων ἵππων ἰδεῖν ἐστὶν ἀδελφότερον, ὀχυρώδης τε ὢν τὸ κρανίον, ἀληθεύουσα ῥινὸς τῶν ὀσφρῶν, τάχα μὲν ἐστὶ τοῖς ἵπποις, ὥσπερ ἐστὶ τοῖς ἀνθρώποις, ἅμα πᾶν τὸ δίδωσιν ὀστοῦν. μήτε τε δὲ τοῦτο πρὸ ἐκείνων αὐτῶν τὰς ἀρετὰς συντελεῖ, ἔστα μαλακὰ τῆς σκληρᾶς ἐλάττω πρὸς τὰ τῆς φύσεως ἐκληρώσατο. περὶ μέντοι τὸ γένος, ὀστέα ῥινὸς οἶδα διὰ σκληρότερα. οἱ μὲν γὰρ ὑμῖν ἵπποι, ταῖς σαρξὶ πλείους εἰσίν. οἱ δὲ ἡμέτεροι τοῖς ὀστέοις. Ἑταίρῳ.

ἑ Μισθωσάμενός σοι ναῦν, αὐτὸς μὲν οὐ ... τῶν πλεόντων τὴν θάλατταν μετὰ πλείονος τέχνης. ἢ τύχης. ὡς εἰκὸς ... ὁλκάδας,

φήμην ἔχουσι διανοίᾳ κεχρῆσθαι καθάπερ οἱ Φαιάκων τῆς πόλεως, πρὶν ἐπὶ τὴν νῆσον ἥκειν τὸ δαιμόνιον μήνιμα.

Κληδονίῳ.

Υγγενὴς ἐμὸς ἀδικεῖται. σὺ δὲ καὶ φίλος εἶ, καὶ δικάζειν ἔλαχες. ἐκ μιᾶς οὖν προσοχῆς, ὑπάρξει σοι κἀμοὶ καὶ τοῖς νόμοις χαρίσασθαι. ἐπαινείτω τοίνυν ἀσφάλιος, εἰς τὸ δικαστὴς εἶναι τῶν κεραμίων τῇ τοῦ πατρὸς διαθήκῃ προσλαβὼν τὴν ἀπόφασιν. καὶ τῆς ἱερείας οὐκ ἐσομένης ἐμποδὼν τῆς παραυτίκα τῆς ἀκροάσεως. ἥτε γὰρ δεῖ δικαιοδοτεῖν, ἢ τὸν χρόνον, ἐν ᾧ μάλιστα τυγχάνομεν δεόμενοι τοῦ θεοῦ.

Ἀναστασίῳ.

Ωσηναῦ τις ἔπεισεν ἢ θεός. ἢ λόγος. ἢ δαίμων. ὅτι καὶ παρὰ τὰ χωρία τι γίνεται τοῖς ἀνθρώποις, εἰς τὸ τυγχάνειν τε καὶ ἀτυγχάνειν εὐμενοῦς τοῦ θεοῦ. πράττων οὖν πονήρως παρ' ἡμῖν, καὶ τῶν πατρῴων ἀκριβῶς ἐκκοπείς, ἔγνωκε πλεῖν εἰς τὰ ἐπὶ Θρᾴκης χωρία, ἐκεῖ διαλλαγησόμενος πρὸς τὴν τύχην. εἰ δή σοι φίλα πρὸς τὴν δαίμονα, σύστησον αὐτῇ τὸν νεανίσκον. καὶ ἐξευρέτω τινὰ πόρον αὐτῷ χρημάτων. ῥᾴδιον δὲ βουλομένῃ. καὶ γὰρ τὰ Νέμου τοῦ Σωσηναῦ, Φύσαμγος ὃ χαλεπῶς εἰς ἑτέρους μετέθηκεν. ἀποφηνάτω δὲ καὶ Σωσηναῦ κληρονόμον ἀλλοτρίου πατρός. γένοιτο γὰρ ἂν οὕτως ἐξ ἀδικίας τὸ δίκαιον.

Ἰωάννῃ.

Σπερ ἄλλοτε πολλάκις περὶ τῶν καιρῶν ἐγενόμην σοι χρήσιμος, καὶ παρεμυθησάμην δυσχέρειαν τύχης, τὰ μὲν, λέγων. τὰ δὲ, ποιῶν, ὡς ἑκάστοτε ἡ δύναμις ὑπηγόρευσε, καὶ νῦν περὶ τῶν καταλαβόντων σε πραγμάτων, δοκεῖ μοι συνεισενεγκεῖν τινὰ γνώμην, ἐπειδὴ μὴ ἔργον δύναμαι. συνέσιον γὰρ οὐ θέμις, ἕως ἐμπνεῖ τε καὶ δύναται, μὴ οὐχὶ παντὶ τρόπῳ πρόθυμον εἶναι τοὺς φίλους ἀγαθόν τι ποιεῖν. ἄκουε τοίνυν ἅ μοι καλῶς ἔχει διαλεχθῆναι πρὸς

σέ. εἰ

σε. εἰ μὲν θεός ἐστιν ἡ φήμη κατά τινα τῶν παρ᾽ ἡμῖν ποιητῶν, σὺ διεχρήσω τὸν μακαρίτην αἰμύλιον. ὃ πράξας ἀναβουλεύσας τὸν φόνον. καὶ βαρβαρικὸν μὲν δρᾶμα συνθεὶς, τὸν σφαγέα δὲ καθεὶς ἐκ τῶν σαυτοῦ λοχιτῶν τὸν ὠμότατον. λέγει μὲν οὖν ἡ φήμη ταῦτα. ἀ- δεῆς δὲ οὐ θέμις, οὖσαν θεόν. εἰ δ᾽ ἡσίοδος μὲν οὐδὲν λέγει, πολλὰ δὲ λέγεται μάτην, καὶ τοῦτο περὶ σοῦ τῶν πολλῶν ἐστιν ἕν. ὡς ἔγωγε βουλοίμην ἄν. περὶ ἐλάττονος γὰρ ποιοῦμαι τὴν ἐν ἀργυρίῳ ζημίαν, ἢ τὴν ἐν ἐλέγχῳ. καὶ νῦν ἂν οὐχ ὑπαίτιος ὢν ἀκούῃς κακῶς, ἀτυχεῖς μὲν ἄρα. ἀλλ᾽ οὐκ ἀδικεῖς. ὡς ὤφελες μὴ δὲ ἀτυχεῖν. ἀλλ᾽ ἐκείνως μὲν ἀνόσιοι καὶ μῖσος ὠφείλετο δίκαιον. οὕτω δὲ καὶ ἔλεος. ἐγὼ δέ μοι δοκῶ λίαν ὑπὸ συνηθείας ἁλώσιμος ὤν, κἀκείνως ἂν τὴν μὲν πρᾶξιν μισεῖν. σὲ δὲ ὅμως ἐλεεῖν. τοῦ δὲ ἐλεοῦντός ἐστι, βοηθεῖν ὅση δύναμις. καὶ ἐξευρίσκειν, ὅθεν ἂν οἴηται ὀνήσειν τι. οὐκοῦν καθ᾽ ἑκάτερόν μοι προσήκει συμβουλεῦσαί σοι τὸ φαινόμενον βέλτιστον. ἔοικε δὲ ταὐτὸν εἶναι συμφέρον, αἰτίῳ τε ὄντι καὶ ἀναιτίῳ. ἴθι παρὰ τοὺς νόμους. καὶ σαυτὸν ἐπίδος τῷ δικαστῇ μετὰ ἀθρόων τῶν λοχιτῶν, ἔτι καὶ ἤδη κἀκείνων. καὶ εἰ μὲν ἐπράχθη τὸ δεινὸν, δεήθητι. καθικέτευσον. ἀντιβόλησον. μετ᾽ αὐτῆς προκαλινδούμενος, πρὶν ἂν διαπράξῃ τὸ παρὰ τῆς ψήφου συστῆναι δημίῳ, καὶ δοῦναι τὴν δίκην. ἐν καλῷ σοι κεῖσθαι παρὰ τοῖς κατὰ τὸ δικαστήριοις, τὸ προκαθηράμενον ἀπελθεῖν, ἑταῖρε ἰωάννη. μὴ λόγον ἄλλως οἰηθῇς τὴν παραίνεσιν. μὴ δὲ προσαιζειν μὴ νομίσῃς σαυτῷ, οὕτω τῆς ἱερᾶς φιλοσοφίας ὀναίμην. καὶ προσέτι τῶν παιδίων τῶν ἐμαυτοῦ. οὐκ ἂν μὴ φιλτάτῳ σοι τυγχάνοντι, συνεβούλευσά τι τοιοῦτον, ὅγε ἀπεύχομαι τοῖς ἐχθροῖς τοῖς ἐμοῖς. καὶ μήποτε αὐτῶν ἐπὶ νοῦν ἀναβαίη, τὸ κάλλιον εἶναι τὸν ἀδικοῦντα δοῦναι τιμωρίαν αὐθαίρετον. ἀλλὰ μὴ δὲ παύσαιντο δυ-

τυγχάνοντες ἐν οἷς ἀδικοῦσιν, ἵνα πλείω τε χρόνον εἶναι κακοὶ, καὶ πόσους ἐκεῖ τὰς δίκας ὀφείλουσιν. πρὸς σὲ διὰ φιλίαν, κινδυνεύω τι καὶ τῶν ἀπορρήτων εἰπεῖν, ὡς ἀνόμοιόν ἐστιν, ἐν παχεῖ σώματι καὶ ἐν εἰδώλῳ δοῦναι τὴν δίκην. ἰσχυρότερον μὲν γὰρ ἀνθρώπου θεός. τοῦ δὲ θείου παντὸς διακόσμου, σκιὰ τὸ ἀνθρώπινον. ἀλλ᾽ ὅπερ εἰσὶν ἐν ταῖς πολιτείαις οἱ δήμιοι, χεῖρον τῶν νόμων, τὴν αὐτὴν αἱ ποιναὶ χρείαν τῇ φύσει τοῦ κόσμου παρέχονται. δαίμονές εἰσι καθαρτήριοι τέχνην ἔχοντες ὑπὸ ταῖς ψυχαῖς, ἣν οἱ κναφεῖς ὑπὸ τοῖς ἱματίοις τοῖς ῥυπαροῖς. ἀλλ᾽ εἴ τις ἱματίοις αἴσθησις ἦν, τί ἂν οἴει πάσχειν αὐτὰ, λακτιζόμενα, κνιζόμενα, καὶ πάντα τρόπον κναπτόμενα, διὰ πόσων ἂν ὀδυνῶν ἐκπλυθῆναι κηλῖδας ἀρχαίας καὶ προστετηκότα ὀμόργματα. ἐπεὶ γὰρ λέγειν ὅτι πολλοῖς ὁ ῥύπος, οὕτως ἐνέφυ σφόδρα διὰ τοῦ βάθους, ὡς ἀνέκπλυτος εἶναι. καὶ φθάνει διαφθαρέντα, πρὶν εἰς τὴν φύσιν ἐπανελθεῖν, ὅτι τὸ πάθος αὐτοῖς γέγονε φύσις, ἢ διὰ χρόνου πλῆθος, ἢ διὰ μέγεθος. οὕτω δὲ ἔχουσα ψυχὴ καλῶς ἂν ἔχειν εἶναι φθαρτή. νῦν δὲ τὰ μὲν ἁμαρτήματα, λόγον ἔχει πρὸς αὐτὴν πολυχρονίους κηλῖδας. ἡ ψυχὴ δὲ οὐκέτι πρὸς θοἰμάτιον ἐκεῖνο τὸ ῥυπαρόν τε καὶ οὐκ ἀντέχον. ἀλλὰ ἀθάνατος οὖσα, τίνει δίκην ἀθάνατον, ὅταν ἁμάρτῃ δυσσόποιά τε καὶ ἀναπόνιπτα. ἀλλ᾽ ἐν ᾧ γάρ τις ἥμαρτε βίῳ δίκας δίδωσι, οὐ πάνυ προστετηκὸς ἔχει καὶ προσιζῆσαν τὸ πάθος. ἄλλως ἂν εὔπλυτος ἀρτιβαφὴς οὖσα ψυχὴ, τάχιστα πλύνεται. διὸ δυνατόν ἐστιν ὡς ἐν διὰ τάχους τὴν δίκην. καὶ τιμωροῖς ἀνθρώποις, ἀλλὰ μὴ δαίμοσι. λέγεται δέ τις λόγος ὅς με πείθει, τοὺς ἠδικημένους κυρίους εἶναι, μακροτέρας τε ποιεῖν. καὶ ἐπιτέμνειν τὰς τιμωρίας. διὸ παραπλήσιον ἐστὶν ἵνα κακόν τι μέγα ἐργάσασθαι καὶ

πολλοὺς

πολλοὺς κατὰ μικρὸν ἀδικήσουσι. ἐπέξεισι δὲ ἕκαστος ἐν τῷ μέρει καὶ δεῖ πᾶσιν ὑπηρετῆσαι τὴν δίκην, ὅταν δέ τις ἰάσιμος ᾖ, μέγα παρὰ τῷ δικαστῇ δύναται, τὸ τοσοῦτον προσπεπονθέναι τὴν ψυχὴν, ὡς ἤδη παρ' αὐτῶν τῶν ἠδικημένων ἔλεον εὑρέσθαι. ὥστε τοίνυν εἰκὸς ἐστὶ τὴν μακαρίτιδος αἰμυλίου ψυχὴν συγγνωμονεστέρας τυχεῖν. ἐγὼ μὲν οὖν οἶμαι, μᾶλλον δὲ, οἶδα σαφῶς, ὡς ἅπας ἱκέτης αἰδέσιμος, ὅστις ἑαυτὸν τετιμώρηται. καίτοι ἤδη παρ' ἡμῖν εἰς ἀπολογίαν ἁμαρτήματος καταστὰς, αὐτῷ τῷ φθάσαι τὴν αἰτίαν ὁμολογῆσαι, καὶ φῆσαι κολάσεως ἄξιον εἶναι, τὴν κόλασιν ἐξωνήσατο. τὸ δὲ ἐνσχεθῆναι τοῖς δι' ἅ τις ἠδίκησεν, εἴτε χρήμασιν εἴτε σώμασι, βαρυθυμότερον τὸν ἠδικημένον καθίστησι. καὶ τίς ἂν γένοιτο τοῦ σώματος ἐξελθὼν, εἴθ' ὑπὸ βιαίας δίκης, εἴτε ἕτερον τρόπον, κἄπειτα αὐτὴν τὴν ψυχὴν, αὐτῇ τῇ ψυχῇ θεασάμενος, οὐκ ὅσης ἀρνεῖσθαί σοι τὸ πλῆθος ἀλλ' ἐγκεκολαμμένον ἔχων τοῦ πο σημάτιον τὰς πράξεις, ἐπιλιγγιάσεις, ἐπαπορήσεις, ἐλέγξεις τε καὶ κε σῃ τῇ δίκῃ, καὶ σὺ κἀγώ. καὶ πῶς ὃν οὐ προκαθαίρει μετάνοια δημοσίου θεῖσαι. ἀλλὰ ἀνδριστέον ὦ γύναι. γυναῖκος γὰρ εἶης. καὶ τῶν μὲν ἡδονῶν ὑπεροπτέον, ἃς ἀδικοῦντες ἐποιησάμεθα. τοὺς δ' αὐτοὺς ἐκκαλυπτέον. ἀλλὰ τῷ δικαστῇ μὲν ὁμολογητέον τὴν πρᾶξιν. ἐξιλαστέον δὲ τῇ παρ' αὐτῇ κατίσει, τὰς κατωτερινάς. μεγίστου δὲ ὄντος ἀγαθοῦ τοῦ μὴ ἁμαρτεῖν, δεύτερον ἀγαθὸν τὸ δικαιωθῆναι. ὅστις δὲ χρόνον πολὺν ἀδικῶν ἀκόλαστος μένει, τοῦτον δεῖ νομίζειν τὸν ἀτυχέστατον, ὃ μήτε θεὸς μήτε ἄνθρωπος ἠδέσθη. σκόπει δὲ καὶ ταύτῃ. τὸ ἀκόλαστον εἶναι πρὸς κακοῦ, ἢ λέγεται ἀκριτί. ἐπεὶ τὸ κεκολᾶσθαι πρὸς ἀγαθοῦ. τῷ δὲ ἐναντίῳ τὸ ἐναντίον ὁ λόγος μένει. εἰ μὲν οὖν ἐγὼ παρὼν ἐτύγ-

χανον, οὐδὲν ἂν ἔδει σε πρᾶγμα ἔχειν ἀπερυθριῶντα καὶ σαυτὸν καταγγέλλοντα. ἀλλ' ἐμαυτὸν ἂν ἔταξα συνηγορήσοντά σοι καὶ προσήγαγον ἄν σε καθάπερ ἰατροῖς τοῖς νόμοις. ἀνόητος μὲν οὖν αὖτις εἶπεν, ὡς συνίστορος Ἰωάννου κατηγορεῖ. σὺ δ' ἂν ἠπίστασο, τἀληθές. ὅτι φειδοῖ καὶ κηδεμονίᾳ τῇ σῇ, τὴν κατηγορίαν εἱλόμην, ἵνα πως ἐν κακοῖς ἄμεινον πράξειας. ἀλλὰ ταῦτα μὲν, εἰ τὸ δίκημα γέγονεν, ὃ μὴ γένοιτο, σοῦ τε ἕνεκα καὶ τῆς πόλεως. ἅπασα γὰρ ἂν εἴη μιαρὰ τῷ φόνῳ, τολμηθέντος αἵματος ὁμογνίου. εἰ δὲ σὺ καθαρὸς τὰς χεῖρας εὑρόμην, εἴη δὲ οὕτως, ἑτέρα τοι μὲν, οἱ ταῦτα συνθέντες ἐπὶ σοί, κἀκείνους δὲ περιμένει τὰ κατὰ γῆς κολαστήρια ὡς οὐχ ἕτερος οὕτω τρόπος θεομισής, ὡς ὁ λογοποιὸς ὁ πλάσσων ἐξ ἀφανοῦς. ἀγεννέστατος γὰρ ὤν, μέγιστα κακὰ διαπράττεται. καὶ λέγεταί τις αὐτοῖς μοῖρα κιναίδοις προσκεῖσθαι. καὶ τὴν ἐν τῇ τέχνῃ τοῦτ' εἶναι τὸ κράτιστον. ἐπεὶ καὶ πρὸς ἄλλα πολλὰ σοφισταὶ γίνονται καὶ εὐμήχανοι. ὥστε αὖ τις ἁλῷ φήμαις περὶ τοῖς οὐκ οὖσι ποιῶν, τοῦτο ἐκεῖνο, μηδὲ ἐπανέρχῃ. μηδὲ δυστάσῃς. ἀλλὰ κἂν στερεώτατος εἶναι δοκῇς, θαρρῶν ἀποφαίνου τὸν ἄνδρα, ἡμίγευσον. αὐτοχρηματιστώτην τοῦ κότυος. σοὶ δὲ ἔξεστιν ἀπὸ τῶν λόγων τούτων, ἀποφῆναι συκοφαντοῦσαν τὴν δόξαν, εἰ σαυτόν τε καὶ τοὺς σοὺς ἐπιδοίης τῇ δίκῃ. εἰπὲ γὰρ εἰσελθὼν ὡς ἐμοῦ κατήγοροί τινές εἰσιν ἀφανεῖς. οἱ προκατεγνωκότες αὐτῶν, ἀξιοῦσι λανθάνειν. κατηγοροῦσι δὲ ὅμως πολλὰ καὶ χαλεπὰ, καὶ κινδυνεύουσι πείθειν ἐνίους. οὕτως εἰσὶν ἐπίβουλοι καὶ δεινοὶ παραδοῦναι λόγον τῇ φήμῃ. καταδιελθὼν τὰς αἰτίας ἐν αἷς ἀκούεις κακῶς γάμον καὶ φόνον ἀνόσιον, ἐπειδὴ σπάταλον εἶναί τινα φασὶ περὶ σοῦ τὸν καταχθέντα κάθετον ἐξεργάσασθαι τὸν φόνον, τοῦτον ἅμα προσάγων δείκνυθι τοῦ

δικαστηρίου

λιπαρῶν καὶ προσαιτῶν, μὴ ἀνεξέταστος ἀπελθεῖν, μηδὲ ἐρή-
μην ἁλῶναι. οὐ γὰρ δὴ κράτιστε τῶν ἡγεμόνων ἐρεῖς δι' ὅτι γραφὴν
εἰς τοὐμφανὲς οὐδεὶς ἀπηνέγκατο, παρὰ τοῦτό σε δεῖ ποιήσασ-
θαι, τὸ μὴ διὰ πάσης ἐλθεῖν βασάνου, μετιόντα καὶ θηρώμενον
τὴν ἀλήθειαν. ὁ διαβεβλημένος ἀπόσταλος, οὗτός ἐστιν. ἔχεις τὸν ἄν-
δρα. χρῶ τῷ σώματι. τοῦτον, ἐπιγέγονε, τήμερον ἀναφανῆναι γὰρ δεῖ
κατήγορον αὐτοῦ τε κἀμοῦ, καὶ μὲν τοσοῦ λέγοντος, μὴ πείθῃ τοί-
σοι, καὶ τοῦθ' ἅλις ἔχει πρός γε ἡμᾶς τοὺς ἀνθρώπους. εἰ δὲ φι-
λάνθρωπός τε εἴη καὶ χαρίσαιτό σοι τὴν περὶ τούτων ἀκρόασιν, ἅ-
πασιν ἐν ταὐτῷ ἐστι τὸ λαμπρῶς ἀπολογήσασθαι καὶ τοὺς λογοποι-
οὺς καταισχῦναί τε καὶ κατασιγάσαι. τὸν γοῦν δὴ ἀπόσταλον τοῦ-
τον, οὐδὲ ἥσει τρυφᾶν. ἀλλὰ καὶ δεθήσεται καὶ κρεμήσεται. καὶ τῷ
πλευρῷ διορυγήσεται. δεινοὶ γὰρ ἐλέγξαι προσποιήσειν οἱ βασα-
νισταί. καί τινες αὐτοῖς ὄνυχές εἰσιν ἐξευρημένοι, συλλογισμῶν
ἐπιστημονικῶν, ἔχοντες δύναμιν. ὥστε ὅτι ἂν ἐκείνων κρατούντων
ἀναφανῇ, τοῦτ' ἔστιν αὐτὸ τἀληθές. ἂν οὕτως ἀπολυθῇς, μηδὲν ἀ-
δικῶν, ἄπει τοῦ δικαστηρίου νενικηκὼς καὶ γαῦρος. ἐναγὴς τε ὢν καὶ
δοκῶν. εἰ δὲ ἐγὼ μὲν εἰσηγησαίμην ἅπερ σοι λυσιτελεῖν οἶμαι, σὺ δὲ οὐ
ποιήσεις, οὐδὲ πρὸς τὸν δικαστὴν πρόσει, τὸ μὲν ἀληθές, εἴ δέ τι καὶ
οἶδεν ἡ δίκη. πάντως ὁ διὰ πάντων ἥκων ὀφθαλμὸς τοῦ θεοῦ, καὶ
λιβύην ἑώρα, καὶ φάραγγα ἐκείνην. καὶ θρόνον ἐκεῖνον. εἴτε τὸν ὄν-
τως. εἴτε τὸν ἐπιποίητον. καὶ τὸν αἱμυλίου δρόμον. καὶ ὅ, τι πέπου-
θε καὶ ὑφεῖς, καὶ ὅ, τι εἶπε, καὶ ὅ, τι ἤκουσεν. εἰ δή τι καὶ εἶπε καὶ ἤκου-
σε. καὶ οἶδεν, ὅτι εἰ καὶ τύχοις μὲν ἀναίτιος σὺ καὶ καθαρὸς τῷ
θεῷ, μήτε πράξας μήτε βουλεύσας ἔργον ἐξάγιστον, ἀλλὰ ἡ-
μῖν γε τοῖς ἀνθρώποις οὔπω καθαρός, ἕως ἀναπολόγητος ᾖς.

οὐ δὲ ἐμβαλοῦμέν σοι δεξιάν. οὐ δὲ ἀπὸ τῆς αὐτῆς σιτησόμεθα. τοὺς αἱμυλίους καὶ ἀλάστορας δὲ δὴ μέν. ἐνθηγαύνων καὶ ἡμῶν, ἐναρμόξῃ τὴν προσβολήν. εἰσὶ καὶ ἡμῖν οἰκεῖαι κηλῖδες. οὐ δεῖ καὶ προσερανίζεσθαι.

Ὀλυμπίῳ.

λ Ὑπουσι τὴν ἐκκλησίαν, ἀλλότριοι πονηροί. διάβηθι κατούτων. οἱ πάτταλοι γὰρ παττάλους ἐκκρούονται.

Ἀναστασίῳ.

ὸ Ὑ δὲ Ἄμασις μὲν καλὸς φύλαξ μὲν ἐπιδακρῦσαι τοῖς Πολυκράτους ταῖς συμφοραῖς, ἃς ἐσομένας προῄδετο. ἀλλ' ἔτι εὐτυχοῦντι κήρυκα πέμψας τὴν φιλίαν ἀπείπατο, δῆλον ἐποίησεν ὅτι κἂν ἐδάκρυσεν, εἰ προὔλαβεν ἡ συμφορὰ τὴν ἀπόρρησιν. σὺ δὲ ἡμῖν, ἕως μὲν οὐ προσεκόπτομεν τῇ τύχῃ, συνέμενες. ἔπειτα συναπῆρας αὐτῇ. λέγει γὰρ ἡ φήμη, διὰ τῶν ἀπὸ Θρᾴκης ἡκόντων, οὐδὲν οὔτε φρονεῖν σε περὶ ἡμῶν οὔτε λέγειν ἐπιεικές. τοῦτο μὲν οὖν, οὐκ ἔστιν ὅλως φιλίαν ἀπειπεῖν. ἀλλ' ἔχθραν ἀντειπεῖν. ἤρκει δὲ εἴπερ ἄρα τὸ μὴ συνανιᾶσθαι. τὸ δὲ καὶ προσανιᾶσαι, τὸ ἔργον δαιμόνων. οὔτε Ἀμάσιδος. οὔτε ὅλως ἀνθρωπίνων. ἀλλὰ σοὶ μὲν ἴσως ὑπὲρ τῶν σεαυτοῦ πραγμάτων ἐσκέπται κάλλιον, τί σοι ποιητέον. μόνον εἰ χαίρων πείσῃ. ἥμισυ γὰρ ἂν εἴη κακόν, εἰ καὶ οἷς πράττω κακῶς, ἡδὺς εἴην τοῖς φίλοις.

Θεοτίμῳ.

ά Ῥύθμος καὶ μέτρον ὀργῆς πεντεπόλεως. ἄνθρωπον οὐ τέχνῃ μετιόντα τὸ λύειν τοὺς νόμους. καίτοι καὶ τὸν οὕτω μετιόντα, μισῶ. καὶ ὁ θεὸς σύνοιδε. καὶ ὁ Διοσκουρίδης. ἀλλ' οὗτός ἐστι νεανικώτερος ἐκείνου τἀνδρός. ὅτου γὰρ ἐπιθυμήσει χρήματος, πρῶτον ἁρπάσας, καὶ ἐφ' ἑαυτὸν ποιησάμενος, ἔπειτα πράττει τὴν

τει τὴν δίκην· καὶ ἂν ἀλῷ τῇ ψήφῳ, κρατεῖ τῇ χειρί. οὕτως ἐποίη σε. πρῴην, ἥρπασε κρόμμιον· ἔγραψα τόπισ αὐτόν· ὁ μὲν, ἤλεγ ξεν· ὁ δὲ, οὐκ ἀπέδωκεν, ἀλλὰ καὶ προσηπείλησε τοῖς δημίοις πληγάς. πρὸς ὃ νεμεσήσας ἐγὼ, καὶ νομίσας οὐκ εἶναι βιώσιμον, ὅπου τινὲς ἰδιῶται χεῖρας ἔχουσι μείζους τῶν νόμων, παρεσκεύα σα λαμπροτάτους ἄνδρας ἕξ αὐτοὺς ἀποφάσει, βοηθῆσαι τῇ κατα στάσει τῆς πολιτείας. εἰ γὰρ προὐχώρησεν αὐτῷ, πολλοὺς ἂν ἐν τοῖς ὀλίγου πέτρους ἐθεασάμεθα. ἐν ᾧ χάριν ἔχω τῷ θαυμαστῷ μαρτυρίῳ, καὶ συνηγωνικότι μάλιστα, καὶ προθυμότατα πάντων ὑπηρετήσαντι. ἀνθ' ὧν ἀγαθὸν αὐτῷ τι γένοιτο παρὰ τοῦ θε οῦ· παρὰ δὲ ἀνθεμίου καλῶς ἂν ἔχοι τὸ μὴ κακόν τι λαβεῖν, εἰ πέ ζος αὐτὸν, ὥσπερ ἠπείλησεν ἀπαιτήσειεν. ἀλλ' ἵνα μὴ γένηται τοῦ το, δέομαι πάνυ δέομαι, σοῦ τε αὐτοῦ, καὶ διὰ σοῦ τοῦ θαυμασίου ἀνδρὸς καὶ φιλοσόφου τρωΐλου κωλῦσαι τὸν ἀλιτήριον ἄν θρωπον τὴν διὰ τῶν νόμων ὑπὲρ τοὺς νόμους ἐλθεῖν. ἐμοὶ καὶ περὶ τῆς πόλεως μέλει, καὶ τοῦ μὴ γεγονέναι φίλῳ συμφορᾶς αἴτιον. τὸ δὲ πῶς ἄν τις συκοφάντης ἀνακοπείη, οὐκ ἐμὸν εὑρεῖν. ἀλλὰ σόν. ὦ πρὸς τὰ καλὰ πάντων σὺ ποριμώτατε.

Πυλαιμένει.

κ Αλῶς ποιεῖς εἰς τὴν ἔχουσάν σε βασιλέα πόλιν ἐπα νελθών. εἰ γὰρ καὶ τοῖς ἰσαύρων ὄρεσιν, ἡ ἀγαθή σοι τύ χη συνῆν, ἀλλ' ἔστιν εὐτυχία παρὰ τὸν τόπον εὐτυχε στέρα. ἐμοὶ δέ τι καὶ ἰδίᾳ διαφέρει, τὸ παραυτά σε πρὸς τῇδε εὖ τὰ βασίλεια. οὗ διατρίβων, καὶ λήψῃ καὶ πέμψεις ἐπιστολάς, τὸ τιμαλ φέστατον ἐμοὶ τῶν ἀπὸ θράκης ἀγωγίμων.

π Λέων καλὰ τῆς Σιμωνίδου συνουσίας Ἱέρων ἀπέλαυσεν, ἢ σιμωνίδης ἱέρωνος. καὶ ναὶ, μὰ τὸν φίλιον τὸν ἐμόν τε καὶ σὸν, οὔτε σὲ πλέον ἐμακάρισα τῆς Ἀνθεμίου τοῦ μεγάλου φιλίας, ἢ τῆς σῆς αὐτὸν ἐκεῖνον τὸν μέγαν ἀνθέμιον. ἀνδρὶ γὰρ ἔχοντι δύναμιν, τί κτῆμα κάλλιον, ἢ φίλος ἦθος ἀκαπήλευτον παρεχόμενος. οἷον ἐγὼ Θεότιμον οἶδα τὴν πραοτάτην καὶ θεοφιλῆ κεφαλήν. ἀλλὰ τοῦτο μὲν σὺ, σιμωνίδου πλέον ποιεῖς. σιμωνίδης γὰρ αὐτὸς ὁμολογεῖ, πρὸς ἀργύριον διαλέγεσθαι. ἐκεῖνο δὲ κοινὸν, ὅτι καὶ σιμωνίδης ἱέρωνα τῇ διαδοχῇ τοῦ χρόνου συνέστησε. καὶ διὰ τῆς θεοτίμου ποιήσεως, ἔστ' ἂν ἕλληνες ὦσι, πολὺς ἀνθέμιος ἐν τοῖς τῶν λόγων διατριβαῖς. ἀλλὰ τὰ μὲν ῥωμαίων, ἐκεῖνος αὔξει. σὺ δὲ ἐκείνου τὸ ὄνομα. ποιητικὴν γὰρ ἔδωκεν ὁ θεὸς ταμιεύειν τὴν εὔκλειαν. ἧς τὸ καλὸν, εἰς σὲ περιήκει.

Τῷ ἀδελφῷ.

α Πέπτωκέ φησί τις Ἰωάννης αἰμύλιον. ἕτερος δὲ, τοὺς πολιτευομένους ἐχθροὺς, ἐπ' αὐτῷ ταῦτα συμπλάσαι. τὸ μὲν οὖν ἀληθὲς, οἶδεν ἡ δίκη. καὶ ὁ χρόνος εὑρήσει. ἐγὼ δὲ καί περ ἀδήλου τοῦ πράγματος ὄντος, οἶμαι δεῖν ἅπαντας ἑξῆς ἀποτροπιάζεσθαι. τὸν μὲν, ὅτι τοιοῦτός ἐστιν, ὥστε εἰ καὶ μὴ πεποίηκεν, ἀλλ' ἐποίησεν ἄν. καὶ τοῖς ἑαυτοῦ τρόποις πρέπουσαν αἰτίαν ἐδέξατο. τοὺς δὲ, καὶ μὴ πλάσαντας, ὅτι συνέπλασαν ἄν. καὶ πρὸς αὐτῶν τὸ ἐγχείρημα. ὡς ἔστιν ἦθος ἀνοίκειον ὑποψίᾳ τινί. κἂν εἰ συνωμόται πολλοὶ μαρτυροῖεν, οὐδὲν αὐτοῖς ἔσται πλέον εἰς πίστιν. οἷον εἴ τις ἑταιρήσεως διώκοι τὸν αἴαντα, γέλως ἂν εἴη πλατύς. ὁ δὲ ἀλέξανδρος, εἰ μὴ θῆλυς, ἀλλὰ θηλυδρίας γε ἦν. καὶ τὴν αἰτίαν ἐχώρει.

τὸν οἷον

τὸν σίσυφον δὲ καὶ τὸν ὀδυσσέα, μισῶ. καὶ γὰρ εἴ τι λέγοιεν ἀληθές, ἀλ-
λὰ τοιοῦτοί γε ἦσαν, οἷοι τὰ πλείω, ψεύδεσθαι. ἐγὼ δὲ οἷς ἐντυχὼν λί-
αν εὐτυχῶ, πολιτῶν τοιούτων ἐχθρῶν καὶ φίλων στερούμενος. δια-
πεπείσθω μοι τὰ πρὸς ἀπόντας. οὐδὲν ἐμοὶ πρὸς ἐκείνων δεῖμα.
ξένος ἐν ξένοις βιώσω. ὁ τρόπος ἡμᾶς πρὸς τοῦτον τόπον διῴκισεν. ὀδύ-
ρομαι δὲ τὸ κλεινὸν ἔδαφος τῆς κυρήνης ὃ, πάλαι μὲν εἶχον καρ-
νεάδαι τε καὶ ἀρίστιπποι. νυνὶ δὲ ἰωάννης τε ἰούλιοι, μεθ' ὧν οὐκ εὐκαί-
ρως γενόμενος, εὐκαίρως ἀποδημῶ. σὺ δὲ ἀλλὰ μὴ δὲ γράφειν
ἔτι μοι περὶ τῶν ἐκεῖθεν πραγμάτων τινός. μὴ δὲ συνιστάναι τοὺς
ἔχοντας δίκας. οὐ γὰρ ἂν ἐπιδοίην ἐμαυτὸν, ἔτι τούτων τινί. ἀτυ-
χέστατος μὲν τ' ἂν εἴην, εἰ τῶν μὲν ἀγαθῶν, τῆς φιλτάτης πατρί-
δος στεροίμην, μετέχοιμι δὲ αὐτῆς λοιπῶν καὶ πραγμάτων, ἀφελ-
κόντων με τῆς ἐν φιλοσοφίᾳ ῥᾳστώνης. καὶ πενίαν δ' ἐξ ἀπραξίας
ὡς κέρδος ἑλόμενος, τὰ ἀλλότρια κακὰ προῖκα περιεργάσωμαι.

Τοῦ αὐτοῦ.

ἀ Ῥᾷστον ἐκ φυκοῦντος ἀρχομένης ἕωας, δείλης ὀψίας
τῷ κατ' ἐρυθρὰν κόλπῳ προσέσχομεν. ἐνδιατρίψαντες δέ,
ὅσον ὕδωρ πιεῖν καὶ ὑδρεύσασθαι, πηγαὶ γὰρ ἐπιπολῆς ἐκδιδόασι τὴν ῥό-
μα καθαροῦ καὶ ἡδίστου νάματος, ἐπιπνευσάντων τῶν ἀρκτῴων, αὖθις ἀ-
νήχθημεν. πνεύματι δὲ χρησάμενοι μετρίῳ μὲν, ἀλλ' ἐκ πρύμνης ἀεὶ,
καὶ μέγα οὐδὲν ἐφ' ἑκάστης ἡμέρας ἀνύειν ἐλπίσαντες, ἐλάθο-
μεν ἐξηνυκότες ὅσον ἔδει. καὶ πεμπταῖοι τὸν, τεφρυκὸν ἰδόντες,
ὃν αἴρουσιν ἀπὸ πύργου τοῖς καταπλέουσιν σύνθημα, θᾶττον,
ἢ λόγος ἀποβιβασθέντες ἦμεν ἐν τῇ νήσῳ τῇ φάρῳ. λυπρὰ δὲ ἡ
νῆσος, ἐν ᾗ μήτε δένδρον ἐστὶν αὐτοφυὴς, μήτε κῆπος. αἰγιαλές τινές.

Τῷ αὐτῷ.

ή Κἂν τὶς ἀθήνηθεν λέγεται κρηπίδων πώλης ἄνθρωπος πόρρου μοι δοκεῖς καὶ περιττὸν ἐωνῆσθαι τὰς ἀναζητήτους ἐμβάδας. νῦν δέ φασιν αὐτὸν ἐπὶ μεῖζον ἐμπορεύεσθαι κομίζοντα στολὰς ἀττικουργεῖς. σοί τε θέριστρα πρέποντα καὶ ἡμῖν ἀναβολὰς εἰς τὴν ὥραν τοῦ ἔτους. πρὶν ἂν οὖν ἅπαντας φθάσειεν ἀποδόμενος, ἢ τάς γε καλλίονος ἐργασίας, οἱ γὰρ πρῶτοι τυγχάνοντες, οὐχ ὑπὲρ τῶν κατόπιν, ἀλλ᾽ ὑπὲρ ἑαυτῶν δήπουθεν ἀξιοῦσι βουλεύεσθαι, εἰσκάλεσαι τὸν ξένον, καὶ πρίω μοι τρεῖς ἢ τέτταρας τῶν ἀναβολῶν. πάντως ὅτι ἂν ὑπὲρ γε τιμῆς καταθῇς, παρ᾽ ἐμοῦ σοι πολλαπλάσιον κείσεται. Τῷ αὐτῷ.

Ἦκος ἐπιστολῆς ἀνοικειότητα κατηγορεῖ τοῦ διακομί-

μ ζοντος. ἀλλ᾽ ὁ θαυμαστὸς ἀκάκιος, οἶδε μὲν ὅσα κἀγώ, ἐρᾷ δὲ καὶ ὧν οἶδε πλείονα, γε, τε σὸς ἐραστὴς εἶναι. καὶ τὴν γλῶτταν ἔχειν νικῶσαν τὰ πράγματα. ὥς τε τὴν ἐπιστολὴν γε νόμῳ τοῦ προσειπεῖν σε πλέον, ἢ τῇ χρείᾳ χαρίζομαι. τὸ δὲ ἐπαγγελλαί σοι περὶ τοῦ υἱοῦ διοσκορείου, τοῦτο μὲν ὡς ὑγιαίνει. τοῦτο δ᾽ ὡς ἀναγινώσκει, ᾗ προσήκει τοῖς βιβλίοις, τοῦτο γε ἐπιστολῆς ὑπαρχέτω τιμή. ἡμεῖς δὲ αὐτῷ, συμμοιρίαν ἀδελφῶν παρεχόμεθα. προσθέντες Ἡσυχίῳ ζεῦγος ἀδελφῶν ἀρρένων οὓς εὐτυχεῖς ποιήσειεν ὁ θεός, αὐτοῖς τε καὶ ἀδελφοῖς· καὶ γονέων οἴκῳ, καὶ λοιπῷ γένει, καὶ ταῖς πατρίοις πόλεσι. Τῷ αὐτῷ.

σ Υχνοὶ παρ᾽ ἡμῖν καὶ ἰδιῶται καὶ ἱερεῖς, πλαττόμενοί τινας ὀνείρους, οὓς αὐτοὶ καλοῦσιν ἀποκαλύψεις, ἐοίκασιν ὑπὲρ μοι δώσειν κακόν, ἂν μὴ τάχιστα τὰς ἱερὰς ἀθήνας καταλαβεῖν μοι γένηται. ὁσάκις ἂν οὖν ἐντυχεῖν σοι γένοιτο, ναυκλήρῳ πειραϊ-

κῷ γρα-

κῷ, γράφε πρὸς ἡμᾶς· ἐκεῖ γὰρ ἐντευξόμεθα ταῖς ἐπιστολαῖς. ὀνήσομαι δὲ οὐ μόνον τοῦτο περὶ ἐπὶ τὰς Ἀθήνας ὁδοῦ, τὸ τῶν παρόντων ἀπηλλάχθαι δεινῶν, ἀλλὰ καὶ τὸ μηκέτι τοὺς ἐκεῖθεν ἥκοντας ἐπὶ λόγοις προσκυνεῖν. οἳ μηδὲν ἡμῶν τῶν θνητῶν διαφέρουσιν. οὔκουν εἰς σύνεσιν γε τῶν Ἀριστοτέλους καὶ Πλάτωνος. ἀναστρέφονται δὲ ἡμῖν, ὥσπερ ἐν ἡμιόνοις ἡμίθεοι. διότι τεθέανται τὴν Ἀκαδημίαν καὶ τὸ Λύκειον· καὶ τὴν ἐν ᾗ Ζήνων ἐφιλοσόφει ποικίλην, νῦν οὐκέτ' οὖσαν ποικίλην. ὁ γὰρ ἀνθύπατος τὰς σανίδας ἀφείλετο· ἔπειτα ἐκώλυσεν αὐτοὺς ἐπὶ σοφίᾳ μεῖζον φρονεῖν.

Τῷ αὐτῷ.

ἐ Λυσας τὸ πρυμνήσιον· κἀγὼ τὰς ἡμιόνους ἔστησα παρὰ τὴν ζεφυρεῖτιν ἠϊόνα. τῆς ἀπήνης δὲ ἀποβαίνοντος, ἤδη σοι τὸ ἱστίον ἦρτο· καὶ κατὰ πρύμναν ὁ ἄνεμος. ἀλλὰ τοῖς γε ὀφθαλμοῖς ὑμᾶς ἐφόσον ἐξικνοῦντο προύπεμψα, καὶ τἄλλα τοῖς ἀνέμοις ὑπὲρ τῆς ἐρωμένης ψυχῆς διείλεγμαι, συνιστὰς αὐτοῖς τὸ σκάφος, ὅτι μοι τὸ τιμαλφέστατον φορτίον πεπίστευτο. οἱ δὲ, ὃ γάρ εἰσιν ἀνέρασοι τοῦ καλοῦ, ὑπέσχοντό μοι τὴν σὴν κομιδήν τε καὶ ἀνακομιδήν. τοῖς μὲν οὖν ἀγαθοὶ δαίμονες ὄντες, ἐκεῖνοί τε ψεύσαιντο. σὺ δὲ ὡς περὶ αὐτῶν ἐδεήθης ἐντεῦθεν, ἐκεῖσε πορθμευομένων, δεήθητι κἀκεῖθεν ἐνθάδε· πολὺ γὰρ ἂν ἡδίους τότε σοι παραγένοιντο.

Τῷ αὐτῷ.

α Δικαιοῖς με ὦ θεία καὶ ἱερὰ κεφαλή· ψυχὴν ἁπλῆν ἐν τῇ συνηθείας ἁλώσιμον, ὃς εἴσω μὲν εἰς τὸ διαφερόντως ἀγαπᾶν σέ τε καὶ τὴν ἀδελφιδῆν, ἀφελόμενος δὲ σαυτοῦ τε καὶ τῆς ἀδελφιδῆς. ἐκείνην μὲν οὖν ἔχων, διπλῆν ἐθεώμην εἰκόνα· καὶ παρῆν μοι διὰ τῆς νεάνιδος ὁ θεῖος αὐτῆς. νῦν δὲ, ἅπαντα τὰ φίλα φροῦδα· καὶ μέμφομαι τῇ φύσει, διὰ τὴν ἀμετρίαν περὶ εἰς τὸ ἀδικεῖσθαι

ξοντες· ἢ ἔτι φιλοσοφίας ὄφελος, εἰς ἀῤῥενωπότερον ἀνακλήσου/μεν καὶ τοῦ λοιποῦ σφενδαμνίνῳ μᾶλλον ἢ ἀκλινεστέρῳ συνέσεσθε.

Κατὰ Ἀνδρονίκου.

α. Οἱ κακοποιοὶ δυνάμεις ἐν κόσμῳ, συντελοῦσι μὲν τῇ χρείᾳ τῆς προνοίας. κολάζουσι γὰρ τοὺς ἀξίους κολάζεσθαι, εἰσὶ δὲ ὅμως θεομισεῖς τε καὶ ἀπρόσιτοι. ἑτέρῳ γάρ φησιν ἔθνος ἐφ᾽ ὑμᾶς ἀφ᾽ οὗ πείσεσθε τόσα καὶ τόσα. ἢ τελευτῶν, αὐτοῖς ἐκείνοις, οἷς ἐπιτρέψω, φησὶν ἐπεξελεύσεσθαι, ὅτι παραλαβόντες ὑμᾶς οὐκ ἠλέησαν. οὐδὲ ἀνθρωπίνως ἐχρήσαντο. αὐτοὺς μὲν γὰρ οὐκ ἐξεμελέτησα τὰς ἱερὰς συλλαβάς. ἰχνεύζομαι δὲ, ὥς ἐστιν, οὗ τῶν βιβλίων ὁ θεὸς ταῦτα λέγων πεποίηται. καὶ οὐκ εἶπε μὲν οὕτως. οὐκ ἐποίησε δὲ, ἀλλὰ βαβυλώνιος βασιλεὺς, ἱερουσαλὴμ μὲν τὴν πόλιν κατέσκαψε. τὸ δὲ ἔθνος, ἠνδραπόδισατο. ὁ δὲ αὐτὸς οὗτος, οὐκ εἰς μακρὰν ἐμεμήνει. καὶ γέγονε δίκη θεοῦ ἐξερημωθῆναι τὴν πόλιν, ὥς εἰ καὶ γέγονεν ἐν τῷ τὸ ἄστυ πόλις, ἀπεσκηνῶσθαι. ἆρα τολμητέον ἐρέσθαι θεόν; διατί σὺ μὲν αἰτίζεις ἄνδρας, ἐπὶ τοὺς ἡμαρτηκότας σοι τιμωρούς. ὅταν δὲ ὑπηρετήσωσι τῷ θείῳ βουλήματι, καὶ γένωνται δήμιοι τούτοις, ἐφ᾽ οὓς καταπέμπονται, δέον ἐκτίσαι χάριν τῆς ὑπουργίας τότε δὴ μάλιστα καὶ κολάζονται. ἀλλ᾽ ἢ κεκίνηκεν ἡμᾶς εἰς ἀπόκρισιν ὧν αὐτοῦ πυνθανόμεθα. Ἐπειδὴ παρὰ βεβλαμμένους τῇ δὲ τοῦ θείου νόμου, παρῆλθεν εἰς ἀνθρώπους κακά. τὰ δὲ κακοποιὰ διαφερόντως κακά. περιουσία γὰρ φύσεως καὶ δραστήρια γίνονται. ἐπεὶ δὲ οὐχ ἅπαξ γέγονε τὰ κακὰ, τῆς θείας σοφίας καὶ ἀρετῆς καὶ δυνάμεως ἔργον ἐστὶν, οὐ μόνον τὸ ἀγαθοποιεῖν, φύσις γὰρ ὡς εἰπεῖν αὕτη θεοῦ, ὡς τοῦ πυρὸς τὸ θερμαίνειν, καὶ τοῦ φωτὸς τὸ φωτίζειν, ἀλλὰ κἀκεῖνο μάλιστα τὸ διὰ κακῶν ἐπιγονησάντων

πρὸς

πρός τινων, ἀγαθόν τι καὶ χρηστὸν τέλος ἀποπλέων, καὶ ὠφελίμως
τοῖς δοκοῦσι φαύλοις χρῆσθαι. καὶ παρὰ σοφίας ἐστὶν εὐμηχάνου,
καὶ τοῖς κακοῖς ἐν δέοντι χρήσασθαι. ὅταν οὖν δέηται κολαστῶν,
χρῆται νῦν μὲν ἀγγελάρχαις ἀπειθῶν, δαίμοσι· νῦν δὲ ὧν ἔργα λοι-
μοί· καὶ νῦν μὲν ἔθνει βαρβάρων· νῦν δὲ ἄρχοντι πονηρῷ, καὶ κα-
θάπαξ εἰπεῖν, τοῖς ἐπιτηδείοις εἰς τὸ κινῆσαι κακά, δημοσίαις
φύσεσι. μισεῖ δὲ ὅμως αὐτάς, ὅτι πρὸς τοῦτο γεγόνασιν ἐπι-
τήδειοι. οὐ γὰρ ἐποίησεν ὁ θεὸς ὄργανα συμφορῶν· ἀλλ' ὑφ' ἑαυ-
τῶν εἰς τοῦτο τὰ χρεῖσιν ἑτοίμως ἐχρήσατο. καὶ διότι πρὸς τοῦτο
οὐ γέγονας χρήσιμος, αὐτὸ τοῦτ' ἐστίν, ὃ καὶ παντάπασιν ἀποικό
πῆ τοῦ θεοῦ. οὕτω καὶ σκεῦος τὸ μὲν ἄτιμον· τὸ δέ, τίμιον ἐστί τε καὶ
νομίζεται. κρίνεται γὰρ ἑκάτερον πρὸς τὴν τινα χρείαν παρέχε-
ται. τράπεζα μέν, ἱερὸν χρῆμα. διὸ ὁ θεὸς τιμᾶται φίλιός τε
καὶ ξένιος. καὶ τὸν Ἀβραὰμ ἡ φιλοξενία, θεοῦ πεποίηκεν ἑστιάτο-
ρα. μάστιξ δὲ ἀποτρόπαιον. θυμῷ γὰρ ὑπηρετεῖται. καίτοι ἤδη
χρησάμενος αὐτῇ, μετενόησε. τῶν μέντοι κολαζομένων ὁ θεὸς
κήδεται. οὐδὲ γὰρ οὐδὲ τοῦτο μικρόν, ἐπισκοπῆς ἀξιωθῆναι θε-
οῦ, καὶ καθαρθῆναι διὰ δίκης τὰ ἁμαρτήματα. αἱ δὲ τιμωροὶ
φύσεις, αἱ παντάπασιν ἀπόστροφοι τοῦ θεοῦ. τὸ γὰρ ἀφανιστικόν,
τῷ δημιουργῷ δήπου πολέμιον. οὐ γὰρ οὐδὲ διαλύεται τὴν ζη-
μίαν ὁ τιμωρός. ἢ δαίμων, ἢ ἄνθρωπος, ὡς λειτουργίαν τινά, ταύ-
την εἰσφέρων θεῷ. ἀλλὰ τῇ μοχθηρίᾳ τῆς φύσεως χαριζόμενος
ταῖς κοιναῖς συμφοραῖς ἐπεξέρχεται. οὐ τοίνυν ἐπειδὴ δυστυχεῖν
ἔδει τὴν πόλιν, σὺ δὲ τοῦτ' εἰργάσω, παρὰ τοῦτό σε δεῖ διαδρᾶ-
ναι τὴν δίκην. ταύτην γὰρ αὖ τὴν ἀπολογίαν καὶ Ἰούδας ἀπελο-
γήσατο. ἔδει γὰρ ὑπὲρ τῶν ἁπάντων ἁμαρτίας σταυρωθῆναι χριστόν, ἀλ-

λέγεται μὲν φησιν· οὐαὶ δὲ, δι' οὗ γίνεται, καὶ καλὸν ἦν τῷ ἀνθρώπῳ
εἰ μὴ ἐγένετο. οὐκοῦν τὸ μὲν ὁρώμενον, ἀγχόνη τὴν προδοσίαν αὐ
τοῦ διεδέξατο· τὸ δὲ οὐχ ὁρώμενον, οὐδ' ἂν ἐπινοήσειέ τις. οὐ γάρ
ἐστιν ἐπίνοιαν ἀνθρώπου χωρῆσαι, τίνα γένοιτ' ἂν τῷ χριστοῦ προ
δότῃ τὰ κολαστήρια. τὸ γὰρ δὴ γενέσθαι ὑπηρετῆσαι τῷ χρι
στὸν, οὐκ ἀστείας ἀπολογίας ἐστί. δεῖ τοίνυν ὅσον οὐδέπω καὶ αὐσου-
ρανοὺς καὶ ἀνδρόνικον, ὑπὲρ ὧν εἰς ἡμᾶς εἰργάσαντο, δίκην ἀ-
ξίαν κομίσασθαι. καὶ γὰρ τὴν ἀκρίδα τὴν λυμηναμένην ἡμῶν
τοὺς καρπούς, ἣ μέχρι μὲν καλάμης τὸ λήιον, μέχρι δὲ φλοιοῦ
τὰ φυτὰ δαπανήσασαν, καταποντιστὴς ἄνεμος ἄρας, ὥσπερ εἰς
μέσον τὸ πέλαγος. ταύτῃ μὲν οὖν τῇ πληγῇ, τὸν μόνον ἀντέτα-
ξεν ὁ θεός. καὶ ἐπ' αὐσουρανοὺς ἤδη τις ᾕρηται παρ' αὐτοῦ στρατηγός.
ὃς εἴη γε τοῦ νῦν ἡμῖν εἰρημένου, τῶν παρ' αὐτοῦ πώποτε στρατηγῶν, εὐ
σεβέστατόν τε καὶ δικαιότατον. τοῦτον ἰδεῖν τῷ κατ' αὐτῶν τροπαίῳ,
μακαρίσαι μοι γένοιτο. μακάριος γάρ φησιν, ὃς ἀνταποδώσει τὸ ἀν
ταπόδομα αὐτῆς. μακάριος ὃς ἐδαφιεῖ τὰ νήπια αὐτῶν πρὸς τὴν
πέτραν. τίς δὲ ἄρα τίς ὄλεθρος περιμένει τὸν παλαμναῖον τῶν χώ
ρας ἀνδρόνικον. τίς ἀξία γένοιτ' ἂν δίκη, ψυχῆς κακοεργάτιδος. ὡς
ἐμοὶ τῶν πληγῶν ἁπασῶν αἷς μετῆλθε τὰς ἁμαρτίας ἡμῶν ὁ θε-
ὸς, ἀνδρόνικός ἐστι μακρῷ πάντων βαρύτερος. πρὸς γὰρ ταῖς κοι-
ναῖς συμφοραῖς, οὗτος ἐμὸν ἦν κακὸν ἴδιον. διὰ τοῦτον μέτεισιν
ὁ πειράζων, ἵνα διαπτύσω τοῦ θυσιαστηρίου τὴν λειτουργίαν. ἐ
πανακτέον δέ μοι μικρὸν αὖθις τὸν λόγον. ἴσως ἴστε, προσθεὶς ἃ
μὴ παρῆλθες πρόσκειται, ἀκόλουθον ὑμῖν τὴν διδασκαλίαν τῶν
περὶ ἐμὲ πραγμάτων ποιήσωμαι. ὅτι γὰρ πρὸς τὰ μετὰ ταῦτά μοι
καλῶς ἔχει τούτων ὑμᾶς ἀκροατὰς μοι γενέσθαι. ἐμοὶ παιδόθεν
παρέστη

παρέστη θεῖον ἀγαθὸν εἶναι, σχολὴ καὶ τὸ ζῆν εὐμάρεια. τοῦθ' ὃ, ταῖς θείαις φύσεσι προσήκειν ἴσως ἔφη. αὐτὸ τοῦτ' εἶναι, τὸ τὸν νοῦν ἐκτρέφειν καὶ συνεῖναι τῷ θεῷ, τὸν ἔχοντά τε αὐτὴν καὶ κατὰ τοῦ μόνον. ὅσα δὴ ποιεῖν ἐστιν ἢ γίνεται πράγματα, τούτων ἐλάχιστον ἐγὼ μετέσχον καὶ ὅσα μειρακίοις. καὶ ὅσα νέοις. καὶ εἰς ἄνδρα παραγγείλας, οὐδέν τι παιδαγωγείου πρὸς ἀπραγμοσύνην παρήλλαξα. ἀλλ' ὥσπερ ἐν πανηγύρει σεμνῇ διεξάγων τὸν βίον, διὰ πάσης ἡλικίας, ἵλεω καὶ ἀκύμαντον τῆς ψυχῆς ἐτήρησα τὴν διάθεσιν. οὐ μὴν διὰ τοῦτο αὐτοῖς ἀσυντελῆ με πεποίηκεν ὁ θεός. ἀλλὰ πολλάκις ἡμῖν καὶ ἰδιῶται καὶ πόλεις εἰς δέον ἐχρήσαντο. ἐδίδου γὰρ ὁ θεὸς, δύνασθαί τε τὰ μέγιστα καὶ τὰ κάλλιστα βούλεσθαι. τούτων οὐδὲν ἐμὲ φιλοσοφίας ἀφεῖλκεν. οὐ δὲ τὴν εὐδαιμονίαν μοι σχολὴν ὑπετέμνετο. τὸ γὰρ ὠθισμῷ καὶ μόχθῳ καὶ μόλις ποιεῖν, τοῦτό ἐστιν ὃ δαπανᾷ τὸν χρόνον. καὶ τὴν ψυχὴν ἐμβαπτίζει μερίμναις πραγμάτων. ὅτῳ δὲ εἰπεῖν μόνον καθήκει, ἡ πειθὼ δὲ ἕπεται, καὶ ὁ λόγος ἀνυσιμώτατός ἐστι παρὰ τοῖς ἀκούουσι, τίς φειδὼ ῥημάτων, ἵνα δυστυχίας τις ἐλευθερωθῇ. τίμιον ζῷον ὁ ἄνθρωπος. τίμιον γὰρ εἰ δι' αὐτὸν ἐσταυρώθη χριστός. ἐμοὶ δὲ τὸ πείθειν ἀνθρώπους εἰς τὸν μέχρι τοῦ παρόντος ἐνιαυτὸν, τάχα μὲν θεῖος κλῆρος ἐγένετο. τάχα δὲ μόλις πραγμάτων ἀπήμονος, ἐπετύγχανον. νῦν γὰρ δὴ τὸ πρᾶγμα ἔοικεν ἐξεληλέγχθαι μετὰ πολλῶν, ἅτινα σαφῶς ἦν τοῦ θεοῦ, καὶ τοῦτ᾽ ἀνετίθουν αὐτῷ. καὶ ἔζων μετὰ ἀγαθῶν τῶν ἐλπίδων, ὥσπερ ἐν ἱερῷ περιβόλῳ τοῦ κόσμου, ζῷον ἄφετον ἀνειμένον ζῶν εὐχῇ καὶ βιβλίῳ καὶ θήρᾳ μερίζων τὸν βίον. ἵνα γὰρ ὑγιαίνῃ ψυχή τε καὶ σῶμα, τὸ μέν τι δεῖ πονεῖν. τὸ δὲ, αἰτεῖν τὸν θεόν. μετὰ τοιαύτης εὐμαρείας εἵλκυσα τοὺς ἐνι-

αὐτούς, τοὺς μέχρι τῆς ἱερωσύνης αἱρέσεως. πρὸς μὲν ἐγὼ παρὰ τοὺς πώποτε ἀδελφότατος γέγονα. μαρτύρομαι τὸν ἐπὶ πᾶσι θεὸν ὃν οὐ δι᾽ ὑμᾶς ἐγὼ τὰς ἀπορρήτους ἐβάστασα τελετάς, δίχα τῶν ἀνθρωπίνων περιόδων τε καὶ σπουδῶν, αὐτὸς κατὰ μόνας ἐν τοῖς ἄλλοις καιροῖς τε καὶ τόποις προσῆλθον θεῷ. καὶ πρηνὴς καὶ γονυπετὴς ἱκέτης γενόμενος, θάνατον ἀντὶ ἱερωσύνης ᾑρούμην. αἰδὼς γάρ τις με καὶ φιλία κατεῖχε τῆς ἐν φιλοσοφίᾳ σχολῆς, ὑπὲρ ἧς ἅπαντα δεῖν ᾤμην ποιεῖν τε καὶ λέγειν. ἀλλ᾽ ἐπειδὴ τῶν μὲν ἀνθρώπων ἐκράτουν, τοῦ θεοῦ δὲ ἡττώμην, ὡς κοινὴ φήμη, τὸν ἀξιούμενον εἶναι συνώριμον θεοῦ, ἔφερον, ἀλλὰ δυσηνιάστως τὴν καινοτομίαν τοῦ βίου. δρασμῷ δὲ ἐπιθέμενον, ἐλπὶς ἀγαθῶν καὶ φόβος χειρόνων ἀνέκοψε. καὶ λεγόντων ἤκουσα γερόντων ἱερῶν ὅτι με θεὸς ποιμαίνει. καί τις ἐπὶ λέξεως εἶπεν, ὡς ἱλαρόν ἐστι τὸ πνεῦμα τὸ ἅγιον. καὶ ἱλαρύνει τοὺς μετόχους αὐτοῦ. καὶ προσέθηκεν, ὡς ἠμφισβήτησαν ἡμῖν πρὸς θεὸν δαίμονες, οὓς λυπῶ προσχωρήσας τῇ μερίδι τῇ κρείττονι. ἀλλὰ κἄν τι προσβάλλωσι χαλεπόν, οὐκ ἀμελεῖ ταῦτά φησι φιλόσοφος ἱερωμένος. ἐγὼ μὲν οὖν, οὐ γὰρ ῥᾴδιός εἰμι χαυνωθῆναι καὶ λαμπρόν τι λογίσασθαι περὶ ἐμαυτοῦ, τὴν ἀτυχίαν ᾐτιασάμην. ἀλλ᾽ οὐχ ὑπὸ φθόνου δαίμονος. τί δέ; οἶμαι καί μοι προσῆκεν ἀρετήν; ἥτις ἂν τοὺς βασάνους ἐκίνησεν. ἀλλ᾽ ἐφόβει μὴ μᾶλλον δίκας ὄφλοιμι τὸ παρ᾽ ἀξίαν ἅψασθαι μυστηρίων θεοῦ. καὶ ταύτην τὴν ἀτυχίαν ἐμαντευόμην, εἰς μὲν τὸ κατὰ μικρὸν ὤλισθον· ἀλλὰ παρῆν ἐνθάδε. καὶ τὰ δεινὰ πάντα πρὶν ἦν. καὶ χορηγὸς πάντων Ἀνδρόνικος δαίμων ἀρήϊος ἄπληστος συμφορῶν. τῷ τέλει τοῖς λαψάνοις ἐγκείμενος. ἐσπάραττε χθὲς ἀγορὰ ἀνδρῶν οἰμωγαί. γυναικῶν ὀλολυγαὶ παίδων ὀλοφυρμοί. ὅλην μὲν τελείαν λώβην αὐτῇ περιτέθεικεν. ἧς τὸ κάλλιστον μέρος ἀποτεμόμενος, πίστεως χωρίον ὀνομασθῆναι γέγονεν αἴτιος,

τὴν στοάν

τὴν στοὰν τὴν βασίλειον τὸ πάλαι κειμήλιον, ἀποδείξας βασανι-
στήριον, ταύτην δαίμοσι ποινίμοις, οἷς ἑαυτὸν ἄρας προσένειμε
βωμὸν καὶ τράπεζαν παρέθηκεν. ὢ πόσοις αὐτοὺς πολιτῶν ἑστία-
σε δάκρυσι. ποῖοι ταυροσκῦθαι, τίνες λακεδαιμόνιοι, τοσούτω
τῷ διὰ τῶν μαστίγων αἵματι τὴν παρ' αὐτοῖς ἐτίμησαν ἄρτεμιν.
δρόμος ἁπάντων οὐδεὶς ἐπ' ἐμέ. καὶ πανταχόθεν οὐδεὶς ἐβαλλό-
μην, ἀκοῇ τε θέα κακῶν. νουθετήσας, οὐκ ἔπεισα. ἐπιτιμήσας,
ἠρέθισα. ὁ πονηρὸς καιρὸς, ἤλεγξεν ἡμῶν τὴν ἀδυναμίαν, ἣν μέ-
χρι νῦν ἔκρυπτεν ἀπὸ τῶν ἀνθρώπων θεός. συγχωρουμένων γὰρ ἀεὶ
τιμὴν καρπωσάμενος, παρέχον ὑποψίαν τῆς πατρίδι δυνά-
μεως. καὶ τοῦτο τὸ χαλεπώτατον τῶν συμβεβηκότων ἐστί μοι.
πρὸς γὰρ τὴν ἐλπίδα τῶν ἠγνοηκότων μεκρίνομαι. οὐδὲ γὰρ πεί-
θω λέγων αὐτοὺς ὡς οὐ δύναμαι. ἀλλ' ἀξιοῦμαι πάντα τὰ δίκαια
δύνασθαι. περίεστιν οὖν αἰσχύνεσθαι καὶ λυπεῖσθαι. πάθος οὐδὲν ἐν
ψυχῇ. καὶ ποικιλία φροντίδων. καὶ εἰδωλοποιΐα πραγμάτων.
ἢ μακρὰν ὁ θεὸς εὐδαιμόνων εἰσὶ προσβολαὶ τὰ γινόμενα δι' ἀνδρονί-
κου, πάντ' ἐποίησαν ὅσον ἐβούλοντο. οὐκέτι τῆς συνηθείας ἐν εὐχαῖς γλυ-
κυθυμίας ἡδόμην. ἀλλὰ τὸ μὲν σχῆμα, οὐχ ἧσσον. ἐγὼ δὲ καὶ περιη-
νέχθην ἀπανταχοῦ τῶν πραγμάτων, ὀργῇ καὶ λύπῃ καὶ πᾶσι
πάθεσι μεριζόμενος. καί τοι διὰ νοῦ τῷ θεῷ συγγινόμεθα. γλῶτ-
τα δὲ ἀνθρώποις τὰ πρὸς ἀνθρώπους ὑπηρετεῖ. εἰ τοίνυν ἐν εὐχαῖς
ἀπροσεξίαν ἠτύχηκα καὶ παραπόδας ἡ πεῖρα, τῆς γέ τοι τοῦ βίου
μεταβολῆς οὐ ταύτῃ μόνον εἰς κακὸν ἀπολέλαυκα, ἐξ ἀπροσε-
ξίας εὑράμενος πράγματα, ἀλλ' ἄπενθος τὸ μέχρι πρώην δια-
γινόμενος, νεκρὸν ἐπεῖδον, οὗ προαποθανεῖν ηὐχόμην. οὕτω πι-
κροῖς ἡμᾶς ἡ πόλις ἐπιβατηρίοις ἐξένισεν, ὡς ἅμα τοῖς ἀνθρώ-

ποις τοῖς πράγμασι νῦν μὲν αὐτοῦ, νῦν δὲ κάτω χωρῶν· καὶ ῥοῦς ἤ-
ρει φέρων ἀθρόα πολλά, νῦν μὲν αἴσια, νῦν δὲ ἀπαίσια. ἀλλ' ἐπει-
δή μοι συνέπεσεν ἀποβαλεῖν τῶν παιδίων τὸ φίλτατον, καὶ ἠργα-
σάμην αὐτὸς τι δεινὸν ἐμαυτόν, οὕτως ἑαλώκειν τοῦ πάθους. ἐγὼ
γ' οὖν τὰ μὲν ἄλλα ἄρρην εἰμί. λέγω δὲ ἐν εἴδεσι. καὶ πολλὰ δοῦλα
τοῦ λόγου· συνηθείας δὲ οὕτω κρείττων, ὡς ταύτῃ κρατεῖν τὴν ἀλο-
γίαν τοῦ λόγου. οὔκουν οὐδὲ τοῖς ἐκ φιλοσοφίας δόγμασι τοῦ πα-
ρόντος πάθους ἐκράτησα. ἀλλ' ἀνδρόνικος αὐτὶ περιήγαγε· καὶ
πρὸς ταῖς κοιναῖς συμφοραῖς τὸν νοῦν ἔχειν ἐποίησε. καὶ γεγόνασί
μοι συμφοραὶ παραμυθίαι τῶν συμφορῶν. πρὸς ἑαυτὰς ἀνθέλ-
κουσαι· καὶ πάθος ἐκκρούουσαι. συνεπιτίθεται δή μοι τῇ πικρᾷ
τῶν παρόντων αἰσθήσει, μνήμη τῶν παρελθόντων ἀγαθῶν, δι' ἣν οἵ-
ων ἄρα, ἐν οἵοις γεγόναμεν. καὶ ζῶ πονηρῶς ἅμα πάντων ἀφῃρη-
μένος. τὸ μὲν οὖν μέγιστον τῶν κακῶν, ὅ μοι τὸ δύσελπιν εἶναι τὸν
βίον ποιεῖ, οὐκ εἰωθὼς ἀποτυγχάνειν ἐν ἱκεσίαις θεοῦ, νῦν πρῶτον
οἶδα μάτην εὐξάμενος. εἶτα τὴν μὲν οἰκίαν, καλῶς πράττου-
σαν ὁρῶ. τὴν δὲ πατρίδα δυστυχοῦσαν, οἰκεῖν ἀναγκάζομαι. τοῦ-
σι δ' ἐκκείμενος ἐφῶ προσανακλάεσθαι, καὶ τὰ κατ' αὐτὸν ἑκα-
στον ὀλοφύρεσθαι, ἔλεον αὐτοῖς ἀνόνητον ἐλεῶ. καὶ πρόσεστι τὸ αἰ-
σχύνεσθαι, ὅτι πολίτην ἄνδρα χρησάμενον συμφοραῖς καὶ κλαπέν-
τα χρυσίον δημόσιον, ἀπαιτήσας στατῆρας ὑπὲρ μυρίους, ἔγνωκεν
ἀναβολὴν μὴ διδοὺς ἀποκτεῖναι διὰ χιλίους. μᾶλλον δὲ δι' ἐμέ.
δι' ἐμὲ γὰρ αὐτὸν ἔχει καθείρξας, εἰς ἀνεπιχείρητον φρούριον, ἐν
οἵῳ τοὺς τιτᾶνας δεδέσθαι ποιητῶν παῖδες φαντάζονται. καὶ ἵνα
μὴ ἀφαιρεθῇ φησὶ τῶν ἐμῶν, δι' ἣν πέμπτην ταύτην ἡμέραν ἄγει τὸν
εἶναι τὸν αὐτόν, εἰσαγγελίας αὐτῶν ἀπηγορευμένης τοῖς δεσμοφύλα-

ξιν. ἀλλὰ πρώην αὐτοῦ κεκραγότος ἅπαντες ἤκουσαν, ὡς ὠφελι-
μώτερος ἔσται τῶν χιλίων στατήρων Ἀθηναίων ὁ πωλητευόμενος. διὸ
καὶ τοὺς προσιόντας αὐτῷ τῇ τῶν χωρίων ὠνῇ, φοβεῖται παρ' αὐτῆς καὶ
πάντα τρόπον ἀφίστησιν. οὐ γὰρ οἴομαι δεῖ τοῦ χρηστοῦ. τοῦ δὲ τεθνά-
ναι τὸν ἄνθρωπον δεῖ. ἐγὼ δὲ οὔτε ἰσχυρός εἰμι πρὸς τὸ τεῖχος ἐρυμνοῖς
προσβαλεῖν, οὔτε εὐμήχανος προσερπύσαι. τὰς δὲ συμφορὰς διελέ-
σθαι τὸν ἄνθρωπον. παρείησι δὲ φασί τινες, οὐδεὶς οὐδένα. οἱ γὰρ ὑπηρέται,
φύσει μὲν εἰσὶν οἵ τινές εἰσι. νῦν δὲ καὶ πρὸς παράδειγμα ζῶσιν Ἀνδρό-
νικον. ὃς περὶ τὴν ἐκκλησίαν ἀτιμῶν προκαθέζεται. τὸ μὲν οὖν
εἰς ἡμᾶς αὐτοῦ, λόγος οὐδείς. ὡς ἐγὼ καὶ χάριν εἰδείην αὐτῷ, τὴν
διὰ θεὸν ἀτιμίαν δεχόμενος μαρτύριον. ἀναμνήσθητε γὰρ ὑμεῖς, τίς ἦν
πρὸς ἐμέ, τὸν εἰ μηδὲν ἄλλο τὸν δὲ ἐκείνων γενόμενον. ἀπευρυθέντος τε
καταγαγόντος Δωριέας εἰς Σπάρτην. μέχρι τοῦ μὲν παιδὸς καὶ διὰ δὲ
καὶ ταῖς δημοσίαις ἐνεκολάφθησαν κύρβεσιν, αὐτὸς οὐκ ἔχων εἰπεῖν, ὄ-
νομα πάππου. ἀλλ' οὐδὲ πού γε πρὸς φασι, πλὴν ὅσον εἰκάσαι. ἀνθ' ὧν ὁ σκο-
πεῖ δὲ περὶ τὴν ἡγεμονικὴν ἀπήνην ἀλώμενος. ὅτις οὖν τὴν ἐν πόλει
λαμπρότητα τεθαύμακεν, αἰσχυνέσθω τοῖς ἐλλείμμασιν. ἀλλ' ἠρχόμην
μέχρι τῆς ἱερωσύνης, καὶ τιμῆς ἐνεφορήθην, τῆς ἀτιμίας οὐκ ἐγευσά-
μην. νυνὶ δὲ οὔτ' ἂν ἥδιον τιμώμενος, οὔτε καταφρονούμενος ἄχθομαι.
οὐδέτερον γὰρ αὐτῶν ἔτι παρὰ τοιοῦτος εἰς ἐμὲ δοκεῖ γίνεσθαι.
ἀλλ' ἑκάτερον εἰς ἀναφορὰν τοῦ θεοῦ. διόπερ ὁ πάντα τολμῶν ἔργα
ἄνθρωπος, ὡς οὐδὲν οὔτε λέγων, οὔτε ποιῶν προεκίνησεν, ἀρξάμενος ἀφ' ἡμῶν, αὐ-
τῷ διακηρύττεται τῷ θεῷ. καὶ φωνὰς ἀφῆκεν τῶν συνεστώτων καὶ πε-
ριεστώτων λαῶν, ἃς αὐτίκα, τῆς πρὸς ἁπανταχοῦ γῆς ἐκκλησίας, ἐπι-
στολῆς ἀναγινωσκομένης ἀκούσεσθε. τοιοῦτόν ἐστι φύσις ἀπαιδεύ-
τως ἐπειλημμένη δυνάμεως. τῇ κεφαλῇ τὸν οὐρανὸν διαράσσειν ἐπι-

χειρί. ἔστω. δυνάσθω. κεχρήσθω. τῇ φύσει τοῦ καιροῦ. ἀποκτιννύτω. ἢ δεσμείτω τῶν πολεμίων ὅν τινα βούλεται. ἡμῖν δ᾽ ἀνάγκη, μένουσιν ὑπὲρ τῆς τάξεως, ἐφ᾽ ἧς ἡμᾶς ἔταξεν ὁ θεὸς, ἀπηλλάχθαι μὲν τῆς κοινωνίας τῶν πονηρῶν. ἀποδῦσαι δὲ ἀκοὰς βλασφημοσύνης ἀλεγεινῆς. ἀπογνῶναι δὲ προστασίας ἀδικουμένων, ἀπολελοιπημένης τῷ δήμῳ διὰ τῆς μάτην ἐπιχειρήσεως. ὃ νοῦ μέγεθος ἔχοντος ἦν καὶ πρὸ πείρας ποιῆσαι. νυνὶ δὲ περιεμείναμεν ὑμᾶς ἐκ τῶν πραγμάτων συμψήφους ποιήσασθαι, ὅτι πολιτικὴν ἀρετὴν ἱερωσύνῃ συνάπτειν, τὸ κλώθειν ἐστὶ τὰ ἀσύγκλωστα. ὁ πάλαι χρόνος ἤνεγκε τοὺς αὐτοὺς ἱερέας τε καὶ κριτάς. καὶ γὰρ αἰγύπτιοι καὶ τὸ ἑβραίων ἔθνος, χρόνον συχνὸν ὑπὸ τῶν ἱερέων ἐβασιλεύθησαν. εἶτ᾽ ἐπειδή μοι δοκεῖ τὸ θεῖον ἔργον ἀνθρωπίνως ἐπράττετο, διῴκησεν ὁ θεὸς τοὺς βίους. καὶ ὁ μὲν, ἱερός. ὁ δὲ, ἡγεμονικὸς ἀπεδείχθη. τοὺς μὲν γὰρ, εἰς ὕλην ἐπέστρεψε. τοὺς δὲ, συνέταξεν ἑαυτῷ. τετάχαται δὲ, οἱ μὲν, ἐν τοῖς πράγμασιν. ἡμεῖς δὲ ἐν εὐχαῖς εἶναι. τὸ δὲ καλὸν ἀπαιτεῖ παρ᾽ ἀμφοῖν ὁ θεός. τί οὖν ἐπανάγεις; τί δὲ συνάπτειν πειρᾷ, τὰ κεχωρισμένα παρὰ τοῦ θεοῦ, ὃς οὐδὲ διοικεῖν ἡμᾶς, ἀλλὰ παραδιοικεῖν ἀξιοῖς. οὗ τί γένοιτ᾽ ἂν ἀθλιώτερον. προστάτου σοι δίκης; βάδιζε παρὰ τὸν ἐπιτροπεύοντα τῶν νόμων τῆς πολιτείας. τοῦ θεοῦ σοι τί δεῖ; ἴθι παρὰ τὸν ἱερέα τῆς πόλεως. οὐχ ὡς ἐνταῦθεν ὂν τὸ πάντως ἐπιτυχεῖν. ἀλλ᾽ ὡς ἐγὼ προθυμήσομαι. ἂν δ᾽ ἐπιτρέπῃ τις ἠρεμεῖν, τάχα ποτὲ καὶ δυνήσομαι. ἅμα γὰρ ἀποστρέφεται τὴν ὕλην, καὶ πρὸς θεὸν ἐπιστρέφεται. θεωρία τέλος ἐστὶν ἱερωσύνης, μὴ ψευδομένης τὸ ὄνομα. θεωρία δὲ καὶ πρᾶξις, οὐκ ἀξιοῦσι συγγίνεσθαι. ὁρμὴ μὲν γὰρ, ὁρμὴ πράξεων. οὐδεμία δὲ ἀπαθής. ἀλλὰ δεῖ κενὴν εἶναι παθῶν τὴν ψυχὴν

τὴν μέλ

τὴν μέλλουσαν ἔσεσθαι δοχεῖον θεοῦ. μὴ καθαρῷ γάρ φησι καθαροῦ ἐφάπτεσθαι, μὴ οὐ θεμιτὸν ᾖ, σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ θεός. σχολῆς δὲ δεῖ μετὰ φιλοσοφίας ἱερατεύοντι. οὐ καταδικάζω τῶν ἐπισκόπων τοὺς ἐν τοῖς πράγμασιν. ἀλλ᾽ ἐμαυτὸν εἰδὼς μόλις εὐσθενέστερον ἐξικνούμενον, ἄγαμαι τῶν δυναμένων ἑκάτερα. ἐμὴ δύναμις οὐκ ἔστι δυσὶ κυρίοις δουλεύειν. εἰ δ᾽ εἰσί τινες, οἳ μηδὲ ἀπὸ τῆς συγκαταβάσεως βλάπτονται, δύναιντο ἂν καὶ ἱερᾶσθαι, καὶ πόλεων προστατεῖν. ἀκτὶς ἡλίου κἂν ὁμιλήσῃ βορβόρῳ, μένει καθαρὰ καὶ ἀμόλυντος. ἐγὼ δὲ ταυτὸ τοῦτο παθὼν, πηγῶν καὶ θαλάττης δεήσομαι. καὶ εἰ δυνατὸν ἦν ἀγγέλῳ, πλεῖν ἢ τριάκοντα ἐνιαυτοὺς συνανθρωπεύσαντι, μηδὲν ἀπολαῦσαι τῆς ὕλης κακὸν εἰς προσπάθειαν, τί δεῖ καταβῆναι τὸν ἥκοντα θεοῦ. ἀλλ᾽ ἔστι περιουσία δυνάμεως, ὁμιλοῦντα τοῖς χείροσι, μένειν ἐπὶ τῆς φύσεως, καὶ μηδένα τρόπον παθαίνεσθαι. τοῦτο θεοῦ μὲν ὕμνος ἐστίν. ἀνθρώπῳ δὲ παραίτησις γίνεται, δι᾽ εὐλαβουμένῳ τῆς φύσεως αὐτοῦ τὴν ἀσθένειαν, κατὰ τούτους ὑμῖν ἐγὼ τοὺς ὅρους συνέσομαι. οὐ μὴν τοὺς ἐκείνων καιροὺς, ἐμαυτὸν ἀφαιρήσομαι ὡς ὅταν δέῃ κατιόντα, κατιέναι. τουτέστι διὰ τῆς τυχούσης ἐπιστροφῆς, ἀγαθόν τι μέγα ποιεῖν. οὕτω καὶ ὁ θεὸς πολιτεύεται. τὸ προστετηκέναι δέ ἐστι τὸ δεινόν. οὗ μήτε θεοῦ φύσις ἀνέχεται, μήτε ὅστις ἑαυτὸν ἀπευθύνει πρὸς τὸν θεόν. εἰ γέγονα χρημάτων ἢ κτημάτων ἐπιμελής, εἰ συνίστε μοι λογισμοὺς δεχομένῳ τῆς καθ᾽ ἡμέραν ἢ κατ᾽ ἔτος δαπάνης, εἶτα ἐν τοῖς ὑμετέροις τοῦ χρόνου φείδομαι, ἀλαζών εἰμι καὶ οὐκ ἀξιῶ συγγινώσκεσθαι. εἰ δὲ ἀμελήσας τῶν οἴκοι πρότερον, τῇ κατὰ νοῦν ἐνεργείᾳ συνέταξα τὴν ζωὴν, τί δεινὸν εἰ τῶν ἴσων ὑμᾶς ἀξιῶ. ἀλλ᾽ ἐπεὶ τούτοις ὑμᾶς οὐκ ἀρέ-

σκόμεν, ὡς ὄντων ἑτέρων οἱ δυνάμενοι καὶ ταῦτα ἐν ἀμφοῖν δεῖ διαγί-
νεσθαι, ἔξεστι βουλεύσασθαι τὸ λῷον τῇ τε πόλει καὶ ταῖς ἐκκλησίαις
κἀ μόνοις οὐκ ἐξομοῦμαι τὴν ἱερωσύνην. μήποτε δυνηθείη τοσοῦτον Ἀν-
δρόνικος. ἀλλ᾽ ὥσπερ οὐδὲ φιλόσοφος ἐγενόμην δημόσιος, οὐδὲ θεατροσκο-
πίαις ἐπεθέμην, οὐδὲ διδασκαλεῖον ἤνοιξα, καὶ οὐδὲν ἧττον ἦν τε
καὶ εἴην φιλόσοφος, οὕτως οὐδὲ ἱερεὺς δημόσιος εἶναι βούλομαι. οὐχ
ἅπας ἅπαντα δύναται. ἐγὼ συγγενόμενος ἐμαυτῷ, καὶ διὰ τοῦ τῷ
θεῷ, καταβὰς ἀπὸ θεωρίας, δύναμαι συνουσίας οὐκ ἀχρήστους ποιεῖ-
σθαι, πρὸς ἕνα καὶ δύο. καὶ οὐδὲ τούτους ἀγελαίους, ἀλλ᾽ εἴ τινες εἶεν, ἢ
φύσεως λαχόντες, ἢ ἀγωγῆς εὐτυχήσαντες, ὥστε μου ἂν τεθαυμα-
κέναι πρὸ σώματος. ἀλλὰ καὶ διὰ πολλοῦ πραγμάτων ἁπτόμενος.
μετὰ γὰρ ἐμαυτοῦ ῥαστώνης, γενοίμην ἂν τῷ καιρῷ χρήσιμος.
καταχωννύμενος δὲ ὑπ᾽ αὐτῶν, ἐμαυτοῦ τε ἐπιλήσμων εἰμὶ, καὶ
τῶν πραγμάτων ζημίαν ποιῶ. οὐ γάρ ἐστι, μισοῦντα καλῶς τι ποιεῖν.
ἀλλ᾽ ὁ μὴ πάσῃ τῇ γνώμῃ δεδογμένα ποιῶν, ἄθυμος ἔρχεται πρὸς τὴν
πρᾶξιν ἧς προσήκειν δεῖ. ὅστις δὲ πρὸς μελαγχολὴν ἀνοικείως ἔχει, καὶ οὐκ
ἔστιν ὅπως τῷ σχολάζοντι χρήσαιτο, αὐτὸ δὲ τὸ πᾶν ὅπερ ἐστὶ δημω-
φελέστατος ἄνθρωπος, πολυχωροτάτῃ ψυχῇ ταῖς ἁπάντων ἀρκοῦσα
φροντίσιν, ὅστις ἐπειδὴ πέφυκεν οὕτω καὶ βούλεται, ὁ τοιοῦτος καὶ
χαίρειν ἐνδείη ταῖς ἑλκούσαις αὐτὸν ἐφ᾽ ἑαυτὰς περιστάσεσιν. ὑποθέ-
σεις γὰρ αὐτοῦ τῇ φύσει χαρίζονται. καὶ μέγιστον εἰς τὸ κατορθοῦν ἐ-
φόδιον ἡ φιλία τοῦ πράγματος. ἐξαιρετέος οὖν ἅπασιν ὑμῖν ὁ λυ-
σιτελέστερος ἄνθρωπος. καὶ ἀνθαιρετέος ἡμῶν οἱ μόνοι μόλις σωζόμε-
θα. τί κεκράγατε. οὐ διότι μήπω γέγονεν, ἄξιόν ἐστι μηδὲ νῦν γενέ-
σθαι. πολλὰ τῶν δεόντων ὁ χρόνος ἐξεῦρε καὶ διωρθώσατο. οὐχ ἅπαν-
τα πρὸς παραδείγματα γίνεται. καὶ τῶν γινομένων ἕκαστον, ἀρχὴν ἔσχε.
καὶ πρὶν γενέσθαι μήπω γενόμενον ἦν. ἀξιώτερόν ἐστι προτιμηθῆναι

περὶ συνηθείας τὸ χρήσιμον. ἡμεῖς ἀρχὴν δῶ μὲν ἔθει βελτίονι. αὐθαιρετέος οὖν ἡμῶν, ἢ μεθ' ἡμῶν αἱρετέος. πάντως δ' αἱρετέος ὁ αὐτὸς ὅστις ἂν ᾖ, πάντως ἐμοῦ τὰ πολιτικὰ μακρῷ φανεῖται σοφώτερος καὶ δυνήσεται τὰ δύστημα ταυταΐ α, ὑπὲρ ὑμῶν διομιλεῖν καὶ μεταχειρίζεσθαι. οὐκοῦν εἰ μήπω δοκεῖ, τοῦτο μὲν, εἰσαῦθις ἀναθώμεθα. διέσται γὰρ ὑπὲρ αὐτοῦ κατὰ μόνας καὶ μετ' ἀλλήλων βουλεύσασθαι. νυνὶ δὲ οἷς τὸ συνέδριον μετῆλθε, τὴν ἀνδρονίκου μανίαν ἀκούσατε.

Πρὸς τοὺς ἐπισκόπους.

α

Νδρόνικον τὸν βερονικέα τὸν κακῇ πενταπόλεως μοίρᾳ καὶ φύντα καὶ τραφέντα, καὶ αὐξηθέντα καὶ τὴν ἀρχὴν διενεγκόσης αὐτὸν ὠμήσαμεν, μήτε ἡγείσθω τις, μήτε καλείτω χριστιανόν· ἀλλ' ὡς ἀλιτήριος ὢν τοῦ θεοῦ, πάσης ἐκκλησίας ἀπεληλάσθω πανέστιος. οὐ διότι γέγονε πενταπόλεως ἐσχάτη πληγή, μετὰ σεισμόν. μετὰ ἀκρίδα. μετὰ λιμόν. μετὰ πῦρ. μετὰ πόλεμον, ἐπεξελθὼν ἀκριβῶς τοῖς ἐκείνων ἐγκαταλείμμασιν, ἄτοπα κολαστηρίων γένη καὶ σχήματα, πρῶτος εἰς τὴν χώραν εἰσενεγκών, ἐνδὲ εἰπεῖν, ὅτι καὶ μόνος χρησάμενος δακτυλήθραν καὶ ποδοστράβην καὶ πιεστήριον καὶ ῥινολαβίδα καὶ ὠτάγραν καὶ χειλοστρόφιον, ὧν οἱ προλαβόντες τὴν πεῖραν τε καὶ τὴν θέαν καὶ τῷ πολέμῳ προαπολόμενοι, διὰ τῶν κακῶν περιισωθέντων ἐμακαρίσθησαν, ἀλλ' ὅτι πρῶτος παρ' ἡμῖν καὶ μόνος, ἔργῳ καὶ λόγῳ τὸν χριστὸν ἐβλασφήμησεν. ἔργῳ μὲν ἀφ' οὗ τῇ θύρᾳ τῆς ἐκκλησίας προσεπατάλευσεν ἑαυτοῦ διατάγματα. τοῖς μὲν ὑπ' αὐτοῦ παρανομουμένοις, διασύλου τραπέζης ἀπηλείων τὴν ἱκετείαν. ἀνατειρόμενος δὲ τοῖς ἱερεῦσι τοῦ θεοῦ, ταῦτα, ἃ καὶ Φάλαρις ὁ ἀκραγαντῖνος, καὶ Κεφρὴν ὁ αἰγύπτιος, καὶ Σενναχηρεὶμ ὁ βαβυλώνιος ὤκνησεν· ὁ πέμψας εἰς ἱερουσαλὴμ

τοὺς οὐκ ὄντας ἐξεκίασε τῷ θεῷ, ἐκείνην ἐγὼ τὴν ἡμέραν ἐνημοχεῖσαι φημὶ τὸν δεύτερον σταυρὸν τοῦ θεοῦ. τῷ γὰρ ὀνειδισμῷ τοῦ χριστοῦ, τὸ λοίδορον ἐκεῖνο βιβλίον ἀπὸ τῆς ἱερᾶς θύρας ἐκρέμματο. καὶ τοῦτο ἐπεῖδεν ἥλιος καὶ ἀνέσχοσαν ἄνθρωποι. οὐ Τιβερίου Κλαυδίου τῆς πολιτείας ἐπιτροπεύοντος, ἀφοῦ πιλάτος ἐπὶ τὴν ἰουδαίων ἡγεμονίαν ἐστάλη. ἀλλὰ τῆς εὐσεβοῦς Θεοδοσίου γενεᾶς τὰ σκῆπτρα ῥωμαίων ἐχούσης, ἀφῆς, ἔλαθεν Ἀνδρόνικος ἑαυτῷ μνηστεύσας ἀρχήν, ὑπὸ τοῦ Πιλάτου φρονήματι. γέλως ἦν τοῖς παροῦσι τῶν ἑτεροδόξων τὰ γράμματα. καθάπερ ἰουδαίοις τὰ παραγεγραμμένα σταυρῷ τοῦ χριστοῦ. καίτοι τὸ ἐπίγραμμα τοῦ σταυροῦ, γεγονὸς ἀπὸ γνώμης οὐκ εὐσεβοῦς, σεμνὸν ἦν ἐπὶ λέξεως, δι' οὗ βασιλεὺς ὁ χριστὸς ἐκηρύττετο. ἐνταῦθα δὲ ἡ γλῶττα τῇ γνώμῃ συνέβαινε. τὰ δὲ μετὰ ταῦτα τῶν πρώην ἐστηλιτευμένων βαρύτερα. ἐπειδὴ γὰρ ἦν τινα κατ' ἐχθροῦ πρόφασιν εὑράμενος, ἔχθρα δὲ ἦν αὐτοῖς, ὅτι γάμους ὁ μὲν ἐσπούδαζεν, ὁ δὲ ἐκώλυσεν, ἐκείνοις αὐτὸν τοῖς ἀποτροπαίοις κολαστηρίοις ᾐκίζετο, ἃ μὴ παραδοθείη τῇ διαδοχῇ τοῦ χρόνου. μετ' αὐτοῦ δὴ ὥσπερ ἤρξατο, παύσαιτο καὶ γένοιτο τοῖς μεθ' ἡμᾶς ἀκοὴ ταῦτα τῆς ἡγεμονίας ἀνδρονίκου συνθήματα. ἐπειδὴ οὖν ἀνὴρ εὐγενής, οὐκ ἀδικῶν, ἀλλ' ἀτυχῶν ἐπ' αὐτοῖς κατετείνετο, καὶ ταῦτα τὸ τῆς μεσημβρίας ἐδρᾶτο σταθερώτατον, ἵν' ὑπὸ μόνοις μάρτυσι τοῖς δημίοις ἀπόλοιτο, τὴν ἐκκλησίαν ἐσυναγηγερμένην αὐτῷ συμπαθῆ, κατ' ἄλλο μὲν οὐδέν, ὅτι δὲ μαθόντες, εὐθὺς ὡς εἴχομεν ἐξεδράμομεν, ἐφ' ᾧ παρακαθίζησαι καὶ συνδιενέγκαι τὴν συμφοράν, λυττᾷ πρὸς τὴν ἀκοήν, εἴ τις ἐπίσκοπος ὢν ἐλεῆσαί τε τολμήσειεν, ἄνθρωπον ἀπηχθημένον αὐτῷ. καὶ πολλὰ καὶ παρανομα νεανιευσάμενος,

σάμενος, τοῦ θρασυτάτου τῶν ὑπηρετῶν Θόαντος αὐτὸν ἐρεθίζοντος, ᾧ χρῆται πρὸς τὰς δημοσίας συμφορὰς ὀργάνῳ, πέρας ἐπέθηκε τῇ μανίᾳ, τὴν ἄθεον ταύτην φωνὴν εἰπὼν, ὅτι μάτην ἐπὶ τὴν ἐκκλησίαν ἤλπισε· καὶ οὐδεὶς ἂν ἐξαιρεθείη τῶν ἀνδρονίκου χειρῶν, οὐδ' ἂν εἴ τις τὸν πόδα κρατήσειεν αὐτοῦ τοῦ χριστοῦ. ταύτην ἀπαιδεύτῳ γνώμῃ, τρὶς ἀνεφθέγξατο τὴν φωνήν. μεθ' ἣν οὐκέτι νουθετητέος ὁ ἄνθρωπος. ἀλλ' ὥσπερ μέλος ἀνιάτως ἔχον ἀποκοπτέος ἡμῖν, ἵνα μὴ τῇ κοινωνίᾳ καὶ τὸ ὑγιαῖνον συμφθείρῃ. ὁ γὰρ μολυσμὸς, διαδόσιμος γίνεται, καὶ ὁ θίξας ἐναγοῦς, ἀπολαύει τῆς προσβολῆς. δεῖ δὲ εἶναι καὶ γνώμῃ καὶ σώματι, καθαροὺς τοὺς θεῷ. ἐπὶ τούτοις, ἡ πτολεμαΐδος ἐκκλησία, τάδε πρὸς τὰς ἁπανταχοῦ γῆς ἑαυτῆς ἀδελφὰς διατάττεται. ἀνδρονίκῳ καὶ τοῖς αὐτοῦ· Θόαντι καὶ τοῖς αὐτοῦ, μηδὲν ἀνοιγνύσθω τέμενος τοῦ θεοῦ. ἅπας αὐτοῖς ἱερὸς ἀποκεκλείσθω καὶ σηκὸς καὶ περίβολος. οὐκ ἔστι τῷ διαβόλῳ μέρος ἐν παραδείσῳ. ὃς κἂν λάθῃ διαδὺς, ἐξελαύνεται. παραινῶ μὲν οὖν καὶ ἰδιώτῃ παντὶ καὶ ἄρχοντι, μήτε ὁμορόφιον αὐτοῖς, μήτε ὁμοτράπεζον γίνεσθαι. ἱερεῦσι δὲ διαφερόντως, οἳ μήτε ζῶντας αὐτοὺς προσεροῦσι. μήτε τελευτήσαντας, συμπροπέμψουσιν. εἰ δέ τις ὡς μικροπολίτιν ἀποσκυβαλίσει τὴν ἐκκλησίαν, καὶ δέξεται τοὺς ἀποκηρύκτους αὐτῆς, ὡς οὐκ ἀνάγκη τῇ πένῃ τι πείθεσθαι, ἴστω σχίσας τὴν ἐκκλησίαν, ἣν μίαν ὁ χριστὸς εἶναι βούλεται. ὁ δὲ τοιοῦτος, εἴτε λευίτης ἐστὶν, εἴτε πρεσβύτερος, εἴτε ἐπίσκοπος, παρ' ἡμῖν ἐν ἀνδρονίκου μοίρᾳ τετάξεται. καὶ οὔτε ἐμβαλοῦμεν αὐτῷ δεξιὰν, οὔτε ἀπὸ τῆς αὐτῆς ποτε σιτησόμεθα. πολλοῦ δὲ δεήσομεν κοινωνῆσαι τῆς ἀπορρήτου τελετῆς, τοῖς ἐθελήσασιν ἔχειν μερίδα μετὰ ἀνδρονίκου καὶ Θόαντος.

Ἀνυσίῳ.

Δέδωκα τὴν ἐπιστολὴν εἰ καὶ φιλόσοφός ἐστι τὴν ψυχὴν ἀγαθὸν ῥήτορα τὴν τέχνην· ἕως μὲν Ἀνύσιός τε παρῆν, καὶ πρὶν τέλειος ἦν, ἔτι παρ' ἡμῖν ταύτην εἰργάζετο. ἐπεὶ δὲ ὁ μετὰ σὲ χρόνος τοῖς πολεμίοις ἡμᾶς ἀποδόμενος, δι' ἡμῶν εἰρήνην ἐποίησεν, ἔστιν ἐκεῖ πλέων εἰς ἑτέραν ἀγοράν, ὅπου γλῶττα ὤνιος τὸ ῥητόρων ἀγώνιμον, τὸν ῥήτορα εὐδόκιμον ποιεῖ. μνήστευσον αὐτῷ φιλίαν ἀνδρός, λαχόντος ἄρχειν ἐθνῶν. καὶ ναὶ μὰ τὸν φίλιον τὸν ἐμόν τε καὶ σόν, ὃν αἰτήσεις τὴν χάριν, εἴσεταί σοι χάριν ὅταν ἐπανήκῃ μετὰ τὴν πεῖραν.

Αὐξεντίῳ.

Ν γράψωμαί σε φιλίας ἀδικουμένης, καὶ θεοῦ καὶ θείων ἀνδρῶν δικαζόντων, ἁπάσαις αἱρήσω. τίς γὰρ παρενθήκη σοι γέγονε τῆς πρὸς τὸν ἀδελφὸν δυσμενείας. ἐπειδὴ γὰρ ἐκεῖνος, οὐδ' ἐμοὶ δοκοῦν, ἐγκλητεύει κατὰ σαββατίου τῷ μακαρίτῃ Φαύστῳ, Σὺ δὲ αὐτὸν λέγων οὐκ ἔπεισας, ἔτρεψας ἐπ' ἐμὲ τὴν ὀργήν. καὶ ἐποίεις κακὸν ὅσον ἠδύνω. κἀγώ, τότε μὲν ἐξῆν, ἐδεξάμην τὴν πρόκλησιν τῆς διαφορᾶς. νυνὶ δὲ οὔτε ἔξεστιν, οὔτε βούλομαι. ἥ τε γὰρ ἡλικία καλῶς ποιοῦσα μαραίνει μοι τὸ φιλότιμον. καὶ ἱεροί φασι νόμοι κωλύουσιν. ἅμα δὲ ὑπομιμνήσκομαι καὶ κοινῶν τροφῶν καὶ παιδείας. καὶ τῆς ἐν κυρίῳ διατριβῆς, ἃ χρὴ νομίσαι τῶν σαββατίου δικῶν ἰσχυρότερα. ἄρχου δὲ φιλίας ἀγαθοῦ πράγματος. καὶ χαῖρε παρ' ἐμοῦ ζημίαν ἡγουμένου τὸν χρόνον ὃν ἐσιώπησα, πῶς οἴει καὶ τότε δακνόμενος. ἀλλ' ἐν ἑκατέροιν, ὡς οἷόν τε. τοιοῦτόν ἐστι τὸ διαφιλοτιμεῖσθαι κακόν.

Γυλαιμένει.

Ἀπῆλθε μεγάλην τοῦ αἰγυπτίου ὄχου οἴαν ὑπερβεβλῆσθαι στρωμνῇ, ἀγνοίαν αὐτὴν εἶναι καὶ μόνην στρωμνήν, Ἀστέριος ὁ ταχυγράφος, ἰδών,

ἰδὼν, ᾔτησε παρ' ἡμῶν ὁ πηνίκα μὲ πρὸ τῶν μεγάλων ἀρχείων
ἔδει καθίζειν. τούτων ὑπεχόμενον ἀξιῶν, ἀπολείπειν αὐτῷ δῶρον·
οὐ γὰρ ἦν πρὸς τὴν θρακῶν χιόνα παραβαλλόμενον, τοιαῦτα χα-
ρίζεσθαι. νῦν οὖν ἐκπέμπω. τότε γὰρ οὐ κατέλιπον. σὺ δὲ δώσεις
αὐτῷ, μετὰ τῆς ἀπολογίας. ἧς αὐτὸς ἔσῃ μάρτυς ἀναμνησθεὶς
τῶν καιρῶν. καὶ πρὸς οὓς, καθ' οὓς ἀνεχώρουν τοῦ ἄστεος. ἔσεισεν ὁ
θεὸς τῆς ἡμέρας πολλάκις. καὶ πρὸς ἱκετηρίαις ἦσαν οἱ ἄνθρωποι
πρηνεῖς οἱ πλείους. τὸ γὰρ ἔδαφος ἐκραδαίνετο. ἐν ᾧ νομίσας ἐγὼ
τὴν θάλατταν τῆς γῆς ἀσφαλέστερον καὶ τὸ πέλαγος, κατατεί-
νω δρόμον ἐπὶ τὸν λιμένα, μηδενὶ λόγον δοὺς, ὅτι μὴ τῷ μακαρί-
τῃ Φωτίῳ, καὶ τοῦτον πόρρωθεν ἐγκραγὼν, ἐπὶ τῇ χειρὶ σημήνας,
ὅτι οἰχήσομαι. ὁ δὲ, αὐρηλιανὸν φίλον ἄνδρα καὶ ὕπατον ἀφεὶς
ἀπροσαύδητον, ἀπολελόγηται περὶ τῶν αὐτῶν, πρὸς τὸν ἑταῖρον
ἀστέριον. τότε μὲν οὕτως ἐγένετο. εἰ δὲ μετὰ τὴν ἐμὴν ἐκεῖθεν ἀ-
ποδημίαν, τρίτον τουτονὶ στόλον ἤνυσας εἰς τὰ ἐπὶ θρᾴκης χωρία
στέλλεται, ἀλλὰ νῦν πρῶτον ὑπ' ἐμοῦ στέλλεται. νῦν οὖν ὅτε τὸ πρῶ-
τον ἔξεστιν, ἀποδίδωμι διὰ σοῦ τὸ χρέος. χάρισαί μοι τὸν ἄνθρωπον δεξ-
ιούμενος. τοὔνομα μὲν δὴ καὶ τὸ ἐπιτήδευμα, φθάνω δηλώσας. ἀλλὰ
δεῖ πλείω προσθεῖναι γνωρίσματα. γένοιτο γὰρ αὖθις, ὁμώνυμος
καὶ ὁμότεχνος. χαλεπῶς δὲ ἅπαντα ταυτῷ συγκυρεῖ. ἀλλὰ γέ-
νοιτο γὰρ ἐν τῷ χρόνῳ, σύρος τὸ γένος. μέλας τὸ χρῶμα. τὸ πρόσω-
πον ἰσχνός. τὸ μέγεθος μέτριος. οἰκεῖ παρὰ τὴν βασιλικὴν οἰκίαν
οὐ τὴν δημοσίαν. ἀλλὰ τὴν κατόπιν αὐτῆς, ἥτις Ἀβλαβίου μὲν πρό-
τερον ἦν. νῦν ἡ Πλακιδίας ἐστὶ τῆς τοῖν βασιλέοιν ἀδελφῆς. εἰ ἡ μετῴ-
κησε, πυνόμενον γὰρ, οὐχ ἡ, ἀλλὰ Μάρκον ζητήσεις φανερώτατον ἄν-
δρα, τὸν ἐκ τῆς ὑπάρχου τάξεως. οὗτος ὁ τότε τῆς συμμορίας

ἀρχὼν τῶν ταχυγράφων τοῦ μὲν ἀστεῖον ἐχούσης. εὑρήσεις οὖν διὰ Μάρκου τὴν συμμορίαν, ἧς οὐκ ἦν ἀστεῖος ἔσχατος. ἀλλ' ἐν αὐτοῖς τρίτος, ἢ τέταρτος. νυνὶ δὲ κἂν πρῶτος ἂν εἴη. τούτῳ δώσεις τὴν ταχεῖαν ταύτην ἐλπίδα. καὶ πρὸς αὐτὸν ἐρεῖς, ἅττα ἡμεῖς περὶ τοῦ χρόνου πρὸς σέ. εἰ δὲ βούλει, καὶ τὴν ἐπιστολὴν αὐτὴν ἀναγνώσεις. σχολὴν γὰρ ἡμῖν ὁ πόλεμος οὐ δίδωσι, τοῦ καὶ πρὸς ἐκεῖνον ἐπιστεῖλαι. εἶναι δὲ δικαίους, οὐδὲν ἴσως κωλύει. μήποτε τοσοῦτον δυνηθείη τὰ ὅπλα.

Τῷ ἡγεμόνι.

μ Ἴθ' ὡς ἀρετῆς ἔπαινος. ὃν εἰσφέρομεν Μαρκελλίνῳ τῷ λαμπροτάτῳ. νῦν ὅτε πέπαυται τῆς ἀρχῆς. νῦν ὅτε σχολάζει κολακείας ἀπάσης ὑπόνοια. ὅστις παραλαβὼν πολεμουμένας τὰς πόλεις ἔξωθεν μὲν, ὑπὸ πλήθους καὶ μανίας βαρβαρικῆς, ἔνδοθεν δὲ ὑπὸ στρατιωτικῆς ἀταξίας καὶ τῆς τῶν ταξιαρχῶν πλεονεξίας, ὥσπερ θεὸς ἐπιφανεὶς, μάχῃ μὲν μιᾷ τοὺς πολεμίους, ἐπιμελείᾳ δὲ καθημερινῇ τοὺς ὑπηκόους σωφρονεστέρους ἐποίησε. καὶ παρεσκεύασεν ἐπ' ἀμφοῖν τῶν δήμων, εἰρήνην ταῖς πόλεσιν. ὑπερεῖδε κερδῶν, ἃ δίκαιον εἶναι νόμιμα πεποίηκεν ὁ θεός. οὐκ ἐπεβούλευσε πλούτῳ. πενίαν οὐχ ὕβρισε. τὰ πρὸς θεὸν εὐσεβής. τὰ πρὸς πολιτευομένους, δίκαιος. τὰ πρὸς δεομένους φιλάνθρωπος. διὰ τοῦτο φιλόσοφος ἱερεὺς ἐπαινῶν αὐτὸν, οὐκ αἰσχύνεται. παρ' οὗ μηδεὶς εὕρετο μαρτυρίαν χάριτι δεδικασμένην. παρεῖναι μὲν οὖν ὑμῖν, καὶ τὸ δικαστήριον ἐβουλόμεθα. καὶ κοινῇ καὶ καθ' ἕνα Πτολεμαέων ἕκαστος, ἀντεισηνέγκαμεν ἂν, αὐτῷ τὸν δυνατὸν, εἰ μὴ τὸν δίκαιον ἔρανον. ὅτι λόγος ἔργου παντελῶς ἥττων ἐστί. πάντως ἂν ἐγὼ τότε τοῦ κοινοῦ προηγόρευσα. ἐπεὶ δὲ τυγχάνω ὢν ὑπερόριος, ἐν γράμμασιν αὐτοῦ τὴν μαρτυρίαν κατατιθέμεθα. οὐκ ἐνοχληθέντες, ἀλλ' ἐνοχλήσαντες.

τῷ

χ Ῥηθῆναι δεῖ τοῖς τῶν δυνατῶν φιλίαις. οὐ κατευχεῖσθαι. Τῷ αὐτῷ.

μ Ἡ αἴτει μεγάλα. ἵνα μὴ δυοῖν θάτερον, ἢ τυγχάνων λυπῇς, ἢ μὴ τυγχάνων λυπῇ.

Τῷ ἀδελφῷ.

α Μόλις τοὺς Διονυσίους ἀπέστειλα. ἵνα τῶν βιβλίων, τὸ μὲν ἧς εἰληφώς· τὸ δ' οὐ πειληφώς. Θεοφίλῳ.

π Εὖ σίν τινα πυθέσθαι σου προελόμενος, ὑπὲρ οὗ πεύσομαι, προαφηγήσασθαι βούλομαι. Ἀλέξανδρος ἀπὸ βουλῆς κυρηναῖος. ἔτι μειράκιον ὢν εἰς μοναδικὸν βίον ἐτέλεσε. τῇ δὲ ἡλικίᾳ συμπροϊούσης τῆς μοναδικῆς κατὰ τὸν βίον ἐνστάσεως, ἠξιώθη μὲν ἐκκλησιαστικῆς διακονίας. ἠξιώθη δέ ποτε, πρεσβύτερος εἶναι. κατά δέ τινα χρείαν τοῦ στρατοπέδου γενόμενος, καὶ Ἰωάννῃ τῷ μακαρίτῃ συστάς, τιμᾶται δὲ παρ' ἡμῶν ἡ μνήμη τοῦ τελευτήσαντος, ὅτι πᾶσαν δυσμένειαν τῷ βίῳ τούτῳ συναπετίθετο, τούτῳ συστάς, πρὶν μὲν στασιασθῆναι τὰς ἐκκλησίας, ὑπὸ τῆς ἐκείνου χειρὸς ἐπίσκοπος ἀνεδείχθη τῆς βιθυνῶν βασινουπόλεως. συμβάσης δὲ τῆς διαφορᾶς, διέμεινε τῷ χειροτονήσαντι φίλος. καὶ γίνεται τῆς ἐκείνου στασιωτῶν. ἐπεὶ δὲ ἡ συνοδικὴ γνώμη κατίσχυσε, χρόνον μέν τινα συνέμεινεν ἡ στάσις. τί δ' ἂν διηγοίμην εἰδότι, μᾶλλον δὲ αὐτῷ διωκηκότι, τὰς περὶ τὰς γνώμας διαγωγάς. ἐπείτι καὶ βιβλίον ἀνέγνων σοφόν, ὃ πρὸς τὸν μακάριον ἐμοὶ δοκεῖν Ἀττικὸν ἔγραφες, ἐνάγων αὐτὸν τῇ καταδοχῇ τῆς ἀνδρῶν. τὰ μὲν δὴ μέχρι τούτου, Ἀλεξάνδρῳ πρὸς τοὺς συναπεστάντας κοινά. ἴδιον δέ, ἢ μετ' ὀλίγον, ὅτι τοῦτο μὲν ἔτος ἤδη τρίτον διήκει, μετὰ τὴν ἀμνηστίαν τὰς διαγωγάς. ὁ

ἢ, οὐκ ἐβάδισε τὴν εὐθὺ Βιθυνίας, τῆς συλλαχούσης αὐτὸν καθέ-
δρας ἔλαβεν. μένει δὲ παρ' ἡμῖν, ὥσπερ μηδὲν αὐτῷ διαφέρον, ἂν
καί τις ὡς ἰδιώτῃ προσφέρηται. ἐγὼ μὲν οὖν οὔτε πόρρωθεν ἐνετρά-
φην τοῖς νόμοις τοῖς ἱεροῖς, οὔτε ἤδη μοι καθῆκε πολλὰ μεμαθηκέναι
περιουσίᾳ οὔπω γεγονότι τῷ καταλόγῳ. αἰσθόμενος δὲ γέροντας ἐνίους, οὐ
διὰ τὸ αὐτοῖς μέν τι σαφὲς εἰδέναι προσποιουμένους, ἀποδεδειλιακό-
τας δὲ μὴ λάθωσι πρός τινα κανόνα τῆς ἐκκλησίας προσκόψαντες,
καὶ διὰ τοῦτο παντάπασιν ἀπηνέστερον αὐτῷ προσενηνεγμένους, καὶ
ὑπὲρ ἀσαφοῦς ὑπονοίας ἀτιμίαν σαφῆ τοῦ ξένου κατασκεδάσαν-
τας, οἳ μηδὲ κοινῆς στέγης ἠνέσχοντο, οὔτε ἐμεμψάμην, οὔτε ἐμι-
μησάμην αὐτούς. οἶδα δὲ οὖν ὅπως ἐποίησα περισεβασμιώτατε; ἐκ-
κλησίᾳ μὲν, οὐκ ἐδεξάμην αὐτόν. ὃ δὲ τραπέζης ἱερᾶς ἐκοινώνησα.
οἴκοι δὲ ἴσα καὶ τοῖς ἀναιτίοις ἐτίμησα. ὅς τις ὁ τρόπος ἐστὶ νῦν τῶν ἐπι-
χωρίων ὁ νόμος. ὅταν γάρ τις αὐτῶν ἐφέσιος ἡμῖν γένηται, παντὶ πάν-
τος ἔργου καὶ λόγου τιμὴν ἔχοντος ἐξιστάμεθα, φλυαρεῖν ἡγούμε-
νοι τοὺς δυσχεραίνοντας, ὅτι τὰ μικρὰ τῆς πόλεως καταβαλόμεν δι-
κακία. καίτοι διὰ τοῦτο τὰς ἁπάντων φροντίδας κατωμαδὸν ἀρα-
μένος φέρω. ἐν μόνος ὑπὲρ τῶν ἁπάντων ἀσχολοῦμαι σχολῆς. ἀλλ' εὖ
καλῶς μοι κείσεται παρὰ τῷ θεῷ, πλεονεκτεῖν μὲν πόνοις. μειονε-
κτεῖν δὲ τιμῶν. καὶ τὸν Ἀλέξανδρον δὲ τοῦτον, ὅταν μὲν εἰς ἐκκλησίαν
προΐω, βουλοίμην μὲν ἄν, μηδαμόθεν τῆς ἀγορᾶς ἰδεῖν. συμβὰν δὲ
ἰδεῖν, ἑτέρωσε ἐπιτρέπω τοὺς ὀφθαλμούς, καὶ εὐθὺς ἐπανθεῖ μοι
κατὰ τῆς παρειᾶς ἐρύθημα. ὑπερβάντος δὲ τὴν οἰκείαν αὐλὴν,
καὶ γενόμενον ὁμωρόφιον, ἅπασι τοῖς εἰκόσι τιμῶ. τί δήποτε τοῦτ' ἀ-
σύμφωνός εἰμι πρὸς ἐμαυτὸν ἰδίᾳ καὶ δημοσίᾳ. ἐν οὐδετέρῳ τῷ και-
ρῷ δεδογμένα ποιῶν. ἀλλὰ τὸ μὲν, εἴκω τῷ νόμῳ. τὸ δὲ, τῇ φύ-

σει

σοι χαρίζομαι, ῥέπουσι πρὸς τὸ φιλαυτον. καίτοι καὶ, ἀποβιασά-
μην τὴν φύσιν, ἔτι σαφὲς ἠπιστάμην ὑπὲρ τοῦ νόμου. αὐτὸ δὴ τοῦ-
τό ἐστι τὸ ἐρώτημα, πρὸς ὃ δεῖ τὴν αὐθεντίαν τῆς ἀποστολικῆς διαδο-
χῆς ἀποκρίνασθαι ἁπλῶς καὶ σαφῶς καὶ ἅπερ πυνθάνομαι. Ἀλέξαν-
δρον ἐπίσκοπον χρὴ νομίζειν ἢ μή.

Τῷ αὐτῷ.

Ἐγὼ καὶ βούλομαι τὴν ἀνάγκην μοι θείαν, νόμον ἡγεῖσθαι, πᾶν ὅτι ἂν ἐκεῖνος ὁ θρόνος θεσπίσῃ. διὰ τοῦτο καὶ πένθιμον ἀσχολίαν παραιτησάμενος, τὴν νοσοκομουμένην ἔτι τὸ σῶμα πρὸς τοὺς πόνους ἐκβιασάμενος, καὶ διοδεύσας τὴν ὕποπτον, ὡς ἀνύποπτον, ἣν διετείχισεν ὅπλα πολέμια, γέγονα κατὰ Παλαιβίσκαν τε καὶ Ὕδρακα. κῶμαι δὲ αὗται πέντε τῆς πόλεως. καὶ τῆς διψηρᾶς Λιβύης αὐτὰ τὰ μεθόρια. ἐν αἷς τὸν, πάνδημον ἐκκλησίασα. καὶ γράμματα, τὰ μὲν, ἀναγνοὺς, τὰ δὲ, ἀποδοὺς, τὰ μὲν γὰρ ἦν πρὸς αὐτοὺς, τὰ δὲ, περὶ αὐτῶν πρὸς ἐμὲ, καὶ λόγους διεξελθὼν ἐπιτηδείους εἰς ἀρχαιρεσίαν εἰς τὸ καὶ πεῖσαι, καὶ εἰ προχωροίη βιάσασθαι προσθέσθαι τὴν περὶ ἐπισκόπου σκέψιν, οὐκ ἐξενίκησα τοῦ δήμου τὴν περὶ τὸν δικαιέστατον Παῦλον σπουδήν. ἀξιῶ πιστεύεσθαι παρὰ πατρός. οὐκ ἦν μοι βουλομένῳ μάτην δεδραμηκέναι. ἀλλὰ τιμῶντί με τῷ δήμῳ προσέκοψα. τοὺς φανερωτάτους αὐτῶν, εἴ τις ἀνέκραγε μεῖζον, εἴ τις δυράμενος κρηπῖδα καὶ ἐπαναβὰς αὐτῇ, καὶ προήγορος ἠξίωσεν εἶναι καὶ λόγον ἀπέτεινεν, ὡς ὠνίους ὡς συνωμότας, ὑπηρετῶν χερσὶ παραδιδοὺς, ἐκκυλισθῆναι τῆς ἐκκλησίας ὠθουμένους, προσέταξα. συγχυθέντα δὲ αὖθις, καὶ πολλάκις ἀναλαβών τε καὶ καταστήσας τὸν δῆμον, διὰ πάσης ἦλθον ἐν λόγοις ὁδοῦ,

τὸν ἀρχιερατικὸν ἐκεῖνον θρόνον ἀποσεμνύνων, καὶ πείθων ὅτι διὰ τῆς εἰς ὑμᾶς ἀθετήσεως καὶ τιμῆς, ὁ θεὸς ἀθετεῖται δὴ καὶ τιμᾶται. οἱ δὲ, εὐφήμῳ τε φωνῇ τὸ μακάριον ὄνομα τῆς σῆς θεοσεβείας ἐπεκαλέσαντο. ἅπαντες, ἱκέτευον ὡς πρὸς παρόντα τὰς ἐκβοήσεις καὶ τὰς ὀλοφύρσεις ποιούμενοι· τὸ μὲν οὖν τῶν ἀνδρῶν, εἰ καὶ πέρα προσδοκίας, ἀλλ' ἔλαττον ἦν· αἱ δὲ γυναῖκες, πρᾶγμα δυσμεταχείριστον· χεῖρας αἴρουσαι· βρέφη προτείνουσαι· καὶ μύουσαι τοὺς ὀφθαλμούς, ἵνα μὴ εἰς ἔρημον τοῦ συνήθους προστάτου τὸν θρόνον ἐνατενίσειεν, μικρὸν ἐδέησαν τοὺς τἀναντία πολιτευομένους ἡμᾶς, εἰς πάθος παραπλήσιον ἐκκαλέσασθαι. ὅπερ ἵνα μὴ πάθω, φοβηθείς, ᾐσθανόμην γὰρ ἀγόμενος, ἔλυσα τὴν ἐκκλησίαν. καὶ εἰς τέταρτον ἧκεν ἐπάγγελμα ἐπαρασάμενος τὰς παλαμναιοτάτας ἀράς, εἴτις ἐμμίσθως, εἴτις κατὰ χρείαν, ἢ χάριν ἢ ὅλως, ἰδίᾳ τι διαφέρον αὐτῷ φθέγξαιτο τι τῶν ἡκόντων εἰς τὴν τῆς ἐκκλησίας παρακοήν. ἧκεν ἡ κυρία· καὶ ὁ δῆμος παρῆν, πάλιν ἐνστάτης καὶ ἐναγώνιος, ὃς οὐδὲ περιέμεινε πεῦσιν. ἀλλ' εὐθὺς ἦν ἅπαντα κυκεὼν φωνὴ παμμιγής, ὑπὸ τοῦ λίαν ἐνηχεῖν τοῖς ἀκοαῖς, ἀδιάκριτος. κατασιγαζόντων δὲ τῶν ἱεροκηρύκων, εἰς θρῆνον αὖτις ἀπετελεύτησεν ἡ βοή. καὶ ἦν ἄκουσμα σκυθρωπόν. ἀνδρῶν οἰμωγαί. γυναικῶν ὀλολυγαί. παίδων ὀλοφυρμοί. ὁ μὲν, ἔφη πατέρα ποθεῖν. ὁ δέ, ἀδελφόν. οὕτως ἐμερίζετο τοῖς ἡλικίαις τὰ τῆς συγγενείας ὀνόματα. ἐμοῦ δέ τι μεταξὺ λέγειν ἐπιχειροῦντος, ἀναδείκνυται γραμμάτιον ἐκ μέσου τοῦ πλήθους. καὶ ἐνεύχεταί τις εἰς κοινὸν αὐτὸ πᾶσιν ἀναγνωσθῆναι. τὸ δὲ, ἦν ἐνορκισμὸς πρὸς ἐμὲ παύσασθαι συνοικίᾳ τοῦ πλήθους ἀποπειρώμενον. καὶ ἀναθέσθαι τὸ σκέμμα, μέχρις ἂν αὐτοῖς δὴ γένηται πρὸς

τὴν

τῶν μακαριωτάτων συγκεφαλαίων ὑπὲρ τούτου ψήφισμα πέμψαι καὶ πρεσβυτῶν. μᾶλλον δὲ ἐμοῦ κατεδέοντο νικῆσαι, συνηγορίαν ἐν γράμμασιν ἅπερ ἐνδέχεσθαι διδάσκοντα. ἐλέγετο τοίνυν καὶ ἐν συνεδρίῳ παρὰ τῶν πρεσβυτέρων, καὶ δημοσίᾳ παρὰ τοῦ πλήθους, καὶ τὸ γραμμάτιον αὐτὰ ταῦτα καθ' ἕκαστον διεξῄει, πάτριον εἶναι καὶ ἀποστολικὸν, ἐρυθρείτιδας εἶναι καὶ ταύτας τὰς ἐκκλησίας. ἀποστασιάσαι δὲ αὐτὰς πρὸς Ὠρίωνα τὸν μακάριον, πορρωτέρω τε ὄντα πρεσβύτην, καὶ αἰτίαν ἔχοντα, πρᾳότατον εἶναι. τοῦτο γὰρ ἤδη καὶ λοιδόρημα γέγονεν ὑπὸ τῶν ἀξιούντων ἱερωσύνην προστάτην εἶναι τοὺς ἀνθρώπους καὶ πολυπράγμονα. καὶ ἐπειδὴ παρέτεινε ζῶν, οὐκ ἀνασχέσθαι περιμεῖναι τοῦ δικαίου τὴν τελευτήν. ἀλλὰ προβαλέσθαι τὸν μακαρίτην Σιδήριον. ἐδόκει γὰρ οὗτος νέος τε εἶναι. καὶ ῥέκτης ἀνὴρ ἀπὸ τῶν παρὰ βασιλεῖ Οὐαλέντι στρατείας. ἥκων κατὰ χρείαν ἀγρῶν αὐτόθι κειμένων ἐπιμελείας οἷος ἐχθρούς τε κακῶσαι καὶ φίλους ὀνῆσαι. τότε δὲ καὶ ἐκράτει τὰ τῶν αἱρέσεων. πλῆθος γὰρ πείσασιν. καὶ καιρὸν ἔσχεν ἡ δεινότης, ὄργανον οὖσα φρονήσεως. τοῦτον ἕνα καὶ μόνον ἀποδεῖξαι Παλαιβίσκης ἐπίσκοπον. ἀλλ' οὐδὲ τοῦτον ἐνθέσμως. ἐκθέσμως μὲν οὖν, ὅσα γε τῶν γερόντων ἠκούσαμεν, εἰ μήτε ἐν Ἀλεξανδρείᾳ κατέστη, μήτε παρὰ τριῶν ἐνθάδε, καὶ εἰς τὸ σύνθημα τῆς χειροτονίας ἐκεῖθεν ἐδέδοτο. μόνον γάρ φασι δὴ τὸν μακάριον Φίλωνα, θρασῆσαι τὴν τοῦ σου ἱερέως ἀνάρρησιν. Φίλων ἐγένετο Κυρηναῖος, ἔτι παλαιότερος ὁ τοῦ νεωτέρου θεῖός τε καὶ ὁμώνυμος. τὰ μὲν ἄλλα, ὁποῖον ἄν γένοιτο παίδευμα τοῦ Χριστοῦ. τὰ δὲ εἰς τὸ ἄρχειν καὶ ἄρχεσθαι, θαῤῥαλεώτερος μᾶλλον, ἢ νομιμώτερος. ἀλλὰ γὰρ αὐτοῦ μὲν συγγνώμην, ἐπὶ τῷ λόγῳ τὴν ἱερὰν τοῦ πρεσβύτου ψυχήν. τοῦτον ἥκοντα μό

μου ἀποδεῖξαι τε καὶ ἐπὶ τοῦ θρόνου καθίσαι τὸν μακαρίτην Σι-
δήριον. ἀλλ' ἀνάγκη γὰρ ἐν καιροῖς ἀπεῤῥησιαστοῖς τὴν ἀκρί-
βειαν παραβαίνεσθαι. διὰ τοῦτο τὸν πάμμεγαν Ἀθανάσιον συγ-
χωρῆσαι τε τῷ καιρῷ. καὶ μετ' οὐ πολὺ δεῆσαν ἐν Πτολεμαΐδι τὸν
ἐνόντα σμικρὸν ἔτι τῆς ὀρθοδοξίας ἀναθῆρα θάλψαι τε καὶ ἐπὶ
πλέον ἐξάψαι, τὸν ἄνδρα τοῦτον ὡς μείζοσι πράγμασιν ἐπιτή-
δειον, ἐκεῖ διαβῆναι κελεῦσαι, τὴν μητρόπολιν ἐκκλησίαν ὑπο-
προπεύσοντα. γῆρας δ' αὐτὸν εἰς τὰς κωμήτιδας ἐπανήγαγεν.
οὗ καταλύσαντος, οὐκ ἔσχε διάδοχον, ὃς οὐδὲ αὐτὸς ὑπῆλθεν ἑτέρου
διαδοχήν. Παλαίβισκα δὲ ἡ Ὕδραξ, εἰς τὴν ἀρχαίαν τάξιν ἐπαν-
χθησαν. καὶ πρὸς τὸ Ἐρυθρὸν ἀνελήφθησαν, δόγματι φασὶ τῆς σε-
βασμίας σου κεφαλῆς. καὶ τούτῳ δὴ μάλιστα πάντων ἐνέκειν-
το. τῷ μὴ δεῖν ἀθετεῖσθαι τὸν παρὰ σοῦ θρονισμόν. γράμματα
μὲν οὖν, ἥττησα γὰρ, οὐκ εἶχον ἀποδείκνυναι. ἐπισκόπους δὲ τῶν συνέ-
δρων ἀνίστασαν μάρτυρας. οὗτοι δὲ ἔφασαν, ἐπιστολῇ πειθαρ-
χοῦντες ἐκεῖθεν ἡκούσῃ, πεῦσιν περὶ Παύλου προτεῖναι τῷ δήμῳ.
καὶ δόξαν ἅπασιν ἐπίσκοπον ἔχειν, ἀνεμέγναι περὶ αὐτοῦ. τοὺς δὲ
θρονιστὰς ἑτέρους γίνεσθαι. καὶ ἔμοιγε δίδως εἰπεῖν, Περσεβασμιώ-
τατε, ἐκεῖνος ἦν ὄντως ὁ καιρὸς ὁ τῆς σκέψεως. τὸ γὰρ ἀφε-
λέσθαι, τοῦ μὴ χαρίσασθαι λυπηρότερον. ἀλλὰ κρατείτω τὸ νῦν
ὅτι ἂν δόξῃ τῇ πατρικῇ σου κεφαλῇ. εἰ γὰρ τὸ δόξαν τότε, δί-
καιον αὐτοῖς γέγονε, καὶ τοῦτο προΐσχονται, τὸ μηκέτι δοκεῖν, τὸ δί-
καιον μετατίθησιν. ὥσθ' ὅτι ἂν γνῷς, τοῦτο τῷ πλήθει δίκαιον ἔ-
νεστι. ἀκοὴ γὰρ ζωὴ, καὶ θάνατος ἡ παρακοή. διόπερ οὐκ ἀνταίρουσι χεῖ-
ρας. ἀντικετεύουσι μὴ γίνεσθαι ζῶντος αὐτοῖς ἔτι τοῦ πατρὸς, ὀρφα-
νοί. οὕτω γὰρ ὑπὸ λέξεως λέγουσι. καὶ γὰρ τὸν νεανίσκον οὐκ οἶδα ὑπὲρ

ἐσπαμένους

ἐπαιρέσθαι μὲν αὖ τῆς παρὰ πάντων εὐνοίας, ἢ μακαρίσαι με, ἢ διὰ τέ-
χνης τινὸς ἢ δυνάμεως, ἢ χάριτος θείας, οὕτω τοὺς αὐτοὺς ἐξομαλίσαι
τε καὶ καταδημαγωγῆσαι τὸ πλῆθος, ὥστε τὸν χωρὶς αὐτοῦ βίον, ἀβίω-
τον ἅπασιν εἶναι. διὸ δόξει μὲν, περὶ αὐτῶν τῇ φιλαύτῳ σου φύσει
φιλαυτότερα. ἐμοὶ δὲ ἐπανιτέον εἰς ἄστυ. καίπερ περιμένω τοῦ κι-
νητέου τὸ σύνθημα. ἃ δ' οὖν ἐν ταῖς τέτρασιν ἡμέραις διῳκησάμην,
ἃ δ' ἐν τοῖς τῇδε τόποις διέπραξα, τούτων οὐκ ἀγνοήσεις, ὅντινα τύ-
πον ἕκαστον εὕρετο. καὶ μὴ θαυμάσῃς εἴ ποτε τὸν αὐτὸν εὖ τε καὶ κακῶς
εἰπεῖν μοι συμβαίη. οὐ γὰρ ἐπὶ τοῖς αὐτοῖς ἑκάτερα. τὰ πράγματα
δὲ ἐπαινεῖται καὶ ψέγεται. στάσις ἐν τοῖς κατὰ χριστὸν ἀδελφοῖς, κα-
λὸν μὲν εἰ μηδέποτε φύοιτο. φυεῖσα δὲ καλὸν εἰ μετὰ μικρὸν παύ-
οιτο. δι' αὐτὸ δὴ τοῦτο καὶ γράμματι καταπεμφθέντι πειθόμενος, διὰ
τῶν ἠνεσχόμην. καὶ δέδωκα τὰς ἀκοὰς ἀμφισβητήσει τοιᾶδε. ἐν ὑ-
δράκι τῇ κώμῃ, χωρίον ἐστί. καὶ τῆς κώμης αὐτὸ τὸ μετεωρότατον. ὃ
πάλαι μὲν ἦν φρούριον ἐρυμνότατον. κατασείσαντος δὲ τοῦ θεοῦ
γεγονὸς ἐκλελειμμένον ἐρείπιον. τέως μὲν οὖν ὀλίγοις τισὶ τῶν ἐν
αὐτοῦ μερῶν, εἰς ἑκατέρας χρείας διεσχημάτιστο. οἱ δὲ παρόντες τοῦ
τῶν πολεμίων καιροί, διότι δύναιτ' ἂν ἐκτειχισθῆναι, καὶ εἰς τὴν ἀρ-
χαίαν χρείαν ἐπανελθεῖν, τοῦ παντὸς ἄξιον αὐτὸ τοῖς κεκτημένοις
παρέχονται. τοῦτο τοῖς ἀδελφοῖς ἡμῶν, ἤδη δὲ καὶ ἁγίοις, τοῖς εὐλαβεστάτοις
ἐπισκόποις Διοσκόρῳ καὶ Παύλῳ τὸ περιμάχητον ἦν. ἐν αἰτίᾳ
γὰρ ἐπεποίητο τὸν ἐρυθρίτην ὁ δαρδανίτης ὡς εὐβουλότατα σκέψα-
σθαι, ὅπως αὖ τὸ μὴ προσῆκον περιποιήσαιτο. καθοσιώσαντα μὲν τῷ
θεῷ τόπον ἀγοραῖον, ἁρπάσαντα δὲ οὕτω τὴν τῆς εὐσεβείας ὑπόθεσιν, ἤδη χει-
ρὶ βιαίᾳ προσεῖναι τοῦ πανερήματος. πρὸς ταῦτα ὁ εὐλαβέστατος
Παῦλος ἐπεχείρησε μὲν ἀντιλογίας κομίσαι τινάς, ὅτι τε προκα-
τεσχήκοι τὸν λόφον, καὶ ἐκκλησίας παλαίτερον ἀποδέδεικτο,

πρὶν τὸν οὐ λαβέσθαι γοῦν διόσκορον ἀποδεδειχθῆναι τοῦ χωρίου δεσπό-
την. ἀλλὰ αὖ μὴ μαλακώτερόν τις ἅπτηται τῆς ζητήσεως, τὰ γὰρ
τἀληθὲς οὐ δῆλον γίνεται. ὥσπερ οὖν ἅπαν τοῦτο πέφηνεν ἕωλον.
τὸ δὲ ἐν ἐπιδρομῇ ποτε πολεμίων εἰκὸς συμφυγόντας ἀνθρώπους, εὔ-
ξασθαι τἀναγκαῖα, τοῦτο τὸν τόπον οὐ καθιεροῖ. ἢ πάντα μὲν ὄρη.
πᾶσαι δὲ φάραγγες, ἐκκλησίαι. καὶ οὐδὲν ὅτι φρούριον ἐκ φύσεως
τὸ δημόσιον εἶναι. ἐν οἷς ἅπασιν ὅταν οἱ πολέμιοι προνομεύσωσιν, εὐ-
χαὶ καὶ μοναστήρια γίνονται. οἰκίαι δὲ ὅσαι κατὰ τοὺς ἀθέους τῶν ἐξ
ἀρείου καιρούς, εὐχὰς ἐδέξαντο καὶ μυστήρια. ἀλλ᾽ οὐδὲν ἧττον εἰσὶν
ἰδιωτικαί. φυγὴ γὰρ κἀκεῖνο. καὶ δὲ ἐκεῖνοι πολέμιοι. ἀλλ᾽ ἐπειδὴ τὸν και-
ρὸν ἐζήτουν τῆς καθιδρύσεως, εἰ παραδιδόντων, εἰ παρασυγχωρούν-
των τῶν κυρίων ἐγένετο. ἀπεδείχθη λαμπρῶς ἅπαντα τἀναν-
τία. τῶν ἐπισκόπων ὁ μὲν, ᾔτει λαβεῖν. ὁ δὲ, οὐκ ἐδίδου κύριος
ὤν. τέλος ὁ μὲν, ᾤχετο τὰς κλεῖς ἔχων. ὁ δὲ, ἀνοίγνυσι καὶ τράπε-
ζαν εἰς φορήσας καθιεροῖ μικρὸν οἰκίσκον, ἐν λόφῳ πλατεῖ. ἀλ-
λ᾽ οὐ γὰρ ἦν περιττέον ὢν τὸν οἰκίσκον, εἰ μὴ δι᾽ ὁλοκλήρου τοῦ πλά-
τους. ὥστε τέχνη τις ἦν ἐφ᾽ ὧν τὸν λόφον περιοικήσασθαι. ἐδόκει δέ μοι τὸ
πρᾶγμα δεινὸν εἶναι. καὶ πέρα δεινοῦ, καὶ ἀγανακτητέον, ὁμοῦ μὲν ὑ-
πὲρ τῶν νόμων τῶν ἱερῶν, ὁμοῦ δὲ καὶ ὑπὲρ τῶν δικαίων τῆς πολιτείας. συγχεῖ-
σθαι γὰρ ἅμα πάντα, τοῦτο μὲν, εἰ τρόπος καὶ νόμος ἐπινοηθείη δη-
μεύσεως. τοῦτο δὲ, εἰ διὰ τῶν πραγμάτων τὰ ἐναγέστατα γίνοιτο. εὐ-
χὴ καὶ τράπεζα καὶ καταπέτασμα μυστικὸν, ἐφόδου βιαίας ὄργανα.
καὶ περὶ τούτων ἤδη καὶ ἐν ἄστει διέγνωσται. καὶ συνέτυχε δὲ οὕτως, ὥστε πρὸ ὀ-
λίγου; ἅπαντας ἐπισκόπους ἐν τῇ Πτολεμαΐδι ποτὲ συνδεδραμη-
κέναι κατά τινα σκέψιν πολιτικήν. ἀκροώμενοι δὲ, τὴν μὲν πρᾶξιν ἐ-
μίσουν. τὴν δὲ μετάστασιν ᾤκνουν. ἐγὼ δὲ τὴν δεισιδαιμονίαν ἀξιῶ
διαστέλλειν

διαστέλλειν ἀπὸ τῆς δυσσεβείας. κακία γάρ ἐστιν, ἀρετῆς προσωπεῖ-
ον περικειμένη. ἣν φιλοσοφία τὸ τρίτον εἶναι τῆς ἀθεΐας εἶδος ἔφρα-
σεν. οὐδὲν οὖν ἱερὸν οὐδὲ ὅσιον ἡγῆμαι, τὸ μὴ δικαίως τε καὶ ὁσίως γι-
νόμενον. οὕτως οὖν ἐπῄει μοι πεφρικέναι τὴν λεγομένην καθίδρυσιν.
οὐ γάρ ἐστι τὰ χριστιανῶν, ὥσπερ τὰ μαγικὰ, εἶναι τοῖς δὲ τοῖς τελεστι-
καῖς ὕλαις τε καὶ φωναῖς, ὥσπερ ὁλκαῖς τισὶ φυσικαῖς ἀκολουθῆσαι
τὸ θεῖον, ὅπερ ἂν πάθοι πνεῦμα ἐγκόσμιον. ἀγνῶς γέ περ εἶναι τοῖς ἀ-
παθέσι καὶ τοῖς οἰκείαις τοῦ θεοῦ διαθέσεσιν. ὅπου δὲ ὀργὴ καὶ θυμὸς
ἀσυνώμων, καὶ δύσερι πάθος ἡγεῖται τῆς πράξεως, πῶς εἰκὸς τὸ πνεῦ-
μα τὸ ἅγιον παραγίνεσθαι. ὧν ἐπεισελθόντων, κἂν συμβῇ προεγνωκὼς
ἐξοικίζεσθαι. ἐγὼ μὲν οὖν εἶχον ὡς ἀποφανούμενος τὴν μετάθεσιν. ὁ δὲ,
καὶ διηλέγχετο, καὶ πρότερον ὑπισχόμενος αὐτὴν ὅρκου τὴν ὑπόσχεσιν βε-
βαιώσαντος. τοῦτο λαβόμενος ἀσμένως, ἤδη τὴν ἀπόφασιν ἀπεδίδρα-
σκον. ἀντ' ἐκείνου αὐτὸν ἀπέφαινον ἑαυτοῦ δικαστὴν, καὶ τὸν οἰκεῖον
ὅρον ἐκβιβάζειν ἠνάγκαζον. ἀνατιθεμένου δὲ καὶ διατρίβοντος, ἐπεὶ
δὴ τῆς ἐκκλησιαστικῆς ἕνεκα σκέψεως αὐτόθι παρεγινόμην, ἐδέη-
σεν ἐπιβαλεῖν τὰς ὄψεις τῷ τόπῳ, καὶ ἐπιδιαγνῶναι τὰ τῆς ὑποθέσε-
ως. καὶ πάλιν παρῆν ὅμιλος ἐπισκόπων ἐκ τῆς περιοικίδος, ἄλλου
κατ' ἄλλην χρείαν συνειλεγμένων. ἐφ' ὧν ἁπάντων κἀμοῦ, οἵ τε ὅ-
ροι διεδείκνυντο. τὴν τοῦ Δαρδανίτου μερίδα σαφῶς ἀποτεμνόμε-
νοι, καὶ μαρτυρία γερόντων, καὶ συγκαταθέσεις τῶν τέως ἀντιλεγόντων,
τὸν εὐλαβέστατον Διόσκορον, τοῦ χωρίου δεσπότην ἀπέφηναν.
ἐγκειμένου δὲ τοῦ ἀδελφοῦ Διοσκόρου, γέγονεν ἀνάγκη καὶ τὸ γραμμα-
τεῖον τὸ λοίδορον εἰς κοινὸν ἅπασιν ἀναγνωσθῆναι, ὃ πρὸς τὴν ἁγι-
ότητα τὴν σὴν, ὁ εὐλαβέστατος Παῦλος ἐπεποίητο ἐν ἐπιστολῆς
εἴδει, κωμῳδίαν ὧν τὸν ἀδελφὸν ἀνασεσυρμένην καὶ πλημμελῆ.

ἀφῆς αἰσχύνεσθαι περιῆν, οὐ τῷ κακῶς ἀκούσαντι, τῷ δὲ κακῶς ἀ-
γορεύσαντι. ἀλλ᾽ ἔστιν ἄρα καὶ τοῦτο δεύτερον ἀγαθὸν, τὸ αἰσχύνε-
σθαι. τὸ μὲν γὰρ ἀναμάρτητον, θείας ἀντικρὺς ἢ καὶ μοίρας τῆς
φύσεως. τὸ δὲ ἐπὶ τοῖς οὐκ εὖ γιγνομένοις ἐρύθημα, σωφροσύνης τις
ἂν ἀπεφήνατο. ἅπερ ὑποστὰς, ἐπὶ τοῦ παρόντος πράγματος ὁ εὐ-
λαβέστατος Παῦλος, ἁπάσης ῥητορείας ἰσχυροτέραν ἀπέφηνε τὴν
τῆς οἰκείας γνώμης μετάνοιαν. τὸ γὰρ ὁμολογῆσαι τε ἁμαρτεῖν, καὶ
φανῆναι τὴν αἰσχρὰν λύπην τὴν ὡς ἐπὶ κακοῖς αὐθαιρέτοις λυ-
πούμενον, πάντας ἡμᾶς εὔνους αὐτῷ καὶ συνδιατιθεμένους πα-
ρέσχετο. καὶ τὸ μὲν ἡμέτερον, θαυμαστόν. ἀλλ᾽ ὁ εὐλαβέστατος ἐπίσκο-
πος Διόσκορος, ἐπειδὴ τὸν τέως διαφιλοτιμούμενον ταπεινότε-
ρον ἐθεάσατο, τῇ ψήφῳ κρατῶν, ἡττήθη τῇ γνώμῃ. καὶ γέγονεν ἐ-
πὶ τῷ εὐλαβεστάτῳ Παύλῳ, ποιεῖν ὁπότερα βούλοιτο κατασχεῖν.
ἢ παραδοῦναι τὸν λόφον τοῦ θαυμαστοῦ Διοσκόρου, πολλαῖς ἐνδόν-
τος αἱρέσεσιν, ὧν οὐδεμιᾶς ἂν ἀκοιὼ πρὸ τῆς ἐκείνου μετανοίας
ἠνέσχετο. καὶ γὰρ ἀποδόσθαι μόνον τὸν λόφον, καὶ ἀμοιβὴν δοῦναι
τιμῆν ἅμα τὸ κτῆμα, καὶ ἄλλα πολλὰ προσεξεῦρεν, ἐπιδαψιλευό-
μενος αὐτῷ πόρους, ἀφ᾽ ὧν αὖτις προλήψει χαρίσαιτο. ὁ δὲ, ταῦτα
μὲν ὤκνει. ἠξίου δὲ ὑπεισελθεῖν αὐτὸς τὴν εἰς τὸν ἀδελφὸν Διόσκο-
ρον γινομένην ὠνὴν, καὶ ἐπὶ τοῖς αὐτοῖς αὐτίκα καταστῆναι, δεσπό-
της τοῦ κτήματος. ἐγένετο πρὸς τῷ λόφῳ καὶ τῶν ἀμπελώνων
καὶ τῶν ἐλαιώνων ἐγκρατής. τῷ δὲ, ἡ μεγαλοφροσύνη κτῆμα ἀν-
τὶ κτήματος, μεῖζον ἀντ᾽ ἐλάττονος περιγέγονε. κοινὸν ἀμφοῖν ἀ-
γαθὸν, ἡ φιλαδελφία. καὶ τὸ εἴσω γενέσθαι τῶν νόμων τῶν εὐαγ-
γελικῶν, οἳ συνεκτικωτάτην τῶν ἐντολῶν τὴν ἀγαπητικὴν διάθε-
σιν ἀπεφήναντο. ἓν τοῦτο μόνον ἔδει μνήμης ἀξιῶσαι μηνύσαντα

ἀδελφῶν

ἀδελφῶν τὰς συμβάσεις καὶ τὴν ὁμόνοιαν. τὸ μέσον δὲ παραλιπεῖν, ὅστις ἐπίσκοπος ὢν, ἥλω τί ποιήσας. ἃ γὰρ οὐκ ἔδει πεπραχέναι, ταῦτα καλῶς ἔχει διδόναι τῇ λήθῃ. ἀλλ᾽ ἵνα μὴ πάντα ἐκ πάντων ὁ ἀδελφὸς Διόσκορος ἀποτυγχάνῃ, ταῖς αἰτήσεσιν αὐτοῦ δέδωκα τὸ πᾶσιν ἀκριβῶς ἐπεξελθεῖν, ἵνα μηδὲν ἀγνοήσειεν ἡ σὴ θεοσέβεια, ἣν οὐ παρὰ φαῦλον, ἀλλ᾽ ἀντὶ παντὸς ἐποιούμην, πεισθῆναι, διὰ τῶν ἀποβάντων, ὅτι μὴ ἐπ᾽ ἀδίκοις ἐφιλονείκησε. κἀγὼ τὸν ἄνδρα τά τε ἄλλα ἐπαινῶ. πάνυ γάρ μοι πρὸς τρόπου, καὶ φιλεῖς τὸν θρόνον αἰδοῦς, ὑπεράγαμαι. καὶ ναὶ μὰ τὴν φίλην σου καὶ σεβασμίαν κεφαλὴν, πολλὴν οἶμαι χάριν ὀφείλειν αὐτῷ τοὺς ἐν Ἀλεξανδρείᾳ συμπτωχοὺς, ὧν τοὺς ἀγροὺς ἐκπονεῖ πανταχοῦ γινόμενος, ἐξ ἀπόρων φόρους εἰσλέγων, καὶ τοῖς καιροῖς παριστάμενος. τὰ μὲν περὶ τὴν τῶν ἐπισκόπων στάσιν, οὕτως ἐχώρησεν. ἐπίταγμα δὲ ἦν, ὅπως ἀκούσωμαι καὶ Ἰάσονος, ὃς ἔφη πολλὰ τὰ ἄδικα παρὰ συμπρεσβυτέρου παθεῖν. οὕτως οὖν ἔχει κἀκεῖνα. Λαμπωνιανὸν Ἰάσων εἷλεν ἀδικίας. ὁ δὲ, φθάσας, ὁμολογίᾳ τὸν ἔλεγχον, ἔχει τὴν δίκην, ἐκκλησιαστικῶν συνόδων, εἰργόμενος. καίτοι καὶ δάκρυον ἐκ μετανοίας ἀφῆκε. καὶ δῆμος ἱκέτης αὐτὸν ἐξῃτήσατο. ἀλλ᾽ ἐγὼ τῷ δεδογμένῳ ἐνεκαρτέρησα. τὸ δὲ λῦσαι τὴν αὐθεντίαν, εἰς τὴν ἱερατικὴν καθέδραν ἀνέπεμψα. τοσοῦτον οὖν ἐμαυτῷ συνεχώρησα. εἰ προσπελάσειε Λαμπωνιανῷ τὸ χρεὼν, καὶ ἡ κυρία παρεῖναι δοκεῖ, πᾶσιν ἐφῆκα τοῖς τότε παρεσομένοις πρεσβυτέροις, κοινωνίαν αὐτῷ μεταδοῦναι. μηδεὶς δὲ ἀποθάνῃ δεδεμένος ἐμοί. ἀναρρωσθεὶς δὲ, πάλιν ὑπὸ τοῖς αὐτοῖς ὑπόδικος ἔστω. καὶ παρὰ τῆς θεσπεσίου σου καὶ φιλανθρώπου ψυχῆς, περιμενέτω τῆς συγγνώμης τὸ σύνθημα. οὐδὲ γὰρ οὐδὲ Ἰάσων πάντα ἀναίτιος ἑαυτῷ. προ-

πετῆς αὐτοῦ γλώττης, ἐνέτυχεν ἀνδρὶ προπετεστέρῳ τὴν χεῖρα. ὃ
τοῦτο δὴ τὸ λεγόμενον κουφοτάτου πράγματος λόγον, βαρυ-
τάτην τὴν τιμωρίαν ἐξέτισε. καὶ περὶ τῶν ἐγκλημάτων ἃ δι-
είληφα, ταῦτα Λαμπωνιανὸς ἔχειν ὁμολογεῖ. καὶ οὐδὲν ἀξιοῖ
παρὰ τῆς ναυαγίας ὠφεληθῆναι, τῆς ποιησάσης ἀφανὲς τὸ συμ-
βόλαιον. ἀλλὰ καιρὸν αἰτεῖ, τοὺς καρποὺς ὠνίους γενέσθαι. καὶ
ἐφηπτέντων ἀμελήσας, ἑνὶ τούτῳ προσέχειν τὸν νοῦν, ὡς αὖ τὰ
πτωχικὰ καταθέσθαι χρήματα. νομίσματα δὲ ἦν ἑπτὰ καὶ πεν-
τήκοντα πρὸς τοῖς ἑκατόν. ἀνοιστέον δεῖ καὶ περὶ τῶν δὲ τῶν γινομέ-
νων παρ' ἡμῖν, ἵνα γινόμενα παύσηται. ἱερεῖς ἱερέας παρανόμως
διώκουσιν. εἰ μὲν οὖν ψεύδεσιν, οὔπω λέγω. πάντως δὲ μετεω-
βούλου τῆς προαιρέσεως. οὐ γὰρ ἵνα λάβωσι δίκας, ἀλλ' ἵνα τοῖς
ἄρχουσι τῶν στρατευμάτων, ἄδικα κέρδη μνηστεύσωσιν. ἐπεὶ δὲ
τοὺς ἐμοὺς ὤμους ἀναβαίνειν ἀνάγκη, τὰ πάντων φορτία. διὸ
δέομαι γράφε καὶ διατάττου μηδενὶ μηδὲν ἐξεῖναι τοῦτο ποιεῖν
ὃ ἐμοὶ χαρίσῃ καὶ τοῖς ἀπραγμονεστέροις καὶ κακῶς πάσχου-
σιν ἀμυνεῖς. καὶ πολὺ πλέον εὖ πεποιηκὼς ἔσῃ, τοὺς ἀδικοῦντας
αὐτοὺς ἐπὶ τὸ μεῖζον ἀγαθὸν τὸ μείζονος ἀπαλλάξαι κακοῦ. κα-
κὸν ἢ μεῖζον τοῦ ἀδικεῖσθαι τὸ ἀδικεῖν. τὸ μὲν γὰρ ἴδιόν ἐστι κακόν.
τὸ δ' ἀλλότριον. αὐτοὺς τε γὰρ ὦ κατεμήνυσα τίνες εἰσί, μήτ' αὐτὸς εἰ καὶ
μάθοις ἐκ τοῦ ὀνόματος ἐξελέγξῃς τινά, ἵνα μὴ ἀπεχθοίμην ἀ-
δελφοῖς, οἷς εἰ ὅ κατὰ πρόσωπον ἰδίαν ἐπιτετίμηκα, συγχω-
ρήσει θεός. ἀλλὰ φανῇ τὸ πρᾶγμα μόνον μισῶν ἐν τοῖς πρὸς ἐμὲ
γράμμασιν. ἔσομαι γὰρ σὺν θεῷ μετὰ τοῦ πᾶσιν ἀλύπου τὸ μη-
κέτι προελθεῖν περαιτέρω τὴν ἀσχημοσύνην ἡμῶν. μὴ γὰρ εἴ-
ποιμι τῆς ἐκκλησίας. οἰκονομήσασθαι δὲ ἓν ἔτι λοιπόν, καὶ
λόγου πεπαύσομαι. πελινοσοῦσί τινες βανάυσιβοι παρ' ἡμῖν.

ἀνέξῃ

ἀνέξει γάρ μου μικρὸν ὑποβαρβαρισάσης, ἵνα διὰ τῆς συνηθεστέρας
τῇ πολιτείᾳ φωνῆς, τὴν ἐνίων κακίαν ἐμφαντικώτερον παρα-
στήσαιμι. οὗτοι καθέδραν μὲν ἀποδεδημευμένην ἔχειν οὐ βούλον-
ται. οἵγε τὴν οὖσαν ἀπολελοίπασιν, οὐ κατὰ συμφοράν. ἀλλ᾽ αὐ-
θαίρετοι μετανάσται γινόμενοι. καρποῦνται δὲ τὰς τιμάς, ἐκεῖ
περινοστοῦντες, ὅπου κερδαλεώτερον. ἐμοὶ δὲ δοκεῖ πάτερ σεβασμι-
ώτατε, χρῆναι τούτοις, ὅσοι τὰς οἰκείας ἐκκλησίας ἀπείπαντο
πᾶσαν ἐκκλησίαν ἀπείπασθαι. καὶ πρὶν ἂν ἀπελθόντες, ἐκεῖ κα-
ταστήσωνται, μηδένα δέχεσθαι θυσιαστηρίῳ. μὴ δὲ εἰς προεδρίαν κα-
λεῖν. ἀλλὰ περιορᾶν ἀγελαίους ἐν ταῖς δημοτικαῖς καθέδραις,
ὅταν εἰς ἐκκλησίαν ἐμβάλωσι. τάχα γὰρ ἐπανέλθοιεν εἰ περὶ τῆς
τιμῆς κινδυνεύοιεν, ἧς ἀξιοῦσιν ἀπολαύειν ἅπαν τάχου μᾶλλον,
ἢ οἷ προσήκει. δέξαιντο γὰρ ἐκεῖ μᾶλλον ἢ μηδαμοῦ. καὶ δη-
μοσίᾳ μὲν, οὕτω προσοιστέον αὐτοῖς, ὡς αὐτίκα ἰδιώταις αὖ καὶ
τῷ σεμνοτάτῳ συνθρόνῳ συνδοκεῖ. ἰδίᾳ δὲ τὸ κατ᾽ οἶκον, εἰσόμεθα
πῶς ὅταν ἥκῃ παρὰ τῆς σῆς θεοσεβείας ἀπόκρισις ἐκείνης τῆς πεύ-
σεως ἣν πρῴην ἠρώτησα περὶ Ἀλεξάνδρου κυρηναίου μὲν ἀνδρὸς
τὸ γένος, ἱερατευσαμένου δ᾽ ἐν τινὶ πόλει τῶν Βιθυνῶν. ὃς ἐκ περ-
σῶν, κατὰ δή τινα στάσιν ἔξω ἐπανελθὼν, οὐκ ἐπάνεισιν. ἀλλ᾽ ἡ-
μῖν ἐπιχωριάζει. περὶ τούτου γέγραφα πρὸς τὴν σὴν ἁγιότητα, πᾶ-
σιν ἀκριβῶς ἐπεξελθὼν τοῖς περὶ αὐτὸν γενομένοις, καὶ γνώμην αἰ-
τῶν, οἷ τανῦν τὸν ἄνδρα. ἐπεὶ δὲ οὐδὲν ἥκει μοι περὶ τούτων ἀν-
τίγραφον, ἀμφίβολος ὤν, πότερον διαπέπτωκεν, ἢ διεκομίσθη
τὰ γράμματα, μέχρι τῆς μακαρίας σου κεφαλῆς, δεδέλεγμαι
περὶ τούτου πρὸς τὸν θαυμαστὸν Διόσκορον τὸν ἐπίσκοπον τοῖς· ταῖ-
χυγράφοις τὰ ἀντίτυπα δοῦναι τῶν τότε γραφέντων ἐπέταξα, ἵ-
να εἰ μὴ τυγχάνοις δεξάμενος τὴν ἐπιστολὴν, ἔχεις παραινοῦσ

αὐτῇ ποσί τε, καὶ πρὸς ἐμὲ διαπέμψασθαι τὰ ἀμοιβαῖα. ἐπὶ πᾶσιν εὔχου περὶ ἐμοῦ· περὶ καταλελειμμένου τῇ εὐχῇ, καὶ τοῖς πᾶσιν ἐρήμου, καὶ δεομένου συνεργείας τοιαύτης· ὡς αὐτός γε ὀκνῶ περὶ ἐμαυτοῦ τι φθέγξασθαι πρὸς θεόν· ἅπαντα γὰρ εἰς τοὐναντίον μοι περιίσταται· διὰ τὴν ῥιψοκίνδυνον τόλμαν, ὅτι ἄνθρωπος ἐν ἁμαρτίαις, ἀπότροφος ἐκκλησίας, ἀγωγὴν ἑτέραν ἠγμένος, θυσιαστηρίων ἡψάμην θεοῦ. Τῷ αὐτῷ.

ω Δέδωκα τὴν ἐπιστολήν, στέλλεται μὲν τὴν πρᾶξιν, ἣν οὐχ ὅσιον ἐμοὶ διηγήσασθαι· ὅτι δὲ ἀρετήν, ἡμέρας ἀσκεῖ, τοῦτο καὶ θέμις εἰπεῖν· καὶ παντάπασιν ἀληθές. ὡς μὲν οὖν ἀγαθὸν ἄνδρα, τιμήσεις. ἣν δὲ ἐγράψατο γραφήν, οἰκείαν εἱμαρμένην πληρούτω. μὴ δὲ γὰρ δικαίου ποτὲ φόνου προσάψοιο. Τῷ αὐτῷ.

μ Εἰ γάρ σοι μέλει περὶ τὰς πόλεις· οὐκοῦν ἐν τῇ εὐχῇ μὲν ταῖς δημοσίαις ἐπιστολαῖς. ὅτι δὲ κακὰ πλείω καὶ μείζω γέγονεν, ἢ φοβεῖ τὰ γράμματα, λέγοντος ἀκούσῃ τοῦ διακομιστοῦ· στέλλεται μὲν γὰρ ἐπὶ συμμαχίαν, ὡς ἐκεῖθεν αἰτήσων· τὰ δὲ τῶν πολεμίων, οὐδὲ τὴν ἔξοδον αὐτοῦ περιέμεινεν· ἀλλ᾽ ἔφθησαν ἐκχυθέντες ἀθρόοι κατὰ τῆς χώρας. πάντα οἴχεται· πάντα ἀνήρηται. αἱ πόλεις ἔτι λοιπαί· τὸ μέχρις οὗ γράφω, λοιπαί. τὸ δὲ εἰς τὴν ἐπιοῦσαν, θεὸς οἶδε. πρὸς ταῦτα εὐχῶν δεῖ τῶν σῶν. εὐχῶν λέγω, τῶν ἐθελόντων τὸ δυσωπεῖν τὸν θεόν· ἐγὼ πολλάκις ἤδη καὶ τὰ ἴδια καὶ τὰ κοινά, μάτην ηὐξάμην· τί λέγω μάτην· εἰς τοὐναντίον μοι περιίσταται. τοιοῦτόν εἰσιν αἱ ἁμαρτίαι, βαρεῖαί τε καὶ πολλαί. Τροΐλῳ.

π Ἔρισιν ἔσχηκέ μοι γράμματα παρὰ τῆς ἱερᾶς σου χειρός. ηὐλόγησα καὶ τοῦτο μετὰ τῶν συντυχόντων μοι κατ᾽ ἐκεῖνο καιροῦ δυσχερῶν. πολλὰ γὰρ τῶν ἄλλων ἐγὼ πέρισιν ἠνιάθην. ἀγαθὸν τῇ ἐς χει-

μων

μὼν, ὅ,τι μοι λοιπὸν ἦν τῶν εἰς εὐχαριστίαν ἀφείλετο, τὸ παιδί-
ον. εἵμαρτο γὰρ ἄρα, συνόντι μὲν ὑμῖν, εὐτυχεῖν· ἀπόντι δὲ, χαλε-
ποῦ πειρᾶσθαι τοῦ δαίμονος. γινέσθω δή τις παραμυθία, τὸ δέξα-
σθαι τῆς πατρικῆς συνκεφαλῆς γράμματα, τὸ τιμαλφέστατον
ἀπὸ θρᾴκης ἀπόγιμον. Πυλαιμένει.

δ Ἴσθι οἱ λόγοι λέγονται περὶ σοῦ. τοιγαροῦν ὁμοῦ μὲν ἐπὶ
θρᾴκης. ὁμοῦ δὲ εἰς ἰσαύρους γράφω, τοῦ περιτυχεῖν σε
πάντως, μιᾷ γέ τινι τῶν ἐπιστολῶν. ὑπόθεσις δὲ ἀμφοῖν, ἀσπάσα-
σθαι τὴν φιλτάτην κεφαλὴν πυλαιμένην τὸν φιλόσοφον. τοῦτο
γάρ ἐστι κἂν βούληται. κἂν μὴ βούληται. οὐ γὰρ μήποτε κατισχύσειε
τοῦ πεφυκότος. οὐ δ᾽ οὖν μὴ σβέσει τὸν σπινθῆρα τοῦ θείου πυρός. ἀλ-
λ᾽ ἀναψύξει ποτὲ, τῆς μοχθηρᾶς ἀγωγῆς ὑπεξάνω γινόμενος.

Τοῖς ἐπισκόποις.

α Ἀνδρόνικος τὴν ἐκκλησίαν λυσάμενος, ἀληθευού-
σης αὐτῆς πειραθείτω. πρώην οὔπω πάνυ πρώην, ἡμάρτηκεν
εἰς θεόν. ἐξύβρισεν εἰς αὐτούς. ἐφ᾽ οἷς ἀποκλείσαντες αὐτῷ τὴν πα-
ρ᾽ ἡμῖν ἐκκλησίαν, ὑπηγορεύσαμεν πρὸς τὴν ὑμετέραν ἀδελφό-
τητα γράμματα, τὴν ἐπ᾽ αὐτῷ γνώμην μηνύοντα. τοῦτον ἔ-
φθασε τὴν ἀποστολικὴν ἱκετείαν προσποιησάμενος, καὶ μετά-
νοιαν ὑποσχόμενος, ἣν ἅπαντες ἠξίουν μὲν δέχεσθαι. πλὴν ἐμοῦ. ἐ-
γὼ γὰρ ἐδόκουν σαφῶς καταγενοηκέναι τὸν αὐτὸν, πάντα ῥᾴδιον
εἰπεῖν καὶ ποιῆσαι. καὶ προσεδεχόμην τε ἃ προέλεγον ὡς ἐκ τῆς τυχού-
σης αἰτίας, εἰς τὴν φύσιν ἐπανελεύσεται. ὅν γε εἰκὸς ἀτολμότερον
ἔσεσθαι προσκεκυφότα ταῖς ἐκκλησίαις πολὺ μᾶλλον, ἢ εἰ μηδὲν
ὕποπτον αὐτῷ καταλέλειπτο. διὰ τοῦτο μὲν οἷος ἦν ἐγκαρτερῆσαι τῷ
δόγματι. ὡς ἁμαρτάνει τε πρὸς θεὸν δυσσεβέστερον βουλευσάμενος, ἃ τὰ πρὸ τοῦ

πολίταις ὠφελιμώτερον. ἀλλ' ἴταμὸν γὰρ ἀντισχεῖν ἔνια πολλοῖς παλαιοτέροις νεώτερον. πρὸς δὲ δὴ πανηκόσι τὸν βίον ἱερωσύνῃ, τὸν οὔπω περιεστημμένον τοῦ πράγματος, εἶξα δεομένοις, μήπω περιπέμψαι τὰ γράμματα, δέξασθαι δὲ ἐπὶ ῥητοῖς, ἐφ' ὧ μηκέτι μανεῖται κατὰ τῶν ὁμοτίμων. ἐφ' ὧ νοῦν ἀντὶ πάθεως τοῦ βίου προστήσεται. καὶ μὲν ἔφην εἴσω μενεῖν τῶν ὅρων οὓς ἔθου, νῦν τε ὑπερευξόμεθά σου τῆς ἁμαρτίας, καὶ τοῦ λοιποῦ συνευξαίμεθα. ἀναδυσαμένῳ δὲ τὰ τῆς ὁμολογίας, ἡ δίκη μένει. καὶ εἰς ἅπαντα δημοσιευθήσεται. τοσοῦτον ἀνατεθεῖσα χρόνον, ὅσον ἐλέγξαι σου τὸν τρόπον, ἀνεπανόρθωτον. ἔδοξε ταῦτα. καὶ πεῖραν αὐτός τε ἔφη δώσειν καὶ ἡμᾶς λήψεσθαι. δέδωκε. καὶ εἰλήφαμεν. ἐπειδὴ ψιλεύσαιτο ταῖς ὑποθέσεσι τῶν ἀποκηρύξεως. οὔπω τότε δήμευσις ἐτετόλμητο. οὔπω τότε φόνος ἐνεκεχείριστο. πόσοι διὰ τούτων ἀλῶνται. πόσοι τῶν πρώην ἐπικτηματικῶν, διὰ τούτων πτωχεύουσιν. ἀλλὰ μικρὰ ταῦτα, πρὸς τὸν υἱὸν μὲν γεγονότα μάταιον, κακῶς δὲ ἀπολόμενον. κεῖται παῖς ἀνδρὸς λαμπροτάτου, ἅπασι τοῖς οὖσι λελειτουργηκὼς τῇ πόλει, τῷ πρὸς ἕτερον φθόνου γεγονὼς παρανάλωμα. ᾐτεῖτο χρυσίον. ὁ μὴ διδοὺς, ἐτύπτετο. καὶ διδοὺς, ὅτι πόρον ἐξεῦρεν, ἐτύπτετο. τί γὰρ οὐ τοῖς αὐτοῦ φίλοις, ἀλλὰ τῷ στρατηγῷ τὸν ἀγρὸν ἀπέδοτο. δακρύω μὲν ἐγὼ καὶ τὴν παρανομηθεῖσαν νεότητα, καὶ τὰς ἐπ' αὐτῇ ματαίας ἐλπίδας τοῦ πατρὸς. ἀλλὰ τῆς ἐκείνου νεότητος, τὸ τῆς μητρὸς γῆρας ἐλεεινότερον, ὅτι δυοῖν ἀρρένων, ὁ μὲν, οἴχεται φυγὰς δι' Ἀνδρόνικον, καὶ οὐδὲ οἶδεν οὗ γῆς. τὸν δὲ, οἶδεν οὗ γῆς κατορώρυχε. φησὶ τῶν νόμων τῶν συναδικουμένων παρ' οὓς ἄρχουσι τῆς ἑαυτῶν. παρ' οὓς ἐπαρχεῖ δὲ μειζόνων χρήματα. τούτῳ μὲν οὖν ἑτέρους ἐπιμελητὰς ὁ θεὸς εἶναι βούλεται.

λεται. ἡμῖν δὲ ἀπόχρη καθαρεύειν ἐν καθαροῖς, ἐὰν ἄρα δυνώμεθα, μένειν ἔσω τῶν περιβόλων τῶν ἱερῶν, ἀποκλείειν τε τοῖς ἐναγέσι τὰ ἀνάγιστα.

Τρωΐλῳ.

σ Υ γὰρ δὴ καὶ φιλόσοφος εἶ καὶ φιλάνθρωπος, σοί με δεῖ προσανακλαύσασθαι τὰς τῆς ἐνεγκούσης συμφοράς. ἣν τιμήσεις μὲν, διὰ πολίτην φιλόσοφον, ἐλεήσεις δὲ, διὰ τὸ τῆς σαυτοῦ φύσεως ἥμερον. δι' ἀμφότερα δὲ, πεσοῦσαν ἀνορθῶσαι πειράσῃ. δυνήσεσαι δὲ, ἐπειδὴ σώζειν τὰς πόλεις ἀνθέμιος, καὶ φύσιν ἔχει καὶ τύχην. καὶ τέχνην. ὧ πολλῶν ὑπαρξάντων εἰς τοῦτο παρὰ θεοῦ, τὸ μέγιστον ἀγαθὸν, οἱ φίλοι. καὶ τούτων Τρωΐλος τὸ μέγιστον. ὅπως οὖν μὴ μόνον τοὺς ὀφθαλμοὺς ἐπιβάλλῃς, ἀλλὰ καὶ τὸν νοῦν, πάνυ σφόδρα προσέξεις τοῖς γράμμασιν, ὧν ἐγὼ πολλὰ κατέσπεισα δάκρυα. τί γὰρ δή; φοινίκων μὲν οὐκ ἄρχουσι φοίνικες. οὐδὲ κοιλοσύρων κοιλόσυροι. αἰγύπτιοι δὲ πάσης μᾶλλον, ἢ τῆς ἑαυτῶν. λίβυες δὲ μόνοι τῆς ἑαυτῶν. ἢ μόνοι λίβυές εἰσιν ἀνδροφόνοι, καὶ χωρεῖν ὁμόσε τοῖς νόμοις ἐγνώκασιν. ὧν ὅτε πλείω καὶ φοβερώτερα τοῖς παραβαίνουσι γέγονε τὰ ἐπιτίμια, τότε μᾶλλον αὐτοῖς αἱ πονηραὶ φύσεις ἐνεκυβίσθησαν. ἔδει μὲν ἄρδην ἀνῃρῆσθαι τὴν πρὸς κυρήνην πεντάπολιν. ὁ δὲ λιμὸς καὶ ὁ πόλεμος, οὔπω πᾶν ὅσον ἔδει κατήνυσαν. ἀλλὰ διατρίβουσι καὶ κατὰ μικρὸν ἀπολλύουσιν. οὐκοῦν τὸ λεῖπον εἰς τὸ ταχὺ κατειργάσθαι προσεξεύρηκα μέν. καίτοι τοῦτ' ἔστιν. ὃ τὸ παλαίφατον λόγιον ἐπεχρησμώδησε τῇ τελευτῇ πενταπόλεως, πατέρων αὐτὸ καὶ πάππων ἤκουσα μέν. ὄφθερεῖ τὰ λιβύων ἡγεμόνων κακότης. αὐτὸ γὰρ τοῦτό ἐστι, τοῦ χρησμοῦ τὸ τεμμάχιον. ἀλλ' εἰ καὶ πέπρωται τοῦτο ἀναβολήν τινα τοῦ κακοῦ μηχανήσασθαι. καὶ γὰρ ἡ τῶν ἰατρῶν τέχνη, τὸ μὲν ἀπο-

θέμενον ἄνθρωπον, ἐπειδὴ φύσις ἐστὶν, οὐ καθάπαξ κωλύει· ἐμποιεῖ δέ τινα διατριβὴν τῶν χρεῶν· ὁμοιοῦντι αὐτοῦ μὲν καὶ παρὰ τῆς τέχνης τῆς ἀρχικῆς. βοηθησάτω τῇ φύσει κατὰ τῆς νόσου. μὴ μέντοι κατασπευδέτω τὸν ὄλεθρον, μὴ, δέομαι. μὴ γένοιτο τῶν Ἀνθεμίου τοῦ μεγάλου καιρῶν, ἐπαρχίαν ῥωμαϊκὴν ἐκ μέσης ἀνῃρῆσθαι τῆς διοικήσεως· εἴτε πρὸς αὐτὸν, εἴτε πρὸς τῶν λόγων. οὐ σὺ καταπεμφθῆναι τὸν νόμον γέγονας αἴτιος, ὃν τοῖς πάλαι τὸν πρόσφατον; ὃς ἀνατείνεται πολλὰ καὶ χαλεπὰ τοῖς μνηστευομένοις τὴν τῆς ἐνεγκούσης ἀρχήν; πῶς οὖν οὐ νεμεσᾷς τοῖς φιλοτιμουμένοις ἐπὶ σοῦ διαρρηγνύναι τὰ σὰ πολιτεύματα. εἰ μὲν οὖν οὐ λανθάνουσιν, ἀδικεῖς. εἰ δὲ λανθάνουσιν, ἀμελεῖς. χρὴ δὲ οὐχὶ τὸν ἄνδρα τὸν ἡγεμονικώτατον. ἀλλ᾽ ἐν τούτῳ μάλιστα προσέχειν τὸν νοῦν· τοὺς ὑπάρξοντας ὡς βελτίστους αἱρεῖσθαι. θεία γὰρ αὕτη καὶ μεγαλοπρεπὴς ἡ πρόνοια, πρὸς ἣν δαπανᾶται φροντὶς εἰς ἐκλογὴν ἀνδρὸς ἀγαθοῦ. ἀλλ᾽ ἐν τούτῳ γάρ ἐστιν ἔθνος ὁλοκλήρου πέπηκται φροντίδα. τούτων οὖν εὐθὺς ἀπεγνωκέναι προσήκει τῶν ἐναγομένων τοῖς νόμοις, πρῶτον ἄρχουσι τῆς ἑαυτῶν. πρῶτον ἐφ᾽ ἡμῖν ὥσπερ ἐπὶ κτήμασι διαμείβονται χρήματα. στήσατε τὸ κακόν· ἄρχοντας ἡμῖν νομιμωτέρους ἐκπέμψατε· ἀγνοοῦντας· ἀγνοουμένους· ταῖς φύσεσιν, οὐ τοῖς περὶ ἑκάστου πάθεσι τὰ πράγματα κρίνοντας. ὡς τὰ νῦν ταῦτα καταπλεῖ δεσπότης ὁ πρώην ἀντιπολιτευόμενος. καὶ τὴν ἐν πολιτείᾳ διαφορὰν ἀπὸ τοῦ βήματος ἀγωνίζεται. ὅσα δὲ ἄλλα παραβλαστάνει κακά. συκοφαντεῖται συμπόσια. καὶ γυναικὶ δίδοται χάρις ἡ τοῦ πολίτου συμφορά. καὶ κατήγορος ἐκκέλευστος. ὃς δ᾽ ἂν μὴ γράψηται παρανόμων, ἑάλωκεν. εἰ μὴ καὶ πρὶν ἁλῶναι, τὰ τῶν ἑαλωκότων ὑπέμεινεν. ἐθεα-

σάμεθα

σάμεθα δεσμώτην ἀπὸ τούτου γενόμενον· ὅτι μὴ τὸν ἄρτι παυσάμενον τῆς ἀρίστης ἀρχῆς, ὃν ἐπὶ κλοπῇ δημοσίων ἐδίωκε. μᾶλλον δὲ τοῦτον οὐδὲ τεθεάμεθα, ἀλλ' ἀπείρητο προσιέναι καθάπερ τοῖς ἐναγέσιν, ἢ τοῖς βασιλέως ἐχθροῖς, ἕως διέπραξαν τὸ πᾶν ὅσον ἐβούλοντο. καὶ τὸν ἥλιον εἶδεν ἐπὶ ῥητοῖς ἄνθρωπος ἐφ' ὧν Γεννάδιον ἔγραψεν. ἀλλ' ἥ γε ἡμετέρα πέπονθε πόλις Γενναδίου μὲν τοῦ σώφρονος, καίτοι πολλῶν ὤνατο. καὶ τὸ μέγιστον, ὅτι τῷ λόγῳ καὶ πειθοῖ τὴν ἀρχὴν ἐπιτρέψας, ἔλαθεν ἡμᾶς τῶν ἀπηνεστάτων τε καὶ ὀνομαστοτάτων ἐπὶ σκληρότητι πλείονα χρήματα τοῖς δημοσίοις ψήφοις εἰσενεγκών· ἐφ' οἷς οὐδεὶς ἐδάκρυσεν. ἐφ' οἷς οὐδεὶς ἀπέδοτο τὸν ἀγρόν· ἐκείνην αὖτις εἰς φορὰν εὐσεβῆ δικαίως ἐκάλεσεν, ἣν οὐχ ὕβρεις ἢ μάστιξ ἠνάγκασε. τὰ δὲ περὶ τῶν πολιτῶν, φεῦ τῆς μνήμης τῶν πεπαυμένων. φεῦ τῆς πείρας τῶν ὁρωμένων· οὐδὲν οὖν ἀξιοῦμεν ἱκανόν, ἀλλ' ὑπὲρ τῶν νόμων Ἀνθέμιον ἱκετεύομεν. ὑπὲρ τῶν νόμων τὸν τούτων φύλακα, ὧν ἄξιον μὲν αἰδεῖσθαι τὴν ἀρχαιότητα· νόμου γὰρ δὴ καὶ τοῦτο σεμνότης. εἰ δέ τῳ δοκεῖ, τὰ διατάγματα τὰ νεώτερα, τὴν ὥς ἂν εἴποι τις ἔμψυχον ἔτι βασιλείαν ἐπιγραφόμεθα.

Πυλαιμένει.

ἐ Πέμψας σοι τὸν λόγον αὐτίκα τριῶν, τῆς ἀκριβοῦς ἐργασίας. ὃν αὖ μὲν ἐπαινέσῃ Πυλαιμένης κριτικωτάτῃ τῇ ἀκοῇ, αὐτὸ τοῦτο τῇ διαδοχῇ τοῦ χρόνου συνέστησεν. εἰ δὲ μηδὲν φανεῖται σπουδαῖον, ἔξεστι δήπου παίζειν τὰ παίγνια. Νικάνδρῳ.

τ Οὐ πιγραμμάσου τὸ κλεινόν. πῶς γὰρ οὐ κλεινὸν, ὅπερ ὁ μέγας ἐπήνεσε Νίκανδρος, τῆς χρυσῆς εἰκὼν ἢ κύπριδος ἢ στρατονίκη

ἐπίστασαι πάντως, ὅτι εἰς ἐμὴν ἀδελφὴν ἐποιήθη παρ' ἐμοῦ τότε, παρὰ τοῦ Στέχου μαθών· ταύτῃ τῇ φιλτάτῃ μου τῶν ἀδελφῶν ἣν καὶ διὰ εἰκόνος ἠξίωσα καὶ τοῦ Στέχου, Θεοδόσιος ὁ βασιλέως ὑπασπιστὴς σύνοικος, ἕνεκα μὲν τοῦ χρόνου καὶ τῆς ἐν στρατείᾳ προσεδρίας, καὶ ἐπεστάτησε πάλαι. σὺ δὲ σπουδὴν, πλέον δύναται τῶν ἐνιαυτῶν. ταύτῃ τι οὖν ὄφελος αὐτῷ γενοῦ καὶ τοῖς δίκαις ἐπινεύσειεν αὐτῷ πρὸς αὐθέμιον, ὀνειάθω διὰ τοῦ μεγάλου νικάνδρου.

Θεοφίλῳ.

Ἀλβιανοῖς, οὗτοι δὲ δῆμός ἐστι κωμήτης, ἐδέησεν αἱρέσεως ἐπισκόπου τοῦ μακαριωτάτου πατρὸς Ἀθαμάντος τῷ μακρῷ βίῳ τὴν ἱερωσύνην συγκαταλύσαντος. ἐπεκαλέσαντο δὴ κἀμὲ, κοινωνὸν αὐτοῖς γενέσθαι τοῦ σκέμματος. καὶ συνήσθην μὲν ἀνδράσιν ἐκ πολλῶν καὶ πάντων ἀγαθῶν ποιουμένοις τὴν αἵρεσιν. πολὺ δὲ πλέον Ἀντωνίῳ συνήσθην, τῆς καλοκαγαθίας, ὅτι καὶ καλῶν ἔδοξεν εἶναι κάλλιον. ἐπὶ γὰρ τοῦτον, ἡ πάνδημος ψῆφος ἠνέχθη. προστιθέντων δὲ καὶ δυοῖν εὐλαβεστάτων ἐπισκόπων τῇ γνώμῃ τοῦ πλήθους, οἷς συνετέθραπτο, καὶ ὧν τῇ θατέρου χειρὶ πρεσβύτερος ἀπεδέδεικτο, ἐτύγχανον μὲν οὐδ' αὐτὸς ἀγνοῶν πάμπαν τὸν Ἀντώνιον. ἀλλὰ δι' ὅσων αὐτὸν ἔγνων λόγων ἢ πράξεων, διὰ τούτων ἐπῄνεσα. προσθεὶς δὲ οἷς ἠπιστάμην καλοῖς, ἃ παρ' ἤκουσα, φέρω κἀγὼ τὴν ἐμαυτοῦ ψῆφον ἐπὶ τὸν ἄνδρα. καὶ γένοιτό μοι βουλομένῳ κοινωνὸν αὐτὸν εἰς τὴν ὁμότιμον ἱερωσύνην προσδέξασθαι. ἑνὸς οὖν ἔτι δεῖ, τοῦ κυριωτάτου μέντοι, τῆς ἱερᾶς σου χειρός. τούτου μὲν Ὀλβιανοῖς δεῖ. ἐμοὶ δὲ εὐχῶν.

Ἀνυσίῳ.

Οὐκ ἐθέλει παραμένειν ἀλλήλοις τὸ φῶς καὶ τὸ σκότος. ἀλλὰ νόμῳ φύσεως περιίσταται, ἐπανελθόντες ἀπὸ τῆς πεμπτῆς, ἀνδρόμικον κατελάβομεν.

Τῷ αὐτῷ.

Οὐδὲν ἂν γένοιτο περὶ τὰ πόλεις λυσιτελέστερον, τοῦ τοὺς ἀγαθοὺς καὶ ἄνδρας καὶ στρατιώτας Οὐννιγάρδας προτετιμῆσθαι πάντων στρατιωτῶν, οὐ τῶν ἐγχωρίων λεγομένων μόνον, ἀλλὰ καὶ ὅσοι πώποτε κατὰ συμμαχίαν τούσδε τοὺς τόπους ἀφίκοντο. ἐκεῖνοι μὲν γὰρ οὐδὲ πώποτε παραπλησίοις ἐλάττοσι τῶν πολεμίων μετὰ τοῦ θαρρεῖν συνηνέχθησαν· οὗτοι δὲ δὶς ἤδη καὶ τρὶς πρὸς ἄνδρας ὑπὲρ χιλίους τὸν ἀριθμὸν, μόνοι τετταράκοντα μετὰ τοῦ θεοῦ καὶ σοῦ στρατηγοῦ, παρετάξαντο· καὶ νίκας τὰς μεγίστας καὶ καλλίστας ἀνείλοντο. τῶν δὲ εἰς ὄψιν αὐτοῖς ἐλθόντων βαρβάρων, τοὺς μὲν, ἀπολωλεκότες τοὺς δὲ, ἀπεληλακότες, τά τε μετέωρα τῆς χώρας ἔτι περινοστοῦσι· καὶ τὰς εἰσβολὰς τῶν πολεμίων φυλάττουσιν, ὥσπερ σκύλακες αὐλῆς προπηδήσαντες, ἐφ᾽ ὧ θηρίον οὐκ ἐναλεῖται τῇ ποίμνῃ. ἀλλ᾽ ἡμεῖς αἰσχυνόμεθα τοὺς ἀριστέας, ἐν αὐτοῖς τοῖς ὑπὲρ ἡμῶν ἱδρῶσι δακρύοντας. οἷα γὰρ καὶ γεγράφασι πρὸς ἡμᾶς, ἐγὼ μὲν οὐκ ἀπαθῶς ἀναγινωσκομένων ἀκήκοα. ἀξιῶ δὲ μὴ δὲ σὲ τὴν ἱκεσίαν αὐτῶν περιιδεῖν· δέονται γὰρ δὴ σοῦ μὲν δι᾽ ἡμῶν· βασιλέως δὲ διὰ σοῦ δέησιν, ἣν εἰκὸς ἡμᾶς ἦν, ἐκείνων σιωπώντων ποιήσασθαι, μὴ καταλεγῆναι τοὺς ἄνδρας ἀριθμοῖς ἐγχωρίοις· ἀχρεῖοι γὰρ ἂν ἑαυτοῖς τε καὶ ἡμῖν γένοιντο, τῶν βασιλικῶν δωρεῶν ἀφῃρημένοι, εἰ μήτε ἵππων ἕξουσι διαδοχὴν, μήτε ὅπλων παρα-

σκηνὴν, μήτε διὰ πάντων ἀγωνιστὰς ἄνδρας οὖσιν ἀξιοῦσαν. μὴ σύ γε
ὦ μετὰ τοῦτον ἄριστε, μὴ περιίδῃς τοὺς στρατιώτας εἰς ἀτιμοτέ-
ραν τάξιν χωροῦντας. ἀλλ' οὐχὶ τε μενόντων ἄσυλοι τῶν γερῶν ἐν
βεβαίῳ τῆς πρότερον ἀξίας ὃ γένοιτ' ἄν, εἰ διὰ τῆς σῆς ἀναφο-
ρᾶς ὁ φιλανθρωπότατος ἡμῶν βασιλεὺς μάθοι, πόσον ὄφελος ἐγένε-
το τῇ πενταπόλει, καὶ δεηθείη τι βασιλέως ὑπὲρ ἡμῶν, ἐν τοῖς σαυτοῦ
γράμμασι δέησιν ἑτέραν, ἄνδρας ἑκατὸν ἑξήκοντα τοῖς τεττα-
ράκοντα τούτοις προστεθῆναι μετὰ θεοῦ, τίς οὐκ ἂν ἀποφήναι-
το διακοσίους οὐννιγάρδας καὶ γνώμην καὶ χεῖρα τούτοις πα-
ραπλησίους· ὧν οὐχ ἥκιστα ἐπ' αὐτοῦ μὲν τὸ πρᾶον τῆς γνώμης, σοῦ
στρατηγοῦντος, ἀρκέσειν εἰς τὸ διαπολεμηθῆναι βασιλεῖ τὸν αὐσυρια-
νὸν πόλεμον. ἐπὶ δὲ καταλόγων πολλῶν. τὸ τῆς φοιτώσης κα-
τ' ἐνιαυτὸν δαπάνης, τοῖς ἐνθάδε στρατεύμασι. χειρῶν δεῖ τῷ πο-
λέμῳ, καὶ οὐκ ὀνομάτων πολλῶν.

Ἀναστασίῳ.

ο Ὑδὲ νῦν ἐγὼ γέγονα χρήσιμος Εὐαγρίῳ τῷ πρεσβυτέρῳ. οὐδὲ
δὲ οὐδ' ἑτέρῳ τινὶ, τῶν ἀδικουμένων. ἄρχει δὲ παρ' ἡμῖν ὁ βερ-
ρονικεὺς, ἀνδρόνικος. ἀποφρὰς ἀνὴρ. παλαμναίαν ἔχων καὶ γνώ-
μην. καὶ γλῶτταν. ὃς εἰ μὲν ἐμοῦ καταφρονεῖ, πρᾶγμα οὐδέν.
ἀλλ' αἰσχύνομαι ἐπειδή μοι δοκεῖ καὶ τὰ θεῖα τιμῆσαι. οὗτος ἀράσσει τῇ κε-
φαλῇ τὸν οὐρανόν. νὴ τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλὴν,
σχῆμα πενταπόλει πένθιμον περιτέθεικε. δακτυλήθρας. καὶ ποδο-
στράβας ἐξευρὼν, καὶ ξένα ἄττα κολαστήρια κατ' οὐδενὸς τῶν ἀ-
δικούντων. πάνυ γὰρ νῦν ἔξεστι τῷ βουλομένῳ ἀδικεῖν. κατὰ
δὲ τῶν συντελούντων ὑπὲρ τῶν οὐσιῶν καὶ τῶν ἄλλων ὁ ποιῶν ὀφει-
λόντων. διὰ τοῦτο γὰρ ἀνὴρ ὑποθέσεις ἐξευρίσκει, τῇ τε ἑαυτοῦ καὶ

τῇ

τῇ θ' αὑτοῦ φύσει πρεπούσας· ὃν ἐπὶ τῶν δεσμῶν ὄντα, ταῖς ἀπαιτήσεσιν ἔταξε τοῦ στρατιωτικοῦ χρυσίου τοῦ καλουμένου τυρωνικοῦ. καὶ συνῆψε τὰ ἀλλάγια. καὶ ἀεί τι καινὸν ὑπὸ παλαιῷ κακῷ, ἐφῶ κατὰ φῦλα καὶ δήμους αἰκίζεσθαι· οὐ γάρ ἐστιν οὐδὲ τοῖς ἔχουσι καὶ πλουτοῦσιν, ἀμαστιγώτοις ἀναχωρῆσαι· ἀλλ' ἕως ὁ παῖς οἴκαδε βαδίζει τὸ χρυσίον οἴσων, ὁ δεσπότης ἠλόηται καὶ παρ' ἐνίους τῶν δακτύλων ἐγγύετο. ὅταν δὲ προφάσεως ἀπορῇ δυναμένης αὐτὸν ἑστιᾶσαι, Μαξιμῖνος καὶ Κλαυδίας ἔφεδροι. ἐν ἐκείνοις χαρίζεται τὰ πάθη. ἀλλά μοι δοκεῖ τοιοῦτος ὤν, πονηρῶν δαιμόνων προμοίρας τυγχάνειν. οἳ βούλονται μὲν ἐπεμβαίνεσθαι καὶ ἐντυχεῖν ταῖς παλαμναιοτάταις ψυχαῖς, αἷς ὀργάνοις δύνανται χρῆσθαι, πρὸς τὰς κοινὰς συμφοράς· ἀπὸ τούτων οὖν παρασκευάζουσιν αὐτῷ δόξαν ὡς ἀνδρὶ γενναίῳ. καίτοι πῶς εὔλογον ὅς τις ὑπερύψωσε τὸν ὑψηλόν. καὶ τὸν ταπεινὸν ἐταπείνωσεν. ἐφ' οὗ πῶς μὲν μέτριος καὶ πρᾶος τὸν τρόπον, ἐν καρὸς μοίρᾳ καὶ ἄτιμος. δύνανται δὲ μόνοι Ζηνᾶς καὶ Ἰούλιος· Ζηνᾶς, ὁ πράξας πέρυσι τοὺς δημοσίους φόρους· ὃς ἀπειλεῖ τὸν ἐμὸν ἀδελφὸν Ἀναστάσιον, παρὰ πρεσβείας καὶ διώξεσθαι καὶ αἱρήσειν. οὗτος μέν τοι, ἑκόντος αὐτοῦ δύναται. Ἰούλιος δὲ ἄκομψός τε καὶ κλαίοντος. καὶ κατ' αὐτοῦ δῆμος οὕτως, ὡς κατ' Ἀνδρονίκου γέγονεν ἰσχυρότερος. ἐγκραγὼν γὰρ αὐτῷ δίς που καὶ τρὶς καὶ τοῖς ἐξ ἁμάξης λοιδορησάμενος, τὰ πάντα ἐπανατεινάμενος, ἅπερ ἂν εἰρῆσθαι καὶ παρ' ἐμοῦ τοῦ πάντως ἂν ἐτιμησάμην, ἀπέδειξε τὸ κάθαρμα μὴ ἀντιλέοντος. τὰ δὲ ἐκείνου χρῆται καθάπερ ἀνδραπόδῳ, παρέστιν ἀδεῶς οὐδὲ ἐν τοῖς χωρίοις ὑποψιθυρίζειν κατὰ τοῦ δεσπότου τολμᾷ. τοῦτο δὲ δήπουθεν ἔξεστι τοῖς οἰκέταις ποιεῖν. Ἀνδρόνικος ἦ, οὐδὲ τοῦτο.

τὸ γὰρ ἀλόγιστον ἀνδρεῖον μὲν οὐδαμοῦ· παρὰ δὲ τοὺς καιροὺς, δει-
λόν τε καὶ θρασὺ γίνεται. τουτέστιν ἁπανταχοῦ πονηρόν. ὁ θαυμά-
σιος Ἥρων, ἀξίως αὐτοῦ πρὸς ὑμᾶς ἐρεῖ τὰ περὶ αὐτοῦ, ἄν γε δὴ
διαγένηται. διετέθη γὰρ οὕτως ὑπ' αὐτοῦ τοῦ συνεῖναι τῇ μοχθη-
ρίᾳ τοῦ ἀνθρώπου. καὶ καθημέραν ἀπορρήγνυσθαι. καὶ οἷς ἤκου-
σε δεινοῖς. καὶ οἷς ἔπαθεν, ὡς καὶ μόλις ἐλευθερωθεὶς τῆς θανατη-
φόρου συνουσίας, δύσελπις εἶναι τὴν ἑαυτοῦ ζωὴν ἀπολήψεσθαι.
καὶ οὔπω τότε Θόας, ἀπὸ τῆς ἐνδοξοτάτης ἀποδημίας παρῆν.
νυνὶ γὰρ οὗτός ἐστιν ὁ πᾶσιν αὐτὸν τοῖς συγγενέσιν ἐπιτειχίσας δικέ-
λλαν, τὸ ἀπόρρητον τῶν ὑπάρχων διακομίσας ἐνύπνιον. ὃ βού-
λεται μὲν τῶν ἐνθάδε τεθνάναι τινάς. βούλεται δὲ δεδέσθαι τι-
νάς. καὶ δέδενται παρ' ἡμῖν ἄνθρωποι, διὰ τὸ ἐνύπνιον τὸ ἀπόρρη-
τον. οἱ δὲ, ἀπ' οὐδεμιᾶς φαινομένης αἰτίας ἀποθνήσκουσι. καὶ γὰρ εἰ
μηδέπω τεθνήκασιν, ἀλλ' αὐτίκα τεθνήξονται. τὸ μὲν γὰρ ὑπὸ ταῖς
μάστιξιν, ἀπολώλασι. τὸ δὲ ὑπὸ τῇ τῶν σωμάτων ἰσχύϊ, ζῶσιν ἔ-
τι μέχρι ταύτης τῆς ἡμέρας, ἐν ᾗ πέμπω τὰ γράμματα. ἀλλ' οὐχ
ὑπανεῖ φησὶν ὁ μέγας Ἀνθέμιος. οὐδὲ παύσεται πυρέττων ὁ ῥω-
μαίων ὕπαρχος, ἂν μὴ Μαξιμῖνος καὶ Κλεινίας ἀπόλωνται. ταῦ-
τα Θόας ἡ συχνὴ θρυλλεῖ. διὰ τοῦτο οὐδὲ εἰσφέροντος ἀνέχεται
Μαξιμίνου. ἀλλ' ἀνασοβεῖ πάντας ὁ Ἀνδρόνικος, τοὺς ὠνου-
μένους τὰ Λυκίππου. πρόκειται γὰρ οὐ τὸ πληρωθῆναι τὰ δη-
μόσια. ἀλλὰ τοὺς ὑπάρχους ὑπ' αἰνιγμόν. οἱ τινῶν εἰσκληθέντος, οἴκοι
Θόαντος μόνου, τοῦ σοφιστοῦ φησὶ μόνου παρόντος, διενηνόχα-
σι πρὸς αὐτὸν τὸ ἐνύπνιον. καὶ οἱ λιμένες ἐκλείσθησαν ὅσα γε δὴ
Θόας ὄμνυσιν, ἕως αὐτὸς ἐκπλεύσας φθάσῃ, καὶ πρὸς Ἀνδρό-
νικον διενέγκῃ τὸ ἀπόρρητον ἵνα μὴ λάθῃ τις διαδρὰς τὴν ἀξί-

ων

του αὐτὶ τοῦ Ἀνθεμίου τεθνάναι ψυχῆς. εἶτα ἀφ' ὧν ἕτερος ὄναρ ὁρᾷ, μᾶλλον δὲ ἰδεῖν λέγεται, πεντάπολις ὑπὲρ πέπραγε πονηρῶς. Ἀνδρόνικος γὰρ ὃς τὰ τοιαῦτα πιστευθεὶς καὶ εὐεργέτης τοῦ εὐτυχοῦς τῶν ὑπάρχων οἰκίας ἐσόμενος, μαίνεται ἐκπάγλως πίσυνος Θόαντι. οὐδέ τι οἶδε τίειν ἀνέρας. κρατερὴ ἢ ἑ λύσσα δέδυκεν. ἐν τούτοις τῇ περιόδῳ τῶν πραγμάτων ὄντων, οὐκ ἐδέησεν Εὐαγρίῳ μάντεως εἰς προαγόρευσιν τοῦ πονηρῶς ἀπαλλάξειν, εἰς τὸ δικαστήριον ἀπελθόντι. ἀλλ' αὐτὸς Ἀνδρόνικος ἄντικρυς, οὐ πρὸς τοῦτον οὐδὲ πρὸς ἐκεῖνον, ἀλλὰ πρὸς αὐτὸν Εὐάγριον ἐξήγγειλε τὴν γνώμην τὴν ἑαυτοῦ. καὶ ἔχεσθαι τῆς λειτουργίας ἐθελοντὴν ἐκέλευσεν, ἐὰν σωφρονῇ. πάντως γὰρ ἀποφανεῖται τὴν καταδικάζουσαν. ἀπολελόγημαι δὴ καὶ θεῷ. καὶ τῷ θείῳ Διοσκουρίδῃ, καὶ πᾶσιν ἀνθρώποις, ὡς ἔγωγε ἀτιμότερος ἐξ ἐντιμοτέρου γέγονα, τά γε ἀνθρώπινα. ἀσθενέστερος δὲ ἐξ ἰσχυροτέρου. καὶ Ἀνδρόνικος ἁπάντων μὲν ἡμῶν, τὴν δύναμιν ἐθεράπευσε, δι' ἣν οὐ γέγονε δὶς ἐπ' Ἀλεξανδρείας ἀγώγιμος. παρὸν τι δὲ, οὕτω χρῆται, νὴ τὴν ἱερὰν ὑμῶν κεφαλὴν, ὡς ἐπειδή μοι συνέπεσεν ἀποβαλεῖν τῶν παιδίων τὸ φίλτατον, κἂν ἐξήγαγον ἐμαυτὸν κρατηθεὶς ὑπὸ τοῦ πάθους. οἶδα γὰρ ὅτι θῆλυς εἰμὶ περὶ τοῦτο πέρα τοῦ δέοντος. νῦν δὲ οὐ λογισμῷ τοῦ πάθους ἐκράτησα. ἀλλ' Ἀνδρόνικος, αὐτὶ περιήγαγε. καὶ πρὸς τὰς κοινὰς συμφορὰς τὸν νοῦν ἔχειν ἐποίησε. καὶ γεγόνασί μοι συμφοραὶ, παραμυθίαι τῶν συμφορῶν, πρὸς ἑαυτὰς ἕλκουσαι. καὶ πάθος πάθος ἐκκρούουσαι, ὀργὴ συμμιγὴς λύπῃ τὴν ἐπὶ τῷ παιδίῳ λύπην. οἶδα ὅτι μοι μαντευτὸς ἦν θάνατος εἰς κυρίαν τοῦ ἔτους ἡμέραν. καὶ γέγονεν ἐκείνη καθ' ἣν ἱερασάμην. ἠσθόμην μεταβολῆς βίου. ὃς ἄχρι νῦν ἐμπο-

νηγυρίσας αὐτῷ. καὶ τιμῆς ἀνθρωπίνης καὶ πάσης γλυκυθυμίας παρ' ὄντινοσοῦν τῶν πώποτε πεφιλοσοφηκότων ἀπολελαυκὼς οὐχ ἧττον διὰ τὰ θύραθεν, ἢ διὰ τὴν παρασκευὴν τῆς ψυχῆς, ἅμα πάντων ἀφῃρημένος αἰσθάνομαι. τὸ μὲν οὖν μέγιστον τῶν κακῶν ὅ, μοι καὶ δύσελπιν τὸν βίον ποιεῖ, οὐκ εἰωθὼς ἀποτυγχάνειν ἐν ἱκετείαις θεοῦ, νῦν πρῶτον οἶδα μάτην εὐξάμενος. ὃς τὴν μὲν οἰκίαν, καλῶς ὁρῶ πράττουσαν. τὴν δὲ πατρίδα δυστυχοῦσαν οἰκεῖν ἀναγκάζομαι. καὶ πᾶσιν ἐκκείμενος ἐφ' ὧν προσανακλαίεσθαι. καὶ κατὰ ταυτὸν ἕκαστον ὀλοφύρεσθαι, προσθήκην ἔχων ἀνδρόνικον τὸν κολοφῶνα τῶν κακῶν. δι' ὃν οὐδὲ ἀκαρῆ καρποῦμαι τὴν σύντροφόν μοι σχολήν. ἀλλ' ἐμὲ δεῖ μηδὲν ὄφελος ὄντα μηδενί, πάντων προσιόντων, καὶ τὴν ἀσθένειαν ἡμῶν διελεγχόντων, ἀνέχεσθαι. πρὸς ταῦτα δέομαι. πάνυ σφόδρα δέομαι ἀμφοῖν μὲν ὑμῶν. διαφερόντως δὲ σοῦ τῆς φίλης μοι κεφαλῆς, ἀδελφὲ Ἀμαστάσιε, σὺ γὰρ δὴ φήμην ἔχεις προστατεῖν ἀνδρὸς λυσσῶντος, εἴ τις σοι δύναμις πάρεστιν ὑπὲρ συνεσίου γὰρ μᾶλλον ἢ ὑπὲρ ἀνδρονίκου δικαιότερος ἂν εἴης αὐτῇ χρώμενος, ἀπάλλαξον κατηφείας πτολεμαΐδα τὴν λαχοῦσάν με πόλιν. οὐκ ἐμοῦ ἐθέλοντος. οἶδεν ὁ πάντα ὁρῶν ὀφθαλμὸς τοῦ θεοῦ. οὐκ οἶδα ὑπὲρ τίνων ἐκ τίνων τοσαύτας δίκας. καὶ ἔτι φησὶ θεῶν ἐπίφθονοι πρότερον ἡμῶν, ἀποχρόντως τε τιμωρήμεθα. ἀλλὰ ταύτην τὴν φωνὴν, ἄξιον εἰπεῖν καὶ ὑπὲρ Μαξιμίνου καὶ ὑπὲρ Κλαυδίου. οὓς ἐμοὶ δοκεῖν ἂν καὶ ὅστις ὠμότατος δαιμόνων ἠλέησεν. ἐξῃρήσθων τοῦ λόγου θόας τε καὶ Ἀνδρόνικος, οἱ μόνοι δαιμόνων ἀμείλικτοι.

Θεοφίλῳ.

Θεοφίλῳ.

Γὼ μὲν οἷος ἦν τὴν πρίκως προστάγματι καὶ χεῖρα τῇ
ε συνάμιν ὑπηρετεῖν εἰσενεγκεῖν. ἀλλ' οὐκ ἂν οἶμαι καλ-
λίου Ἀμπέλιος ἐσκέψατο περὶ τῶν ἑαυτῷ λυσιτε-
λούντων, ἢ Νίκαιος ὑπὲρ τοῦ πῶς ἀλλοτριωθείη τῶν ἑαυτοῦ. οὔ-
τε γὰρ ἐφοίτα πρότερον ἀπῆρεν, οἶδα καλῶς, οὔτε ἐπί τισιν ἐπανῆλ-
θεν, οὔτε ἐπί τισιν αὖθις ἀποδημεῖ. πῶς γὰρ ὃν οὔτε εἶδον. οὔτε περὶ
αὐτοῦ τι σαφὲς ἀπηγγέλλετο. ἀλλὰ τὴν ἐπιστολὴν τῆς ἱερᾶς σου
χειρὸς, ἕτερός τις ἐκόμισε. καὶ ταύτην αὐτὴ ἤτησεν, ὡς ἤδη νικαίου
λύσαντος τὸ πρυμνήσιον. καὶ ἐγὼ μὲν οὐκ εἶδον αὐτόν. ὁ δ' ἡγεμὼν
εἶδεν. ἢ ἤκουσεν. ἀλλὰ κἀκεῖνος οὔτε εἶδεν. οὔτε ἤκουσε. πῶς οὖν
δεῖ Νίκαιον νικᾶν ὑπερορίου ἀγρῶν διαιτώμενον. ἀλλ' ἀντὶ τούτου
πολλὰ κἀγαθὰ καὶ ὅσα φέρουσιν ὧραι τοῖς γεωργοῖς ἔχονται. πλείω
δ' ἂν ἦν, εἰ καὶ τῶν μητρῴων ἐκράτησεν.

Τῷ φιλοσόφῳ.

Ι καὶ μὴ πάντα ὁ δαίμων ἀφελέσθαι μου δύναται, ἀλ-
ε λὰ βούλεται ὅσα γε δύναται, ὃς ἡμῶν πολλῶν τε καὶ
ἐσθλῶν ὄντων ἔθηκεν, ἀλλὰ τό γε προαιρεῖσθαι τὰ βέλτι-
στα καὶ τίθεσθαι τοῖς ἀδικουμένοις, οὐκ ἀφαιρήσεται. μὴ γὰρ δὴ τὸ
τῆς γνώμης ἡμῶν κατισχύσειε. μισῶ μὲν οὖν ἀδικίαν. ἔξεστι γάρ.
κωλύειν δὲ βουλοίμην μέν. ἀλλὰ καὶ τοῦτο τῶν ἀφαιρεθέντων
δεῖ. καὶ οἴχεται καὶ τοῦτο πρὸ τῶν παιδίων. πάλαι ποτ' ἦσαν ἄλ-
κιμοι Μιλήσιοι. ἦν ὅτε κἀγὼ φίλοις ὄφελος ἦν. καὶ σύ με ἐκάλεις
ἀλλότριον ἀγαθὸν εἰς ἑτέρους δαπανῶντα, τὴν παρὰ τῶν μεγά-
λων δυναμῶν αἰδῶ. τὸ ἦσαν ἐκεῖνοι χεῖρες ἐμοί. νυνὶ δὲ ἀπάντων ἔρημος
ὑπολείπομαι, πλὴν εἴ τι σὺ δύναιο. καὶ γὰρ δὴ καὶ σὲ μετὰ τῆς ἀρε-

τῆς, ἀγαθὸν ἄσυλον ἀριθμῷ. σὺ μὲν οὖν ἀεὶ καὶ δύνῃ καὶ δύναιο κάλλιστα χρωμένη τῷ δύνασθαι. Νίκαιος δὲ καὶ Φιλόλαος, οἱ καλοὶ κἀγαθοὶ νεανίσκοι καὶ συγγενεῖς, ὅπως ἐπανέλθοιεν τῶν ἰδίων γενόμενοι κύριοι, πᾶσι μελέτω τοῖς τὰ σὰ τιμῶσι καὶ ἰδιώταις καὶ ἄρχουσι.

Τῷ ἀδελφῷ.

γ Ἴνα μέν τοι τινὰ παρὰ τῶν, οἷος αὐτὸς, προσήκει θαυμάζεσθαι. τὸν σώφρονα. τὸν ἐμμελῆ. τὸν παιδείας ἑταῖρον. τὸν προσανέχοντα θεῷ καθάπαξ. τὸν, οἷός ἐστι Γερόντιος. ἔχεις οὖν τὸν ἄνδρα μετὰ τῆς ἐπιστολῆς. ᾧ χρησάμενος, ἐρεῖς οὐ φαῦλον ἐπαινέτην ἐμέ.

Χρύσῃ.

ο Ὑχότιμος τῶν παιδίων συγγενής ἐστιν ὁ θαυμαστὸς Γερόντιος, συνίστημι τὸν νεανίσκον τῇ φιλίᾳ τῇ σῇ. καὶ τοῦτο μὲν δι᾽ αὐτὸ ὅτι πρέπον ἐστὶ τοῦ χρυσοῦ Χρύσου, τοῖς τρόποις, εἰ δεῖ μέ τι καὶ ψυχρὸν εἰπεῖν ἢ γοργιαῖον. παντὸς μέν τοι μᾶλλόν ἐστιν ἀληθὲς εἰπεῖν σε εἶναι ἁπάσης ἀρετῆς ἑστίαν, καὶ τὸν διδόντα σοι τὴν ἐπιστολὴν, ἀξιώτατον ἀπολαύειν σου τῆς συνουσίας.

Τῷ ἀδελφῷ.

μ Ηκος ἐπιστολῆς, ἀνοικειότητα κατηγορεῖ τοῦ διακομίζοντος. ἀλλ᾽ ὁ θαυμαστὸς Γερόντιος, οἶδε μὲν ὅσα κἀγώ. εἰ δὲ μὴ πρὸς τὸ ψεῦδος ἀνοικείως εἶχε, διηγήσατο ἂν καὶ ὧν ἠπίστατο πλείονα, τῷ φιλεῖν ἐμὲ, καὶ τὴν γλῶτταν εἶχεν ἀρκοῦσαν τῇ γνώμῃ. ὃν αὐτὸς ἡδέως εἶδες ὡς ἐγὼ βούλομαι.

Τῷ αὐτῷ.

δ Ἐδέξω μετὰ τῆς ἐμψύχου καὶ τὴν ἄψυχον ἐπιστολήν, μετὰ τοῦ θαυμαστοῦ Γεροντίου, ταῦτα τὰ γράμματα, νόμῳ τὸ

πλέον

πλέον ἢ τῇ χρείᾳ τοῦ προσειπεῖν σε γινόμενα. ὅτι δὲ ἡμεῖς συζῶμεν τῇ περὶ σοῦ μνήμῃ, μυρίων ἐπιστολῶν μακρῶν μεγαλοφωνότερον ὁ νεανίσκος διηγήσεται.

Τῷ αὐτῷ.

ἐ Πιστολὴν ἐπέθηκα τῷ θαυμαστῷ Γεροντίῳ πρὸς τὴν ἱερὰν σου καὶ τριπόθητον κεφαλὴν διὰ πρώτης ἐντεύξεως παρέξουσαν πρόφασιν. τότε μὲν γὰρ αὐτὸν ἴσως δι᾽ ἐμὲ, τιμήσεις· μετὰ δὲ τὴν πεῖραν, ἕτερόν τινα δι᾽ αὐτόν.

Τῷ αὐτῷ.

ὦ Δέδωκα τὴν ἐπιστολὴν, ταμίας ὅς ἐστι καὶ σιτοδότης τοῦ δαλματῶν τάγματος. πάντως δὲ ἐγὼ τοὺς δαλμάτας, ἴσα καὶ τοὺς ἱερέας τιμῶ. δῆμος γάρ εἰσι διαλαχούσης με πόλεως. μόνα δὲ ταῦτα μηνύουσι πρὸς σέ. σὺ δὲ τοῖς ἐμοῖς ὡς σαυτοῦ χρήσασθαι.

Πυλαιμένει.

ἠ Ριμὰς ἀπὸ θρᾴκης ἐπιστολὰς κομισάμενος, ἠνώχλησα τῷ φακέλῳ τῶν γραμμάτων· εἴπου τὶς εἴη τὸ κελφὸν ἐπιγεγραμμένη Πυλαιμένους ὄνομα· ὡς οὐκ ἄξιον ἑτέρῳ βιβλίῳ προσεντυχεῖν. ἀλλ᾽ ἦν οὐδὲν οὐδαμοῦ. εἰ μὲν οὖν τυγχάνεις ἀποδημῶν, ἀλλ᾽ ἐπανέλθοις ταχέως τε καὶ καλῶς. εἰ δὲ ἐπεδήμεις ἡνίκα παρ᾽ ὑμῖν οἱ συνήθεις Ζωσίμῳ τὰς ἐπιστολὰς ἐπεδίδοσαν, τοῦτ᾽ ἂν εἴη τὸ παράδοξον, εἴ τις ἐγένετο περὶ ἐμὲ Πυλαιμένους μνημονικώτερος.

Τῷ ἀδελφῷ.

τ Εως μὲν ἐπράττομεν εὖ. εἰθωὼς πρὸ ῥύματος αὐθυπενεχθέντος, καὶ τὰ κοινὰ λυπεῖ, καὶ τὰ ἴδια. ζῶ τε γὰρ οὐκ ἰδιώτης ἐν χώρᾳ πολεμουμένῃ. κἀμὲ δὲ δεῖ κλάειν ἀεὶ τὴν ἑκάστου συμφοράν. ἐν τῷ μηνὸς πολλάκις ἐπὶ τὰς ἐπάλξεις πηδῶν ὡς ἐφ᾽ ὧν συστρατεύσομαι, μεμισθωμένον, οὐκ ἐφῶ προσεύξομαι· τριῶν

ἀρρένων, ὧν ἔτι μοι λείπεται. σὺ δὲ ἐὰν δι᾽ οὐσίας πλέῃς καὶ ζῇς ἡδέως, οὐ πάνυ τι ἡμᾶς ὁ δαίμων λυπεῖ.

Θεοφίλῳ.

ὁ Ἴχεται τὸ δίκαιον ἐξ ἀνθρώπων. Ἀνδρόνικος καὶ πρότερον ἠδίκει, καὶ νῦν ἀδικεῖται. τὸ δὲ τῆς ἐκκλησίας ἔθος οἷον, ὑψῶσαι μὲν ταπεινόν, ταπεινῶσαι δὲ ὑψηλόν. τοῦτον δὴ τὸν Ἀνδρόνικον, ἐμίσει μὲν ἐφ᾽ οἷς ἐποίει· διὸ καὶ προήκατο μέχρι τούτων ἐλθεῖν. ἐλεεῖ δὲ νῦν, ἐφ᾽ οἷς ἤδη τοῖς ὑπὲρ κατάραν ὡμίλησεν. ὅτι καὶ τοὺς νῦν ἐνδημοῦμεν δι᾽ αὐτὸν ἐλυπήσαμεν. ἀλλὰ δεινὸν εἰ μηδέποτε μετὰ τῶν εὐημερούντων στησόμεθα, τοῖς δὲ κλαίουσιν ἀεὶ συνδακρύσομεν. ἡμεῖς τε οὖν ἐνταῦθα συνόδου βήματος αὐτὸν ἐξειλόμεθα, καὶ τἄλλα ἐλάττους αὐτῷ παρὰ πολὺ τὰς συμφορὰς ἐποιήσαμεν. κἂν ἡ σὴ θεοσέβεια φροντίδος αὐτὸν ἀξιώσῃ, τοῦτο μέγιστον ἐγὼ τεκμήριον δέξομαι, τοῦ μὴ παντάπασι τὸν ἄνθρωπον ἀπογνωσθῆναι παρὰ θεοῦ.

Τρωΐλῳ.

Ἄλαι μὲν ἀπραγμονεστέρας ἐποιούμην τὰς πρὸς τοὺς
π ἑταίρους ἐντεύξεις. καὶ πορρὼν καὶ γραφῶν. ἔζων γὰρ ὑπὸ τῶν βιβλίων, τρόπον τινὰ ἀσύντακτος πάσῃ πόλει καὶ πολιτείᾳ. νυνὶ δέ, ἐπέταξε γὰρ ὁ θεὸς εἰς ἀποδεδειγμένον χωρίον ἔχειν ἐν τῇ πόλει τινὰ τάξιν, καὶ ζῆν οὐκ ἐν διηριθμημένοις ἀνθρώποις, βουλοίμην ἂν ὄφελος εἶναι τοῖς συλλαχοῦσι, καὶ ποιεῖν ἀγαθόν, ὅτι δυναίμην. καὶ ἕκαστον ἰδίᾳ, καὶ τὴν πόλιν κοινῇ, ἵν᾽ ὁρῴην τε καὶ ὁρῴμην ἡδέως παρὰ τῶν ὡς ἂν εἴποι τις σύμπλων τοῦ βίου. εἰ τοίνυν Μαρτύριος ὄναιτο, τῆς δι᾽ αὐτὸν γινομένης ἐπιστολῆς, ἴσθι μοι χαρισάμενος ἐν ἀνδρὶ συνδιημερεύοντι, καὶ νοῦ μά-

τοὺς

τοῖς λόγοις τὰ μὲν τὰ σὰ παιδικά, πολλάκις εἰς τὸ συνεῖναί μοι πολὺ καὶ τῆς νυκτὸς μέρος ἐπιλαμβάνοντι. Τῷ ἀδελφῷ.

κ Ἀκοὺν οὐ μικρὸν ἀπολαύσω τῆς ἀγροικίας. λίαν ἀληθινὴν διάθεσιν οὐκ ἴσθι ὅτι καὶ περὶ τῶν λιβύων ἐσχατιᾶς.

Ἡσυχίῳ.

α Ἀθηναῖοι Θεμιστοκλέα τὸν Νεοκλέους ἐπήνεσαν, ὅτι καίτοι πολιτικῆς δυνάμεως ἐραστὴς παρόντι τινὶ οὐ τὴν ἐφεσταύτου γενόμενος, ἀπηύξατο ποῖσαν ἀρχήν, ἐν ᾗ τῶν ξένων οὐδὲν ἔμελλον πλέον ἕξειν οἱ συνελθόντες· σοῦ δὲ ὅτι μὲν ἐπέγνωσαν τὴν ἀρετὴν οἱ καιροί, καὶ διὰ σὲ παρῆλθεν εἰς τὴν πολιτείαν ἀρχῆς ὄνομα καὶ πρᾶγμα καινόν, ἤδη μὲν ὥσπερ εἰκὸς ἑταίρους ἐκ παλαιοῦ γεγονότας, τῆς ἱερᾶς γεωμετρίας ἀλλήλοις ἡμᾶς μνηστευσάσης· ὅτι δὲ ἐν τοῖς βουλευταῖς καὶ τὸν ἐμὸν ἀδελφὸν ἀξιοῖς ἀριθμεῖν, ἀλλ᾽ οὐκ ἀπηλείψας τὴν οἰκίαν ἀπὸ τοῦ πονηροῦ βιβλίου, καὶ ἔτι κατὰ συμφορὰν ἀρχαίαν προσληφθεῖσαν γενόμενον, τοῦτο δὲ ὃ καὶ Θεμιστοκλέα σε φημὶ ποιεῖν· ὅτε δοκοῦντα τῇ θείᾳ γεωμετρίᾳ. Εὐόπτιον δὲ ἐν ἀδελφοῖς ἔδει τετυχηκέναι τοῖς σοῖς, εἶτα τῷ αὐτῷ τὰ αὐτά. τὰ ἀλλήλοις εἶναι δὲ τὰ αὐτά. εἰ δὲ διὰ τὸν τῶν περιεχομένων πραγμάτων ὄχλον, τὸ χρεὼν ἠμέλει μέχρι νῦν, δεῖξον ὦ θαυμάσιε. λαβὼν τὴν ἐπιστολὴν ἄνες τὴν πενθερὰν αὐτοῦ τῆς ἀτόπου ζημίας. τὰ μετὰ ταῦτα, καὶ τὰ πρὸ τούτων, καὶ ἀπόδημοι τὸν ἀδελφόν. ὃς εἰ μὲν δι᾽ αὐτὸ τοῦτο ἀποδημεῖ, θεὸς οἶδε. πρὸς ἐμὲ δὲ πάνυ παραμυθεῖσθαι δεόμενον τοῖς πολλοῖς, ὧν ἐστι αὐτήκοος τῆς συμφορᾶς, οὐδὲν ἕτερον προφασίζεται. Ἀνυσίῳ.

π Ῥώμην οὐκ ἔφθασα τὴν βοήθειαν ἀκοῦσαι ἀπὸ τῆς Κυρήνης πυθόμενος· καὶ ἐγὼ μὲν διενοούμην ὅτι τάχιστα τοὺς Ἰουχείρας παραπέμψαι τὴν φήμην. ἧκε δέ τις ἀγγέλλων, ὡς ὁ στρατηγὸς ἤδη τὰ μετέωρα τῆς χώρας

κατείληφεν. ἔφθακας δ' ἄρα πυθόμενος. δίκαιος τῆς προθυμίας ἀμοιβὴν παρὰ τοῦ θεοῦ, καὶ νῦν καὶ εἰσέπειτα. ἐγὼ δὲ αὐτὸν ταῦτα τε ἐπαινεσόμενος ἔπεμψα, καὶ πευσόμενος ἐν οἷς εἴης. εἴης δ' ἐν ἅπασιν ἀγαθοῖς. μέλει μὲν γάρ μοι, μέλει καὶ περὶ τῆς πόλεως. πῶς γὰρ οὔ. τῆς γεννηθρίδος, ὡς ἂν κρεῖττον ἐποίησεν, οὐχ ἥκιστα δὲ σοῦ καὶ τῆς δόξης τῆς σῆς. ἐφ' ἑκάστῳ δὲ δὴ τῶν σῶν ἀγαθῶν, ἐμὲ πάντες ἀξιοῦσι συνήδεσθαι. ὡς οὖν ἐν σοὶ κειμένου ἄριστε ἀνδρῶν τε καὶ στρατηγῶν, δίκαιός εἰμι καὶ εἰδέναι τὰ σά. Ἰωάννην προεξεψάμην ὡς ἐνῆν, ἀγαθὸν εἶναι. καὶ ἄλλως ἐπιθυμοῦν στρατιώτην ἐὰν ὁ θεὸς αὐτῷ τιθῆται. δὸς αὐτῷ χεῖρα διὰ τὸν ἀδελφόν, ὃς αὐτῷ πολλῶν ὑπουργήσει. τοῦτο ἐμοὶ μὲν ἄριστον δοκεῖ βούλευμα, τῷ τὰς φύσεις εἰδότι τῶν νεανίσκων καὶ ὡς ἔχουσι πρὸς ἀλλήλους αἰδοῦς. εἰ δὲ καὶ σοὶ φανεῖται, κύριον ἔστω. τῶν ἑταίρων τοὺς στρατευομένους ἄσπασαι. ὁ σὸς Ζοφός μου ταχέως ἐπανηκέτω. καλόν τι φέρων περὶ πολέμου διήγημα. ὃς καί τοι δειλότατος ὤν, ἐθάρρησε τὴν ὁδόν, τῶν σῶν ὅπλων ἔμπροσθεν ὄντων. δὸς τῇ κυρήνῃ τὴν συνωρίδα τῶν ἀδελφῶν. μαχοῦνται γὰρ ὑπὲρ τῆς ἐνεγκούσης τε καὶ θρεψούσης αὐτούς.

Τῷ ἀδελφῷ.

ὅ Τιμὴν μὲν ἡμᾶς εἴληφεν ἡ γῆ τοῖς σαυτοῦ προστάγμασιν, οὕτω δὲ γέγραφας, καλῶς γε ποιεῖς, καὶ δίκαια περὶ ἡμῶν φρονεῖς. καὶ πολλὰ κἀγαθά σοι γένοιτο διὰ τοῦτο. ὡς ἀπέχομεν γε τὴν χάριν εἰδήτις ὀφείλεται καὶ νεωτέρῳ παρὰ ἀδελφοῦ πρεσβυτέρου, τοῦ πείθεσθαι χάρις, ὡς οὐκ ἐγγράφοιμαι. ἀγ' ἡμῖν εἰς ἀντίδοσιν ἀρκεῖ, τὸ μὴ ἀγνοεῖσθαι παρὰ σοῦ τὴν ἔνστασιν ἡμῶν, ὅτι μόνῳ σοὶ τῶν ζώντων ἐκκείμεθα. ὅτι δὲ φῂς εἰδέναι σαφῶς, ὡς δὴ οὐ χρῆς ἄγει τὰ τῆς φιλίας ἡμῶν Ἰούλιος, τοῦτο δὲ οὐκέτ' ἄξιον ἀποδέχεσθαι. λίαν γάρ ἐστιν ἀνδρὸς

ἀπαιτωμένου

ἀπαιτουμένου, μὴ ἀπαιτοῦντός γε εἴποιμι. ὁμοῦ γὰρ ἐγώ τε τὰ παρὰ σοῦ γράμματα ἐγίγνωσκον. καὶ ἕτερός τις τὰ παρ' αὐτοῦ. ἀλλὰ σὺ μὲν ταῦτα φῄς. ἐκεῖνος δὲ τἀναντία· καὶ ἀνεγνωκέναι καὶ ἀκηκοέναι λεγόντων, ὅτι διαλέγοιτο περὶ ἡμῶν ἀνεπιτηδείους λόγους. οὕτω τοι ἀπιστεῖν εἶχον ἀνδρὶ καλῷ κἀγαθῷ, καὶ πιστεύων, οὐ μὰ τὸν ὁμόγνιον τὸν ἐμόν τε καὶ σόν, οὐ μετενόησα ἐφ' οἷς δὴ πεποιήκειν τὸν ἄνθρωπον, αὐτῇ τῇ προτεραίᾳ σὺν βίᾳ τὸν κατήγορον ἀποσκυλάσας. ὃς ἐδίωκεν αὐτὸν ἀσεβείας, ὡς ἀδικοῦντα τὴν βασιλέως ἑστίαν. νὴ γὰρ τὴν ἱεράν σου κεφαλήν, εἰ μὴ τοὺς συγγενεῖς πείραις αὐτ' εἶχον, τοῦ μὲν τῇ τοῦ δικαστοῦ δειλίᾳ μετάνοιαν τοῦ τοιαύτης ὑποθέσεως οὐ προσιεμένου· τοῦτο δὲ τοῦ κατηγοροῦντος ἀπονοίᾳ, προσποιουμένου μὲν τὴν ἀνάγκην, προθυμουμένου δὲ δρᾶσαί τε κακόν τι καὶ παθεῖν, καὶ γαμετῆς αὖ αὐτοῦ καὶ παίδων ἧττα τὸ τὸ δεινότατον. καὶ συγγενῶν συχνῶν καὶ πάνυ φίλων. πλουσίων τε καὶ πενήτων. καὶ ὅλως κακῶν ἂν Ἰλιὰς περιέστη τὴν πόλιν ἡμῶν, ὑπ' ἀνδρὸς ἀπογνόντος τὴν σωτηρίαν καὶ θανατῶντος. ἐνίκησε δ' ἂν Ἰούλιος νίκην, ἐφ' ᾗ ζῶν οὐκ ἂν ηὔξατο ὑπὲρ ὧν ἁπάντων ᾠήθην κινητέα μοι ταῦτα εἶναι τὰ γεγενημένα. τῆς δ' ἐμῆς φύσεώς τε καὶ προαιρέσεως παραπολαυέτω. καὶ ὅστις ἔχει ἴσως. πολλῷ δ' ἐμοὶ κάλλιον ἔχει τὸ ἀναξίως τινὰ περιηκέναι καλῶς, ἢ περιιδεῖν πολλούς, ἐξὸν κωλῦσαι, παρὰ τὴν ἀξίαν πεισομένους κακῶς. οὐ γὰρ δὴ καὶ τὴν σύζυγον γυναῖκα καὶ τὰ παιδία τἀνοῦ μισῶ. καίτοι γε οὐδ' αὐτὸς ἄξιός ἐστιν ὧν τοῖς κατ' ἐμοῦ λοιδορίαις παθεῖν τι κακῶς ὑπ' ἐμοῦ. πολλοῦ γε δεῖ. μισεῖ μὲν δὴ καὶ πάνυ. λυπεῖν γὰρ οἰόμενος λέγει. καὶ ὡς δηξόμενος φθέγγεται. ἡ προαίρεσις οὖν οὐκ ἀνεύθυνος. ἀλλ' ὑπαίτιος. ἴστω μέντοι, μᾶλλον δὲ μὴ ἴστω, παύσαιτο δ' ἂν δὴ

ποιῶν ἡμᾶς. σὺ μέντοι σαφῶς ἴσθι τὸ πάλαι λεγόμενον, ὑπ' ἐ-
χθρῶν, ὡς ἔστιν ὠφελεῖσθαι, νῦν ἔργῳ φαινόμενον. τί γὰρ εἰς εὔκλει-
αν ἡμῖν ἀνὴρ οὐ συντελεῖ. πᾶς ὅστις ἡμᾶς ἐπαινεῖν βούλεται μη-
δὲν ἕτερον ἐξευρίσκων εἰπεῖν, λέγει τοῦτο πρῶτον καὶ μόνον καὶ
μέγιστον, ὡς Ἰούλιος αὐτὸν ἀγορεύει κακῶς. ἐν δὲ τούτῳ λόγῳ,
ποῖος οὐκ ἐσμὸς ἀγαθῶν. τὸ γὰρ ἀντικειμένως ἔχειν πρὸς παντο-
δαπὴν πονηρίαν, οἰκείως ἐστὶν ἔχειν πρὸς παντοδαπὴν ἀρετήν. ἐ-
γὼ μὲν οὖν, οὐδὲν ἂν ἐμαυτῷ συνειδείην τοιοῦτον. ἐκεῖνος δέ φη-
σιν. οἷς γὰρ τἀναντία φησί, τοῦ πιστοῦνται. ὥς τι γε χάριν ἂν εἰδείην
αὐτῷ. νὴ τὴν ἱερὰν σου κεφαλήν, καὶ τὴν τῶν παιδίων μου σω-
τηρίαν, οὐκ ἔστιν ὅ,τι ἄν μοι μεῖζον τοῦ λοιδορεῖσθαι χαρίσαιτο. καὶ ἂν καὶ
πρὸς θεοῦ καὶ πρὸς ἀνθρώπων, ἐν τῷ καλλίστῳ μοι κείσεται τοῦτο.
ἀλλὰ καὶ τῆς προαιρέσεως δώσει δίκας. ἐμοὶ μέν, οὔ. τυχὸν μὲν
ἂν οὐδ' ἂν εἰ δυναίμην βουλοίμην. πάντως δέ, οὐδ' ἄν, εἰ βουλοί-
μην δυναίμην. τί γὰρ παρὰ τὸν ἐπὶ καιροῦ δυνάστην ἄνθρωπος
οὕτως ἀτυχὴς ὡς ἀληθῶς φεύγων τὴν ἑαυτοῦ, καὶ μηδὲ ἐλπί-
δας ἔχων καθόδου, τῶν πολεμίων ἐστρατοπεδευκότων ἐν τοῖς ἐ-
μοῖς, κἀκείνοις ὁρμητηρίοις κατὰ Κυρήνης χρωμένων. τίνι μέντοι
τίνι δώσει δίκας; αὐτῇ τῇ δίκῃ. ἐγγυῶμαι γὰρ ἐγὼ τοῦτο σαφῶς,
δὴ εἰδέναι δοκῶν. μετελεύσεται γὰρ αὐτὸν ὑπὲρ ἐμοῦ καὶ τῆς κοινῆς
πατρίδος ὑπὲρ ἧς τἀναντία πεπολιτεύμεθα. ᾗ δὴ καὶ ἀλλήλοις
ἀπηχθήμεθα. οὐ γὰρ ὑπὲρ τῶν ἐμαυτοῦ τινός. οὐδ' ἂν αὐτὸς εἰ-
πεῖν ἔχοι. ἀλλὰ τὰ πρῶτα μὲν ὅτι τὸ στρατιωτικόν τε καὶ τὸ
βουλευτικὸν ἑώρων, εἰς θητικόν, καὶ ἐπειρώμην ἀντέχειν. ἔπει-
τα μέντοι τὰ περὶ τὴν πρεσβείαν καὶ πάνυ λαμπρῶς διεστα-
σίασεν.

σίασεν ἡμᾶς. ἐῶ τὰ κατὰ τὸν ἑταῖρον Διοσκουρίδην. ὅτι μετρίως ἐπράχθη καὶ οὐχ ὡς ἂν κινήσαι θεοῦ τε καὶ ἀνθρώπων νέμεσιν. αὐτὴ μέντοι σαφῶς ἐστὶ περὶ ἧς πρὸς λύραν ᾄδομεν. λήθουσα δὲ παρὰ πόδα βαίνει. γαυρούμενον αὐχένα κλίνει. ὑπὸ πῆχυν ἀεὶ βίοτὰν κρατεῖς. ἀλλὰ ψηφίζεσθαι δέον, ἐγὼ μὲν ἔγραφον ὑπὲρ τῆς πατρίδος, ἀστρατείαν εἶναι τοῖς ξένοις. ὁ δὲ, ἀντέλεγεν ὑπὲρ Ἑλλαδίου καὶ Θεοδώρου. καί τοι τίς οὐκ οἶδεν, ὅτι καὶ τοὺς φύσει στρατιωτικῶς ἔχοντας τῶν ἀρχόντων, οἱ ξένοι μεταδιδάσκουσι. καὶ μετασκευάζουσιν εἰς ἐμπόρους. πάλιν ἔγραφον ὑπὲρ τοῦ λελῦσθαι τὴν παρ' ἡμῖν στρατηγίαν, ὅπερ ἅπαντες ὁμοφώνως οἱ τῇδε ἄνθρωποι μόνον εἶναί φασι λυτήριον τῶν δεινῶν, ἐπανελθεῖν εἰς ἀρχαίαν ἡγεμονίαν τὰς πόλεις. τουτέστιν ὑπὸ τὸν αἰγύπτιον ἄρχοντα καὶ τὰς λιβύων τετάχθαι. ὁ δὲ, ἀντέλεγεν ὑπὲρ τῶν κερδῶν. καὶ ἄντικρυς ἀπετόλμα λέγειν ὅτι λυσιτελεῖ ταπεινοὺς εἶναι στρατιώτας. ἀλλ' ὦ τᾶν. ἄξιον ἦ διὰ σοῦ πρὸς αὐτὸν εἰρῆσθαι, διὰ ταῦτα, νῦν μὲν ἐπάρατος εἶ, τῆς κοινῆς τύχης ὢν τἀναντία πειρώμενος. εὐτυχεῖς γὰρ ἐν ἀτυχοῦσιν. ἐγὼ δὲ τῇ πόλει συνατυχῶ. ἴσθι μέντοι σαφῶς, ὅτι φύσεως ἐστὶ νόμος, ἐμπεριέχεσθαι τῷ καθόλου τὰ μέρη. καὶ ὅταν πάνυ πολὺ ἀπὸ τῆς τοῦ σώματος συμφορᾶς ὁ σπλὴν αὐξηθῇ, ἕως μὲν ἀντέχει τὸ ὅλον εὐθενεῖ τε καὶ πιαίνεται. ἀπολλυμένῳ δὲ συναπόλλυται. καὶ σὺ τὸ παρὸν εὖ τιθέμενος, λήσεις τοῖς σαυτοῦ πολιτεύμασιν, εἱμαρμένη τῆς πατρίδος τε ὢν, καὶ σαυτοῦ. μέχρι τούτου Λαθέρης ὠνομάζετο φίλος Φιλίππου, μέχρι προὔδωκεν Ὄλυνθον. τὸν δὲ ἄπολιν, πῶς εἰκός ἐστιν εὐτυχεῖν.

Ὀλυμπίῳ.

ε Γὼ μάρτυρα ποιοῦμαι θεόν, ὃν καὶ φιλοσοφία καὶ φιλία πρεσβεύει, πολλοὺς μὲν ἂν θανάτους ἀνθ' ἱερωσύνης ἑλόμενος· τοῦ θεοῦ δὲ ἐπενεγκόντος οὐχ ὅπερ ᾔτουν, ἀλλ' ὅπερ ἐβούλετο, εὔχομαι τὸν γενόμενον νομέα τοῦ βίου, γενέσθαι καὶ τοῦ νεμηθέντος προστάτην, ὡς μὴ φανῆναί μοι τὸ πρᾶγμα φιλοσοφίας ἀπόβασιν· ἀλλ' ἐπανάβασιν. πῶς δὲ ὥσπερ εἴ τί μοι τῶν ἡδέων συνεπέπτωκε, ἐκοινωσάμην αὐτοῖς τῇ πάντων φιλτάτῃ μοι κεφαλῇ, οὕτω καὶ τῶν δυσχερῶν εἰς σὲ παραπέμπω τὴν ἀκοήν, ἵνα συναχθοιό τε, καὶ εἴ τι δύναιο πρὸς τὴν ἐμὴν φύσιν τὸ πρᾶγμα ἐξετάσας, εἰσηγήσαιο γνώμην, ὅτι με δεήσει ποιεῖν. νῦν γὰρ ἐγὼ πόρρωθεν οὕτω διαπειρῶμαι τοῦ πράγματος, ὡς ἕβδομον ἤδη μῆνα γενόμενος ἐν τῇ [illegible], μακρὰν ἀποδημῶ τῶν ἀνθρώπων παρ' οἷς ἱεράσομαι, ἕως ἂν ἀκριβῶς ὁποῖόν ποτέ ἐστι τῇ φύσει κατανοήσω. κἂν μὲν ἐγχωρῇ, μετὰ φιλίας ἐργάσομαι. εἰ δὲ ἀλλοῖόν ἐστιν, ἢ κατὰ τὴν ἐμὴν ἀγωγήν τε καὶ προαίρεσιν, τί ἄλλο, ἢ τὴν εὐθὺ τῆς κλεινῆς Ἑλλάδος ἀποπλέων οἰχήσομαι. ἀπειπαμένῳ γὰρ τὴν ἱερωσύνην, ἀπογνωστέον ἐστὶ καὶ τῆς πατρίδος, εἰ μή με δεῖ πάντων ἀτιμότατον εἶναι. καὶ ἐπάρατον ἐν ὄχλῳ μισούντων ἀναστρεφόμενον.

Τῷ αὐτῷ.

τ Ἣν ἐπιστολὴν ἀναπρώσκοφον, ἐν ᾗ διηγήσω περὶ τῆς ἀρρωστίας, καὶ ἐφοβήθην ἀρχόμενος. καὶ παυόμενος ἀνεθάρρησα. ἀπειλήσας γὰρ κίνδυνον, εὐηγγελίσω τὰ λῴονα. περὶ ὧν δ' ᾔτησας πεμφθῆναι παρ' ἡμῶν ἢ κομισθῆναι, τὰ δυνατὰ πάντα πάντως ἢ πεμφθήσεται, ἢ κομισθήσεται· τίνα δὲ αὐτῶν τὰ δυνατά.

καὶ τὰ

καὶ τὰ μὴ δυνατὰ, περὶ τὴν γραφήν. αὕτη γὰρ ἡδίστη ἐπίδειξις. ἐρρωμένος καὶ εὐδαίμων διαβιώης θεῷ κεχαρισμένε ἑταῖρε προποθητέ. γένοιτο ἡμᾶς καὶ συμμίξαντας, ἀλλήλων αὖθις ἀπολαῦσαι, καὶ μὴ προεξέλθοις πρὶν ἂν ἀλλήλοις ἐντύχωμεν. εἰ δὲ θεὸς ἄλλῃ πη βεβούλευται, σὺ γὰρ ἀπόντων ἡμῶν μέμνησο. βελτίοσι μὲν γὰρ συνεσίου ἐντεύξῃ πολλοῖς. φιλοῦσι δὲ μᾶλλον, οὐκ ἂν ἄλλοις ἐντύχοις.

Τῷ αὐτῷ.

Ὡς οἶδε μὲν δὴ ψῶμαι ταῖς ἡδίσταις ἐπιστολαῖς ἐντετυχη-
π κέναι. περὶ ποῖα δὲ μέρη τῶν ἐπιστολῶν, οὐ γὰρ πάσῃ διακεχυθῆναι τῇ ψυχῇ. ἀφ' ὧν ἦλθον εἰς πολλαπλασίαν διάθεσιν. καὶ οὐκ εἰς μακρὰν προσδοκῶ τὴν ἀλεξάνδρειαν ἔχουσαν ἔτι τὴν φίλην κεφαλὴν ὄψεσθαι. καὶ ἐφ' οἷς γὰρ Σεκούνδον σὺ ἐποίησας, ἡμᾶς ἐτίμησας. καὶ ἐφ' οἷς οὕτω γράφων τιμᾷς, ἐξήρτησω σεαυτοῦ. καὶ ἐποίησας εἶναι σούς. παρ' ὅσον τῶν χαμαὶ ἐρχομένων ὄντες, οὐκ ἐπιγνώσομεν τὴν ἀξίαν, δι' ἣν τιμώμενοι. καὶ τὸ μέγεθος τῶν γραφομένων καὶ τῇ σπουδῇ τῶν γινομένων. τὸν δεσπότην μου τὸν κόμητι γέγραφα μὲν ἤδη πολλάκις. ἐπεὶ δὲ ἐν ταῖς διὰ τοῦ παιδὸς ἐπιστολαῖς, αἰτιᾷ μὴ γεγραφότα πρὸς αὐτὸν, ἐπέθηκα καὶ τὸν δεσπότην μου τοῦ ἀδελφοῦ πρὸς αὐτὸν γράμματα. ἐρρωμένος καὶ εὐδαίμων διατελοῖς φιλοσοφίας ἔχων φροντίδα, ὅση προσήκει τὸν μετὰ θείων ἐρώτων ἡρμένον ταύτης. ἀπὸ δὲ κλίνης σοι γέγραφα, μόλις ἀνεχόμενος εἰς διασκευὴν τῶν γραμμάτων. εὔξαι τὰ ἄριστα ἡμῖν, ἅπερ ἂν ὁ θεὸς ἄριστα δοκιμάσοι. ἐὰν ἀνασφήλω, ἐπὶ τὴν ἀλεξάνδρειαν εὐθὺς ἵεμαι.

Τῷ αὐτῷ.

Αινὸς οὗτος τρόπος ἐπιτηδεύεται περὶ ἐμοῦ χρείας
κ ἐπιστολῶν. οὐ γὰρ ἵνα συστήσω τῇ φιλίᾳ τῇ σῇ τὸν ἐπιδιδόν-
τα τὴν ἐπιστολὴν γέγραφα. ἵνα δέ σοι τὸν ἄνδρα χαρί-
σωμαι, κέρδος οὐ μικρὸν ἐσόμενον σοί τε καὶ τῷ μεγάλῳ Διογένει
τοῖς σοῖς παιδικοῖς. καὶ μὴ χαλεπήνῃς εἰ κέρδος οὐχ ὑμᾶς Θεο-
τίμῳ, Θεότιμον δὲ ὑμῖν εἶναι δοκιμάζω καὶ λέγω. ἀλλὰ γοῦν γε εἴγε τις
τὶς ἀνὴρ τῶν νῦν ἐνθέου τινὸς δυνάμεως δέοιτο. δυνάμεως δὲ διὰ
ταύτης ἂν ποιητικῆς, ἵνα καὶ τοῖς μετέπειτα δόξῃ, καὶ μὴ δὲ τοὺς
ἀπόντας λάθῃ. τὰ γὰρ μεγάλα τῶν ἔργων, ἂν μὴ τύχῃ λόγων κη-
ρύκων, ἀποῤῥεῖ τῆς μνήμης. καὶ λήθην ἀμπίσχεται, παρ᾽ αὐτὸν μό-
νον τὸν τοῦ πράττεσθαι καιρὸν, ἐν τοῖς ὁρῶσιν αὐθήσαντα. ταύτῃ
τε οὖν τιμητέον ὑμῖν τὸ ἑρμαῖον, καὶ ἀντὶ παντὸς σπουδαστέον, ἐν
δίχα τῆς χρείας. αἰδοῖ γὰρ μουσῶν, τοὺς ἱερέας αὐτῶν ἄξιον περιέ-
πειν. καὶ μὴ δευτέρους τίθεσθαι τῶν κολακείᾳ τὰς θύρας εἰδότων.
προσκείσθω καὶ τρίτη τὶς αἰτία τῆς παρ᾽ ὑμῶν εἰς τὸν ἄνδρα τι-
μῆς, Συνέσιος ἀγαθεὶς αὐτοῦ πάντα ἐφ᾽ οἷς ἄνθρωποι ἀνθρώπους
καὶ ἐπαινοῦσι καὶ μακαρίζουσιν. ἐῤῥωμένος διαβιώης πάντων
εἵνεκα ἐμοὶ τίμιε. προσαγορεύουσι τὴν ἱεράν σου διάθεσιν πάν-
τες οἱ τὴν αὐτὴν ἡμῖν οἰκίαν οἰκοῦντες. τῶν ἀπόντων δὲ μάλιστα
ὁ σὸς Ἰσίων. καὶ ἡμεῖς τοὺς ἅμα σοί. μάλιστα δὲ τὸν ἐμὸν Ἀβράμι-
ον. τῷ κόμητι γὰρ δοῦναι ἃ γέγραφα, αὐτὸς δοκιμάσεις. εἴτε μή.

Γυλαιμένει.

ὅ Υτος ἐκεῖνος ὁ πολὺς ἐν τοῖς λόγοις ἡμῶν Ἀναστάσιος· καὶ σὲ
δὲ ἂν αὐτῷ δείξας, τὸν αὐτὸν ἔπαινον εἶπεν ἂν περὶ σοῦ. ὥς-
περ οὖν ἐν ἐμοὶ συνελθόντες πάλαι τὴν συντυχίαν ἀναγνωρισμὸν

ποιήσα

κοινῇ μὲν, φιλοφρονήσασθέ τε ἀλλήλους, καὶ κοινῇ σκοπεῖτε πῶς ἂν ἀγαθόν τι με ποιήσητε. σχολὴν δὲ μέγιστον ἀγαθὸν, ἣν εἴποι τις ἂν ὡς τὴν χώραν πάμφορον ἅπαντα καλὰ φέρειν τῇ τοῦ φιλοσόφου ψυχῇ. καρπώσομαι δὲ σχολὴν, ἂν τοι συνεπιτάχει τῇ πολιτείᾳ ῥωμαίων ἀπαλλαγῆναί μοι γένηται. τοῦτο δὲ παρέσται, τῶν λειτουργίας αἰδουμένῳ τῶν καταλόγου. ἕως τὸ μὲν ἐπὶ βασιλεῖ, γίγνομαι ἐκτός. ἐμαυτὸν δ᾽ ἂν αἰτιασαίμην δικαίως, αἰσχυνθεὶς ὄνασθαι σπουδῆς οἰκείας. ἀπολογήσομαι τοίνυν αὐτὸς ἐμαυτῷ. δόξω δ᾽ αὐτοῦ γενέσθαι πάλιν τὴν πρεσβείαν. πάλιν γὰρ ἐμὴ γλῶττα, πρεσβεύει. καὶ οὐδεὶς αὐτὸς τῶν Πυθαγόραν ἐπαινεσάντων, ὃς τὸν φίλον, ἄλλον ἑαυτὸν ᾠήσατο.

Τῷ αὐτῷ.

Φυκούντιος ἀνὴρ. κυρηναίων δι᾽ ἐνδόξου ὁ Φυκοῦς, ἐπέδωκέ μοι φέρων ἐπιστολὴν, τὸ σὸν ἐπιγεγραμμένην ὄνομα. ταύτην ἀνέγνων ἡδέως ἅμα καὶ ἀγαμένως. ὠφέλετο γὰρ τὸ μὲν, τῇ διαθέσει τῆς ψυχῆς. τὸ δὲ, τῷ κάλλει τῆς γλώττης. καὶ δή τοι παρεσκεύασας οἷον θέατρον ἐπὶ λιβύης ἑλληνικὸν, ἀπαγγείλας ἥκειν ἀκροασομένοις ἐλλογίμων γραμμάτων. ἐνῷ ἐν ταῖς παρ᾽ ἡμῖν πόλεσιν, ὁ πυλαιμένης πολύς. ὁ δημιουργὸς τῆς θεσπεσίας ἐπιστολῆς. ἐν τούτῳ ἄχρι ἐφάνη καὶ παράδοξον ἀπήντησε τῷ θεάτρῳ. τὰς κυνηγετικὰς ᾔτεις τὰς ἐμάς. ὡς δή τι σπουδαῖον αὐταῖς ἐνόν. ἔδοξας οὖν σεσηρὸς ἦθος παρέχεσθαι καὶ εἰρωνείας ἀνάπλεων. οὐ γὰρ ἠξίουν τὰ παρὰ σφίσι τὸν φαυλότατον εἰπεῖν, ἐξενέγκαι τί ποτ᾽ οὖν τῆς παρὰ σοὶ σπουδῆς ἄξιον. ἐγὼ δὲ τούτου μὲν ὅσε παρῃτούμην, τῆς εἰρωνείας. ἐδεδίειν δὲ, ὅτι πρὸς τοῖς ἄλλοις ἅ σοι πάρεστιν ἀγαθὰ, φιλανθρωπίᾳ τεθεῖσης καὶ τῆς γνώμης φιλοδωρότατος. οὐκοῦν ἐπὶ καταγέλωτι

πεποιῆσθαι τὴν αἴτησιν. ἀλλ' ἵνα ἡδίων ᾖ, τῇ παρὰ τοῦ τοιοῦδε
μαρτυρίᾳ τιμώμενος. γράφε οὖν ὁσάκις ἂν ἐγχωρῇ. καὶ ἑστία
Κυρηναίους τῷ λόγῳ. ὡς οὐδὲν ἂν αὐτοῖς ἥδιον ἀνάγνωσμα γένοι-
το τῶν Πυλαιμένους γραμμάτων, ἤδη κατεσχημένοις ὑπὸ τοῦ δή-
γματος. πάντως δὲ συχνοῖς ἐντεύξῃ τοῖς δεῦρο ἀφικνουμένοις.
καὶ εἰ μηδέσιν ἄλλοις, ἀλλὰ τοῖς ἄρχουσιν ἡμῶν καὶ τὴν ἐλάττω καὶ
τὴν μείζω καὶ τὴν αἰγυπτίων ἀρχήν. οὓς οὐκ εἰκὸς ἀγνοεῖσθαι διὰ
τὴν ἀκολουθίαν τῶν διαδοχῶν. ἐπεὶ δὲ διαφέρει σοι τἀμὰ εἰδέναι,
η κιλα φιλοσοφοῦμεν ὦ γαθὲ, τὴν ἐρημίαν ἀγαθὴν ἔχοντες συνεργόν.
ἀνθρώπων δὲ οὐδένα, οὐδ' ἔστιν ὅτου ποτὲ ἐν Λιβύῃ ἀκήκοα φω-
νὴν ἀφιέντος φιλοσόφου, ὅτι μὴ τῆς ἠχοῦς ἀντιφθεγγομένης ἡμῖν.
ἀλλὰ κόσμει φησὶν ἣν ἔλαχες σπάρταν. κἀγώ μοι δοκῶ τὴν εἱμαρμέ-
νην ἀγαπήσειν τε καὶ κοσμήσειν τὴν αὐτὸς ἐμαυτοῦ (ἡγοῦ μὴ ἀγεννὲς ὄνο-
μα τοῦτο προοικειοῦσθαι τῷ βίῳ καὶ βάσανον), εἰ μὴ ἀτυχοῦσαν ἀπολιμπά-
νω φιλοσοφίαν. ἐμοὶ γὰρ εἰ μηδεὶς ἄλλος μαρτυρεῖ, ἀλλ' αὐτός γε πάν-
τως ὁ θεός. οὗ σπέρμα ὁ νοῦς ἐς ἀνθρώπους ἥκει. δοκῶ δέ μοι καὶ τοὺς
ἀστέρας εὐμενῶς ἐνατενίζειν ἑκάστοτε ὃν ἐν ἠπείρῳ πολλῇ μόνον ὁ-
ρῶσι θεωρὸν αὐτῶν σὺν ἐπιστήμῃ γινόμενον. συνεῦξαι τοίνυν ἡμῖν
ἐν οἷς ἐσμὲν εἶναι. σαυτῷ δὲ ἀπολιπεῖν τὴν κακοδαίμονα ἀγορὰν
ὦ ἀκα-κῶς ὦ κακῶς σὺ τῇ φύσει χρώμενος. μάλιστα μὲν οὖν ἀξιῶ σε καὶ εὐ-
ροούντων τῶν ἔξωθεν, ἰδεῖν εἰς τὰ εἴσω. τὸ γὰρ εὐτυχίας εὐδαιμο-
νίαν ἀλλάξασθαι χρύσεια χαλκείων ἐστί. κἀγὼ χαίρω καταγελώ-
μενος, ὅτι τῶν συγγενῶν σπουδαρχούντων, μόνος ἐν πολλοῖς ἰδιώ-
της εἰμί. τὴν γὰρ ψυχὴν ἀρεταῖς δορυφορεῖσθαι προτιμῶ μᾶλ-
λον, ἢ στρατιώταις τὸ σῶμα, οὐκέτι τῶν πραγμάτων χωρούν-
των ἐπιμελητὴν πολιτείας φιλόσοφον. εἰ δὲ μηδὲν τοῖς κατ' ἀγο-

ρὰν

ραν βέλτιον πέπραχας, ὥστε οὐδὲ οἶμαι, οὐδὲ ἔστιν ὅτε περὶ σοῦ πο-
νηρὰς ἔχον ἐλπίδας, ὡς ἄρα ἐκστήσῃ σαυτοῦ καὶ ὁμότροπος ἔσῃ
τοῖς εὐδοκιμοῦσι τῶν γραμματέων· οὐ γὰρ ἂν εἴποιμι τῶν ῥητό-
ρων, ἑτέρως δὲ οὐκ ἔστι πλουτεῖν ἐν ταῖς καθ᾽ ἡμᾶς ἀγοραῖς. μὴ
πάντα μισοῦντα καὶ θεῖα καὶ ἀνθρώπινα δίκαια, καὶ κέρκωπα
ἀντ᾽ ἐλευθέρου γιγνόμενον. εἰ τοίνυν οὐδὲ πλουτεῖς, ἔτι μᾶλλον εἰς
φιλοσοφίαν ἴδε. κἂν μὲν ἐντύχῃς ἀνδρὶ συντόνως ἐργαζομένῳ φι-
λοσοφίαν, ἀνεμέσητον δὲ ἐκπερινοστεῖν καὶ τὴν ἑλλάδα καὶ τὴν
βάρβαρον ἐπὶ θήρᾳ τοιᾷδε, καὶ ἡμῖν τὸ ἕρμαιον κοίνωσαι. εἰ δ᾽ ὡς
αὐχμώσῃ τῇ φορᾷ, καὶ ἡμεῖς ἀρκεῖν σοι δοκοῦμεν, ἧκε μεθέξων
καὶ ἡμῶν καὶ τῶν ἡμετέρων. ἐπεὶ τὰ ἴσα καὶ τὰ ὅμοια φησὶ τὸ γράμ-
μα τὸ λακωνικόν. πρόσειπε παρ᾽ ἐμοῦ, πάνυ πολλὰ τὸν σεβασμι-
ώτατον Μαρκιανόν· ὃν εἰ προλαβὼν ἀεὶ ᾔδειν ἑρμοῦ λογίου τύ-
πον εἰς ἀνθρώπους ἐφ᾽ ἡμᾶς ἐληλυθέναι, μόλις ἂν ἔτυχον τῆς ἀξίας,
ὅτι πλέον οὐδὲν ἢ τύπος. ἐπιστολὴν δὲ ἐξ εὐθείας πρὸς αὐτὸν ἐπιθεῖ-
ναι, καίτοι προθυμηθεὶς, ἐνάρκησα, ἵνα μὴ εὐθύνας ὑπόσχω τοῖς
παρ᾽ ἐκείνῳ τοῖς ἀποσμιλεύουσι τὰ ὀνόματα. οὐ γὰρ μικρὸς ὁ
κίνδυνος ἐν τῷ πανελληνίῳ τὴν ἐπιστολὴν ἀναγνωσθῆναι, καλῶ γὰρ
οὕτω τὸν τόπον ἐν ᾧ πολλάκις ἐφρόντισα τὰς βαρείας φροντί-
δας, τῶν ἁπανταχόθεν ἐλλογίμων συνιόντων. ἐφ᾽ ὧν τῆς ἱερᾶς ἀκοῦ-
σαι τοῦ πρεσβύτου φωνῆς, παλαιά, καὶ νέα καταμαστευούσης
διηγήματα. ἀλλὰ καὶ τὸν ἑταῖρον Εὐχάριστον, χαίρειν κέλευσον
παρ᾽ ἐμοῦ. καὶ πάντας ὅσοις ἄξιον. Τῷ αὐτῷ.

σ υνίστημι τῇ φιλίᾳ καὶ τῇ προστασίᾳ τῇ σῇ, τὸν θαυμά-
σιον Σωσιανόν. ᾧ τὴν διὰ λόγων τραφέντι καὶ αὐξηθέντι, τὰ πα-
ρὰ τῆς τύχης οὐκ ἀπαντᾷ κατὰ λόγον. αἰτία τοῦ δὴ τὴν τῶν πα

τρίδος ἀκληρίαν. καὶ πείθει τίς αὐτὸν λόγος, ὡς ἔστι συμμεταβαλεῖν τῆς χώρας τὴν τύχην. ἀφίξεται δὲ παρὰ τὴν ἔχουσαν τὸν βασιλέα πόλιν, ὡς ὅπου βασιλεὺς, ἐκεῖ καὶ πάνυ τῆς τύχης οὔσης, καὶ τυχὸν ἐπιγνωσομένης αὐτήν. εἰ δή τις σοι δύναμις συντέλεσον αὐτῷ πρὸς ὅ,τι βούλεται. σοῦ γὰρ ἄξιον τὸ καὶ δύνασθαι, καὶ τοὺς δεομένους συνιστάναι τῇ ἀγαθῇ τύχῃ. ἐὰν δέῃ τοι φίλων, τῶν σοὶ φίλων αὐτὸς προσοίσεις αὐτόν.

Τῷ αὐτῷ.

Ὑμᾶς τὸν Φίλιον τὸν ἐμόν τε καὶ σὸν, οὐκ ἔγραψα ὦ Πυλαίμενες ἀπέσκωψά σου τὴν εἰς τὴν ἐνεγκοῦσαν εὔνοιαν. οὐχ οὕτως ἄπολις. εἰ μή τις οὐδὲ ἀνέστιος. ἀλλὰ σὺ καλῶς διεδέξω τὸν νοῦν τῆς ἐπιστολῆς. καὶ κατηγόρηκας ἡμῶν ἅττα οὐκ ἄξιον. ἐγὼ γὰρ ὅτι μὲν ἡρακλείας ἐρᾷς, καὶ πρόθυμος εἶ ποιῆσαί τι τὴν πόλιν ἀγαθὸν, ἐπαινῶ. τοὺς λόγους δὲ ἐποιούμην ὑπὲρ τοῦ δεῖν ἀνθελέσθαι φιλοσοφίαν τῆς ἀγοραίου ταύτης διατριβῆς. εἶτα σύ μοι δοκεῖς δίκας ἀγορεύων, οἴεσθαι μᾶλλον ἢ φιλοσοφῶν, ὠφελιμώτερος ἔσεσθαι τῇ πατρίδι. πῶς τοῦτο; ὅτι τοι μὴ μεταθέσθαι σου τὴν προαίρεσιν, ἡττᾶσθαι τὸ τῆς γνώμης φιλότιμον. τοῦτ' ἐγὼ ἀπέσκωψα καὶ ἔχω τὴν εὔνοιαν ὅτι καλῶς οἷς προὔργου σοί τι κινήσειν εἰς τὸν κάλλιστον ἔρωτα. τὸ προσεδρεύειν ταῖς δίκαις. καὶ γὰρ εἰ μὴ λέγοιμι φιλοσοφίαν ἱκανὴν εἶναι τὰς πόλεις ὀρθοῦν, ἐλέγξει με κυρήνη, κειμένη πολὺ δήπου τῶν ἐν ταῖς πέντε πόλεων ἀκριβέστερον. ἀλλ' εἴποιμι μὲν ἂν, ὅτι φιλοσοφία τῆς ῥητορικῆς καὶ ἧς τινος βούλει καὶ τέχνης καὶ ἐπιστήμης ἁπάσης ἐπὶ πᾶσιν οὖσα, περιέξει τὸν ἔχοντα τοῦ ἰδιώτου οἴκῳ καὶ πόλεσιν ὠφελιμώτερον. ὑμῖν ἀρκεῖ τὸ καθ' ἑαυτὴν ἀγαθόν τι ποιεῖν τοὺς αὐτούς. ἔχει γὰρ οὕτως ὦ λῷστε Πυλαίμενες. τὰ καλὰ τῶν ἐπιτηδευμάτων, δυνάμεις τινές εἰσι καὶ παρασκευαὶ ψυχῆς. καὶ

οἷαι

οἷον αὐτὸ μόνον τὸ χρῆναι μὲν· καιροὶ δὲ καὶ τύχαι, φέρουσιν ἄνω καὶ κάτω τὰ τῶν πλειόνων πράγματα. καὶ νῦν μὲν οὕτως ἔχειν, νῦν δὲ ἑτέρως ἀνάγκη φύσεως ἧς μετείληφε. φιλόπολις μὲν οὖν εἶ σύ. τυγχάνω δὲ οὖν καὶ αὐτός. καὶ σὺ μὲν ἐργάζῃ ῥητορικήν. καὶ συγχαίρω σοι μὴ ταύτην ἐπιτηδεύειν· ἀλλὰ τὴν ὀρθὴν καὶ γενναίαν, ἣν ὅδε Πλάτων οἶμαι διαγράφειν πειρᾶται. ἐγὼ δὲ φιλοσοφίαν τιμῶ τε, καὶ τῶν ὅσα ἀνθρώπινα ἀγαθὰ προτιμῶ. τί οὖν ταύτῃ περὶ ἡμῶν πλέον τοῖς πλείοσιν, εἰ μὴ καὶ βίοι τινὲς ὑποβληθεῖσιν ἀρκοῦντες ταῖς προαιρέσεσι. διὰ μὲν γὰρ ὅλης ἐπιτηδείας. διὰ δὲ ὀργάνων τῶν χρῆσθαι δυναμένων. τὸ δὲ τοῦτο περισκευάζον, ἡ τύχη. εἰ μὲν οὖν ἐκείνως μόνον τουτέστι διὰ τῆς ῥητορικῆς οἴεσθαι περιέσεσθαι τὴν τύχην, ὥστε ἄρξαι ποτὲ παρασχεῖν ἢ ὑπέρξαι τὴν μεγίστην ἀρχὴν, τί κατέγνωκας ἀτυχίαν φιλοσοφίας. εἰ δὲ ἐπίσης ἀμφοῖν ἐνδέχεται καὶ ἀπεῖναι καὶ παραγενέσθαι, τί μὴ τέως αἱρῇ τῶν φαινομένων τὸ ἄριστον. αὐτὸ μὲν γὰρ καθ' αὑτὸ, φιλοσοφίαν καὶ σὺ φῂς εἶναι κάλλιον ῥητορικῆς. τὸ δὲ δεῖν ὁμαθεῖ σου τὴν πόλιν ἀναγκαιότερόν σοι τὸ χεῖρον ποιεῖν. ὡς δὴ νῦν μὲν ἔξεστιν ἐλπίζειν τὰ ἀμείνω, φιλοσοφήσαντι δὲ οἱ θεοὶ πάντες ἐχθροί, καὶ τὴν τύχην ἐξοχετεύουσιν, ὡς μηδ' ἐν ταῖς ἐλπίσιν ἀπολελεῖφθαι. ἐγὼ δὲ οὔπω καὶ τήμερον τοῦτον ἀκηκοὼς οἶδα τὸν λόγον, ὅτι τῇ σεμνῇ φιλοσοφίᾳ θεῖός ἐστι κλῆρος ἀτυχεῖν. ἀλλὰ μόλις μὲν ἂν ἐν τῇ κοινῇ τῇ θνητῇ φύσει, συνέλθοιεν ἰσχύς τε καὶ φρόνησις. ἔστι μὴν ὅτε συνήγαγεν αὐτὰς ὁ θεός. ἔξεστιν οὖν ἐκ τοῦ λόγου μαθεῖν ὅτι πᾶσα ἀνάγκη τὸν αὐτὸν εἶναι καὶ φιλόσοφον καὶ φιλόπολιν, καὶ μηδὲ ἀπογινώσκειν τῆς τύχης, ἀλλὰ καὶ προσδοκᾶν τὰ ἀμείνω, διὰ τὴν οἰκείαν ἀξίαν. οὐχ ἥκιστα γὰρ μόνοι πλεονεκτοῦσιν ὡς παλαιὸς λόγος οἱ χρηστοὶ τῶν πονηρῶν ταῖς ἀγαθαῖς ἐλπίσι. πῶς οὖν ἔλαττον αὐτὸς ἔχειν συγχωρήσομεν. ἀνάγκη δὲ εἰ πρὸς τὸν παρὰ σοῦ λόγον ἐνδοίημεν, ὃς εἰς τοῦτο

σε προήγαγεν ἁμαρτίας τὸ φάναι τῆς πόλεως ἕνεκα δεῖν μένειν ἐπὶ τῆς τέχνης. ἀνάγκου γάρ μου μετατιθέντος εἰς κατηγορίαν τὴν περὶ τοῦ σκώμματος ἀπολογίαν. ὃ δὴ μὴ ὄν, ἔδοξεν εἶναί σοι πρότερον. οὐ γὰρ οἶμαι νῦν ἔτι δοκεῖ. ἐπεί τι κινδυνεύω καὶ διαβεβλῆσθαι πρὸς τὴν ἱερὰν κυρίαν ὑπὸ σοῦ καὶ ταῦτα τῆς φίλης μοι κεφαλῆς. εἰ γὰρ δὴ πεισθεῖεν αἱ πόλεις, ὅτι ῥητορικὴ μόνη δύναται μεταθεῖναι τὰς παρούσας αὐτοῖς συμφοράς, καὶ μόνον ἐστὶ τοῦτο γέρας τῶν βοηθούντων τοῖς ἔχουσι περὶ συμβολαίων τὰς δίκας, χαλεπαίνοιεν ἡμῖν τοῖς ἄλλο τι θεραπεύουσιν, ἀντὶ τοῦ βήματος. εἷς οὖν ἐμοὶ πρός σέ τε καὶ τὰς πόλεις ἁπάσας περὶ φιλοσοφίας ὁ λόγος. ὅτι παρούσης μὲν τύχης καὶ καλεσάντων αὐτὴν ἐπὶ τὰ πράγματα τῶν καιρῶν, οὐδεμιᾶς ἐστι τέχνης, ἀλλ' οὐδὲ ἅμα πασῶν ἐρίσαι φιλοσοφίᾳ περὶ τοῦ τὴν συντονωτέραν ἁρμόσαι. καὶ μετατάξαι, καὶ βελτίω τοῖς ἀνθρώποις ποιῆσαι τὰ πράγματα. τῆς εἱμαρμένης δὲ οὔπω ταύτῃ ῥυείσης νοῦν ἔχει πολὺν οἰκειοπραγεῖν, ἀλλὰ μὴ παραδοικεῖν. μὴ δὲ ἀσχημονεῖν, ἀξιοῦντας ὠθίζεσθαι παρὰ τὸ τοῦ δεῖνος ἀρχεῖον, οἷς μὴ πᾶσα ἀνάγκη. ἀνάγκα ᾗ οὐδὲ θεοὶ φασὶ μάχονται. ἡμῖν δὲ ἐστιν ἄλλα σεμνότερα. καὶ ὅταν ὁ νοῦς ἀνενέργητος ᾖ περὶ τὰ ἐνθάδε, περὶ τὸν θεὸν ἐνεργεῖ. δύο γὰρ αὗται μερίδες φιλοσοφίας, θεωρία καὶ πρᾶξις. καὶ δὴ ταῦτα δύο δυνάμεις ἑκατέρα παρ' ἑκατέραν μερίδα, σοφία καὶ φρόνησις. αὕτη μὲν δεομένη τύχης. σοφία δὲ αὐτάρκης καὶ ἀκώλυτος ἡ κατ' ἐκείνην ἐνέργεια.

Τῷ ἀδελφῷ.

τ Οὓς αἰσχροὺς ἂν ἴδοις ἐν μὲν εἰρήνῃ θρασεῖς. ἐν δὲ πολέμῳ δειλούς. τουτέστιν ἁπανταχοῦ πονηρούς. ὥς γέ μοι δοκεῖ ταύτην τις δικαίως εἰδέναι δεῖ πολέμῳ χάριν, ὅτι βάσανός ἐστι

τῶν περὶ

τοῦ περὶ τὴν καρδίαν αἵματος ἀκριβής· καὶ συχνοὺς ἀλαζόνας παραλαβὼν, μετριωτέρους, ἡμῖν ἀποδίδωσιν. οὐ γὰρ οἶμαι τὸ ἀπὸ τοῦ διεσβήσειν διὰ τῆς ἀγορᾶς Ἰωάννην τὸν ἀλιτήριον. οὐδὲ πὺξ ἐν γένει. οὐδὲ λὰξ ἐναλεῖσθαι τῶν ἐπιεικεστέρων τινί. χθὲς τοι πάνυ λαμπρῶς συνηγορήκει τῇ παροιμίᾳ. μᾶλλον δὲ τῷ χρησμῷ. χρησμὸς γὰρ ἄντικρυς. τοῦτό γε πάντως οἶσθα, τὸ, οὐδεὶς κομήτης, ὅστις οὐ ψηνίζεται. ἡμέρας μὲν γάρ τινας ἑξῆς οἱ πολέμιοι προσηγγέλλοντο. κἀμοί τε ἀπαντητέον ἐδόκει, καὶ βαλαγρίτας συντεταγμένους, ἐξῆγεν ὁ φύλαρχος. εἶτα φθάσαντες αὖ εἰς τὴν πεδιάδα, πεπεισμένοι μέν. οὐδαμοῦ δὲ φαινομένων, περὶ βουλυτὸν ἀπεχωροῦμεν ἕκαστος οἴκοι, συνθέμενοι πάλιν ἥξειν εἰς τὴν ὑστεραίαν. ὁ δὲ Φρὺξ Ἰωάννης τέως μὲν ἦν οὐδαμοῦ. οὐκ οὖν ὥστε καὶ φανερὸς εἶναι. φήμας δὲ ὑπέπεμπε. νῦν μὲν ὡς κατεαγὼς εἴη. καὶ διαπρίει τὸ σκέλος νῦν δὲ ὡς ἆσθμα νοσεῖ νῦν δὲ ὡς ἄλλο ὅτι κακὸν ἐξαίσιον ἔχει. τοιοῦτοί τινες ἐφοίτων λογοποιοὶ ἄλλος ἄλλοθεν ἥκειν φάμενοι, τὸ μηδὲ σαφὲς εἶναι ποῖ γῆς Ἰωάννης δέδυκεν ἢ κρύπτεται. μεταξὺ δ᾽ αὖ διηγούμενοι, πρὸς τὴν ἀκρασίαν τῆς συμφορᾶς ἐσχετλίαζον ὑπεδάκρυον. νῦν ἔδει τοῦ γενναίου λήμματος. νῦν τῶν ἐκείνου χειρῶν. τί ἂν ἐποίησε. τί ἂν ἐγένετο. καὶ ἐπὶ πᾶσιν ὦ τοῦ δαίμονος εἰπὼν αὖ ἕκαστος, καὶ τὼ χεῖρε πατάξας, ἀπηλλάττετο. ἦσαν δὲ οὗτοι τῶν ἐν τῷ οὐδενὶ χρησίμῳ πάλαι παραξεφομένων αὐτῷ, κομῆται καὶ οὐ τριχὴ οὐδὲν ὑγιές. ἀρνῶν ἢ δ᾽ ἐρίφων ἐπιδήμιοι ἁρπακτῆρες. καὶ νὴ τοὺς θεοὺς ἔστιν ὅπῃ καὶ γυναικῶν. τοιούτους λοχίτας ἐκ πολλοῦ παρεσκεύαστο. μετὸν εἶναι μὲν ἀνὴρ οὐδ᾽ ἐπιχειρεῖ. χαλεπὸν γάρ. σοφιστὴς δ᾽ ἐστί. καὶ ὡς ἂν δόξειεν ἀνὴρ εἶναι παρὰ τοὺς ὄντας ἄνδρας, ἀεὶ σκέπτεται. ἀλλά μοι δοκεῖ καλῶς αὐτῷ τὸ

δαιμόνιον αὐτὶ πολιτεύσασθαι. πέμπτην μὲν γὰρ ἤδη ἐν τοῖς ὅπλοις
μαι τὴν παρεληλυθέναι μὲν. ἔτι τὰ μετεωρότερα κακουργούντων τῶν
πολεμίων. ὁ δὲ καὶ παντάπασιν ἀπονενοημένους ἧξεν αὐτούς, ὡς οὐκ
ἂν τὸ βάθος τῆς χώρας θαρρήσοντας, παρῆν. καὶ πάντα εὐθὺς ἀ-
κοσμίας ἐμπίπλησι. καὶ ἀσθενείας μὲν οὐκ ἐμέμνητο. καταγε-
λᾶν γέ τοι καὶ ἀναχωρέμενων ἀκοῦσαι. αὐτὸς δὲ ἥκειν ἔφη ἐῤῥῶσθαι.
οὐκ οἶδα ὅθεν. ἐκεῖ γὰρ εἰς συμμαχίαν παρακεκλῆσθαι. παρὸ καὶ
σεσῶσθαι τοὺς ἐπικαλεσαμένους ἀγρούς. οὐ δὲ γὰρ ἐμβεβληκέ-
ναι τοὺς πολεμίους πρὸς τὴν φήμην τῆς Ἰωάννου παρουσίας,
καταπλαγέντας. ἀσφαλῶς δὲ ταῖς κατασκευασάμενος, πρὸς τὸ
πόνον ἔφη καταδεδραμηκέναι. προσδέχεσθαι γὰρ ὅσον οὔπω τοὺς
ἄνδρας, κὰν λάθῃ παρών. καὶ μὴ διαδοθῇ τοὔνομα. εὐθὺς οὖν ἅπαν-
τα ἀκοσμίας ἐμπίπλησι παραστρατηγεῖν ἀξιῶν. καὶ ἐν βραχεῖ,
τέχνην τοῦ νικᾶν παραδώσειν ὑπισχνούμενος, βοῶν ἐπὶ μέτωπον.
ἐπὶ φάλαγγα. καὶ κατὰ τὸ κέρας πολὺ τὸ πλαίσιον. ποιῶν ὀνόματα
τὰ τάξεων, ὧν ἠγνόει τὴν χρείαν. καί τισιν ἀπὸ τούτου ἔδοξέ τις εἶ-
ναι. καὶ τήν γε φύσιν ἐμακάριζον καὶ ἐμαθητίων πολλοί. ἤδη δὲ δεί-
λη τέλος ὀψία. καὶ καιρὸς ἐφόδου. καὶ δὴ πρόσω τῆς ὀρφνῆς καταβαί-
νοντες ἐγινόμεθα. κἀν ταῦθα νεανίαι τέσσαρες, ἐσταλμένοι χωρι-
κῶς καὶ κεκαρκότες, ὅσον ἐχώρουν αἱ κεφαλαί, δρόμῳ πρὸς ἡ-
μᾶς ἔθεον, ὥς μηδενὶ μάντεως δεῖν, ὅτι πολεμίους πεφόβηνται,
καὶ σπεύδουσιν εἴσω τῶν ὅπλων γενέσθαι. πρὶν δὲ καὶ καλῶς αὐτῶν
ἐκείνων ἀκοῦσαι λεγόντων ὅτι καὶ δὴ πάρεισιν, ὁρῶμεν ἐφίππων αὖ
δράγματα πονηρά, καὶ ὥς ἐμοὶ δοκεῖν ὑπὸ λιμοῦ στρατηγούμενα, προ-
χειρότατα δόξαν ὑπὲρ τῶν ἡμετέρων ἀγαθῶν ἀποθνήσκειν ἐθέλον-
τα. ἐπειδὴ δὲ συνεῖδον καὶ ὤφθησαν, πρὶν εἴσω βέλους ἐλθεῖν, οἱ μὲν ἀ-
ποβάντες

σοβαύτις ὥσπερ ἐλάθεσαν, τῶν ἵππων, ὡς εἰς μάχην διεσκευάζοντο
καί μοι καλῶς ἔχειν ἐδόκει μιμεῖσθαί τινος ἀνδρός. καὶ γὰρ ἔφιπ-
πος ἦν. ὁ δὲ γενναῖος οὐκ ἔφη παρανομήσειν εἰς τὴν ἱππικήν.
ἀλλὰ τὸν ἀγῶνα τῶν ἵππων κρίσειν. τί οὖν; παρενεγκὼν βίᾳ τὸ ψάλ-
λιον, καὶ μεταστραφεὶς, ἔφυγεν ἀνακράτος ἐξελαύνων ἐξαιμάτ-
των τὸν ἵππον. ἅπασαν ἡνίαν ἀφείς. κέντρῳ παντὶ χρώμενος. καὶ
ἱμάσιν πυκνοῖς. καὶ ἡ βοὴ τὸ κελευστικὸν ἤχει. ἐν τούτῳ δὲ οὐκέτι ῥᾴ-
διον εἰπεῖν, ὅντινά τις μᾶλλον ἐπῄνεσε. πότερον τὸν ἵππον, ἢ τὸν ἱπ-
πέα. ὁ μὲν, γὰρ ὁμοίως κατὰ πρανῶν. ὁμοίως καὶ κατ᾽ ὀρθίων ἐφέ-
ρετο. καὶ διὰ τῶν δασέων. καὶ διὰ τῶν ψιλῶν. ῥύμῃ μιᾷ διεπήδα
τάφρους. ὑπὲρ τοὺς ἐχθροὺς ἤρετο. ὁ δὲ, διὰ πάντων τῶν χωρίων ἔπ-
οχος ἦν. καὶ ἐν οὐδενὶ τῆς καθέδρας ὠλίσθησε. δοκεῖ γάρ μοι καὶ τοῖς
πολεμίοις καλὴ θέα γενέσθαι, καὶ ὡς πολλὰ ἂν εὔξαιντο τοιαῦτα
θεάσασθαι, οὐ μὴν τό γ᾽ ἐφ᾽ ἡμῖν εἶδον. ἀλλ᾽ ἀθυμότεροι μὲν ὡς τὸ εἰ-
κὸς ἐγενόμεθα, ψευσθέντες παρὰ πολὺ τῶν εἰς τὸν κομήτην ἐλπί-
δων. ἐταξάμεθα γοῦν, ὡς ἔτι τις ἐπίοι, δεξόμενοι. αὐτοὶ δὲ μάχης
ἄρχειν οὐ διενοούμεθα. καὶ γὰρ ὅστις αὐτὸς εὔψυχος ἦν ἠπίστει τῷ
πέλας πρὸς παράδειγμα τὸ γεγονὸς ὁρῶν. ἔνθα οὐδὲν ἦν αἴσχιον κό-
μης. ὅτῳ γὰρ ἦν, οὗτος ἐπιδοξότατος πρὸς τὸ προδώσειν ἡμᾶς.
οὐ μὴν ἀλλὰ καὶ τοῖς πολεμίοις ταυτὸν ἴσως τοῦτο παρέστη. καὶ
ταξάμενοι, περιέμενον ἡμᾶς, ὡς ἦν ἐμβάλλωμεν, ἀμυνούμενοι.
ἐπεὶ δὲ παρ᾽ οὐδετέρων ἐπεχειρεῖτο, πρῶτον μὲν αὐτοὶ τὴν ἐπὶ τὰ
λαιὰ φέρουσαν, καὶ μετ᾽ ἐκείνους ἡμεῖς τὴν ἐπὶ θάτερα ἐτραπόμεθα,
οὐδέτεροι θᾶττον ἢ βάδην. ἀλλὰ σχολαίῳ βαδίσματι, ὥσπερ μὴ δοκεῖν
εἶναι φυγὴν τὴν ἀναχώρησιν. εἶτα μέχρι καὶ νῦν ἐν τείχεσιν ὄντες, ἐ-

(πυνθανόμεθα

ποῖ γῆς Ἰωάννης· ὅ δ᾽ ἑνὶ πνεύματι καταλαβὼν τὴν βομβαίαν, δίκην ἀρουραίου μυὸς, ἐνεδεδύκει τῇ πέτρᾳ. ὅρος ἐστὶν ἡ βομβαία κοῖλον ὃ συνελθοῦσαι τέχνη τε φύσις, εἰργάσαντο φρούριον ἐρυμνότατον. τοῦτο καὶ πάλαι μὲν εὐδοκίμει δικαίως. καί τινες αὐτὸ παρὰ τοὺς αἰγυπτίους ὀξύταζον σύεσιγγας. νυνὶ δὲ κέκληται τὰ πάντα χρυσοτείχινικα, οἷς ὁ παρὰ πάντας ἑαυτοῦ προμηθέστατος, ἵνα μὴ λίαν ἀγροίκως εἴπω, δηλότατος αὐτὸ τὸ τοῦ πράγματος ὄνομα, τοῦτο παρακάθηται, καὶ τὴν σωτηρίαν προὐτίμησε. ὃ γὰρ εἰσελθόντι λαβυρινθῶδές ἐστι. καὶ δυσδιεξίτητον, ὡς μόνους ἂν χωρῆσαι τοὺς Ἰωάννου δρασμούς.

Τῷ αὐτῷ.

α Νόητος ἂν εἴην, εἰ μὴ πολλὴν χάριν εἰδείην πτολεμαίοις, ὅτι μειζόνων ἀξιοῦσιν, ὅσων οὐδὲ αὐτὸς ἐμαυτόν. ἀλλ᾽ οὐκ εἰ μεγάλα χαρίζονται τοῦτο προσήκει σκοπεῖν. ἀλλ᾽ εἰ λαβεῖν ἐμοὶ δυνατόν. τὸ γὰρ ἄνθρωπον ὄντα, μικροῦ θείας καρποῦσθαι τιμὰς, δικαίῳ μὲν ὄντι τυγχάνειν, ἡδίστην εἰς ἀπόλαυσιν ἔρχεται. λειπομένῳ δὲ παραπλὺ τῆς ἀξίας, ἐλπίδα πικρὰν ὑποτείνει τοῦ μέλλοντος. οὐ γὰρ νεώτερόν ἐστι τὸ δέος, ἀλλὰ καὶ λίαν ἀρχαῖον. τὸ, μή τι παραθεὶν ἀμπλακὼν, τιμὰν πρὸς ἀνθρώπων ἐφθίμων. ἐγὼ δὲ καταμανθάνων ἐμαυτὸν, δέεισηω πάντα πᾶσιν ἐνδεέστερον, ἢ ὥσ ἁρμόσαι τῇ τῆς ἱερωσύνης σεμνότητι. καὶ δῆτα διαλέξομαι πρὸς σὲ περὶ τῶν τῆς ἐμαυτοῦ ψυχῆς κινημάτων. οὐ γὰρ ἔχω πρὸς ὅντινα ἄλλον αὐτὶ τῆς σῆς φίλης καὶ συντρόφου μοι κεφαλῆς. σὲ γὰρ εἰκὸς, καὶ μετέχειν μοι τῶν ἴσων φροντίδων, καὶ νύκτωρ ἀγρυπνεῖν,

πνεῖν, καὶ μεθ' ἡμέραν σκοπεῖν, ὅπως ἂν ἀγαθόν τι μοι γένηται, καὶ ὅπως ἂν κακόν τι διαφύγοιμι. ἄκουε τοίνυν ὡς ἔχει τὰ κατ' ἐμέ· τὰ πλείω δ' ἂν αὐτῶν καὶ εἰδείης. μικρὸν ἀράμενος φορτίον, καλῶς ἐνεγκεῖν μοι δοκῶ τὸ μέχρι τοῦδε φιλοσοφίαν. διὰ δὲ τὸ δόξαι μὴ παντάπασιν αὐτῆς ἁμαρτάνειν ἐπαινεθεὶς ὑπ' ἐνίων, ἀξιοῦμαι μειζόνων, παρὰ τῶν οὐκ εἰδότων κρῖναι ψυχῆς ἐπιτηδειότητα. φοβοῦμαι δὲ μὴ χαῦνος γενόμενος καὶ προσιέμενος τὴν τιμὴν, ἀμφοῖν διαμάρτω τοῦ μὲν ὑπεριδὼν, τοῦ δ' ἀξίας μὴ ἐφικόμενος. σκόπει δὲ οὕτω. δύο τούτοις ἑκάστοτε μερίζω τὸν χρόνον. παιδιᾷ καὶ σπουδῇ. καὶ σπουδάζων, ἴδιός εἰμι μάλιστά γε τὰ θεῖα. καὶ παίζων κοινότατος. οἶσθα γὰρ ὡς ὅταν ἀνακύψω τῶν βιβλίων, ἐπιρρεπής εἰμι πρὸς ἅπασαν παιδιάν. πολιτικῆς δὲ φροντίδος ἄμοιρος καὶ φύσει καὶ μελέτῃ. τὸν δ' ἱερέα, ἄνδρα δεῖ θεσπέσιον εἶναι. ὅν γε πρὸς μὲν παιδιὰν ἅπασαν, ἴσα τῷ θεῷ ἀμείλικτον εἶναι χρή. ὃς ἵνα τηρῇ τὴν ὑπόθεσιν, ὑπὸ μυρίων ὀμμάτων φρουρεῖται. ὧν οὐδὲν ἢ μικρὸν ὄφελος, εἰ μή τις εἴη κατεσκευασμένος σύννους τε καὶ πρὸς ἅπασαν γλυκυθυμίαν ἀνένδοτος. τὰ δέ γε πρὸς θεὸν, οὐκ ἂν ἴδιος. ἀλλὰ κοινότατος εἴη, νομοδιδάσκαλος ὢν καὶ νενομισμένα φθεγγόμενος. χρὴ δὲ καὶ πράγματα πραγματεύειν ὅσα πάντες ἅμα. τὰ γὰρ ἁπάντων, μόνον δεῖ πραγματεύειν, ἢ πάσαις αἰτίαις ἀνέχεσθαι. πῶς οὖν οὐκ εἴη δὴ μεγέθους ψυχῆς τῆς κρατίστης ἐνέγκασθαι τοσοῦτον ὄγκον φροντίδων. τὸ μὴ κατακλύσαι τὸν νοῦν καὶ μὴ κατασβεσθεῖσαν ἐν τῇ ψυχῇ περιιδεῖν τὴν μοῖραν τὴν θείαν. ὅτω παντοδαπῶν ἐπιτηδευμάτων ἀπαγόντων αὐτόν. εὖ οἶδα ὅτι δυνατὸν ἐνίοις τοῦτο. καὶ μακαρίζω τὰς φύσεις αὐτῶν, κἀκείνους ἀληθῶς εἶναι ἡγοῦμαι τοὺς θείους ἄνδρας. οὓς τὸ ὁμιλεῖν πάνυ

πράγμασιν ἀνθρωπίνοις μὴ ἀνακόπτεσθαι τοῦ θεοῦ. ἀλλὰ καὶ αὐτὸν οἶδα ἐν ἄστει τε κατιόντα· καὶ ἀπ᾽ ἄστεος ἀνιόντα, καὶ ἐνδελεχῶς λουόμενον τοῖς πρὸς τὴν γῆν μεθέλκουσι. καὶ ἐμπιμπλάμενον κηλῖδος, οὐκ ἂν ἐπινοήσαι τις ὅσης. τῷ γὰρ οἰκείας εἶναί μοι καὶ πάλαι μολυσμοὺς, καὶ τὸ τυχὸν μέρος ἐπιγινόμενον, εἰς προσθήκην μέγα συμβαίνει. ῥώμη δ᾽ οὐκ ἔστι μοι. καὶ τὸ ἔνδον οὐχ ὑγιές. καὶ πρὸς τὸ ἐκτὸς ἀρκεῖν οὐχ οἷός τέ εἰμι. καὶ πολλοῦ δέω τὴν ἐκ τοῦ συνειδότος φέρειν αἰτίαν. καὶ ὁσάκις ἄν μέ τις ἔροιτο, λέγειν διαρρήδην οὐκ ἀναδύομαι. ὡς τὸν ἱερέα διὰ πάντων ἀκηλίδωτον εἶναι προσήκει πολλῷ τῷ περιόντι, ὡς καὶ ἑτέρους τῶν μιασμάτων ἐκπλυνοῦντα. κἀκεῖνο δεῖ προσεῖναι τοῖς πρὸς τὸν ἀδελφὸν γράμμασι. πάντως γὰρ ἀναγνώσονται συχνοὶ τὴν ἐπιστολήν. καὶ γὰρ οὐχ ἥκιστα τούτου χάριν αὐτὴν ὑπηγόρευσα. τοῦ πᾶσι καταφανὲς εἶναι τὸ πρᾶγμα. δεδιὼς ὡς ὅτι ἂν ἀποβῇ, καὶ πρὸς θεοῦ καὶ πρὸς ἀνθρώπων ἀναίτιος ὦ καὶ οὐχ ἥκιστα πρὸς τοῦ πατρὸς Θεοφίλου. τιθεὶς γὰρ ἐν μέσῳ τὰ ἐμὰ καὶ διδοὺς ἐξ ἁπάντων αὐτῷ βουλεύσασθαι περὶ ἡμῶν, πῶς ἂν ὑπαίτιος εἴην. ἐμοὶ τοιγαροῦν, ὅ, τε θεὸς ὅ, τε νόμος. ἥ τε ἱερὰ Θεοφίλου χεὶρ, γυναῖκα ἐπιδέδωκε. προαγορεύω τοίνυν ἅπασι καὶ μαρτύρομαι, ὡς ἐγὼ ταύτης, οὔτε ἀλλοτριώσομαι καθάπαξ, οὔτε ὡς μοιχὸς αὐτῇ λάθρα συνέσομαι. τὸ μὲν, γὰρ ἥκιστα εὐσεβές. τὸ δὲ, ἥκιστα νόμιμον. ἀλλὰ βουλήσομαί τε καὶ εὔξομαι συχνά μοι πάνυ καὶ χρηστὰ γενέσθαι παιδία. ἓν δὴ τοῦτο δεῖ τὸν κύριον τῆς χειροτονίας μὴ ἀγνοῆσαι. μαθέτω δὲ αὐτὸ, παρὰ τῶν ἀμφὶ τὸν ἑταῖρον Παῦλον, καὶ Διονύσιον. οὓς πρεσβευτὰς ᾑρῆσθαι παρὰ τοῦ δήμου πυνθάνομαι. ἐκεῖνο δὲ οὐδὲν δεῖ μαθεῖν αὐτόν. ἀλλ᾽ ὑπομνησθῆναι. διαλέξομαι δὲ πλείω περὶ αὐτοῦ. καὶ γὰρ ἂν ἅπαντα τἆλλα μικρὰ, πρὸς ἐκεῖνό τις ἂν τοῦτο θείη. χαλεπὸν γάρ ἐστιν εἰ μὴ καὶ λίαν ἀδύνατον εἰς ψυχὴν ταῖς διὰ ἐπιστήμης εἰς ἀπόδειξιν ἐλθόντα δόγματα

συναλλοιωθῆναι. οἶδα δ᾽ ὅτι πολλὰ φιλοσοφία τοῖς θρυλλουμένοις τούτοις ἀντιδιατάττεται δόγμασιν. ἀμέλει τὴν ψυχὴν οὐκ ἀξιώσω ποτὲ σώματος ὑστερογενῆ νομίζειν. τὸν κόσμον οὐ φήσω καὶ τἆλλα μέρη συνδιαφθείρεσθαι. τὴν καθωμιλημένην ἀνάστασιν ἱερόν τι καὶ ἀπόρρητον ἥγημαι. καὶ πολλοῦ δέω ταῖς τοῦ πλήθους ὑπολήψεσιν ὁμολογῆσαι. νοῦς μὲν οὖν φιλόσοφος ἐπόπτης ὢν, τἀληθοῦς, συγχωρεῖ τῇ χρείᾳ τοῦ ψεύδεσθαι. ἀνάλογον γάρ ἐστι φῶς πρὸς ἀλήθειαν καὶ ὄμμα πρὸς λῆμμην. ὁ ὀφθαλμὸς εἰς κακὸν ἂν ἀπολαύσειεν ἀπλήστου φωτός. καὶ τοῖς ὀφθαλμιῶσι τὸ σκότος ὠφελιμώτερον, ταύτῃ καὶ τὸ ψεῦδος ὄφελος εἶναι τίθεμαι δήμῳ, καὶ βλαβερὸν τὴν ἀλήθειαν τοῖς οὐκ ἰσχύουσιν ἐνατενίσαι πρὸς τὴν τῶν ὄντων ἐνάργειαν. εἰ ταῦτα καὶ οἱ τῆς καθ᾽ ἡμᾶς ἱερωσύνης συγχωροῦσιν ἐμοὶ νόμοι, δυναίμην ἂν ἱερᾶσθαι. τὰ μὲν οἴκοι φιλοσοφῶν. τὰ δ᾽ ἔξω φιλόμυθος εἰμί, διδάσκων· ἀλλ᾽ οὐδέν τι μεταδιδάσκων· μένειν δὲ ἐῶν ἐπὶ τῆς προλήψεως. εἰ δὲ φασιν οὕτω δεῖν καὶ κινεῖσθαι, καὶ δῆμον εἶναι τὸν ἱερέα ταῖς δόξαις, οὐκ ἂν φθάνοιμι φανερὸν ἐμαυτὸν ἅπασι καθιστάς. δήμῳ γὰρ δὴ καὶ φιλοσοφίᾳ, τί πρὸς ἄλληλα. τὴν μὲν ἀλήθειαν τῶν θείων, ἀπόρρητον εἶναι δεῖ. τὸ δὲ πλῆθος, ἑτέρας ἕξεως δεῖται. αὖθις δὲ καὶ πολλάκις ἐρῶ μηδεμιᾶς ἀνάγκης παρούσης. οὔτε ἐλέγχειν σοφόν, οὔτε ἐλέγχεσθαι. καλούμενος δ᾽ εἰς ἱερωσύνην, οὐκ ἀξιῶ προσποιεῖσθαι δόγματα. τοῦτο θεόν. τοῦτο ἀνθρώπους μαρτύρομαι. οἰκεῖον ἀλήθεια θεῷ, ᾧ διὰ πάντων ἀναίτιος εἶναι βούλομαι. ἓν τοῦτο μόνον οὐχ ὑποκρινοῦμαι. ἐπεὶ φιλοπαίγμων ὤν, ὅς γε παιδόθεν αἰτίαν ἔσχον ὁπλομανεῖν τε καὶ ἱππομανεῖν πέρα τοῦ δέοντος, ἀνιάσομαι μέν, τί γὰρ καὶ πάθω τὰς φιλτάτας κύνας ἀθήρους ὁρῶν καὶ τὰ τόξα θριπηδέστατα. καρτερήσω δὲ ἂν ἐπιτάττῃ ὁ θεός. καὶ μισοφρόντις ὤν, ὀδυνήσομαι μέν, ἀνέξομαι δὲ δικιδίων καὶ πραγμάτων

λειτουργίαν τινὰ τοιαύτην εἰς βαρεῖαν ἐκ πομπῆς τὰς τῷ θεῷ. δόγματι δὲ οὐκ ἐπηλυγάσομαι. οὐδὲ στασιάσει μοι πρὸς τὴν γλῶτταν ἡ γνώμη. οὕτω φρονῶν, οὕτω λέγων, ἀρέσκειν οἶμαι θεῷ. οὐ βούλομαι δὲ καταλελεῖφθαί τινα περὶ ἐμοῦ λόγον, ὡς ἀγνοηθεὶς ἥρπασα τὴν χειροτονίαν. ἀλλ' ὡς εἰδὼς ὁ θεοφιλέστατος πατὴρ Θεόφιλος καὶ ὡς ἐπιστάμενος, σαφές μοι ποιήσας οὕτω βουλευσάσθω περὶ ἐμοῦ· ἢ γάρ τοι χώραν ἐάσει μένειν ἐπ' ἐμαυτοῦ φιλοσοφοῦντα, ἢ γὰρ μετὰ ταῦτα κρίνειν καὶ διαγράφειν ἡμᾶς τοῦ χοροῦ τῶν ἱερέων, ἑαυτῷ χώραν οὐχ ὑπολείπει. πρὸς ταῦτα λῆρός ἐστιν ἅπασα γνώμη. τὸ γὰρ ἀληθὲς, οὐδ' οἶδ' ὅτι τῷ θεῷ προσφιλέστατον, ἀνὰ τὴν ἱεράν σου κεφαλὴν. καὶ ἔτι πρὸ ταύτης νὴ τὸν ἔφορον ἀληθείας θεὸν, ἄχθομαι μὲν, πῶς γὰρ οὔ, μέλλων δεῖν ὥσπερ εἰς βίον ἀπὸ βίου μετάστασιν ἄρξεσθαι. εἰ δὲ τοῦτο φανερὸν γινόμενον, ἄπειρον οὐκ ἀξιῶ λανθάνειν, ἐν ἐκείνοις ἡμᾶς ἱερεῦσιν, ὧ τοῦτο δέδωκεν ὁ θεὸς, ὑποδύσομαι τὴν ἀνάγκην. καὶ ὡς θεῖον σύνθημα καταδέξομαι. λογίζομαι γὰρ ὅτι καὶ βασιλέως ἂν ἐπιτάξαντος ἢ κακοδαίμονός τινος αὐγουσταλίου, δίκην ἂν ἔδωκα μὴ πειθόμενος. τῷ θεῷ δὲ ἐθελοντὴν δεῖ πείθεσθαι. εἰ δὲ μὴ προσίεταί με λειτουργὸν ὁ θεὸς, καὶ ἐκ προοιμίων δεῖ τὸ θεότατον ἀγαπᾶν τὴν ἀλήθειαν, ἀλλὰ μὴ διὰ τῶν ἐναντιωτάτων, ὁ τοιόν ἐστι τὸ ψεῦδος εἰς τὴν ὑπηρεσίαν αὐτοῦ παραδύεσθαι. γνῶσι δὴ τοῦτο τοὺς σχολαστικοὺς, εἰδέναι ταῦτα, καὶ πρὸς ἐκεῖνον ἐξαγγεῖλαι.

Τῷ αὐτῷ.

ἠ Ῥώμην γὰρ μειράκιον ὑπὲρ τοῦ σιλφίου πρότερον ἀπὸ γεωργίου συγγένειαν, ἢ δῶρον λαβὼν, ἔθου με εἰδέναι καὶ ἐμοί. καὶ δὴ ταῦτα μαθὼν ὡς γὰρ σπουδαζόμενον ὑπὸ σοῦ κηπίον, πρὸς ἅπασι καὶ φυτὸν ἐκόμισε τὸν καρπὸν, ἤδη δὲ πολλῆς ἦν τὸ περικαλλὲς τοῦ λαχάνου. καὶ τῇ φήμῃ τοῦ τόπου. ὄνομα τοῦ παμφόρου χωρίου. καὶ μήτε σὺ καλοῖς ἐπαινῶν τοῖς φιλτάταις πρασιαῖς, μήτε ἐκεῖναί γε πρὸς τὰς ὠδῖ-

δῖνας ἀπαγορεύσειαν, ἵν' ἔχοις αὐτός τε χρῆσθαι, καὶ ἡμῖν διαπέμπειν ὅσα φέρουσιν ὧραι.

Τῷ αὐτῷ.

ή δὺς εἶ κωλύων ἡμᾶς, ὅπλα κατασκευάζεσθαι, τῶν πολεμίων μὲν ἐπεχόντων καὶ λείαν ἅπαντα ποιουμένων, καὶ ἀποσφαττόντων ὁσημέραι δήμους ἀθρόους, στρατιωτῶν δὲ οὐκ ὄντων, ὥστε καὶ φαίνεσθαι. εἶτα λέξεις ὡς οὐκ ἐξὸν ἰδιώταις ἀνθρώποις ὁπλοφορεῖν, ἀποθνήσκειν δὲ ἐξόν, ἐπεὶ καὶ ἡ πολιτεία χαλεπαίνει τῷ πειρωμένῳ σώζεσθαι; ἀλλ' εἰ μηδὲν ἄλλο κερδανῶ, τό γε νῦν τοὺς νόμους γενέσθαι κυρίους ἀντὶ τούτων τῶν ἀλαστόρων. καὶ πόσου δοκεῖς τοῦτο τιμῶμαι, πάλιν εἰρήνην ἰδεῖν. καὶ βῆμα κεκοσμημένον. καὶ κήρυκα σιγὴν ἐπιτάττοντα. αὐτίκα τεθναίην, τὸ πρῶτον σχῆμα τῆς πατρίδος ἀπολαβούσης.

Τῷ αὐτῷ.

ἐ Μοὶ λόγχαι μὲν ἤδη γεγόνασι τριακόσιαι. καὶ κοπίδες τοσαῦται. ξίφη δὲ ἀμφήκη πρότερον ἦν, οὐ πλείω τῶν δέκα. παρ' ἡμῖν δὲ οὐ χαλκεύεται τὰ πάνυ προμήκη ταῦτα σιδήρια. ἀλλ' οἶμαι τὰς κοπίδας ἐρρωμενέστερον ἐμβάλλειν τοῖς τῶν ἀντιτεταγμένων σώμασι. τούτοις οὖν χρησόμεθα. εἰ χρηστέον ᾖ, καὶ κορύνας ἕξομεν. ἀγαθοὶ δὲ οἱ κότινοι παρ' ἡμῖν. ἐνίοις δὲ ἡμῶν εἰσὶ καὶ πελέκεις ἑτερόστομοι παρὰ τὴν ζώνην ἑκάστῳ. οἷς τὰς ἀσπίδας αὐτῶν ἀλοήσαντες, ἐν ἴσῳ στησόμεθα αὐτοὺς οἱ μηδὲν ἔχοντες ὅπλων πρόβλημα. ὁ δ' ἀγών, ὥς εἰκάζουσι, τῆς ὑστεραίας. τοῖς γὰρ σκοποῖς ἡμῶν προσεντυχόντες ἔνιοι τῶν πολεμίων, καὶ διώξαντες ἀνὰ κράτος, ὡς ἔγνωσαν κρείττους ὄντας ἢ ἁλῶναι, ἐκέλευσαν ἀγγέλλειν ἡμῖν ἅττα ᾔδεσαν, εἰ μηκέτι δεήσει πλανᾶσθαι ζητοῦντας ἀνθρώπους ἐν δυομένους ἠπείρου

πλανῆται. μένειν γοῦν ἔφασαν, καὶ ἐθέλειν μαθεῖν οἵτινες ὄντες, ἡμερῶν τοσούτων ὁδὸν ἀπωσάσαι τῆς χώρας ἐτολμήσαμεν. ἐφῶ συμμίξαι πολεμιστοῖς ἀνδράσι, βίον ζῶσι νομαδικὸν, ἢ τὰ εἰς πολιτείαν οὕτω κατασησαμένοις, ὥσπερ ἡμεῖς τὰ ἐπὶ τῆς στρατείας. ὡς οὖν ἄγγελον σὺν θεῷ τοὺς πολεμίους νικήσων, ἂν μέντοι δὲ ἢ πάλιν νικήσων, μηδὲν γὰρ ἀπαίσιον φθεγξαίμην, ἐπισκήπτω σοι τῶν παιδίων ἐπιμεληθῆναι. προσήκει δὲ ὄντι θείῳ, εἰς αὐτὰ ἀπομνημονεῦσαι τὴν χάριν.

Τῷ αὐτῷ.

Υκ ὄνος. οὐχ ἡμίονος. οὐχ ἵππος ἐστί μοι ἁπάντων ἀνῃρη-
ὁ μένων εἰς πόαν, οἷς χρησάμενος ἂν, ἦλθον ἐς σὲ τὴν φιλτάτην μοι κεφαλήν. βαδίζειν δὲ πάνυ μὲν ἐβουλόμην. καὶ τυχὸν ἐδυνάμην. οὐ μὴν ἔφασαν οἱ προσήκοντες δεῖν, ἵνα μὴ διατριβὴ τοῖς ἀπαντῶσι γινοίμεθα. τούτους γὰρ οἵτινες ἂν ὦσιν οὕτω πάνυ σοφοὺς ἥγηνται, καὶ τοσοῦτον νοῦν ἔχειν, ὡς ἕκαστον αὐτῶν ἄμεινον ἐμοῦ σκέψασθαι περὶ τῶν πρεπόντων ἐμοί. τοσούτων ἡμᾶς ἐξαρτῶσι κριτῶν, οἱ πρὸς δόξαν τὴν ἔξω ζῆν ἀναγκάζοντες. περιεγένοντο δὲ οὐ νουθετοῦντες. ἀλλὰ τὸν βιαιότερον τρόπον, ἐπειδὴ προῄειν οὐκ ἐπιτρέποντες. ἀλλ' ἀντιλαμβανόμενοι τοῦ τριβωνίου. τί οὖν ὑπόλοιπον, ἢ τὴν ἐπιστολὴν ἀντ' ἐμοῦ στεῖλαι πρὸς σέ. δι' ἧς ἀσπάζομαί τε σέ. καὶ πυνθάνομαι τίνα τὰ ἀπὸ τῆς πτολεμαΐδος ἀγώνισμα, λόγους καινοὺς οὓς εἰκὸς σε κομίζειν ἀπὸ τοῦ στρατηγίου. καὶ μάλιστα τί τὸ θρυλλούμενον ἀπόρρητον ἀπὸ τῆς ἑσπέρας. οἶσθα γὰρ ὅτι πάνυ μοι διαφέρει γινόμενον οὕτω τὸ μὴ γινόμενον. εἰ μὲν οὖν ἕκαστα σαφῶς ἔχουσαν ἐπιστολὴν, ἐκπέμψεις, ἔξω κατὰ χώραν. εἰ δὲ μὴ, καὶ σὺ μέμψῃ περὶ τοῦ δρόμου.

τῷ

Τῷ αὐτῷ.

Εἰλᾶς ὁ πορνοβοσκὸς ὃν οὐκ εἰκὸς ὑπὸ πολλῶν ἀγνοεῖσθαι διὰ τὴν ἐκ τῆς τέχνης λαμπρότητα, καὶ γὰρ ἡμῖν μὲν ἀνδρομάχη, διὰ τοῦτον γέγονε Φαλάγγος, ἡ τὸ κάλλιστον τῶν γυναικῶν ἐν τοῖς καθ᾽ ἡμᾶς χρόνοις ἀνθήσασα, οὗτος ἐννεάσας, τοῖς οὕτω καλοῖς ἐπιτηδεύμασι, πρέπον ᾠήθη τοῖς προβεβιωμένοις αὐτῷ γηρῶν, στρατιωτικαῖς ἐλλαμπρύνεσθαι τάξεσιν· ἔξαρχος οὖν ἥκει παρὰ βασιλέως στρατηγεῖν εἰργασμένος τῶν γυναικοτάτων Μαρκομανῶν· οὓς εἰκὸς ἡμῖν ἐστι καὶ πρότερον ἀγαθοὺς στρατιώτας ὄντας, νῦν ἐπιτυχόντας καὶ πρέποντος στρατηγοῦ, μέγα τι καὶ γενναῖον ἔργον ἐπιδείξασθαι· ἔλεγε γοῦν Συεσιανῷ συγγενόμενος, οἶσθα τὸν ἐκ Κεφρόνων τὸν ἰατρόν. ὁ δὲ Συεσιανὸς ἀπήγγειλε πρὸς ἡμᾶς ἐν οἷς ἀπολείπει τὸ θεῖον στρατόπεδον. ταῦτα μὲν οὖν ἄλλα τί ἂν δεήσοι πρὸς σὲ γράφειν, ὧν ἐγὼ παρέργως ἠκροασάμην. ἐφ᾽ οἷς δὲ αὐτὸς ἀκούσας ἥσθην ὑπερφυῶς, ὥστε δι᾽ αὐτῶν εὐφρᾶναι βούλομαι, ταῦτά ἐστιν· ὁ θαυμαστὸς Ἰωάννης, μικρὸν εἰπεῖν, ἐν τοῖς αὐτοῖς ἐστιν, ἐπιδούσης τῆς τύχης ἐν τοῖς ἐκείνου πράγμασιν, ὅσον ἐπιδόσεως χώρα, καί τινα καθ᾽ ἑαυτὴν ὑπερβολὴν ἐξευρούσης. αὐτῷ τε γὰρ ἀνεῖται τὰ βασιλέως ὦτα. καὶ πρὸ τούτων ἡ γνώμη χρῆσθαι πρὸς ὅ, τι δέοιτο. καὶ ὅσα Ἀντίοχος δύναται, δύναται τούτῳ· δύναται δὲ Ἀντίοχος ὅσα βούλεται. Ἀντίοχον ἡγούμην τὸν ἀπὸ γρατιανοῦ τὸν ἱερὸν ἄνθρωπον· τὸ βέλτιστον μὲν τοὺς τρόπους, εἰδεχθέστατον δὲ τὴν ὄψιν· ἀλλ᾽ ἕτερος ἦν ὁ νεανίσκος ὁ πρόκοιλος. Ὁ Ναρσῆ τοῦ Πέρσου τοῦ παραδυναστεύσαντός τε καὶ ἐπιδυναστεύσαντος· τοῦ γὰρ δὴ ἐκείνου μέχρι νῦν ἡ τύχη μέγαν ποιεῖ. τούτων οὕτως ἐχόντων, εἰκός ἐστι Κορωνὴς ἐνιαυτοὺς ἄρξαι παρ᾽ ἡμῖν τὸν δικαιότατον ἀρχόντων. τῷ μὲν, ὄντα συγγενῆ· τῷ δὲ, οἰκεῖον γενόμενον.

π Υνθάνῃ περὶ Διοσκορείου πόσοις ἀπαντέλλει στίχοις ἑκάστης ἡμέρας; πεντήκοντα. τούτους ἀποδίδωσιν, οὐ προσπταίων. οὐδὲ ἀπολογῶν. οὐκ ἐφιστάμενος ἐφ᾽ ὧν τὴν ἀνάμνησιν ἀθροῖσαι σὺν χρόνῳ. ἀλλ᾽ ἐπειδὰν ἄρξηται λέγειν, κατατείνει συνεχῶς. καὶ ἥσιω τὸ τέλος ἐστὶ τῆς ἀπαγγελίας.

Τρωΐλῳ.

ὅ Υπερ ἐπὶ τοῖς αὐτοῖς ἄνθρωποι φιλοῦσι καὶ ἐπαινοῦσιν, οὔτε μία δύναμις τῆς ψυχῆς ἐπ᾽ ἄμφω τέτακται ταῦτα. ἀλλὰ τῷ παθητικῷ μὲν οἰκειούμεθα καὶ ἀλλοτριούμεθα. τῷ δὲ κρίνειν δυναμένῳ καὶ λόγον ἔχοντι τῆς ψυχῆς, ἐπαινοῦμέν τε καὶ μεμφόμεθα.

Τῷ ἀδελφῷ.

ε̃ Ιτα τοὺς μὲν κακοδαίμονας τούτους ὁρῶμεν ἀποθνήσκειν ἐθέλοντας ὑπὲρ τῶν ἀλλοτρίων, ἅττα ἂν λείαν περιποιήσωνται, τὸ μηκέτι προέσθαι τοῖς κυρίοις αὐτά, ἡμεῖς δὲ ὑπὲρ χώρας. ὑπὲρ ἱερῶν. ὑπὲρ νόμων. ὑπὲρ κτημάτων, οἷς ἡμᾶς ὁ χρόνος συνηθεστέρους ἐποίησεν, οὐκ ἀφειδήσομεν ἑαυτῶν. ἀλλὰ περιεξόμεθα τῶν ψυχῶν; οὐκ ἄρα δόξομεν ἄνδρες εἶναι. ἐμοὶ μὲν οὖν ἰτητέον ἐστὶν ἐπ᾽ αὐτοὺς ὡς ἔχω, καὶ πεῖραν ληπτέον τῶν πάντα τούτων τολμώντων, οἵτινες ὄντες ἀξιοῦσι ῥωμαίων καταγελᾶν, ἐχόντων ὅ πως ποτὲ ἔχουσιν. ἀλλ᾽ ἡ κάμηλος γάρ τοί φασι καὶ ψωριῶσα πολλῶν ὄνων ἀνατίθεται φορτία. ἀλλὰ μὴν καὶ ἀποθνήσκοντας, ὡς ἐπίπαν ἐν τοῖς τοιούτοις ὁρῶ, τοὺς περὶ πλείστου ποιουμένους τὸ ζῆν καὶ ζῶντας ὅσοι τὸ ζῆν ἀπεγνώκεσαν. τούτων ἔσομαι. μαχέσομαι γὰρ ὡς ἀποθανούμενος. καὶ δὴ οἶδ᾽ ὅτι περιέσομαι. λάκων γὰρ ἄνωθεν εἰμὶ καὶ οἶδα τὴν πρὸς λεωνίδαν ἐπιστολὴν τῶν τελῶν. μαχέσθων ὡς τεθναξόμενοι, καὶ οὐ τεθνάξονται.

Τῷ αὐτῷ.

ἐ Ἶτα θαυμάζεις τοὺς αὐχμώδεις φυκιοῦντας οἴκων, ἐρίγοις καὶ τὸ αἷμα διεπονήρευσας; τοὐναντίον μέντοι θαυμάζειν ἐχρῆν, εἴ σοι τὸ σῶμα κρεῖττον ἦν τῆς αὐτόθι φλογός. ἀλλ᾽ ἔστι σοι παρ᾽ ἡμᾶς ἐλθόντι σὺν τῷ θεῷ, ῥᾴονι γενέσθαι. ἀπαλλαγέντι μὲν ἀέρος, διεφθορότος ἐκ τῆς ἑλώδους ἁλμίδος, ἀπαλλαγέντι δὲ ὕδατος ἁλυκοῦ· καὶ χλιαροῦ· καὶ τὸ ὅλον ἑστῶτος· ὃ ταυτὸν εἰπεῖν καὶ νεκροῦ. τί δὲ καὶ καλὸν ἐστὶ τὴν ψάμμον τὴν αἰγιαλῖτιν ἀναπεσεῖν, ἣν μόνην ἔχετε διατριβήν. ποῦ γὰρ δὴ καὶ τραπήσεσθε. ἐνθαδὶ δέ, οἷον μὲν ἐστὶν ὑπελθεῖν δένδρων σκιάν, κἂν δυσαρεστήσῃς, ἔστιν ἀμεῖψαι δένδρον ἐκ δένδρου. καὶ ὅλον ἄλσος ἐξ ἄλσους. οἷον δὲ τὸ διαβῆναι παραρρέον ὑδάτιον· ὡς ἡδὺ δὲ ὁ ζέφυρος ὑποκινῶν ἠρέμα τοὺς κλάδους· ποικίλαι δὲ τῶν ὀρνίθων ᾠδαί. τῶν ἀνθέων χροιαί. καὶ λειμῶνος θάμνοι. τὰ μέν, γεωργίας ἔργα. τὰ δέ, φύσεως δῶρα. πάντα εὐώδη. τῆς ὑγιαινούσης χυμοί. τὸ δὲ τῶν νυμφῶν ἄντρον, οὐκ ἐπαινέσομαι. Θεοκρίτου γὰρ δεῖ. ἔστι δέ τι καὶ παρὰ ταῦτα.

Θεοδώρῳ ἰατρῷ.

ἀ Γαθὸν ἀναγκαῖον ἡ ὀλιγοσιτία. ἣν ἕτερος μὲν αὖτις ἂν σκώψῃ. σοὶ δὲ οὐ θέμις ἱπποκράτην αἰσχῦναι. ὃς ἀφορίζων τὴν ἔνδειαν, ἔφη ὑγείας εἶναι μητέρα.

Αὐξεντίῳ.

ἐ Ἴστορος ἡ εἰς κῦμα πολυφλοίσβοιο θαλάσσης, Ὅμηρος ἀποδιοπομπεῖται τὰ ἐκ φιλονεικίας κακά. φιλοσοφία δέ, οὐδὲ τὴν ἀρχὴν αὐτοῖς δίδωσι πάροδον εἰς ψυχήν. ἀλλ᾽ ἡμεῖς ἀσθενέστεροι μέν, ἢ ὥστε φιλοσοφεῖν. τό γε ἐμὸν μέρος. οὐ μὴν ἀξιοῦμεν παντάπασι φαυλότερον ἔχειν ἀνθρώπων στρατιωτῶν. ἐφ᾽ οἷς ἡ ποίησις γέγονε. πάλιν οὖν Ὁμήρῳ χρηστέον. ὅς που φησίν. Ἄρχε· σὺ γὰρ

γένηται φρονιμώτερος. μάχη γοῦν μὴ γένοιτο μηδέ. εἰ δὲ γένοιτο, ὁ νεώτερος αὐτῆς ἀρχέτω. τοιοῦτον γάρ τι ποιεῖται τῷ Ποσειδῶνι τὸ παραχωρεῖν τοῦ προκατάρξασθαι τῷ νεωτέρῳ θεῷ. τὸν δὲ πρεσβύτερον, ἡγεμόνα δεῖ τῶν καλλίστων εἶναι. κάλλιστον δὲ ὁμόνοια. ἐγὼ δὲ ὡς οὐ σοῦ πρεσβύτερος μόνον, ἀλλὰ καὶ ἤδη πρεσβύτης, χρεὼν δῆλον ὁ Φερεκύδης φησίν. οὐκοῦν τὰ τῆς ἀπολογίας εἰς ἐμὲ περιέσταται. εἰ δὲ καὶ τὸν πρότερον ἁμαρτάνοντα δεῖ πρότερον ἐνδοῦναι, σὺ δὲ ἐμὲ βούλει τοῦτον εἶναι, συγχωρῶ σὴν χάριν καὶ τοῦτο. δεῖ γὰρ ἀντιποιηθέντα σοῦ πρότερον, εὐθὺς ἐθελήσαντί σοι χαρίσασθαι.

Ἡλιοδώρῳ.

ἡ Φήμη λέγει δύνασθαί σε πολλὰ παρὰ τῷ νῦν ἔχοντι τὴν Αἰγυπτίων ἀρχήν· καὶ ἀληθῆ λέγει. δικαιότατος δὲ εἶ, καλῶς τῷ δύνασθαι χρώμενος. ὅπως οὖν ὀνήσομαι τῆς σῆς φύσεως καὶ δυνάμεως, ὑπὲρ ὧν ὁ ἐμὸς εὐσεβὴς δεῖται, λέγοντος ἄκουσον· ἵνα εἰδῇς ὅτι καὶ ῥήτορα συνεστήσαμεν.

Τρωΐλῳ.

ἐ Τὸν ἥρωα Μαξιμῖνον οἶσθα, διέτριψε δὲ χρόνον ὑπόσυχνον ἐπὶ στρατοπέδου, πάντως δὲ ὅτι χρηστὸς ἦν, οἶσθα. τούτου παῖς, ἐμὸς ἐξανέψιος, ὃς ἐπιδώσει σοι τὴν ἐπιστολήν. ὃν ἕτερος μέν τις ἴσως καὶ διὰ τὴν τύχην τιμήσει· τῶν γὰρ ἀρξάντων ἐστὶν οὐκ ἀφιλότιμον ἀρχήν. ὁ δὲ φιλόσοφος Τρωΐλος ἴδιον ὄψεται τοῦ νεανίου. κἀκεῖθεν αὐτὸν ἐπαινέσει. δῆλον δὲ ὅτι καὶ συνδιοίσεις τὰ παρόντα αὐτῷ. συναρπάζεται γὰρ ὑπὸ ἐνδεῶν κακῶς ἐπιφύντων τῇ Κυρήνῃ, εἰ μὴ σύ γε δώσεαι ἀλκήν. ὅτι γὰρ Ἀνθέμιον ἤ τινα τῶν ὁμοτίμων αὐτῷ πείσεις ὑπὲρ ὑμῶν τε καὶ τἀληθοῦς φθέγξασθαι, τοῦτο σὸν ἔσται πάντως. καὶ σὺ αἰτίαν ἕξεις τοῦ γινομένου. δι' ἑνὸς οὖν ἀνδρός τε καὶ πράγματος, δέομαι προθυμηθῆ-

τι τῷ

τι τῶν παμπονήρων τούτων ἡμᾶς ἀπαλλάξαι θηρίων. τὸ γὰρ οὕτω χηθῆναι τὴν πεῖραν τοῖς φθάσασι, πολλοὺς ὁμοίους αὐτοῖς γίνεσθαι προτρέψεται.

Τρύφωνι.

ε Ἰς Διογένην ὅτι ἂν ποιήσῃς, ὧν σοι φύσις ἐστὶν ἐργάζεσθαι, οὐδὲν καινὸν ἔσῃ πεποιηκώς. ἀλλ' ἐποικοδομῶν τοῖς σαυτοῦ. Κυρηναῖος γάρ ἐστι τῆς δι' ὑμᾶς ἔτι πόλεως. δεῖ δὲ οὐ μόνον ἀθρόως ἀλλὰ καὶ καθ' ἕνα εὐεργετεῖν. τίνα δέ ἐστιν ἐν οἷς φίλων δεήσεται Διογένης, οὐκ ἐμοῦ γράφοντος ἀναγνώσεσθε, ἀλλ' αὐτοῦ λέγοντος ἀκούσεσθε. οὐδὲν γὰρ ἂν γένοιτο τοῦ παθόντος ῥητορικώτερον. Μαρκιανὸν τὸν φιλόσοφον τὸν ἄρξαντα Παφλαγόνων, πρόσειπε παρ' ἐμοῦ. κἂν ὅτι δύνηται, στοχάζομαι δὲ ὅτι δύναται, κωλυσάτω συγγενῆ μου σφόδρα αὐτανέψιον, ἔργον γενέσθαι συκοφαντῶν ἐν Δεκτῶν, καὶ τῶν ἀλαστόρων τῆς χώρας, ὃν σοι μετὰ τῆς ἐπιστολῆς, υἱὸν ἐγχειρίζω. δι' ὃν ὄντες ἀδελφοὶ δύο, τρεῖς ἀριθμούμεθα.

Τῷ ἀδελφῷ.

ο Ἱ ἀσκληπιάδαι τοῖς δυσεμέτοις, ὕδατος χλιαροῦ διδόασιν ἀποῤῥοφεῖν. ἵνα τούτῳ συνεπισπάσωνται, καὶ τὸ προαποκείμενον. βούλομαι δή σοι κἀγὼ φήμας καινὰς ἔναγχος ἐκ τῆς ἠπείρου διακομισθείσας ἀπαγγεῖλαι, ἵνα μοι πολλαπλασίους αὐτὰς ἀποδῷς, προσθεὶς ἔτι πλέον εἰδὼς τυγχάνεις.

Ἀθανασίῳ τῷ ὑδρομύστῃ

ο Δυσσεὺς ἔπεισε τὸν Πολύφημον ἀφεῖναι αὐτὸν ἐκ τοῦ σπηλαίου. γόης γάρ εἰμι, καὶ εἰς καιρὸν ἄν σοι παρείην, οὐκ εὐτυχοῦντι τὰ εἰς τὸν θαλάττιον ἔρωτα. ἀλλ' ἐγώ τοι καὶ ἐπῳδὰς οἶδα. καὶ καταδέσμους

καὶ ἐρωτικὰς κατανάγκας, αἷς οὐκ εἰκὸς ἀντισχεῖν οὐδὲ προσβρα-
χὺ τὴν γαλάτειαν. μόνον ὑπόστηθι σὺ τὴν θύραν ἀνακινῆσαι. μᾶλ-
λον δὲ τὸν θυρεὸν τοῦτον. ἐμοὶ μὲν γὰρ καὶ ἀκρωτήριον εἶναι φαίνεται.
ἐγὼ δὲ ἐπανήξω σοι θᾶττον ἢ λόγος τὴν παῖδα κατεργασάμενος. τί
λέγω κατεργασάμενος. αὐτὴν ἐκείνην ἀποφανῶ σοι δεῦρο πολ-
λαῖς ἴυγξι γιγνομένην ἀγώγιμον. καὶ δεήσεταί σου καὶ ἀντιβολήσει. σὺ
δὲ ἀκκιεῖ καὶ κατειρωνεύσῃ. ἀτὰρ μεταξὺ μέτι καὶ τοιοῦτον ἔθραξε.
μὴ τῶν κωδίων ὁ γράσος ἀηδὴς γένηται κόρῃ ξυμφύσῃ. καὶ λουομέ-
νῃ τῆς ἡμέρας πολλάκις. καλὸν οὖν εἰ πάντα διαθείης, εἰ κορή-
σειάς τε. καὶ εἰ πλυνεῖς. καὶ ἐνθυμιάσειας τὸ δωμάτιον. ἔτι δὲ κάλ-
λιον εἰ καὶ στεφάνους παρασκευάσαιο, κιττοῦ τε καὶ σμίλακος.
οἷς σαυτόν τε καὶ τὰ παιδικὰ ἀναδήσαιο. ἀλλὰ τί διατρίβεις. καὶ
οὐκ ἐγχρεῖς ἤδη τῇ θύρᾳ. πρὸς οὖν ταῦτα ὁ Πολύφημος ἀνε-
κάγχασέ τε ὅσον ἠδύνατο μέγιστον, καὶ τὼ χεῖρε ἐκρότησε. καὶ ὁ
μὲν Ὀδυσσεύς, ᾤετο αὐτὸν ὑπὸ χαρμονῆς οὐκ ἔχειν ὅτι ἑαυτῷ χρή-
σαιτο, κατελπίσαντα τῶν παιδικῶν περιέσεσθαι. ὁ δέ, ὑπογελ-
άσας αὐτὸν, ὦ οὖτι ἔφη. δριμὺ τοι μὲν ἀνθρώπιον ἔοικας εἶναι.
καὶ ἐγκατατετριμμένον ἐν πράγμασιν. ἄλλο μέν τοι ποίκιλ-
λε. ἐνθένδε γὰρ οὐκ ἀποδράσεις. ὁ μὲν οὖν Ὀδυσσεύς, ἤδικ-
το γὰρ ὄντως, ἔμελλεν ἄρα τῆς πανουργίας ὀνήσεσθαι. σὲ δὲ κύ-
κλωπα μὲν ὄντα τῇ τόλμῃ, σίσυφον δὲ τοῖς ἐγχειρήμασι, δίκη
μετῆλθε. καὶ νόμος καθεῖρξεν, ὧν μή ποτε σὺ καταγελάσειας. εἰ
δὲ δεῖ πάντως ὑπερέχειν σε τῶν νόμων, ἀλλὰ μὴ ἔγωγε εἴην ὁ πα-
ραλύων αὐτούς, καὶ τὰς θύρας καταρρηγνὺς τοῦ ἐπὶ τοῖς δεσμώ-
ταις οἰκήματος. καὶ γὰρ εἰ μὲν ἦν ὑπὸ τοῖς ἱερεῦσιν ἡ πολιτεία, τού-
τους αὐτοὺς ἔδει τῆς πονηρίας κολαστὰς εἶναι. ὡς ἔστι γε τὸ δημόσιον ξί-

φος

φος οὐχ ἧττον, ἢ τὰ ἐν τοῖς προτεμενίσμασι χέρνιβα. πόλεως καθαρτήριον. οὕτω τῶν πρόσθεν ἐπευθόμεθα κλέα ἀνδρῶν. οὕτως ἐποίουν ἕως ἐδόκει, καλὸν εἶναι τὸν αὐτὸν εὔχεσθαί τε ὑπὲρ τῶν κοινῶν ἀγαθῶν, καὶ πράττειν ὅπως ἂν παραγένοιτο. καὶ γὰρ αἰγύπτιοι καὶ τὸ ἑβραίων γένος, χρόνον συχνὸν ὑπὸ τῶν ἱερέων ἐβασιλεύθησαν. ἐπεὶ δὲ διῳκίσθησαν οἱ βίοι καὶ ὁ μὲν, ἱερός. ὁ δὲ, ἡγεμονικὸς ἀπεδείχθη, τετάχαται δὲ ἕτεροι μὲν ἐν τοῖς πράγμασιν, ἡμεῖς δὲ εἰς τὰς εὐχὰς εἶναι οἷς ὁ νόμος ἀπαγορεύει χεῖρα ὀρέγειν τῇ δίκῃ, ἀποκτιννύμαι τὸν πονηρότατον, πῶς ἄν τις αὐτοῖς ἐπιτρέψοιεν ἀνδρὶ πανούργῳ χεῖρα ὀρέξαι κατὰ τῆς δίκης. ἀλλ' ἔγωγε, τό γε εἰς ἐμὲ ἧκον ποιῶ. εὔχομαι καὶ οἴκοι καὶ ἐπὶ τῶν κοινῶν ἱερῶν, ὑπερσχεῖν τῆς ἀδικίας τὴν δίκην. καὶ πονηρίας ἐκκαθαρθῆναι τὴν πόλιν. τοῦτο δὲ ταὐτόν ἐστι τῷ κακὸν κακῶς ἀπολωλέναι καὶ σὲ, καὶ ἄλλον ὅστις σοι παραπλήσιος. ἔστω δή σοι τοῦτο τεκμήριον. τίς ἂν ἐγενόμην ἔργον τι ποιεῖν, ὃς ἐπειδὴ οὐκ ἔξεστι καταρῶμαι.

Τῷ ἀδελφῷ.

π Ἀλλὰ ἀγαθὰ γένοιτο τοῖς ἱερεῦσιν αὐξουμιτῶν, οἳ τῶν στρατιωτῶν καταδεδυκότων ἐν χηραμοῖς ὀρῶν, καὶ ἀξιούντων τὸ αἷμα φρουρεῖν, οἱ δὲ, τὸν ἄγροικον λεὼν παρακαλέσαντες ἀπὸ τῶν ἱερῶν αὐτῶν, τὴν εὐθὺ τῶν πολεμίων ἡγήσαντο. καὶ προσευξάμενοι, τρόπαιον ἔστησαν ἐν τῇ μυρσινίτιδι. φάραγξ δὲ αὕτη προμήκης τε καὶ βαθεῖα. καὶ ὕλη συνηρεφής. ἀλλ' ὑπό του μηδὲν τοῖς βαρβάροις ὅπλον πολέμιον, ἀπηρτηκέναι, καὶ τὰς δυσχωρίας ἐθάρρησαν. ἔμελλεν δέ που καὶ μελαμπύγου τεύξεσθαι Φαύστου τοῦ διακόνου τῶν ἱερῶν. οὗτος ἐστὶν ὁ πρῶτος ὑποστὰς ὁπλίτην γυμνός. καὶ παίσας ἐκ χειρὸς λίθῳ κροταφιαίαν πληγήν. οὐ

βαλών. ἄλλως τε τοὐξ ἐνεδρῶν. πεσόντα δὲ ἤδη περιδύσας τὰ ὅπλα, συχνοὺς ἐπ' αὐτῷ κατειργάσατο. καὶ ὅστις δὲ ἕτερος ἀνὴρ ἀγαθὸς, ἔδοξεν ἐν τῷ τότε, φαῦλον αἰτιατέον τῆς γνώμης, ἐν οἷς ἐποίει καὶ οἷς παρὰ τὸν καιρὸν ἐφθέγγετο. ἐγὼ δὲ καὶ ἅπαντας τοὺς παραγινομένους τῷ ἔργῳ, ἥδιστα ἂν στεφανώσαιμι καὶ ἀνακηρύξαιμι. πρῶτοι γὰρ ἥψαντο καλῶν ἔργων, δεῖξαι τοῖς καταπεπληγμένοις, ὅτι μὴ κορύβαντές εἰσι· μηδὲ τῶν παρὰ τὴν ῥέαν δαιμόνων. ἀλλ' ἄνθρωποι καὶ τρωτοὶ καὶ θνητοὶ καθάπερ ἡμεῖς. εἰ δὲ καὶ ἡμεῖς ἄνδρες γινοίμεθα, ἐν τοῖς τοιούτοις, οὐδὲ τὰ ἀριστεῖα γένοιτο ἂν ἀφιλότιμα. τυχὸν δ' ἂν καὶ πρωτεῖα συγχωρηθείη μὲν, εἰ μὴ λοχήσαντες ἐν φάραγγι, πεντεκαίδεκα προνομεύοντες εὐτυχήσαιμεν, ἀλλὰ νομίμῳ πολέμῳ καὶ φαινομέναις παρασκευαῖς πλήθη πρὸς πλῆθος ἀγωνισαίμεθα.

Τρωΐλῳ.

Εἰ δὲ θανόντων περ καταλήθοντ' εἰν Ἀΐδαο, Αὐτὰρ ἐγὼ κἀκεῖθι φίλου μεμνήσομ' ἑταίρου. Ὁμήρῳ μὲν ἐποίησαν οἱ στίχοι. ὁ δὲ νοῦς αὐτῶν, οὐκ οἶδα εἰ Ἀχιλλεῖ περὶ Πατρόκλου μᾶλλον ἄξιον εἰρῆσθαι, ἢ ἐμοὶ περὶ σοῦ τῆς φιλτάτης τε καὶ εὐεργέτιδος κεφαλῆς. ὡς ἐγὼ μάρτυρα ποιοῦμαι θεὸν, ὃν φιλοσοφία πρεσβεύει, τῆς ἱερᾶς σου καὶ γλυκείας ψυχῆς ἐπὶ μέσης καρδίας ἄγαλμα περιφέρω. καὶ ἐμβομβεῖ μου ταῖς ἀκοαῖς ἡ θαυμαστή σου τῶν σοφῶν λόγων ἠχώ. τῇ πατρίδι δὲ ἐπιδημήσας ἀπὸ τῆς αἰγύπτου, τὰς δυοῖν ἐνιαυτῶν ἐπιστολὰς ἅμα ἀνεγνωκὼς, πλῆθος ὅσον δακρύων κατέσπεισα τῶν γραμμάτων. οὐ γὰρ οἷς ἀπέλαυόν σου διὰ τῶν γεγραμμένων ἥδομαι, ἀλλ' ἠνιώμην ἀναφέρων ἀπὸ τῶν γεγραμμένων τὴν ἔμψυχόν σου συνουσίαν. οἵου φίλου τε ἅμα καὶ πα-

τρὸς

τος ὄντως ζῶντος στεροίμην. δεξαίμην οὖν ἂν βαρυτέρους ἀγῶνας ὑπὲρ τῆς πατρίδος ἐθελοντής, ἵνα μοι γένοιτο πάλιν πρόφασις ἀποδημίας. ἆρά σε ποτὲ ὄψομαι πάτερ ἀληθῶς γνησιώτατε; ἆρά ποτε, τὴν ἱεράν σου κεφαλὴν περιπτύξομαι; ἆρα μεθέξω ποτὲ συνεδρίου τοῦ διὰ σὲ μακαρίου; εἰ γὰρ γένοιτό μοι τούτου τυχεῖν ἀποδείξω μηκέτι μῦθον ὄντα τὸν ἐπὶ Αἴσονι τεθέντα λόγον, ὅν φασιν αἱ ποιήσεις δὶς ἀνηβῆσαι νέον ἐκ πρεσβύτου γενόμενον.

Τῇ φιλοσόφῳ.

Εἰ δὲ θανόντων περ καταλήθοντ' εἰν Ἀΐδαο, αὐτὰρ ἐγὼ κἀκεῖ τῆς φίλης Ὑπατίας μεμνήσομαι. ἔγωγ' οὖν τοῖς πάθεσι τῆς πατρίδος περιεχόμενος, καὶ δυσχεραίνων αὐτὴν ἐφ' οἷς ὁρῶ καθημέραν ὅπλα πολέμια, καὶ ἀποσφαττομένους ἀνθρώπους ὥσπερ ἱερεῖα, καὶ τὸν ἀέρα διεφθαρμένον ἕλκων ἀπὸ τῆς σήψεως τῶν σωμάτων καὶ αὐτὸς ἕτερα τοιαῦτα παθεῖν προσδοκῶ. τίς γὰρ εὔελπις, ἐν ᾧ καὶ τὸ περιέχον ἐστὶ κατηφέστατον, κατειλημμένον τῇ σκιᾷ τῶν σαρκοφάγων ὀρνέων. ἀλλὰ καὶ ἐπὶ τούτοις φιλοχωρῶ, τί γὰρ καὶ πάθω Λίβυς ὤν, καὶ ἐνταῦθα γενόμενος, καὶ τῶν πατρῴων τοὺς τάφους, οὐκ ἀτίμους ὁρῶν, διὰ σέ μοι δοκῶ μόνην ὑπερόψεσθαι τῆς πατρίδος. κἂν λάβωμαι σχολῆς, μεταναστεύσειν.

Τῷ ἀδελφῷ.

Δυστυχοῦμεν οἷς εὐποροῦμεν πονηραῖς ἀλλήλους ἀγγελίαις ἀμείβεσθαι. ἰδοὺ δὴ καὶ Βατίαν ἐπενείμαντο. καὶ ἀπροσύλεως ἥψαντο. καὶ ἅλως ἐνέπρησαν. καὶ γῆν ἐδῃώσαντο. καὶ γυναῖκας ἐξηνδραποδίσαντο. ἀρρένων δὲ οὐδὲ μία φειδώ. καίτοι πρότερον

εἰώθεισαν ζωγρεῖν τὰ παιδάρια. ἀλλὰ νῦν οἶμαι τὸν ἀριθμὸν ἐλάττους ἴσασιν ὄντες, ἢ ὥστε νέμειν τε τῇ λείᾳ φύλακας συχνοὺς, καὶ ἀρκεῖν τοῖς λειπομένοις ὡς ἐπὶ πόλεμον εἴ τις ἐπεξίοι. ἡμῶν δὲ οὐδεὶς ἀγανακτεῖ· ἀλλ' οἴκοι καθήμεθα, τὴν συνήθη ἐπικουρίαν τοὺς στρατιώτας προσδεχόμενοι· καὶ τὸ σιτηρέσιον καὶ τὰς ἐν εἰρήνῃ πλεονεξίας διὰ στόματος ἔχομεν, ὡς περὶ τούτοις δικάζεσθαι δέον. ἀλλ' οὐκ ἐκείνους ἀμύνεσθαι. οὐ παυσόμεθα φλυαροῦντες; οὐ σωφρονήσομέν ποτε, καὶ γεωργοὺς βωλοκόπους ἀθροίσαντες, ὁμόσε χωρήσομεν τοῖς ἐχθροῖς, ὑπὲρ παίδων· ὑπὲρ γυναικῶν. ὑπὲρ χώρας, εἰ δὲ βούλει καὶ ὑπὲρ αὐτῶν τῶν στρατιωτῶν; καλὸν γὰρ ἐν εἰρήνῃ λαλεῖσθαι ταῦτα, ὡς ἡμεῖς αὐτοὺς τρέφομέν τε καὶ σώζομεν. ἐγὼ μὲν οὖν μόνον οὐκ ἔποχος ὢν ἵππῳ, τὴν ἐπιστολὴν ὑπηγόρευσα. καὶ γὰρ λόχους καὶ λοχαγοὺς ἐκ τῶν παρόντων ἐποίησα. ἀθροίζεται δέ μοι καὶ ἐν ἀσυνσημάντῳ πλῆθος συχνόν. καὶ γὰρ διώσεις ἀπαρτᾶν τῶν τὴν κλεοπάτρας ἀπέστειλα. ἐλπίζω δὲ ἐπειδὰν πρὸ ὁδοῦ γίνωμαι, καὶ περιαγγελθῇ νεανικὴ τις συστᾶσα περὶ ἐμὲ δύναμις, πολὺ πλείους ἔσεσθαι τοὺς ἀλήκους. ἥξουσι γὰρ ἅπαντα χόθεν, οἱ βέλτιστοι μὲν, ἐφ' ᾧ μετασχεῖν ἔργου καλοῦ. οἱ πονηρότατοι δὲ, ἐπὶ τῶν διαρπαγῇ λαφύρων.

Ἀσκληπιοδότῳ.

Οἴμοι· τί δὲ οἴμοι; θνητὰ γὰρ πεπόνθαμεν. ὁ τρίτος γε καὶ λοιπὸς οἴχεται τῶν υἱέων. ἀλλὰ τό γε δόγμα τὸ περὶ τοῦ μηδὲν εἶναι τῶν οὐκ ἐφ' ἡμῖν ἀγαθὸν ἢ κακὸν, ἔτι παρ' ἐμοὶ σώζεται. μᾶλλον δὲ πάλαι μὲν ἦν μάθημα· νυνὶ δὲ γέγονε δόγμα τῆς ψυχῆς ἐγγεγυμνασμένης ταῖς περιστάσεσιν. ἔδει δὲ ἄρα χαλεπωτέραν μοι γενέσθαι τοῦ πάθους τὴν προσβολήν. καὶ διὰ τοῦτο ὁ δαίμων ᾧ μέλει βλάπτειν

τἀμὰ,

τὸ μὲν, προθύμως οἰκονομήσομεν, μὴ δὲ σὲ τὴν φίλην μοι παρεῖναι κεφαλήν. ἀλλ' ἔλθοις ποτὲ θαυμάσιε, τριπόθητε, φίλων ἀδολώτατε. μάρτυς εἰμὶ τῷ θαυμαστῷ Μενελάῳ τῆς περὶ σὲ διαθέσεως· διὰ τοῦτο πολλάκις ἡδέως συνδιημέρευσα, ὅτι σε δι' εὐφήμου μνήμης ἐτίθετο. καὶ πολλὰ τῇ ψυχῇ προσκεκοφώς, καὶ τοῖς ἐπιτρόποις, οὐδὲ ἀπέγνωσεν αὐτὸν εὐθὺ Ἰσχείρων περὶ τὸν μέγαν ἀσκληπιόδοτον, εὐγνώμων ἦν καὶ εὐχαριστῶν, ὡς ἐπὶ μεγίστοις εὐεργέτῃ διατετέλεκεν. ἵν' ἔχωμεν ὕδωρ ψυχρόν, ὑδρίαν ἢ πίθον ἐκ μαρμάρου ζητῶ. ὅσῳ μείζων τοσούτῳ κάλλιον. κεῖσθαι δὲ ἐν ἀσκληπιῷ τῷ ἐπὶ τοῦ ποταμοῦ· παρ' αὐτὸν γὰρ κτίζω τὸ ἀσκητήριον. καὶ ἁγνὰ σκηνὴ προσευτρεπίζομαι. σὺν θεῷ δὲ εἴην ἐπιβαλλόμενος.

Τῷ ἀδελφῷ.

α Σπάθην· φρῦνον· ὄφιν· καὶ λαοδικέας περίφευγε. καὶ ἦν ἀλυσιτελῆ καὶ πάλιν λαοδικέας. ἀλλὰ μετὰ τὸν ἡμερώτατον τὸν φιλοσοφώτατον Πεντάδιον τὰς πινακίδας ἃς ἡ πολιτεία σύνθημα ποιεῖται τῆς αἰγυπτίας ἀρχῆς, εὐθάλιος ὁ λαοδικεὺς ἔχει λαβών. οἶσθα τὸν νεανίσκον, ὡς εἰκάζειν ἔξεστιν ὑπὸ τοὺς αὐτοὺς ἡμῖν χρόνους ἐπὶ στρατοπέδου διαγαγόντα. καὶ γὰρ οὐκ εἴα λανθάνειν αὐτὸν οὔτε ὁ τρόπος, οὔτε τὸ ἐπώνυμον. βαλλάντιά τινα ἤκουες οὐ πρόσθεν τῆς σεμνῆς ταύτης προσηγορίας κληρονομήσοντα, ἀλλ' αὐτὸν περιποιησάμενον, ἐπειδὴ γὰρ οἶμαι λυδίας ἄρχων ἀποδειχθεὶς, ὑπὸ τοὺς ῥουφίνου καιροὺς, ἦγε καὶ ἔφερε τὰ λυδῶν, νεμεσᾷ ῥουφῖνος. καὶ μέτεισι ζημίᾳ χρυσοῦ, λιτρῶν πεντεκαίδεκα. τέτταρας δὲ στρατιώτας ἐκ τῶν ὑπηρετῶν ὡς ᾤετο τοὺς ἀνδραποδιστοτάτους καὶ δυναστάτους· ἐφ' ᾧ σὺν βίᾳ πράξαντας τὸ χρυσίον, ἀνακομίσαι πιστῶς, εἰς τὴν τράπεζαν τὴν αὐτοῦ. τί οὖν πρὸς ταῦτα

ὁ σίσυφος ἀγαθὰ μὴ λίαν ἀπειρόκαλος ὢν βεβοημένος ἐπιδιηγούμενος. πέ-
πτυσαι πάντως τὴν συνωειδῆ τῶν βαλαντίων. ἃ τῶν ἴσων εὐμή-
λου πολὺ μᾶλλον ἀλλήλοις ἐοικότα κατασκευάσας, τῶν μὲν,
ἐνέθηκεν ὀβολοὺς ἐκ χαλκοῦ. τῶν δὲ στατῆρας χρυσίου. καὶ τοῦτο
μὲν δείξας, ἐκεῖνο δὲ κρύψας, ὡς ἀπηριθμήσαν, ὡς ἐζυγοστάτησαν,
ὡς κατεσημαίνοντο τῇ δημοσίᾳ σφραγῖδι τὸ χρυσίον, λανθάνειν θά-
τερον ἀντιθείς. καὶ πέμψας ἀντὶ τῶν στατήρων τοὺς ὀβολούς. οἱ
δὲ ὡμολογήκεσαν ἐν δημοσίοις γράμμασιν ἔχειν καὶ διακομιεῖν
τὸ χρυσίον. κἀκ τούτου Δάφνις παρὰ τοῖς μέσοι πρῶτος ἐγένετο. τοῦ-
το τὸν εὐθάλιον ἐπὶ μέγα τύχης ἐξῆρεν. οὐδενὶ γὰρ ἐπέτρεψεν ὁ
τέλως ὑπὲρ τῆς πολιτείας ἀγανακτῆσαι. ἀλλ᾽ ὡς ἄνδρα παρὰ τοῖς
πᾶσι τεθαυμαστὸν ὄν, ἰδεῖν ἐπεθύμησαν. καὶ ἧκε μετάπεμπτος ὡς
περ εὐεργέτης ῥωμαίων. ὀχήματι δημοσίῳ πομπεύων διὰ τῆς πό-
λεως. κἀγὼ τὸ ἀνθρώπιον οἶδα τῶν συνεδρευόντων ἐν τῷ προτεμενί-
σματι τοῦ βουλευτηρίου λαλίστερον. οὗτος ὅσον οὐδέπω παραλύ-
σει τῆς ἀρχῆς τὸν ἑταῖρον πεντάδιον.

Γρὸς ἐπίσκοπον ἐξωσθέντα τῆς ἐπισκοπῆς μὴ βουληθέντα
συνθέσθαι τῷ ἀρείου δόγματι.

α Γέλαβες ὅπερ ἦς. οὐκ ἀπέβαλες. οὐ γὰρ ὅταν τις τοῦ τῆς ἀσε-
βείας χωρισθῇ κατὰ λόγου, τότε καὶ τῆς εὐσεβείας ἀπεστέ-
ρηται θρόνων. αἰγύπτου δὲ περιπτύσου τὴν ἀλλοτρίωσιν. καὶ νόμι-
ζε πρὸς σὲ τὸν προφήτην μεγαλοφώνως κεκραγέναι, τί σοι καὶ
τῇ γῇ αἰγύπτου, τοῦ πιεῖν ὕδωρ γεῶν. τὸ γὰρ ἔθνος, θεομάχον ἀρ-
χαῖον. καὶ πᾶσιν ἁγίοις πολέμιον. Γυλαιμένει.

π Λάτωνι Σωκράτης εὖ ποιεῖν, προσιὼν μὲν οὐκ ἔτι ποτὲ πρὸς
τὰ παιδικά. ἀξιῶν δὲ αὐτὸ μὴ θαυμάζειν, εἰ ὥσπερ φησὶ μόλις ἤρ-
ξάμην, οὕτω καὶ μόλις παύσαιμι ἄν. ἐγὼ δὲ μοι δοκῶ ταυτὸ πεπον-

θεῖναι, πάθος πρὸς σέ, καὶ τὴν αὐτὴν δίκαιος εἶναι παραιτεῖσθαι συγγνώμην, ἐνιαυτὸν ὅλον, οὐκ ἄξιον οὐδὲ ἀληθὲς εἰπεῖν, ἐπισχών, ἀλλὰ μὰ τὴν στείλας ἐπιστολὰς τὰς πάλιν αὐτὰς εἰς τὰς ἐμὰς χεῖρας ἀνακομισθῆναι, νῦν ἀθρόας ἐκπέμπω. ἃς οὐ μόνον ὥσπερ φόρων ἐλλείμματα ἀποδιδοὺς μακρηγορῶ, ἀλλὰ καὶ προσενεγκεῖν σοι βούλομαι. καίτοι νὴ τὸν Φίλιον τὸν ἐμόν τε καὶ σόν, ἐπ' αὐτῷ τούτῳ κατιέναι ἐπὶ θάλατταν καὶ τοῖς φυκουντίων κωπεῦσι, διείλεγμαι χασάμενος ἱστίον, ἵνα στείλω πρὸς ὑμᾶς τοῦτο μὲν γράμματα, τοῦτο δέ, ἀλλ' οὐκ ἄξιον ποιεῖσθαι κατάλογον τῶν πεμφθέντων μέν, ὥστε πάλαι μὲν ἢ λαβεῖν. ἐν ἀλεξανδρείᾳ δέ, ἐκπεθέντων διὰ τὸν δυστυχέστατον ἀπόπλουν· καὶ σοῦ μὲν ἕνεκα, καίτοι τῶν ἐμῶν φίλων, ὁ φιλικώτατός μοι πάλαι μένης ἐστίν· ἀλλὰ νὴ τὴν τιμίαν σου διάθεσιν, ῥᾷον ἂν ἤνεγκα, ἢ δι' ἑτέρους συχνούς, καὶ μάλιστα τὸν θαυμάσιον Πρόκλον. καὶ Τρύφωνα, περὶ ὧν καὶ μόνων, ὡς προσαγορευόντων με γέγραφας. ἀπέστειλα οὖν τῇ μὲν τιμίᾳ σου διαθέσει, χρυσᾶ νομίσματα δέκα. τῷ δὲ ἑταίρῳ Πρόκλῳ, κατὰ τὸν θεσπέσιον Ἡσίοδον, τριτημόρια πλείω τῶν παρ' αὐτοῦ. ἔχει γὰρ οὕτως. ἀποδημῶν ἐδεξάμην εἰς τὸν ἀπόπλουν δεήσας παρ' αὐτοῦ, χρυσίνους ἑξήκοντα. τούτους γεγραφήκειν μὲν ἑβδομήκοντα. ἀπέστειλα δὲ ὀγδοήκοντα. ἐγίγνοντο δ' ἂν ἔτι πολλῷ πλείους, εἰ τὰ πρῶτα πρὸς ὑμᾶς ἐκεκόμιστο γράμματα καὶ ἡ ναῦς ἐπ' ἐκείνοις τοῖς τότε φορτίοις. νῦν δ' ἐγὼ μέν, τύχῃ τινὶ χρησάμενος, ἐπὶ τὴν ἀλεξάνδρειαν ἀπεδήμησα. ἐν τοῖς ὑμετέροις λιμέσι προσορμιεῖν ᾤμην τὸ σκάφος. τὸ δ' ἐλάνθανεν ἐζωσμένοις ἀνέμοις ἀπὸ κρήτης μόλις εἰς τὴν αἰγυπτίαν ἀπωσθὲν θάλατταν. ἢ τί ἐκώλυεν ἡμᾶς, ὥσπερ τὰς ἀλεκτορίδας, οὕτω τὰς χρυσίας τρέφειν στρουθούς.

ἀποδοθῆναι τοῖς ἐμοῖς τὸ γραμματεῖον παρὰ τοῦ θαυμασιωτάτου πατρὸς Γρύλλου δίκαιον, τοὺς ὀγδοήκοντα χρυσίνους κομισαμένου· καὶ τὸν ἑταῖρον Τρωΐλον παρασκεύασον ἐπιστεῖλαί μοι, ὅτι κομισάμενος τυγχάνει τὰ βιβλία, ἅπερ ἀποδέδωκας αὐτῷ, τὸ μὲν Νικοστράτειον δὴ λέγω. τὸ δὲ τοῦ Ἀφροδισιέως Ἀλεξάνδρου, εἰ διὰ τὴν ἱερωτάτου διάθεσιν φίλοι ἡμῖν οἱ ἄρχοντες ἡμῶν ἐπιδημοῖεν πρὸς φιλοσοφίαν ἡμῖν συντελέσειας τὸ μέρος τὸ σόν, ὅσον πλουτῶν ἡγεῖται παρὰ τῆς ἀτιμίας κωλύεσθαι. Σιμπλικίῳ.

Χαιρέτω Κερεαλίῳ δι' αὐτοῦ προσειπὼν ἡμᾶς, τὸ λα-
ἐ θεῖν ἡμέρας πέντε πονηρὸν ὄντα. ἤλπισαν γάρ τι χρηστὸν αἱ πόλεις παρ' ἀνδρός, ὃν ὁ χάραξ ἠξίωσεν εἰδέναι Σιμπλίκιος. ὁ δὲ ταχὺ μάλα ᾔσχυνε σὲ μὲν οὔ, μὴ γάρ ποτε ἐπ' ἄλλῳ τὰ σὰ γένοιτο. ἑαυτὸν δὲ καὶ τὴν ἀρχήν. ἢ ἵνα μὴ διατρίβω τὰ ῥωμαίων πράγματα, ὤνιος ἄνθρωπος. ἐλαχίστου δόξης. ἀμελής. ἀπόλεμος ἐν εἰρήνῃ βαρύς. ἧς πρὸς βραχὺ τοῦτον ἀπολέλαυκεν. οὐ γὰρ ἐδεήθη χρόνου πρὸς τὸ πάντα ἀνατρέψαι τε καὶ συγχέαι. ὡς σῴζοντος νόμου τὰ τῶν στρατιωτῶν εἶναι τῶν στρατηγῶν, ἃ πάντες εἶχον λαβών, ἀντέδωκεν αὐτοῖς ἀστρατείαν, καὶ τὸ μὴ συντετάχθαι, βαδίζειν ἐπιτρέψας ᾗ τις ᾤετο θρέξεσθαι. ταῦτα τοὺς ἐπιχωρίους ποιήσας, ἐπεὶ τοὺς ξένους οὐκ ἦν ἀργυρολογεῖν, ἠργυρολόγησε δι' αὐτῶν τὰς πόλεις ἄγων καὶ μεθιστάς, οὐχ οἷ λυσιτελέστερον ἦν, ἀλλ' οἷ κερδαλεώτερον. βαρυνόμεναι γὰρ αὐτῶν τὴν καθέδραν αἱ πόλεις, χρυσίον εἰσέφερον. τούτων ὀξέως ᾔσθοντο μακέται καὶ γέγονε διαβόσιμος ἀπὸ τῶν μιξοβαρβάρων εἰς τοὺς βαρβάρους ἡ φήμη. ἦλθον ἔπειθ' ὅσα φύλλα καὶ ἄνθεα γίνεται ἦρος. φεῦ τῆς νεότητος, ἣν ἀπολελώκαμεν. φεῦ τῶν καρπῶν οὓς μάτην ἠλπί-

σαμεν

σομεν. ἐσπείραμεν τῷ πολεμίῳ πυρί. τοῖς πλείοσιν ἡμῶν τὸ πλουτεῖν ἐν βοσκήμασιν ἦν ἐν ἀγελαίαις καμήλοις. ἐν ἵπποις φορβάσι. πάντα οἴχεται. πάντα ἐλήλαται. αἰσθάνομαι πενόμενος ὑπὸ τοῦ πάθους ἔκφορος. ἀλλὰ σύγγνωθι. τειχήρης γάρ εἰμι καὶ πολιορκούμενος γράφω, δι᾽ ὥρας πολλάκις φρυκτοὺς ὁρῶν, καὶ αὐτοὺς ἀνάπτων καὶ αὐτὸς αἴρων τοῖς ἄλλοις σημεῖα. κυνηγέσια δὲ ἐκεῖνα τὰ πρόσω, οἷς ἐκ περιουσίας ἐχρώμεθα πρότερον οὐχ ἥκιστα διὰ σέ, πάντα ἐρρεῖ καὶ ξενούμενοι μεμνημένοι, ἥβης τῆς ἐκείνης. νοῦ τῆς ἐκείνου καὶ φρενῶν. αἱ ἱπποκροτεῖται μὲν ἅπαντα. καὶ τὴν χώραν ἔχουσι νῦν οἱ πολέμιοι. ἐγὼ δὲ ὑπὲρ μεσοπυργίῳ τεταγμένος, ὑπνομαχῶ. ἐνδεῖ μέν μοι μᾶζα μεμαγμένη, ἐνδεῖ δέ μοι οἶνος ἰσμαρικός. πίνω δ᾽ ἐνδεῖ κεκλιμένος. οὐκ οἶδα εἰ μᾶλλον ἀρχιλόχῳ εἰπεῖν ταῦτα προσήκοντα ἦν. κακὸς κακῶς ἀπόλοιτο Κερεάλιος, εἰ μὴ καὶ προαπόλωλε δι᾽ ἀρᾶς. ὡς ἄξιός γε ἦν ἔργον γεγονέναι τοῦ πρῴην χειμῶνος. ὃς ἐπειδὴ τὴν χώραν εἶδεν ἐν ᾧ κινδύνου κατέστησεν, ἠπίστησε καθάπαξ τῇ γῇ. καὶ τὸ χρυσίον ἐνθεὶς δι᾽ ἀρμενίοις ὁλκάσιν, ὑπὸ μετεώρου σαλεύει. τὰς δὲ ἐπιστολὰς αὐτοῦ περιφέρει κελλήτιον, ταῦτα δὲ δὴ καὶ ποιοῦμεν ἐπιτάττουσας ἔσω τειχῶν εἶναι. μηδένα προπηδᾶν τῶν τάφρων. μὴ δὲ ὁμόσε χωρεῖν ἀμάχοις αὐτοῖς. ἢ διαμαρτύρεται καθαρὸς αἰτίας εἶναι. φύλακας δὲ καθιστάναι διδάσκει νυκτὸς τέτταρας, ὡς ἐν τῷ μὴ καθεύδειν ὄντων τῶν ἐλπίδων. ἔοικε γὰρ εἶναι τὰ τοιαῦτα σοφός, ἅτε ἐπιτήδειος ἀτυχεῖν αὐτός. καίτοι γε ἡμῖν οὐδὲ μετέχειν ἐβουλήθη τῶν συμφορῶν. οὐ γὰρ παρ᾽ ἔπαλξιν ὥσπερ ἐγὼ Συνέσιος ὁ φιλόσοφος, ἀλλὰ παρὰ κώπην ὁ στρατηγὸς ἵσταται. εἰ δὲ τῶν χρημάτων ἐρᾷς ἅπερ ᾔτησας, καίτοι γε ἡμεῖς οὐδὲν αὐτοῖς συνοίσμεν ἀγαθὸν, ὅτι μὴ τὴν ὑπόθεσιν, συνάρξαι κυρηναίοις μικρὸν ἀπὸ

τῶν ὅπλων γενέσθαι. ὡς τοῦ γε νῦν ἔχομεν οὐκ ἔστιν ἀπὸ κιβωτίων τῶν ἐρραθῆ βιβλία.

Πυλαιμένει.

τ Οὐ γεωμετρικοὺς ὅρους, ἀληθεστάτους ἥγου, ὅτε περ καὶ ταῖς ἄλλαις ἐπιστήμαις ὑπάρχει σεμνύνεσθαι, καὶ κατὰ μικρὸν εἰς τὰς ἀποδείξεις αὐτῶν ἐκ γεωμετρίας τι συμπορίσωνται. ἔστι δήπου τις ἐν αὐτοῖς λόγος ἀξιῶν τὰ τῷ αὐτῷ τὰ αὐτὰ καὶ ἀλλήλοις εἶναι δεῖν τὰ αὐτά. ἐμοὶ δὴ σὲ μὲν ὁ τρόπος ἐποίησε φίλον, τὸν δὲ θαυμάσιον Διογένην, καὶ ἡ φύσις. ἄμφω δὲ ἑνὸς ἐστὲ φίλοι. δεῖ δὴ καὶ ἀλλήλων ὑμᾶς ἀρτηθῆναι καθάπερ ἐμοῦ τοῦ μέσου. καθάπτω τοιγαροῦν ὑμᾶς ἀλλήλοις διὰ τῆς ἐπιστολῆς. μεθῆς ἑαυτὸν μὲν ἐπιδώσει τῇ φιλίᾳ τῆς σῆς σεμνοπρεπείας ὁ θαυμάσιος Διογένης. ἀντιλήψεται δὲ εὖ οἶδ᾽ ὅτι τὸν ἐμὸν Πυλαιμένη. καλὸν γὰρ ἐμὸν, οὔτε αἰσχύνειν, οὔτε αἰσχύνεσθαι φήσαι μ᾽ ἂν ἔγωγε. ὅτι δὲ διὰ σοῦ καὶ τοὺς ἄλλους ἕξει τοὺς ἐμὲ ἀγαπῶντας, φίλους, ὅσοις δὲ δύναμίς ἐστι, χρησίμους, οὐκ ἂν δίκαιος εἴην, εἰ ἀμφιβάλλοιμι. δεῖ δὲ αὐτῷ φίλων χρησίμων εἴπερ ποτὲ νῦν. τὰ γὰρ κατ᾽ αὐτὸν ὡς ἐν βραχυτάτοις, οὕτως ἔχει. νέος ἐστὶν ἁπλοῦς καὶ γενναῖος. θυμοειδὴς καὶ πρᾶος, οἵους ὁ Πλάτων ἀξιοῖ τῆς ἑαυτοῦ πόλεως τοὺς φύλακας εἶναι. ἐστράτευται γέ τοι καὶ οὗτος κομιδῇ μειράκιον ὤν. ἄρτι δὲ τῶν ἐφήβων ἦρξε παρ᾽ ἡμῖν τὴν τῶν στρατευμάτων ἀρχὴν, παραβαλλόμενος ἐπὶ βασκαίνων μαρτύρων. τοιοῦτοι γὰρ οἱ πολῖται, πρὸς ἅπαν τὸ εὐτυχοῦν. ἀλλ᾽ οὗτος ἑαυτὸν παρέσχε τοῦ φθόνου κρείττω. περὶ οὗ πολλὰ μὲν ἂν ἕτερος εἶπεν. ἀλλ᾽ ἔοικα μὲν οὐχ ὁμοίως ἔχειν ἐγώ τε πρὸς τὸ ἐπαινεῖν, καὶ οὗτος πρὸς τὸ ἐπαινεῖσθαι. συνελόντι δὲ, ἐνίκησεν, ὅπλοις μὲν, τοὺς τῆς πατρίδος ἐχθρούς. ἀρετῇ δὲ, τοὺς ἐν αὐτῇ πονηρούς. νέος ἐν οὐσίᾳ γενόμενος, οὐκ ἤσχυνε φιλοσό-

φου

φου συγγενέσθαι. τοιοῦτος ὢν πράγμασιν ὁ μικρὸς δυσκόλοις, δι' αὐτὸ οὐχ ἥκιστα τὸ καλὸς καὶ ἀγαθὸς εἶναι. ἕρμαιον γάρ ἐστι τῶν κακοήθων, ἅπας ἐπιεικής. καὶ ἡ πρόσοδος τοῖς πονηροῖς ἐκ τῆς ἑτέρας μερίδος παραγίνεται. ἐνδείκτης οὖν τις ἀξιῶν μισθοδοτεῖσθαι παρ' αὐτοῦ καὶ μὴ τυγχάνων, δίκην πρὸς αὐτὸν ἔλαχεν. ὡς δὲ οὐ προυχώρει ταύτῃ τὸ ἀπαιτεῖν τι τῶν οὐ προσηκόντων, ἀλλ' ἦσαν οἱ νόμοι μεθ' ἡμῶν, ἑτέραν ἐτράπετο. ἐπιτίθεται τὴν δίκην γραφὴν, ἀνατεινόμενος ἔγκλημα τοῦ κατηγορουμένου πρεσβύτερον. ἥκει δὴ τὸ κληθῆναι φθάσας. οὐ γὰρ ἄξιον ἐνδοῦναι θανατῶντί γε συκοφάντῃ, καὶ προέσθαι τὰ πατρῷά τε καὶ τὰ παππῷα μετὰ δόξης αἰσχρᾶς. πρὸς ταῦτα, δεῖται φίλων ἀδόλων, ἀκαπηλεύτων, νοῦν ἐχόντων, οἷος εἶ σύ. ἔξεστι δὲ, σὺν θεῷ εἰρήσθω, σὲ μὲν δι' ἐμοῦ, διὰ σοῦ δὲ τοὺς φίλους τοὺς ἐμοὺς περισώσεις. ὧν ὅ,τι ἄν τις ἀγαθὸν εἰς αὐτὸν ἐργάσηται, τούτου τυγχάνειν ὀφείλειν ἐγὼ δίκαιός εἰμι.

Τῷ ἀδελφῷ.

Τ Ὁ μὲν τὰς γυναῖκας βοᾶν καὶ στερνοτυπεῖσθαι, ἢ σπαράττειν τὰς κόμας, ἐπιφανέντων ἢ προαγγελθέντων πολεμίων, ἧττον ἂν δόξειε δεινόν. καίτοι καὶ τοῦτο δεινὸν, ὁ Πλάτων οἴεται, τὸ μὴ δ' ὥσπερ τὰς ὄρνις ἐθέλειν ἀμυνομένας ὑπὲρ τῶν νεοττῶν, πρὸς ὁτιοῦν τῶν ἀλκιμωτάτων ἀνθίστασθαι. ἀλλὰ δόξαν καταχεῖν τοῦ τῶν ἀνθρώπων γένους, ὅτι πάντων θηρίων ἀτολμότατον γέγονε. τὸ δὲ καὶ σὲ ταῦτα πλημμελεῖν, καὶ νύκτωρ ἐκδειματοῦσθαι, καὶ διανίστασθαι, καὶ βοᾶν παρ' αὐτὴν τοῦ φρουρίου τὴν θύραν ἑστάναι βάρβαρον, τοιαῦτα γάρ τις ἀπήγγειλε περὶ σοῦ, πῶς ἔτι ταῦτα οἰστὰ, κἂν ἀλλοίως ἔοικεν εἶναι, ἐμὸν ἀδελφὸν ὄντα, ἔπειτα δειλὸν εἶναι. ἔγωγέ τοι παρανατειλάσης εὐθὺς ἡμέρας ἐξιππασάμενος, ὡς ἀνυστὸν πορρωτάτω, καὶ ὠσὶ καὶ ὀφθαλμοῖς τὰ κατὰ τοὺς ἀπελάτας

τούτοις ἅπαντα πολυπραγμονῶ. οὐδὲ γὰρ ἄξιον καλεῖν αὐτοὺς πολεμίους. ἀλλὰ λῃστὰς ἢ λωποδύτας, ἤ τι τοιοῦτον ὄνομα μικροπρεπέστατον. οἱ μηδένα τῶν ἐρρωμένως ἐπιφερομένων ὑφίστανται. ἀλλὰ μόνους τοὺς καταπλῆγας ἀποσφάττουσιν, ὥσπερ ἱερεῖα, ἃ περιεδύοισι. νύκτωρ δὲ μετὰ τῶν ἐφήβων περιπολῶ τὸν λόφον. καὶ παρέχω ταῖς γυναιξὶ, τὸ καθεύδειν ἄδειαν, ἐπισταμέναις, ὅτι πρὸ αὐτῶν τινὲς ἐγρηγόρασι. πάρεισι δέ μοι καὶ στρατιῶται τοῦ τῶν βαλαγριτῶν τάγματος. οὗτοι πρότερον μὲν ἢ κερεάλιον ἄρχειν, ἦσαν ἱπποτοξόται. τούτου δὲ καταστάντος εἰς τὴν ἀρχὴν ἀπημπολημένων αὐτοῖς τῶν ἵππων, ἐγένοντο μόνον τοξόται. ἐμοὶ δ' οὖν ἀποχρῶσι καὶ ἄϊπποι. δεῖ δὲ τοξείας ἡμῖν ὑπὲρ φρεάτων ὑπὲρ τοῦ ποταμοῦ. ὕδωρ γὰρ οὐκ ἔχομεν ἔσω τοῦ περιβόλου. ἐπεὶ τί ἐκώλυε διαφέρειν τὴν πολιορκίαν αὐλουμένους τε καὶ κωμάζοντας. νῦν δὲ ἢ κρατεῖν δεῖ μαχομένους ἢ ἀποθνήσκειν εἰς χεῖρας ἰόντας τοῖς πολεμίοις ἀντὶ τοῦ διψῆν. οὔ τι ἂν ἐλεεινότερον γένοιτο. ὥστε καὶ, ὑπανάρκης, ἄνδρες εἶεν μὲν ἀγαθοί· καὶ σὺ δὴ προθυμοῦ. καὶ ἑτέρους παρακάλει. καὶ τὸ ζεῦγος τῶν ἵππων τῶν ἀδηφάγων τῶν ἐπὶ τῷ φόρῳ τρεφομένων, ἀγορασθῆναι κέλευε παρὰ σὲ παντὸς μᾶλλον ἐν τοῖς τοιούτοις καιροῖς, ἵππος οὐκ ἀχρεῖον τὸ κτῆμα. καὶ γὰρ προδραμεῖν τε καὶ κατασκέψασθαι· καὶ ἀπαγγεῖλαι δι' ἐλαχίστου, πάντα ταῦτα ἵππος δύναται ῥᾳδίως ποιεῖν. καὶ διακοσίων τοξοτῶν, μεταπέμπου, καὶ ἥξουσι. τοὺς γὰρ κωπέας τοὺς φυκουντίους, οὐδ' ἐγὼ θαρρῶ συμμάχους, ὥσπερ οὐδὲ τοὺς παρ' ἐμοὶ κυνοπώρους. ζητῶ δὲ ἄνδρας ὀλίγους οὐ ψευδομένους τὸν ἄνδρα. κἂν ἐπιτύχω τοιούτων. σὺν θεῷ δὲ εἰρήσθω, θαρρῶ. δεῆσον δὲ ἀποθνήσκειν, ἐνταῦθα τὸ φιλοσοφίας ὄφελος τὸ μηδὲν ἡγεῖσθαι δεινὸν ἀναχωρῆσαι τοῦ θυλα-

κίου

κίου τῶν κρευλίων. εἰ δὲ πρὸς τὴν γυναῖκα καὶ τὸ παιδίον ἄτεγ-
κτος ἔσομαι τοῦτο δὲ οὐ σφόδρα διεγγυῶμαι, ὡς ἔγωγε βουλοίμην ἄν, τοσαῦτα φιλοσοφίαν δύνασθαι. ἀλλὰ μήτοι ποτὲ διάπειραν λάβοιμι, μή, ὦ σῶτερ, μὴ ὦ ἐλευθέριε.

Ὀλυμπίῳ.

χ Θὲς καὶ πρώην ὑπὸ τῶν ἔναγχος ὑπάτων, ὧν ἅτερος ἐστὶν Ἀρισταίνετος, τὸν δὲ συνάρχοντα ἀγνοῶ, κατασεσημασμένην ἐκομισάμην ἐπιστολήν, τὸ σὸν τῆς ἱερᾶς κεφαλῆς ἐπιγεγραμμένην ὄνομα. τεκμαίρομαι δὲ αὐτὴν εἶναι παμπάλαιον, τῷ τε θριπηδέστατον γεγονέναι. καὶ τῷ συγκεχύσθαι τὰ πλείονα τῶν γραμμάτων. ἐγὼ δὲ ἠξίουν μὴ καθάπερ δασμόν τινα ἐτήσιον, τὴν ἐπιστολὴν πέμπεσθαι. μὴ δὲ ἵνα ποιεῖσθαι διακομιστὴν μόνον τὸν φίλτατον Σύρον. οὕτω γὰρ συμβαίνει τὸ μὴ δὲ νεαροῖς ἀλλ' ἑώλοις αὐτοῖς περιτυγχάνειν. ὥσπερ οὖν ἐγὼ καὶ αὐτὸς οὕτως ποίει. οὐδεὶς βασιλέως ἀγγελιαφόρος δημοσίαν ἵππον ἀμείβων ἔξεισι τῆς πόλεως. ᾧ μὴ τὸ πρὸς τὴν σὴν λογιότητα μέρος γίνεται τοῦ κατόπιν φορτίου. εἰ μὲν οὖν ἀποδιδόασιν, ἢ πάντες, ἤ τινες αὐτῶν, πολλὰ ἀγαθὰ τοῖς ἀποδιδοῦσι γένοιτο. χρηστοῖς οὖσιν. εἰ δὲ μή, καὶ ταύτῃ σὺ σοφώτερος, ἀπιστῶν οἷς ἄξιον. ἀλλ' ἵνα μὴ δὲ ἡμεῖς μάτην κόπτωμεν, τὸν ὑπογραφέα τὰς ἀποδοθησομένας ἐπιστολὰς ὑπαγορεύοντες, μαθεῖν ἀξιῶ. μεθαρμοσόμεθα δὲ τοῦ λοιποῦ. καὶ μόνῳ πιστεύσω τῷ Πέτρῳ. ταύτην γε τὴν ἐπιστολήν, Γέζον οἶμαι διακομιεῖν, παρὰ μέσης λαβόντα τῆς ἱερᾶς χειρός. στέλλω γὰρ αὐτὴν ἀπὸ Πεντα πόλεως ἐγὼ πρὸς τὴν διδάσκαλον τὴν κοινήν. αὕτη δὲ ὅτῳ βούλεται δώσει. βουλήσεται δὲ δὴ οἶδ' ὅτι τῷ γνωριμωτάτῳ παρασχεῖν. καὶ σὺ γὰρ οὐδ' ἴσμεν ὦ φίλτατέ τε καὶ θαυμάσιε, εἰ καὶ πό-

λιν ἔξεστι προσειπεῖν ἡμᾶς ἀλλήλους. κακίᾳ γὰρ στρατηγῶν, ἄ-
μαχεὶ γέγονε τῶν πολεμίων ἡ χώρα. καὶ μόνοι ζῶμεν ὅσοι τὰ ἐρυμνὰ
κατειλήφαμεν, τῶν ἐν τοῖς πεδίοις κατειλημμένων, ὥσπερ ἱε-
ρείων ἀπεσφαγμένων. δέδιμεν δὲ τὴν προσεδρείαν αὐτῶν, μὴ χρονία
γενομένη, δίψῃ παραστήσηται τὰ πολλὰ τῶν φρουρίων. ταύτῃ
καὶ τοῖς αὐτεγκλήμασι τοῖς περὶ τῶν δώρων, ἦ ἀπεκρινάμην.
οὐ γάρ μοι σχολὴ, πρός τινι μηχανῇ τὸν νοῦν ἔχοντι. κατασκευά-
ζομαι γὰρ ὡς ἂν ἀπὸ τῶν πύργων ἐκβολῶ τοῖς πέμπουσι μὲν ἀ-
ξιόλογα λίθων βάρη. ἅμα δὲ καὶ ἐνδίδωμί σοι πέμπειν μοι δῶ-
ρα. δεῖ γὰρ ἐκεῖνον Ὀλυμπίῳ Συνέσιον. μὴ μέντοι τρυφῶντα δῶ-
ρα. καὶ τότε τὴν τρυφὴν ἐμεμψάμην, τῷ καταλύματι τῶν τοι
συναιτίου. ἀλλ' ἔστω στρατιωτικὰ, τόξα καὶ βέλη. μετὰ τῶν συρα-
κίων μέντοι τὰ βέλη. τόξα μὲν οὖν καὶ ἐπίρωθεν ὠνησαίμην, καὶ τὰ
ὄντα ἀνακτησαίμην. βέλη δὲ οὐ ῥᾴδιόν ἐστι ποιήσασθαι. οὔκουν
ὥστε καὶ ἐπιτήδεια. τὰ γὰρ αἰγύπτια ταῦτα τοῖς γόνασιν οἰδοῦν-
τα, τοῖς παραγονατίοις συνιζάνει. ταύτῃ καὶ σφάλλεται πο-
ρ' αὐτῶν. ἔοικε γὰρ τοῖς ἐκ πρώτης ἀφετηρίας ἐμποδιζομένοις
τε καὶ προκόπτουσι. τὰ παρ' ὑμῖν δὲ, εὐμήκη τέ ἐστι καὶ ἀκριβῶς εἰς
ἑνὸς κυλίνδρου σχῆμα στρογγύλλεται. ὅπερ τὸ πᾶν ἐστιν εἰς εὐθυπορίαν
τῆς πτήσεως. ταῦτά μοι πέμπειν. καὶ χαλινοὺς ἵππων ἀγαθοὺς, εἰς
χρῆσιν. ἐπεὶ καὶ τὸν ἵππον τὸν ἰταλὸν ὃν ἐπήνεσας τῇ γλώττῃ τῇ κα-
λῇ, σφόδρα ἂν εἶδον ἡδέως. ἐπειδὴ καὶ πατέρα πολλῶν ἀγαθῶν ἡ-
μῖν αὐτὸν ὑπισχνοῦ. οὐ μὴν ἀλλὰ καὶ κατὰ τοὺς τῆς ἐπιστολῆς, μετὰ
τὴν ὑπογραφὴν, εὗρον ὅτι μὲν ἐδέησε τὸν ἵππον ἐν τῇ σεληναίᾳ
τοῦ ναυκλήρου διὰ τὸν καιρὸν παραιτησαμένου τοιοῦτον φορτί-
ον. ἐπειδὴ δὲ μήτε τὴν λέξιν ἐπέγνων ἀδελφὴν οὖσαν τῆς σῆς,

μήτε

μήτε τὴν χεῖρα, μήτε τὴν ἀκρίβειαν τῆς γραφῆς, ἐδικαίωσα, μὴ ἀ συνοισθῆναί σοι τοῦτο· ἄτοπον γάρ, εἰ τοιοῦτος ὢν ὁ ἵππος μήτε ἐμοὶ μήτε σοὶ σώζοιτο.

Πυλαιμένει.

ε Δεξάμενος τὴν ἐπιστολήν, ἐν ᾗ πάλιν ἐμέμψω τὴν τύχην, ὡς οὐδὲν περὶ σοῦ βεβουλευμένην φιλανθρωπότερον· μὴ σύ γε ὦ φίλτατε ἑταίρων· οὐ γὰρ ἄξιον ἐγκαλεῖν· ἀλλὰ παραμυθεῖσθαι. ἔξεστι δὲ ὄντι τοιούτῳ, ἥκειν πρὸς ἡμᾶς. ἀδελφὸν εὑρήσεις οἶκον. οὐ πλουτοῦμεν ὦ γαθέ. ἀλλὰ τὰ παρόντα ἀρκεῖ καὶ Πυλαιμένει κἀμοί. εἰ δὲ καὶ σὺ παρέσῃ, τυχὸν καὶ πλουτήσομεν. ἀπὸ τῶν ἴσων ἀφορμῶν ἕτεροι πλείω τῶν μειζόνων ἔχουσιν. ἐγὼ δὲ κακὸς οἰκονόμος. ἀλλὰ τέως αὐτάρκει γε πρὸς τὴν ἀκριβεστάτην ἀμέλειαν τὰ πατρῷα. ἃ δὴ δύναται βόσκειν φιλόσοφον, μὴ τὰ τυχόντα ἤγουν προσλαβόντα καὶ πρόνοιαν. ταῦτα περὶ τούτων καὶ μὴ ἄλλως ποίει, εἰ μή τι μεταξὺ βέλτιον πέπραχας. καὶ πάλιν διανοῇ τὴν Ἡράκλειαν ἀνιστάναι καθ᾽ ἡμῶν. ἐπιστολὰς οὐ γέγραφα πρὸς οὓς εἴωθα διὰ τὸν καιρόν. ἀλλὰ πρώην ἅπασι γέγραφα, φάκελλον ἐπιστολῶν Διογένει δούς. ἀνεψιός ἐστιν ὁ Διογένης ἐμός. εἰ μὲν οὖν ἐπέτυχέ σου ζητῶν, ἐζήτησε γὰρ εὖ οἶδ᾽ ὅτι, καὶ δὴ τὸν φάκελλον ἐπιδέδωκεν. οὐ γὰρ ἐπεγέγραπτο. εἰ δὲ μή, τὸν ναύκληρον αἴτει δεῖξαί σοι τὸν νεανίσκον. καὶ κομισάμενος τὰς ἐπιστολάς, αὐτὸς ἅπασι δίδου. εἰσὶ δὲ οὓς περὶ πλείστου ποιοῦμαι, παρ᾽ ἐμοῦ προσειρῆσθαι, ὁ πατὴρ Πρόκλος. Τρύφων ὁ πέρυσι μὲν ἄρξας. Σιμπλίκιός γε ἀνὴρ καὶ ἄρχων ἀγαθὸς καὶ φίλος ἐμός. ἐπιδοὺς αὐτῷ τὴν ἐπιστολήν, ἐν ᾧ πάρεστι χρόνῳ, χρῆσαι τἀνδρί. καλὸν γὰρ καὶ συσχολάσαι στρατιώτῃ ποιητικῷ. στρουθοὺς

μεγάλας ἀπὸ τῶν ἐν εἰρήνῃ κυνηγεσίων ἔχομεν. ἀλλ' οὐκ ἦν αὐτὰς στέλλειν ἐπὶ θάλατταν, διὰ τῶν ὅπλων τῶν πολεμίων. οὐδὲ ἄλλό τι τῶν παρὰ τὰς ἀκτὰς ὄντων δεῖν ἐνθεῖναι τοῖς πλοίοις. οἶνος οὖν μόνος ἐστὶ τὸ φορτίον. ἐλαίου γὰρ ὃ μὲν τὴν τιμίαν σου κεφαλὴν οὐδὲ κύαθον ἀζόφημον ἔχουσιν. οὐκοῦν ὅσα γε κἀμὲ εἰδέναι. τοσαῦτα δὲ σοὶ οἴνου ξέστια λάβε. λήψῃ δέ, ἐπιδοὺς τὸ πρὸς Ἰούλιον πρόσταγμα. πρόσκειται δὲ τῇ ἐπιστολῇ τοῦ μὴ διαπεσεῖν ἕνεκα καὶ τῷ πατρὶ Πρόκλῳ γεγραφήκα, καὶ ταῦτα πέπομφα. δεξάσθω καὶ τὴν ἐπιστολὴν παρὰ σοῦ, καὶ τὸν οἶνον παρὰ τοῦ Ἰουλίου. Τρύφωνι τῷ χρυσῷ, δεῖ γάρ τι καὶ ἐν τούτοις, ψυχρὸν εἰπεῖν ἢ γοργιεῖον, τρυφῶντα δῶρα παρεσκευάσαμεν. ὀπὸν σιλφίου πολύν. ἀγαθὸν γὰρ ἡ Κυρήνη καὶ τοῦτον ἐκτρέφει. οὐ μὴν ἐδέξατο πέμπειν τὸ νῦν ἔχον. ἀλλ' ἐκπέμψαι μὲν αὖ εἰς ἑτέραν ναῦν, ὅπου καὶ ὑμῖν μετ' αὐτοῦ μὲν τοὺς στρουθούς, καταμόνας δὲ τοὔλαιον.

Τῷ ἀδελφῷ.

Οιμένιος οὗτος ὁ τὴν ἐπιστολήν σοι διδούς, ἐστάλη
π πρὸς ἡμᾶς ὑπὸ τοῦ μικρῷ πρότερον δυναστεύσαντος Ἀρταβαζάκου ἐπὶ ταῖς οὐσίαις ἀπάσαις ὧν ἐν τοῖς τῇδε τόποις ἐτύγχανε κύριος. ἀλλ' ἐν ὑποθέσει τοιαύτῃ, πρᾶον ἑαυτὸν παρέσχε καὶ μετριώτατον. καί τοι τίς ἕτερος οὕτως ἐχρήσατο τῷ καιρῷ. Ποιμενίου δὲ οὐδεὶς Λιβύων τὴν τότε δύναμιν ἐβαρύνετο. μέγα τεκμήριον. λυπεῖ τὰς πόλεις ἀναχωρῶν. σὺ δέ μοι τὸν ἄνδρα φιλίως καὶ ὥσπερ εἰκός, ἐπαίνεσον ἐπὶ καλοκαγαθίᾳ.

τῷ

Τῷ αὐτῷ.

ο Ναίμην τῶν ἀθηνῶν, ὅσα βούλει· ὥστε μοι δοκῶ πλέον ἢ παλαιστῇ καὶ δακτύλῳ γεγονέναι σοφώτερος. ἔξεστι δὲ καὶ αὐτόθεν ἐκ τῆς νέας σοφίας πεῖράν σοί τινα παρασχεῖν. ἀμέλει δὲ ἀναγυροῦντι ἐνθένδε σοι γράφω, ἐκ σφηττοῖ γέγονα. καὶ θριᾶσι. ἐκ κηφισιᾶσι. ἐκ φαληροῖ. ἐκ κακὸς κακῶς ὁ δεῦρο κομίσας ἀπόλοιτο ναύκληρος. ὡς οὐδὲν ἔχουσιν αἱ νῦν ἀθῆναι σεμνόν. ἀλλ' ἢ τὰ κλεινὰ τῶν χωρίων ὀνόματα. καὶ καθάπερ ἱερείου διαπεπραγμένου τὸ δέρμα λείπεται γνώρισμα, τοῦ πάλαι ποτὲ ζώου. οὕτως ἐνθένδε φιλοσοφίας ἐξῳκισμένης, λείπεται περινοστοῦντα θαυμάζειν τὴν ἀκαδημίαν τε καὶ τὸ λύκειον. καὶ νὴ δία τὴν ποικίλην στοάν, τὴν ἐπώνυμον τῆς χρυσίππου φιλοσοφίας. νῦν οὐκέτ' οὖσαν ποικίλην. ὁ γὰρ ἀνθύπατος τὰς σανίδας ἀφείλετο. αἷς ἐγκατέθετο τὴν τέχνην ὁ ἐκ θάσου πολύγνωτος. νῦν μὲν οὖν ἐν τοῖς καθ' ἡμᾶς χρόνοις αἴγυπτος τρέφει τὰς ὑπατίας δεξαμένη γονάς. αἱ δὲ ἀθῆναι, πάλαι μὲν ἦν ἡ πόλις ἑστία σοφῶν. τὸ δὲ νῦν ἔχον, σεμνύνουσιν αὐτὰς οἱ μελιττουργοί. ταῦτ' ἄρα καὶ ἡ ξυνωρὶς τῶν σοφῶν πλουταρχείων, οἵτινες οὐ τῇ φήμῃ τῶν λόγων ἀγείρουσιν ἐν τοῖς θεάτροις τοὺς νέους· ἀλλὰ τοῖς ἐξ ὑμηττοῦ σταμνίοις.

Ερκουλιανῷ.

ε Ι τῆς ὀδυσσέως πλάνης κέρδος ἔφησεν Ομηρος πολλῶν ἀνθρώπων ἰδεῖν τε ἄστεα καὶ γνῶναι τὸν νόον, καὶ ταῦτα τῆς προσορμίσεως αὐτῷ γινομένης οὐ πρὸς ἄνδρας χαρίεντας, ἀλλὰ πρὸς λαιστρυγόνας καὶ κύκλωπας, ἦ που θαυμαστῶς ἂν ἡ ποίησις ὕμνησε τὴν ἐμήν τε καὶ σὴν ἀποδημίαν, παρασχοῦσαν ἡμῖν εἰς πεῖραν ἐλθεῖν τῶν καὶ διὰ φήμης ἀπίστων μόνων. αὐτόπται γάρ τοι καὶ αὐ-

τήκ θοὶ γεγόναμεν τῆς συνουσίας καθηγεμόνος τῆς φιλοσοφίας ὀργίων.
εἰ δὲ αἱ ἀνθρώπιναι χρεῖαι τοὺς κοινωνήσαντας διαθέσει συνδέου-
σιν, ἡμᾶς κατὰ τὸν νοῦν τὸν ἐν ἡμῖν τὸ ἄριστον συγγενομένους, θεῖ-
ος ἀπαιτεῖ νόμος, τἀλλήλων τιμᾶν. ἐγὼ μὲν οὖν καὶ τῆς σωματι-
κῆς συνηθείας ἀπολελαυκὼς, ὁρᾶν τε ἀπόντα δοκῶ, τὸ ἐναποτεθὲν
ἀπὸ τῆς διαθέσεως εἶδος προχειριζομένης τῆς μνήμης, καὶ ἐμφοβεῖ
μου ταῖς ἀκοαῖς ἡ θαυμαστῶς γλυκεῖα τῶν ἱερῶν σου λόγων ἠχώ.
σὺ δὲ ἡμῖν εἰ μὲν οὐχ οὕτως ἔχεις, ἀδικεῖς. εἰ δὲ ἔχεις, οὐ μέγα ποι-
εῖς. ἀποδίδως γὰρ διαθέσεως ὄφλημα. ὅταν δὲ πρὸς τὴν ἐν φι-
λοσοφίᾳ κοινωνίαν ἀπίδω, καὶ φιλοσοφίαν ἐκείνην, περὶ ἧς πολ-
λὰ συγκεκύφαμεν, ἐνταῦθα ἤδη τοῦ λογισμοῦ γινόμενος, θεῷ
βραβευτῇ τὴν ἐντυχίαν ἡμῶν ἀνατίθημι. οὐ γὰρ ἂν ἀπ᾽ ἄλλου του ο-
νος ἢ θείας αἰτίας Συνέσιος ὁ τὸ πρᾶγμα ἥκιστα δημοσιεύων, καὶ
πλείστοις μὲν συνών, ἐν ἀνθρωπικαῖς δὲ κοινωνίαις τὰς συνουσίας
ποιούμενος, φιλοσοφίαν δὲ ἐν ἀρρήτοις ἀρρητοτάτην ἔχων, οὕ-
τω προχείρως ἐμαυτόν τε καὶ τὰ ἐμαυτοῦ κτήματα ἀνεκάλυψα,
ἀνδρὶ κατὰ βραχὺ δόντι μοι καὶ λαβόντι τὸν λόγον. ἐπεὶ δ᾽ οὖν γέγονέ
τις οὗτος πρὸς ὃν ἐξωρχησάμην τὰ τέως ἀνέκπυστα, καὶ τῆς σο-
φῆς τοῦ πρωτέως ἐπελαθόμην τέχνης, οὐ γὰρ ἄλλη τίς ἦν, ἣ συ-
νεῖμαι τοῖς ἀνθρώποις οὐ θείως ἀλλὰ πολιτικῶς, ἐπεὶ γέγονε τοῦτο
οὐ προθεμένης μοι τῆς γνώμης, ἀλλὰ κατὰ τοῦ σκέδασον ἄφνω πα-
ρελθὸν, ἐγὼ θεὸν ἡγεμόνα τοῦ παραδόξου λογίζομαι· παρ᾽ οὗ τέ-
λος αἰτήσομεν τῶν δι᾽ αὐτὸν ἠργμένων. καὶ δοίη μετ᾽ ἀλλήλων φιλο-
σοφεῖν. εἰ δὲ μὴ τοῦτο, πάντως φιλοσοφεῖν. ὡς ἔγωγε ἐνόντας μοι
τινὰς τῇ ψυχῇ λόγους περὶ τῆς ὑποθέσεως ἣν ἐπραγματευόμε-
θα, κατατέχειν μὲν ὠδίνω τῆς ἐπιστολῆς. οὐ μὴν τοῦτο ποιήσω σοι. ἀλλ

αὐ

αὐτῇ κατὰ θεὸν γένοιτο συγγενέσθαι καὶ ἡμῖν περὶ τούτων καὶ ἄλλοις ἄμεινον εἰδόσιν. ἐμοὶ δὲ οὐ καλῶς ἔχει γραμματίῳ πιστεύειν τοῦ τοιοῦδε. τὸ γὰρ τῆς ἐπιστολῆς πρᾶγμα, οὐκ ἔχει μῦθον. ἀλλὰ φύσιν ἔχει τῷ περιτυχόντι προσδιαλέγεσθαι. ἔῤῥωσο. ἡ φιλοσοφία καὶ διατελεῖ τὸ ἐν ἡμῖν ἀνακεχωσμένον ὄμμα ἀνορύττων. τὸ γάρ τοι βιοῦν ὀρθῶς, ἅπερ οἶμαι προοίμιον τοῦ φρονεῖν ὑπὸ τῶν ἀρχαίων καὶ φρονίμων ἀνδρῶν σπουδάζεσθαι, κατεδείχθη. μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι φησὶν οὐ θεμιτὸν, ἡ θεσπεσία φωνή. οἱ πολλοὶ δὲ οὐ διὰ τὸ φρονεῖν, ἀλλ' αὐτὸ δι' αὐτὸ καὶ τελειότητα ἀνθρωπίνην ἥγηνται τὸ βιοῦν ὀρθῶς, τὴν ὁδὸν, οὐχ ὁδὸν ἀλλ' ἐφ' ὃ δεῖ δι' αὐτῆς φθάσαι νομίζοντες, κακῶς φρονοῦντες. σωφροσύνη γὰρ ἄλογος, καὶ ἀποχὴ κρεωδαισίας πολλὴ παρὰ πολλοῖς ἀλόγοις εἴδεσιν ἐνδέδοται παρὰ τῆς φύσεως. ἀλλ' οὐκ ἐπαινοῦμεν οὔτε κορώνην, οὔτ' ἄλλο τι τῶν ἀγραμμάτων φυσικὴν ἀρετὴν ὅτι φρονήσεως ἔρημα. ἡ δὲ κατὰ νοῦν ζωὴ, τέλος ἀνθρώπου. ταύτην μετίωμεν, θεόθεν τε αἰτοῦντες θεῖα φρονεῖν, καὶ αὐτοὶ τὸν δυνατὸν τρόπον τὸ φρονεῖν ἁπανταχόθεν συλλέγοντες.

Τῷ αὐτῷ.

ἤ Κουσά του τῶν δεινῶν λέγειν ἀνδρὸς ἐπαινοῦντος χρείαν ἐπιστολῆς. καὶ τοῦτο τὸ τῶν πολλῶν καὶ θαυμαστῶν λόγων σοφιστὴς ὑπόθεσιν ἐπεποίητο. ἐχορηγεῖτο δὲ αὐτῆς τὸ ἐγκώμιον πολλαχῇ μὲν ἄλλῃ. μάλιστα δὲ ἀπὸ τοῦ δύνασθαι τὴν ἐπιστολὴν ἐρώντων τε δυστυχούντων εἶναι παραμυθίαν, παρεχομένην ἀπουσίᾳ σωμάτων φαντασίαν τῆς παρουσίας. καὶ τῷ δοκεῖν προσδιαλέγεσθαι ψυχῆς ἐκπιμπλᾶσαν τὸ ἐφιέμενον. ταῦτα οὖν ἀνυμνεῖν τὸν δυ-

ρετίλω τῶν γραμμάτων· καὶ ἀνθρώπου μὲν οὐδενὸς ἤξιου, θεοῦ δὲ εἰς ἀνθρώπους εἶναι τὴν δόσιν. ἐγὼ μὲν οὖν ἀπολαύω τῆς ἱερᾶς τῆς δὲ τοῦ θεοῦ χάριτος. καὶ πρὸς ὃν ἔδει λαλεῖν, εἰ μὴ δύναμαι λαλεῖν, ἀλλ' ἐπειδὴ γράφειν δύναμαι, θαμὰ τοῦτο ποιῶ. καὶ κατὰ τὸ ἐνδεχόμενον σύνειμι. καὶ ἀπολαύω, τῶν ἐμῶν παιδικῶν. αὐτὸς δὲ εἰ μὴ πικρὸν εἰπεῖν, συνδιέστησας τῷ τόπῳ τὴν γνώμην. κἂν μὴ παύσῃ, σοῦ τὸν ἀφέλκων τῆς ἀσυλώτατα τῆς ἀσκήνως ἠγαπηκότων, ἐμιμήσω τὰς χελιδόνας, αἳ τοῖς τῶν ἀνθρώπων οἷον φιλίαις ἐνοικίζονται μὲν μετὰ τοῦ φθέγγεσθαι, σιωπῶσι δὲ ἐξοικίζονται. ταῦτα πρὸς ἄνθρωπον ἔτι· καὶ ἀνθρωπικὰ τὰ ἐγκλήματα. εἰ δὲ ἠνώσας διὰ φιλοσοφίας τὰ μέχρι δεῦρο διεστῶτα, καὶ φίλον μὲν τὸ καλόν· καλὸν δὲ τὸ αὐτό, τοῦτο δὲ ἐν ὂν τοῦ νοῦ λέγοντος ἤκουσας, οὐκ ἔτι κρίνομεν ὑπόνοιαν τὴν πρὸς ἡμᾶς σιωπήν. ἀλλὰ συνηδόμεθα φιλοσοφοῦντι τὸ παραιτούμενον μὲν τὸ μικροπρεπεύεσθαι, συνόντι δὲ τῷ παρὰ σοὶ κρείττονι, τοῖς ἐν ἡμῖν κρείττοσιν. εἴης τοιοῦτος ἀνδρῶν ἄριστε καὶ ἐμοὶ περιπόθητε ὄντως ἀδελφέ. ...ιπόθητε.

Τῷ αὐτῷ.

Ἴσως οὐ τόσον ἐστὶ κέντρον πειθοῦς ἐν τοῖς γράμμασιν, εἰ τοσοῦτον αἱ τῶν ἠθῶν εἰκόνες τῆς ζώσης χηρεύουσαι συμπαθείας καὶ χάριτος, θέλκτρον ἐνιᾶσι τοῖς ἀναγνώσκουσιν, ἧπερ πρᾶγμα ἄμαχον ἂν εἴη, τὸ αὐτοπροσώπως αὐτῶν ἐπαφήσασθαι. ...ώαλον. ἐμὲ γοῦν καὶ παρὼν μὲν ἦρες τῇ γλυκείᾳ σειρῆνι τοῦ λόγου. ἢ μὴν αἰσχυνθείην ἀληθῆ λέγων, ὡς ἥδιον ἂν ἡ δευτέρα μοι πεῖρα γένοιτο. οὐ γὰρ ἂν γένοιτο ἀγαθοῦ, παρόντος, ὡς πρὸ ἀπόντος τῷ πεπειραμένῳ συναίσθησις. τὸ μὲν γάρ, ἡ συνέχεια τῆς ἀπολαύσεως, κλέπτει τῆς εὐφροσύνης τὴν αἴσθησιν. ὁ δὲ κατὰ μικρὸν χωρισθείς, τῶν ἡδέων εὐθὺς ἔχει κεντοῦσαν

ἐκ παραλλήλου τὴν μνήμην οἵαν ἄρα ὄντως στερήσεται. ἔλθοις οὖν φιλτάτη κεφαλή, καὶ ἀλλήλοις τῆς φιλοσοφίας συγγενοίμεθα τοῖς ἐνηργημένοις πρέποντα ἐποικοδομοῦντες, ἵν' ἐκ τελέων τέλεον ἐκφανῇ κάλλος, ἀλλὰ μὴ κολοβόν. εἰ δὲ ὅπερ ἀπεύχεσθαι δεῖ καὶ ἀλλήλων διαμάρτοιμεν, δῆλον ὡς τοὐμόν ἐστι τὸ βλαπτόμενον. σοὶ μὲν γὰρ εὐτυχούσης ἐνθάδε πολυανδρίαν παιδείας, συνέσονται πολλοὶ συνουσίου τε βελτίους καὶ ὅμοιοι. ἡ δὲ πατρὶς, ὅτι μὲν πατρὶς, ἐμοὶ τίμιον. πρὸς δὲ φιλοσοφίαν, οὐκ οἶδ' ὅντινα τρόπον ἀπεσκληκότως ἔχει. ἔστιν οὖν οὐκ ἀδεὲς ἀβοηθήτῳ μένειν, οὐκ ὄντος τοῦ συγκορυβαντιῶντος. εἰ δὲ δὴ καὶ δοίημεν εἶναί τινας, πῶς ἂν ἔπειτ' ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην. πρὸς ποῖον ἄλλο πυρεῖον παρατριβεὶς μετὰ τὴν ἱεράν σου ψυχὴν, ἀποτέκοιμι τοῦ νοῦ φωτοειδὲς ἔκγονον. τίς οὕτως οἷος σφοδρῶς συνθηρᾶ κεκρυμμένον τε ἀγαπῶντα λανθάνειν μηχαναῖς ἁπάσαις ἐκκαλέσασθαι τε δεῖξαι. καὶ πῦρ λαμπρὸν ἀναδεῖξαι. θεὸς οὖν ἀμφοῖν ἀποῦσί τε καὶ συνοῦσι παρείη. θεοῦ δὲ παρόντος, ἅπαν ἄπορον πόριμον. ἔρρωσο. καὶ φιλοσόφει. καὶ τὸ ἐν σαυτῇ θεῖον, ἀνάγε πρὸς τὸ πρωτόγονον θεῖον. καλὸν ἀνὰ πᾶσαν ἐμὴν ἐπιστολὴν, τοῦτο παρ' ἐμοῦ τῇ τιμίᾳ σου διαθέσει λέγειν, ὅ φασι τὸν πλωτῖνον εἰπεῖν τοῖς παραγινομένοις, ἀναλύοντα τὴν ψυχὴν ἀπὸ τοῦ σώματος.

Τῷ αὐτῷ.

Ων ἐρώτων οἱ μὲν χαμαὶ ἐρχόμενας καὶ αὐτίκας τὰς ἀρχὰς ἔχοντες, ἀπόχρεώς τέ εἰσι καὶ δεῖ τηλοῖ τῇ παρουσίᾳ μόνῃ καὶ μόλις μετρούμενοι. οἷς δὲ ὁ ἐφεστὼς βραβεύει θεὸς, κατὰ τὴν θεσπεσίαν Πλάτωνος φωνὴν συντίθεισα τῇ τέχνῃ καὶ ἕνα ἄμφω ποιήσας τοὺς ἀντερῶντας, οὗτοι καὶ χρόνου καὶ τόπου φύσιν ἐλέγχουσιν·

οὐδὲν γὰρ ἐμποδὼν ψυχαῖς ἐφιεμέναις ἀλλήλων ἀρρήτοις συνόδοις ὁμόσε χωρεῖν καὶ συμπλέκεσθαι. ἑκατέρωθεν ἠρτῆσθαι δεῖ τὸ ἡμέτερον, εἰ μὴ τὰ φιλοσοφίας τροφεῖα, μέλλοιμεν αἰσχύνειν, αἴσθησιν ἀγαπῶντες, καὶ ὅταν αὐτὴ μὴ ὑπὸ σωμάτων θυροκοπῆται, ψυχῆς παρουσίαν οὐ προσιέμενοι. τί οὖν ποτνιᾷ ἐν ταῖς ἐπιστολαῖς τῶν δακρύων ἔχεις. εἰ μὲν γὰρ ἡμᾶς ἐλεῶν, ὅτι μήπω φιλοσοφοῦμεν, καὶ ταῦτα δοκοῦντες καὶ λέγοντες, ἐπαινῶ σου τοῦ θρήνου τὴν ἀλήθειαν. εἰ δ' ὅτι τὴν συνουσίαν ἡμῶν ἠδίκησεν ἀγνώμων ἡ τύχη, τοῦτο γάρ σοι τῶν ἐπιστολῶν τὸ βούλημα, θῆλυ καὶ παιδαριῶδες τὸ ταῦτα ἀγαπᾶν, ἐφ' ὧν δύναται βλάπτειν ὁ δαίμων τὰ τέλη τῶν προαιρέσεων. ἐγὼ δὲ τὴν ἱερὰν κεφαλὴν, Ἑρκουλιανὸν, ἠξίουν ἄνω βλέπειν καὶ ὅλον εἶναι θεωρὸν τῶν ὄντων. καὶ τῆς τῶν θνητῶν ἀρχῆς τὰς ἀρετὰς διαβάντα καὶ πάλαι τὰς ἀπεστραμμένας καὶ κοσμούσας τὰ δεῦρο. καὶ ὡς πρὸς τοιοῦτόν μοι τῆς ἐπιστολῆς τὸ πρόσρημα, πολλὰ φρονεῖν, οὐ χαίρειν οὐδὲ εὖ πράττειν τὸ μετριώτερον. ἐπίσταται γὰρ πράξεσι νοῦς ἐλάττων. οὐκ οὖν ἠξίουν ἀνακεχῶσθαι παρὰ σοὶ περὶ οὗ σοι καὶ πάμπολλα διὰ δύο τῶν πρώτων ἐπιστολῶν διελέχθην. ὧν οὐδὲ μίαν οἱ λαβόντες ἐπιδεδώκασιν. ἐπεί τοι πέμπτην ταύτην ἐκπέμπω τὴν ἐπιστολήν. ἀλλ' εἴθε μὴ καὶ ταύτην μάτην. γένοιτο δ' ἂν οὐ μάτην, εἰ πρῶτον μὲν ἐπιδοθείη. τὸ δὲ μετὰ τοῦτο, καὶ τούτου σεμνότερον κατανουθετήσει σε καὶ παραμυθήσει. καὶ πείσει μεταθεῖναι τὴν τοῦ σώματος ἰσχὺν ἐπὶ τὴν τῆς ψυχῆς ἀνδρείαν. οὐ τὴν ἐκ τῆς πρώτης περιγείου τε τετρακτύος τῶν ἀρετῶν. ἀλλ' ἐπὶ τὴν ἀνάλογον ἐν τρίταις τε καὶ τετάρταις. ἅψαιο δ' ἂν αὐτῆς, ὅταν μηδὲν τῶν ἀνθρωπίνων θαυμάζῃς. καὶ μήπω σοι σαφὴς ἡ διαίρεσις ἦ τοῦ λελεγμένου, τί-

νες ἀρχαιότεραι. καὶ τινὸς αἱ πολλοστὸν τῶν ἀρετῶν, τὸ ἐπὶ μηδενὶ καλλωπίζεσθαι. ἀλλὰ πάντων ἐνδεῖ καὶ τῶν τῇδε καταφρονεῖν. ὅταν σοι παραγένηται, τοῦ τε ἔσω σοι καλοῦ, καὶ κρείττειον τῶν πρώτων τῆς τάξεως, ἵνα σοι τε παρ' ἡμῶν τὸ πολλὰ φρονεῖν ἐν ταῖς ἐπιστολαῖς ἐπανέλθῃ. ἐρρωμένως διαβιώης, φιλοσοφίας εὐθυμίαν πρυτανευούσης ἀκύμονα δέσποτα ἀξιάγαστε. ἡ φιλοσοφία πρεσβεύειν οἶδεν ἀπάθειαν αὐτήν, αἱ μέσαι δὲ ἕξεις εἰς μετριοπάθειαν ἵστανται, τὴν ἀπειροπάθειαν καὶ τὸ εὐταπείνωτον, ποῦ χώρας τάξομεν. ἆρ' οὐχὶ πόρρω φιλοσοφίας, ἧς μύστην γενέσθαι σε κατηύξαμεθα; μὴ δῆτα ὦ πάντων ἐμοὶ προσφιλέστατε. ἀλλ' ἀρρενωπότερον ἡμῖν τὸν φίλον ἀποδείκνυε. ἅπασά μου ἡ οἰκία κατεδεήθη προσειπεῖν σε ὑπὲρ αὐτῆς. προσείρησο οὖν παρὰ πάντων, ἑκάστου μόνου, οὐκ ἐγχέαντος τὴν ψυχὴν τῇ προσρήσει. καὶ αὐτὸς ὑπὲρ ἡμῶν τὸν ἱπποτοξότην πρόσειπε παρακαλῶ.

Τῷ αὐτῷ.

Ἢ θαυμάσῃς εἰ διακομιστῇ δυοῖν ἐπιστολῶν ἑνὶ χρῶμαι.
μ ἀλλὰ πρῶτον μὲν αἰσθάνου δίκας ὑπέχων ἐγκλήματος ἀκαίρου. καὶ ἐμφόρου τῆς ἀδολεσχίας ἡμῶν. εἶτα καὶ χρείαν ἑτέραν ἐθέλω μοι πληρῶσαι, τὰ δεύτερα γράμματα. αὐτῶ γὰρ τὸ ἐν ἰάμβοις ἐκεῖνο συνταγμάτιον. δι' οὗ πρὸς τὴν ψυχὴν ὁ γεγραφὼς διαλέγεται. ἐπεὶ τότε μὲν ᾤμην ἀπὸ τῆς μνήμης αὐτὸ συναθροίσειν. νῦν δὲ κινδυνεύει τὸ αὐτὸ ἐκείνου μηδὲν εἶναι πρὸς ἐκεῖνο. ἀλλ' αὖ ἐπιτρέψω τὸ γράφειν, ἵνα μὴ μάτην ἡ μνήμη χρήσωμαι. τὸ ἴσως μὲν χεῖρον. ἴσως δὲ τὸ βέλτιον. οὐ μὴν δεῖ τίκτειν δὶς τὸν αὐτὸν τὸ

κον, δέον ἔχειν τὸ τετυπωμένον. ἀντίγραφον οὖν τῆς πεντάδος ἀπόστειλον πρὸς αὐτῆς τῆς ψυχῆς, ἣν κοσμεῖν βούλεται τὸ βιβλίον. ἀλλ' ὅπως τάχιστά τε καὶ ἀσφαλῶς. τοῦτο δέ ἐστιν, εἰ διὰ τῶν πάντως ἀποδωσόντων ποιήσεις. τοῦ γὰρ παρὰ θάτερον διαμαρτεῖν πάντως οὐ κινήσεις. κἂν χρονιώτερον ἀποστείλῃς, ὑστερήσει γάρ μου τῆς παρουσίας, κἂν δῷς τῷ μὴ πάντως δώσοντι.

Τῷ αὐτῷ.

γ Οὐ μὲν Ὀδυσσέα διὰ τῆς ἐπιστολῆς ἐπίστευον, πολλῶν ἐπαναγόντων, ἐπὶ τὴν μνήμην τοῦ ἥρωος. τὸν δὲ πρωτέα ἠγνόησας. σὲ μὲν γὰρ ὄντα τοιόνδε, καὶ ἡμιθέων ψαύειν οὐκ ἀπεικός. ἐγὼ δὲ ἄλλο μέν τοι σοφός. κατὰ δὲ τὸ δελφικὸν γράμμα, ἐμαυτὸν ἐγνωκώς, καταδικάζω πενίαν τῆς φύσεως. καὶ ἀπογινώσκω τὴν εἰς ἥρωας οἰκειότητα, πλὴν ὅσον μιμητὴς εἶναι τῆς ἐχεμυθίας ἠναζαίμην. ἣν καὶ αὐτὴν σύ μοι συνέχεας κατὰ τὸν ἐκ Σπάρτης Μενέλεων. ὥστε κινδυνεύειν συνειδέναι προσήκειν ἡρώων. οὐκ Ὀδυσσεῖ μόνῳ. ταῦτα μὲν ταύτῃ. τὴν δὲ ἀνεπιτηδειότητα τοῦ γράφειν, μέμψαι μέν, οὐκ εἰ δίκαιος ἀπαιτεῖν πλῆθος ἀνιασόντων γραμμάτων. διὸ συνέστειλα τῆς ἐπιστολῆς τὸ μῆκος ἵνα μὴ πόνος ᾖ πλειόνων, ἀναγινώσκοντι πλείονα. ἔρρωσο. εὐθύμως διαβιώης, φιλοσοφίᾳ χρώμενος εἰς τὸ θεῖον ποδηγετοῦσιν ἀξιώσατε. τὸν θαυμάσιον κόμητα, πρόσειπε. πρὸς ὃν αὐτοπροσώπως κινεῖσθαι προσρήσεις ἑαυτοῖς ἤδη ἐπέστειλα μέν. τὸ μὲν ἐκ τῆς κινήσεως, ἀρχ. σὺ δὲ γινέσθω φιλονεώτερος, πολέμου μὲν τῆς στάσεως ἄρχεσθαι, δικαιοῖ τὸν νέον. φιλοφροσύνης δὲ τὸν πρεσβύτερον. καίτοι περὶ ἐμοὶ τίμιος ὁ ἀνήρ, τῆς πρὸς ἄξιος ὃς παιδείαν καὶ στρατείαν, δι' ἃ ἐπιτειχισμένας θεσμοῖς μεγάλοις τῶν ἐφήμων μόνος εἰς ταυτὸν ἤγαγε, παλαιάν τινα δέξιον, ἐν τοῖς

ἐπὶ τῇ

ἐπιτηδεύμασι τοιούτοις συγγένεσθαι. μεγαλόφρων δὲ ὤν, ὡς οὐδείς πω στρατιώτης ἐκ γειτόνων τῆς μεγαλοφροσύνης παροικοῦσαν τὴν ἀλαζονείαν ἐκφεύγει. τὸν οὖν τοιοῦτον κἂν μὴ γράφω, φιλῶ· κἂν μὴ θεραπεύω, τιμῶ.

Τῷ αὐτῷ.

Ὑκ ἐμπεδοῖς τὰ ὡμολογημένα πρὸς ἡμᾶς ὦ φιλότης. μὴ ἐκπύστα ποιεῖν τὰ ἄξια κρύπτεσθαι. ὡς ἔγωγέ τινων ἤκουσα τῶν ἀφικομένων παρὰ σοῦ, οἳ καὶ λέξεων ἐνίων μεμνημένοι, τὴν διάνοιαν ᾔτουν αὐτοῖς παρ' ἡμῶν ἀνακαλύπτεσθαι. ἀλλ' ἡμεῖς τὸν ἡμέτερον τρόπον, καὶ πρὸς αὐτοὺς οὔτε με πεποιῆσθαι μὲν τῶν συγγραμμάτων, οὔτ' ἐπιγινώσκειν αὐτὰ ἔφαμεν. δεῖ δήπου νουθεσίας οὐκ ἔθ' ἡμετέρας ὦ φίλη κεφαλή. μικρὰ γάρ, ἢ ὥστε σὲ πείθειν. τὴν δὲ Λύσιδος τοῦ Πυθαγορείου πρὸς Ἵππαρχον ἐπιστολὴν ἐπιζήτησον. κἄν που περιτύχῃς, ἐμοὶ χάρισαι τὸ πολλάκις ἐπελθεῖν. τάχ' ἄν, ἰσχυρά σοι γένοιτο μετάνοια τῆς οὐ δεούσης ἐκφάνσεως. τὸ γὰρ δημοσίᾳ φιλοσοφεῖν, οὕτω γάρ πως ὁ Λῦσις ὑποδυόμενος λέγει, μεγάλης εἰς ἀνθρώπους ἦρξε τῶν θείων καταφρονήσεως. ἐπεί τοι συγγεγονὼς ἐγώ τισιν οἶδα, τοῖς πάλαι μέν, ἀτὰρ τοῖς ἔναγχος ἀνθρώποις, οἳ διὰ τὸ παρ' ἄλλων ἀκηκοέναι ῥηματίων σεμνοτέρων, ἠπίστησαν ἑαυτοῖς, ὅπερ ἦσαν ἰδιώταις εἶναι. τῆς φυσώσης ἐμπλησθέντες, ἐμόλυναν θεσπέσια δόγματα, μεταποιήσει διδασκαλίας, ὧν οὐκ ἐπετύχησαν μαθήσεων. τὸ μέντοι καὶ τοὺς θαυμαζομένους τρεῖς τινας, ἢ τέτταρας, οὐδὲν ἀποδέοντας βαναύσους εἶναι τό γε κατὰ ψυχάς, ἀνηρτήσαντο. μηδὲ διὰ τῶν προπαιδευμάτων ἐνίους ἠγμένους. δεινὸν γὰρ ἡ δοξοσοφία καὶ ἀπατηλόν, ἐν οὐκ εἰδόσιν. οὐδὲν ἀναδυομένη, καὶ πάντα ἀπερισκέπτως τολμῶσα. τί γὰρ ἂν

ἀμαθίας γένοιτο θαῤῥαλεώτερον, τοιούτοις ἀνθρώποις ἀλαζό-
σι περιτυχὼν κηφῆσιν, οὔτε ἐπαΐουσι λόγων, οὔτε ἐφιεμένοις. μι-
σήσας τὸ φῦλον, οὐχ ἑτέραν αἰτίαν εὑρίσκω τῆς τροφῆς αὐτῶν,
ἢ τὸ ἀναγνῶναι καὶ πρὸ ὥρας ἠξιῶσθαι τὴν ἀρχήν. ἴσως ὑφ' ἑτέρων
ὁμοίων, ὡς οἷόν τε πολυτελῶν ἀκροάσεων. ταῦτά τοι καὶ προμηθέ-
στερος φύλαξ αὐτός τέ εἰμι, καὶ σὲ παρακαλῶ τῶν φιλοσοφίας
ὀργίων εἶναι. ὅτι μὲν γὰρ Ερκουλιανῷ πρέποντα ταῦτα, ἐγὼ γινώ-
σκω. δεῖ δέ σε εἴπερ αὐτῇ φιλοσοφίᾳ γνησίως προσελήλυθας, ἀ-
φίστασθαι κοινωνίας τῆς πρὸς τοὺς ἀποτρόφους αὐτῆς, καὶ νοθεύ-
οντας τῇ μεταποιήσει τὸ ὑπέρσεμνον αὐτῆς. τὸν ἔφορόν σοι φιλί-
ας θεὸν, μὴ ἐξενέγκῃς πρός τινας τὴν ἐπιστολήν. εἰ γὰρ κινήσαις,
οἱ τῆς καλλίας χαρακτῆρες ἕξουσι λυπουμένους τοὺς ἐπιγινώ-
σκοντας, παρ' ἑαυτοῖς ἢ τοῖς αὐτῶν φίλοις τὰ εἰρημένα σύμβο-
λα. τὸ δὲ λυπεῖν, ἔστι μὲν ὅτε ἄῤῥεν. καὶ πρὸς τρόπον φιλοσοφί-
ας, ὅταν πρὸς παρόντας. τὸ δὲ ἐν γραφῇ περὶ τούτων, μικρο-
πρεπὲς δοκεῖ. ἀλλ' ἅπερ ἂν συνέσιος πρὸς αὐτὸν διαλεχθείη, ταῦ-
τα καὶ πρὸς τὴν τιμίαν σου κεφαλὴν, διαλέγεται, τοῦ μόνου φί-
λου, ἢ μετὰ δυοῖν μάλιστα φίλου. ὡς ἔμοι γε καὶ τὸ τῆς τριττύ-
ος ὑμῶν, οὐδὲν ἐστὶν ἀνθρώπινον τίμιον. προσκείμενος δὲ καὶ αὐτὸς,
τάχα συμπληρῶ τετρακτὺν ἱερᾶς φιλίας. ἀλλ' εὐφημείσθω τῆς
ἐν ἀρχαῖς ὁμωνύμου τετρακτύος ἡ φύσις. ἐν τῷ τετραδίῳ τῶν
ἰαμβείων, εὗρον ἐπὶ τέλους τοὺς δώδεκα στίχους γραφέντας ἅ-
μα ὡς ἓν ὂν ἐπίγραμμα. ἐπεὶ οὖν σε εἰκὸς ἔχειν αὐτοὺς, ἴσθι ὡς οὔ-
τε ἕν ἐστιν οὔτε ἑνός. ἀλλ' οἱ μὲν ὀκτὼ πρῶτοι μετ' ἐπιστήμης γρα-
φέντες κινητικῆς, μιγείσης ἕξεως ἀστρονομικῆς, εἰσὶ τοῦ σοῦ φί-
λου. οἱ δὲ τελευταῖοι τέσσαρες, ποιητικῆς εἰσι, τρυφώσης μόνον. τὸ

ἐστὶν ἀρχαῖον. ἡγοῦμαι δὲ ἀσεβέστερον ἀποθανόντων λόγους κλέπτειν ἢ θοιμάτια, ὃ καλεῖται, τυμβωρυχεῖν. ἐῤῥωμένως διαβιώης ἐν ἀγαθοῖς καὶ εὐλαβῶς φιλοσοφίας ἀντιποιούμενος. εἴκοσι τοι με σωεὶ ἡμέρας συντίθεμαί σοι περιμένειν σε. μεθ᾽ ἃς σὺν θεῷ τῆς ὁδοῦ ἕξομαι. τὸν ἀγαθώτατον ἑταῖρον, πλεῖστά μοι πρόσειπε. φιλῶ γὰρ αὐτὸν, διότι σε πάνυ φιλεῖ.

Τῷ αὐτῷ.

Φοιβάμμων ὁ τὴν ἐπιστολὴν ἐπιδιδοὺς, καὶ ἀνήρ ἐστιν ἀγαθὸς καὶ φίλος. καὶ ἀδικεῖται. διὰ πάντα οὖν αὐτῷ συλλαβέσθαι δίκαιος εἶ. καὶ δι᾽ ἡμᾶς. καὶ διὰ τὸν τρόπον. καὶ διὰ τὴν περίστασιν. τοῦτο μὲν οὕτω γινέσθω. καὶ γὰρ ἔοικε σφόδρα πιστεῦσαι τῇ πρὸς ἀλλήλους ἡμῶν εὐνοίᾳ. σοῦ γὰρ δεόμενος, ἐπ᾽ ἐμὲ κατέφυγε, τεθαῤῥηκὼς, ὅτι δι᾽ ἐμοῦ, σοῦ τεύξεται. καὶ ὑπεσχόμην αὐτῷ τὸν Ἑρκουλιανὸν, διὰ Συνεσίου. τὸ δὲ νικᾶν τοὺς λυποῦντας, δι᾽ Ἑρκουλιανοῦ τῆς ἱερᾶς καὶ τιμίας κεφαλῆς. περὶ τοῦ κόμητος ἐγεγράφεις δ᾽ ὑπὲρ ἐκείνου, λέγω δὲ τοῦ τυχόντος ἀρχῆς τῶν ἐν τῇ πατρίδι στρατιωτῶν. καὶ ᾔτεις συνθήματα παρ᾽ ἡμῶν, τοῦ γενέσθαι, παρὰ τῶν δυναμένων τοῦτο ποιεῖν τῶν φίλων, γράμματα πρός τε αὐτὸν καὶ πρὸς τὸν ὀρδινάριον ἄρχοντα. τὴν μὲν οὖν προαίρεσιν, ἀπεδεχόμην καὶ τότε. τὸ δὲ ἔργον, ὡς παρέλκον, ἠρνούμην γυμνὸν ἐμαυτὸν εἰς φιλοσοφίαν ἱστάς. νῦν δὲ ἀδικούμενοι φίλοι καὶ ἰδιῶται καὶ στρατιῶται, βιάζονταί με βούλεσθαι μεταποιεῖσθαι τῆς πολιτικῆς δυνάμεως. πρὸς ἣν ἀποπεφυκὼς, οἶδα. καὶ αὐτοί μοι τοῦτο συνίσασιν. ἀλλὰ βιάζονται σφῶν ἕνεκα, ποιεῖν τι καὶ ἀκούσιον. νῦν οὖν εἰ δοκοίη σοι τοῦτο ποιεῖν, ἐπιτρέπω. πρόσειπέ μοι τὸν ἱερὸν ἑταῖρον τὸν διάκονον. καὶ γυμναζέσθω πρὸς ἀνταγωνιστὴν ἱππέα. προσαγορεύει σε πᾶς μου ὁ οἶκος. προσγινομένου αὐτῷ νῦν

καὶ Ἰσίωνος. ὃν ἐπόθεις ἀπὸ διηγημάτων, ὃς αἴτιός μοι γέγονε, τῆς ἀ-
γεννοῦς καὶ ἀφιλοσόφου τῶν γραμμάτων αἰτήσεως. πρὸς τοὺς ἄρ-
χοντας, κατὰ δὲ ἦθος τὰ μὲν, αὐτοπρόσωπος ὑπὲρ πολλῶν, τὰ δὲ
διὰ τῶν ἐκόμισεν ἐπιστολῶν, καὶ οὗτος ὅπου σε μέχρι τῆς δημηγορουμένης
εἰκάδος περιμένει.

Τῷ αὐτῷ.

Ἱκέτης ἐμὸς ἐδραπέτευσεν· οὐ τῶν πατρῴων τῶν ἐμῶν,
ὁ οὐδὲ τῶν ἄλλως συντραφέντων ἐμοί. ἀγρογῆς γὰρ ἐλευ-
θερίου μεταχόντες, καὶ μικροῦ δέω λέγειν ὁμοτίμοις
ἀγόμενοι, φιλοῦσιν ὡς αἱρετὸν ἄρχοντα μᾶλλον, ἢ δεδίασιν ὡς νό-
μῳ δεσπότην. ἀλλ᾽ ὁ Φιλόρωμος, τοῦτο γὰρ ὄνομα τῷ δραπέτῃ, τῆς
ἀδελφιδῆς μου τῆς Ἀμελίου θυγατρὸς οἰκέτης ὢν, ἐμὸς γίνεται
δι᾽ ἐκείνης. τραφεὶς δὲ ἐκ μελλῆς καὶ ἀναγωγῆς φιλοσόφου καὶ λα-
κωνικὴν ἐπιστασίαν οὐκ ἤνεγκε. καὶ νῦν αὐτ᾽ ἐμοῦ δεσπότην εὑράμε-
νος Ἀλεξάνδρεια, περινοστεῖ μετ᾽ ἐκείνου τὴν Αἴγυπτον. Ἁρποκρα-
τίων τίς ἐστι τῶν ἡρακλειανοῦ δορυφόρων τάξιν ἔχων τῶν βοηθῶν βοη-
θῶν. ἡ γὰρ σου βαδίου βαλέξις, τοῦτο ἑρμηνεύειν πιστεύεται. τού-
τῳ συνέστιν ὁ φιλόρωμος. κἀγὼ τὸ μὲν, εἴασα ἄν, χαίρειν αὐτόν.
ποῦ γὰρ εὔλογον τὸν μὲν χείρω τῶν βελτιόνων μὴ δεῖσθαι. τοὺς
δὲ βελτίονας ὁμολογοῦντας εἶναι, δεῖσθαι τοῦ χείρονος. ἀλλ᾽ ἡ δέσποι-
να τοῦ κακοδαίμονος, οὔπω πείθεται πάνυ φιλοσοφεῖν, ὥστε κατα-
φρονεῖν τῶν οὐκ ἀντεχομένων. καὶ κατεδεήθη πολλὰ σταλῆναι τοὺς
ἐπανάξοντας αὐτόν. ὑπέστη δὲ τὴν ὑπηρεσίαν αὐθαίρετος ὁ σύσκη-
νος ἡμῶν Ἀφθαλῆς ὃν ἐγὼ θεῷ τε ἡγεμόνι θαῤῥῶν ἔστειλα, καὶ
ἀνθρωπίνην ἐπικουρίαν ὑποσχόμενος, τὴν παρὰ σοῦ. ἔχει σοι τὴν
ἐπιστολὴν

ἐπιστολὴν ἐπιδοθῆναι. τὰ δὲ ἐντεῦθεν, ἐπειδὴ παρείληφας τὴν ὑπόθεσιν, θεῷ καὶ αὐτῷ σοι καὶ ἀδελφοῖς μελήσει.

Τῷ αὐτῷ.

Ἐπιθυμήσας ἀρρενῶσαι τὴν ἱεράν σου ψυχὴν τῷ δι᾽ ἐπιστολῶν ἐπιπλῆξαι τι σφοδρῶς καὶ εἰς τὴν συντυχίαν ἡμῶν συστάσεως, πολλῷ πρότερον ὑπὸ τοῦ κατακλυσμοῦ τῶν ἐν ταῖς ἐπιστολαῖς ἰύγγων, αὐτὸς ἐθηλύνθην. καὶ εἰμὶ νῦν τοιοῦτος, ὁποῖον σοι τυγχάνοντι πρότερον ἐνεκάλουν. ἆρ᾽ οὖν ἀγαθῶν μοι μεγάλων αἴτιος ὁ θαυμάσιος Ἑρκουλιανός, οὕτω τὴν ἐμὴν ψυχὴν αὐτῆς τήσας ἑαυτοῦ, καὶ καταβιβάσας τοῦ φιλοσόφου ἀξιώματος; ἐγὼ μὲν οὐ δι᾽ ἄλλο τι τὰς σειρῆνας ὑπὸ τῶν ποιητῶν ἡγοῦμαι βλασφημεῖσθαι, ἢ ὅτι τῷ μελιχρῷ τῆς φωνῆς ἀπόλλυον προσαγόμεναι τὸν πιστεύσαντα. ἤκουσα δέ του τῶν σοφῶν, καὶ ἀλληγοροῦντος τὸν μῦθον. σειρῆνας γὰρ αὐτὰς αἰνίττεσθαι τὰς ἀπολαυστικὰς ἡδονάς. αἳ τοὺς ἕξαντας καὶ καταγοητευθέντας αὐτῶν τῷ προσηνεῖ, μετὰ μικρὸν ἀπολλύουσι. τί οὖν ἀποδέουσιν εἶναι σειρῆνες, αἱ τῶν σῶν ἐπιστολῶν ἡδοναί. ὑφ᾽ ὧν ἐγὼ τὸ ἐμβριθὲς ἀφείς, ὅλος Ἑρκουλιανοῦ γέγονα. μάρτυς θεός, οὐ νόμῳ τοῦ γράφειν, αὐτὰ ἄλλου τοὺς περὶ τούτου πεποίημαι λόγους, ἵν᾽ ὑπόθεσιν ἔχω γραμμάτων. ἀλλὰ τῶν παρ᾽ Οὐρσικίνου δοθεισῶν ἐπιστολῶν, ἦσαν δὲ τρεῖς, ἡ μέση κατὰ τὸ μέγεθος ἐμβιόντι ψυχῆς πάθος ἐνέσταξέ μοι κομίσασα. καὶ γέγονα καὶ ἐν τοῖς γράμμασι κολακείας ἥττων τοσοῦτον, ὅσον αἰσχύνεσθαι. τὸν ἀδελφὸν Κῦρον ἔδει κομίσασθαι παρὰ σοῦ γράμματα περὶ ὧν ἐδήλωσας διὰ τὸν ἐκ Πενταπόλεως κόμητα. εἰ χαίρειν μὲν ἔχω τῇ προαιρέσει τοῦ συστήσαντος. ἐπελάθου δὲ ὅτι φιλοσοφεῖν πειρῶμαι, καὶ μικρὸν ἡγοῦμαι τιμὴν ἅπασαν, εἰ μὴ τὴν φιλοσοφίας

δέομαι οὖν διὰ τὸν θεὸν οὐδέν, οὔτε γὰρ ἀδικοῦμεν· οὔτε ἀδικούμεθα. τὸ δὴ τοιοῦτον, ἐκείνῳ μὲν ὑπὲρ ἡμῶν ἔπρεπε ποιεῖν. ἡμῖν δὲ αἰτεῖν, οὐ πρέπον. οὐ γὰρ ἔδει ζητεῖν ἐπιστολάς, αἰτεῖν ἔδει πρὸς ἐμὲ γενέσθαι. οὕτω γὰρ ἂν ἐτιμήθην, οὐχ ὑπὲρ ἡμῶν πρὸς ἑτέρους. ἐῤῥωμένως. εὐθυμῶν διαβιώης, φιλοσοφίαν ἀδολωτάτην μετιών. πᾶσα ὁ μοῦσε ἡ οἰκία, μάρτυς θεός, καὶ παῖδες, καὶ γέροντες, καὶ γυναῖκες, προσαγορεύουσιν. ἴσως δ᾽ ἂν αὐτὸς καὶ φιλοφρονουμένας τὰς γυναῖκας, μισοίης. ἰδοὺ τί πεποίηκας· ἐν ὁδῷ με ὄντα, ἀπρὶξ λαβόμενος κατέχεις. ἦσαν ἄρα αἰγύπτιοι φαρμακεῖς, καὶ οὐ πάντα Ὅμηρος ψεύδεται, ὅτε καὶ αὐτὸς ἰύγγων πλήρεις ἐπιστολὰς ἐκπέμπεις ἀπ᾽ Αἰγύπτου. Ἑλένη μὲν οὖν τὸ λαθικηδὲς φάρμακον Πολυδάμνα πόρε Θῶνος παράκοιτις. σοὶ δὲ τίς τὸ ἀνιαρὸν δέδωκεν, ᾧ χρίσας ἔπεμψας τὴν ἐπιστολήν.

Ἰωάννῃ.

Οἶμαί σε καὶ πρὸ εὐχῆς εὖ πράττειν, ὅστις ἀφεὶς τοὺς ἀνθρώπους ἡμᾶς ἅτης ἐν λειμῶνι κατὰ σκότον ἠλάσκοντας, καὶ ταῖς χθονίαις ἐγκαλινδουμένους φροντίσιν, αὐτὸς ὑπὲρ ταύτας στήσας σαυτόν, ἀνεχώρησας, ἔτι δεῦρο ὤν, καὶ μακαρίας ἥψω ζωῆς, εἰ μὴ φίλος ὢν Γάνος ἐν τῷ λέγειν καὶ διαγγέλλειν τὰ σὰ πρὸς ἡμᾶς, οἴεται δεῖν τι καὶ ψεύδεσθαι. δεινὸν γὰρ ἡ εὔνοια, κλέψαι τὴν ἀλήθειαν. οὗτος οὖν ὁ Γάνος ἐπεφήμισέ σοι τὸν μονήρη βίον· καὶ πρόφασιν τῆς εἰς τὴν πόλιν εἰσόδου, βιβλία τε νοῶν αὐτῶν ὅσοις εἰς θεολογίαν τείνει. καὶ φαιὸν τριβώνιον ἀμπέχεσθαί σε φησίν. οὐδὲν μὲν ἦν μεῖον, εἰ καὶ λευκὸν ἦν. τῇ γὰρ φανωτάτῃ φύσει, μᾶλλον ἀνακείμενον εἴη τὸ ἐν τοῖς αἰσθητοῖς καθαρὸν καὶ φωτοειδέστερον. εἰ δὲ καὶ τὸ μέλαν ἐπῄνεσας, ἐπειδὴ ζήλῳ τινῶν προλαβόντων ἐποίησας, ἐπαινῶ πάντων τὸ

ἐπὶ

ἐπὶ τῷ θεῷ γινόμενον. τὸ γὰρ οὗ χάριν γίνεται, δίδωσι κατορθοῦν τῷ ποιοῦντι. καὶ ἡ προαίρεσις ἔχει τὴν ἀρετήν. ἡμεῖς μὲν οὖν σοι συνηδόμεθα, χαίρε δ' ἀνύσαντι τὸ τέλος, ὅπερ ἡμεῖς πάλαι σὺν τό-νῳ μόλις θυροκοποῦμεν. σὺ δὲ ἡμῖν συνεύξαι, φθάσαι ποτὲ καὶ αὐτοῖς, καὶ εὑρέσθαι τι κέρδος ἀπὸ τῆς ἐν φιλοσοφίᾳ μερίμνης, ἵνα μὴ τηνάλλως ὦμεν κατατετριφότες πρὸς τοῖς βιβλίοις, τὸν βίον. ἐῤῥωμένως. εὐδαιμονῶν διαβιώης θαυμάσιε. Ἰωάννῃ.

α. Πέλιπον τὴν τάξιν τῶν φόρων. τί γὰρ ἦν ποιεῖν, οὐδενὸς ἑλλήνων τῶν τὴν λιβύην ἐπῳκηκότων θέλοντος εἰς τὴν περὶ ἡμᾶς θάλατταν ἐκπέμπειν ὁλκάδας. καὶ σὲ δὲ ἀφίημι τῆς συντάξεως. οὐδὲ γὰρ σύροις ἐπιμελὲς κατάρξιν εἰς τὰ κυρηναίων ἐπίνεια. λάθοι δ' ἄν με τοῦτό ποτε καὶ γινόμενον. οὐ γὰρ εἰμὶ γείτων θαλάττης· οὐδ' ἐξαλιμενίζω συχνά. ἀγανώκισμαι πρὸς νότον ἀνέμου κυρηναίων ἔσχατος. ᾧ γείτονες ἡμῖν εἰσιν. οἵους Ὀδυσσεὺς κατὰ τὴν ἰθάκην, τὸ πηδάλιον ἔχων ἐζήτει, μῆνιν ποσειδῶνος ἐκ τοῦ χρησμοῦ περαιτούμενος. οἳ οὐκ ἴσασι θάλασσαν ἀνέρες. οὐδὲ θαλάσσῃ μεμιγμένον εἶδαρ ἔδουσιν. ἀλλὰ μὴ λόγον ἄλλως οἰηθῇς, τὸ μηδὲ μέχρις ἁλῶν τοὺς δεῦρο κεχρῆσθαι θαλάττῃ, μήτε μὴν ἄναλα, διὰ τοῦτο κατεσθίειν ἤγουν τὰ κρέα τε καὶ τὰ σπέρματα. εἰσὶ νὴ τὴν ἱερὰν ἑστίαν, εἰσὶν ἠπειρῶται παρ' ἡμῖν ἅλες, ἀπέχοντες πρὸς νότον ἔλαττον, ἢ πρὸς ἀπαρκτίαν ἡ θάλαττα. τούτους ἀμμωνιακοὺς καλοῦμεν τοὺς ἅλας. πέτρα δὲ αὐτοὺς ψαφαρὰ καὶ ξίφει καὶ κρύπτει· ἣν ὅταν ἀφέλῃς ἐπιβεβλημένην ὥσπερ ἐφελκίδα, ῥᾳστώνη πολλὴ ταῖς χερσὶ καὶ σκαλίσιν ἀροῦν τὸ βάθος. τὸ δ' ἀναχωννύμενον, ἅλες εἰσίν, ἰδεῖν τε ἡδεῖς, καὶ γεύσασθαι τὴν ἄλλην ἡδονήν. ἀλλ' οὔπως μὴ σοφιστικὴν ἀπειροκαλίαν οἰηθῇς τὸ ἐπεξελθεῖν τῶν ἐπι-

χωρίον ἁλῶν τῷ διηγήματι. ἥκιστα γὰρ τοῖς ἀγροδιαίτοις ἡμῖν προσπελάζει τὸ φιλότιμον πάθος. ἀλλὰ σὺ γὰρ ἀπαιτεῖς ἕκαστα παρ' ἡμῶν, τὰ περὶ ἡμῶν εἰδέναι. ἀνέχου τοίνυν ἀδολεσχούσης ἐπιστολῆς, ἵνα καὶ τῆς ἀκαίρου πολυπραγμοσύνης δῷς δίκην. ἅμα δὲ καὶ χαλεπὸν εἰς πίστιν τὸ ἑκάστοις ἄτροφον. οὐ φαῦλον οὖν ἔργον οὗρον ἀναπεῖσαι περὶ χερσαίων ἁλῶν, ἐπεὶ καὶ δεῦρο πράγματα ἔχω, περὶ νεῶν καὶ ἱστίων καὶ θαλάττης ἀνακρινόμενος, οἷα δὴ ὡς ἐγὼ καὶ φιλοσοφῶν ποτὲ ἅμα ὑμῖν, ἐθεασάμην τὸ χρῆμα τοῦτο τὴν θάλασσαν. ἢ πρὸς Φάρῳ. ἢ πρὸς Κανώβῳ, τὴν μεγάλην λίμνην τὴν λαμυράν. καὶ εἵλκετο ναῦς. καὶ ἀνήγετο πρὸς οὖρον αὕτη. καί πως ἐκείνη. ἐπελάττετο οὖν εἰκάσαντος αὐτὴν ἐμοῦ ζώῳ πολύποδι. οἱ δὲ, διαπεφεύγασι τὰς γνώμας, ὥσπερ ἡμεῖς ὅταν ὑπὲρ τῆς ἐπέκεινα θούλης ἀκούωμεν, ἥτις ποτέ ἐστιν ἡ θούλη, διδοῦσα τοῖς διαβᾶσιν αὐτὴν ἀνεύθυνα καὶ ἀνέγκλητα ψεύδεσθαι. ἀλλ' οὗτοί γε κἂν προσίωνται ποτὲ τὰ περὶ τῶν νεῶν, ἢ δόξωσιν ἐκεῖνο γελᾶν, ἀνακρατοῦς ἀπιστοῦσιν, ὅτι δύναται τρέφειν ἀνθρώπους καὶ θάλαττα. τοῦτο γὰρ μόνην ἔχειν ἀξιοῦσι τὴν μητέρα γῆν τὸ πρεσβεῖον. ἐγὼ δέ ποτε αὐτοῖς ἀναδύουσι πρὸς τὰ περὶ ἰχθύων, ἀναλαβὼν ἢ προσαρράξας πέτρῳ τινὶ κέραμον, ἔδειξα τῶν αἰγυπτίου ταρίχους συχνά. οἱ δὲ, ὄφεων πονηρῶν ἔφασαν εἶναι σώματα. καὶ ἀναθοροῦντες ἔφευγον, τὰς ἀκάνθας ὑποπτεύοντες, ὡς οὐδὲν ἠπιωτέρας, τὸ διὰ τῶν ὀδόντων φαρμάκου. καὶ ἔφη τις ὁ γεραίτατος, καὶ ἐν τῇ δόξῃ φρενῶν ἐπηβολώτατος, χολὴ γοῦν περὶ ὕδατι πις, ἀλυκοῦ πιστεῦσαι καλόν τι αὐτὸ ἐντρέφεσθαι καὶ ἐδώδιμον, τῶν πηγαίων, τῶν ἀγαθῶν καὶ τιμίων ναμάτων, βατράχους καὶ βδέλλας γεννώντων ὧν οὐδ' ἂν ὁ μαινόμενος γεύσαιτο καὶ εἰκότα γε ἀγνοοῦσιν. οὐ γὰρ σφᾶς ἐκινητὸς

ἔτι

ἐγείρει κῦμα ἐπιθρῶσκον πελάγους. ἀλλ' ἵππων χρεμετισμοί. καὶ
μηκάζον αἰπόλιον. καὶ προβατίων βληχή. καὶ ταύρου μύκημα. πρωΐ-
της δὲ ἀκτῖνος ἐπιβαλούσης, τῶν μελιττῶν ὁ βόμβος, εἰς ἡδονῆς
λόγον οὐδεμιᾶς παραχωρῶν μουσικῆς. μήτοι σοι δοκοῦμεν ἐκδιηγεῖ-
σθαι τὰς ἀτεμαύχου, τοιοῦτον οἰκοῦντες ἀγρὸν πόρρω πόλεως, καὶ
ὄχλων καὶ ἐμπορείας. καὶ τρόπων ποικίλων; ἡμῖν γὰρ ἔστι σχολὴ μὲν
φιλοσοφεῖν. ἀσχολία δὲ κακουργεῖν. σύνοδοι δὲ πᾶσαι πᾶσιν ἑται-
ρικαί, χρωμένων ἀλλήλοις ἐπὶ γεωργίαν. ἐπὶ ποίμνας. ἐπὶ ποι-
μένας. ἐπὶ θήραν ὧν ἡ γῆ φέρει παντοδαπήν. οὐδὲ γὰρ νόμος ἡ-
μῖν, οὔ ταῦτοις, οὔθ' ἵπποις, ἀνιδρωτὶ σῖτον αἱρεῖσθαι. ἀρεστῶ μὲν δὲ
ἐπ' ἀλφίτοις. ἡδίστοις μὲν ἐμφαγεῖν. ἡδίστοις δὲ ἐμπιεῖν. ἃ καὶ τῷ
Νέστορι κίρνησιν Ἑκαμήδη μετὰ τὸν κόπον ἰσχυρὸν ὀκνηρεῶν τοῦ θε-
ρινῆς ὥρας ἀλέξημα. καὶ μὴν ἔστιν ἡμῖν καὶ πύελνα πέμματα. καὶ ζῷα
τὰ ἀκροδρύων, τὰ μὲν, ἥμερα. τὰ δ' ἄγρια. πάντα ἐγχώρια, γῆς
ἀρίστης χυμοί. καὶ κηρία μελιττῶν, καὶ γάλα δὲ αἰγῶν. οὐ γὰρ νο-
μίζομεν βοῦς ἀμέλγειν. ποιεῖ δὲ οὐκ ἐλάττω τὴν ἀφθονίαν ἐν
ταῖς τραπέζαις, καὶ ἡ διὰ τῶν κυνῶν καὶ τῶν ἵππων θήρα. ἣν οὐκ οἶδα
πῶς ὁ προσεῖπεν Ὅμηρος κυδιάνειραν. οὐδὲ ἀεὶ πρεπέας ἔφη τοὺς
ἄνδρας, ἐν αὐτῇ γίνεσθαι. τὴν δ' ἀγορὰν ἐγκωμίῳ τοιούτῳ τετίμη-
κεν, ἀνθρώπια παρεχομένην, ἀναιδῆ καὶ παμπόνηρα. καὶ οὐδὲν ὑ-
γιές. ἀλλὰ λοίδορα, καὶ κακορραφεῖν εἰδότα. ἐφ' οἷς καὶ γελῶμεν
ἡμεῖς ὅταν ποτε ἡμῖν ὁμόρροφα γένηται. φείδονται γάρ τοι πρὸς
τὰ ἐκ τῶν καμίνων κρέα τὰ θήρεια. καὶ τί λέγω τὰ θήρεια. φαρμάκου
γὰρ αὖ θᾶττον, ἢ τούτων παρ' ἡμῖν γεύσαιντο. ζητοῦσι δὲ οἶνον μὲν τὸν
λεπτότατον. μέλι δὲ τὸ παχύτατον. καὶ ἔλαιον μὲν τὸ κουφότα-
τον. πυρὸν δὲ τὸν βαρύτατον. καὶ πατρίδας αὐτῶν ὑμνοῦσι κύ-

προν καὶ ὑμήττιόν τινα. καὶ Φοίνικα. καὶ βάρβαρον. ἡμῖν δὲ ἡ χώρα καὶ εἰ καθ᾽ ἑκάστης ἥττηται, τῆς τὸ ἄκρον φερούσης, τοῖς λοιποῖς ἑκάστην νικᾷ. καὶ τοῦτ᾽ ἔστι τὸ ἐκ δευτέρων πρωτεῖον. ὃ καὶ Γέλων καὶ Θεμιστοκλῆς φερόμενοι, πάντα πάντων ἄριστοι τοῖς ἕλλησιν ἐκηρύχθησαν. εἰ δὲ δὴ καὶ δοκοίημεν τὸ δευρομέλι χεῖρον εἶναι πρὸς τὸ ὑμήττιον, ἀλλὰ τοιοῦτόν ἐστιν, οἷον παρόντος, οὐδὲν δεῖν τοῦ ξενικοῦ χυμοῦ. ἔλαιον μέντοι σαφῶς τὸ ἡμεδαπὸν ἄριστον, ἢν μὴ κρίνωσιν οἱ διεφθορότες τὴν αἴσθησιν. ἐκεῖνοι μὲν γὰρ αὐτὸ, ζυγοστατοῦσι, ῥοπῇ τὴν ἀρετὴν ἐξετάζοντες. ὃ τὸ μεταγωγοῦν, ἐν πλεονεκτήματος μοίρᾳ λογίζονται. ἡμῖν δὲ οὐ χαλκεύονται μὲν ἐπὶ τοὔλαιον τάλαντα. φαμὲν δὲ ἐπ᾽ αὐτὸ δεῖν κρίνειν, φύσιν εἶναι τὸ πλέον ἔλαιον τιμᾶν. ἀμέλει τὸ θαυμαστὸν αὐτοῖς καὶ ὤνιον ἔλαιον, ἐν τοῖς θρυαλλίσιν, ὑπ᾽ οὐδενείας ἀδυνατεῖ θρέψαι φλόγα. τὸ δὲ αὐτόχθον, ὑπὸ γενναιότητος πυρκαϊὰν ὅλην ἀνίστησι. καὶ ἐπειδὰν λύχνου δέοι, χειροποίητον ἡμέραν ποιεῖ. ἀγαθὸν δὲ λιπῆναι μᾶζαν. ἀγαθὸν δὲ σωμασκοῦσι θρέψαι νεῦρα. ἡμῖν δὲ καὶ τὸ μουσικῆς χρῆμα ἐπιχώριον ὡς οὐδὲν ἄλλο. καὶ ἔστιν ἄγαμα χρηστοῖς λυριόντι ποιμενικὸν λιτὸν καὶ αὐτόσκευον, εὔφημόν τε καὶ ἄρρεν ἐπιεικῶς, οὐκ ἀνάξιον τοὺς ἐν τῇ Πλάτωνος πόλει παῖδας ἐκτρέφειν. ὡς ὁ λόγος ζῇ τοῦτο. τὴν ἀρετὴν ἔχει τὸ παμφανῶς ἡρμόσθαι. περὶ δὲ ἁπλῶς τῶν χορδῶν, συμβαίνουσιν οἱ προσᾴδοντες. ὃ γὰρ ἐπιτίθενται ῥυθμώσαις ὑποθέσεσιν, ἀλλ᾽ ἔστιν ἡμῖν καλόν τι χρῆμα ᾠδῆς, ἔπαινος ἐνόρχου κριοῦ. ἢ ὁ μέσουρος κύων, ἐγκωμίου τυγχάνει. ὅτι οἶμαι δὴ καὶ ὅδε εἰς τὰς ὕαινας οὐκ ὀρρωδῶν, λαρυγγίζων τοὺς λύκους. ὁ κυνηγέτης οὐχ ἥκιστα ᾄδεται, τοῖς κατανομαῖς εἰρήνην ποιῶν. καὶ εὐχῶν ἡμᾶς, πανδαισίας κρεῶν. ἢ, τεθυμένος ὄϊς, οὐκ ἀπαξιοῦται τῆς

λύρας

λύρας, ὅτι πλείω τῶν ἐτῶν ἐκτρέφεται ἔκγονα. τὴν δὲ κραδίην θαμὰ καὶ τὴν ἄμπελον ἐντείναντες τἄλλα μὲν, οὐδὲν δὲ ὅσον εὐχαί τινος. ἔτι τε ᾄσματα, καὶ αἰτήσεις ἀγαθῶν ἀνθρώποις. καὶ φυτοῖς. καὶ βοτοῖς. ταῦτά σοι καὶ τὰ τοιαῦτα, παρ' ἡμῖν ὡραῖα ἀρχαῖα καὶ πενήτων ἀγαθά. βασιλεὺς δὲ καὶ βασιλέως φίλοι καὶ δαίμονος ὄρχησις, οἷα δὴ συνιόντες ἀκούομεν, ὀνόματά τινα καθάπερ αἱ φλόγες ἐπὶ μέγα τῆς δόξης ἐξαπτόμενα καὶ σβεννύμενα, ταῦτα δεῦρο ἐπιεικῶς σιγᾶται. καὶ σχολὴ ταῖς ἀκοαῖς τοιούτων ἀκροαμάτων. ἐπεὶ καὶ βασιλεὺς, ὅτι μὲν ζῇ ἀεὶ, τοῦτ' ἴσως ἐπίσταται σαφῶς. ὑπομιμνήσκονται γὰρ ἅπαν κατ' ἔτος ὑπὸ τῶν ἐκλεγόντων τοὺς φόρους. ὅστις δὲ οὗτός ἐστιν, οὐ μάλα ἔτι τοῦτο σαφῶς. ἀλλ' εἰσί τινες ἐν ἡμῖν, οἳ μέχρι καὶ νῦν Ἀγαμέμνονα κρατεῖν ἡγοῦνται τὸν Ἀτρείδην, τὸν ἐπὶ Τροίαν. τὸν μάλα καλόν τε καὶ ἀγαθόν. τοῦτο γὰρ παιδόθεν ἡμῖν ὡς βασιλικὸν παραδέδοται τοὔνομα. καὶ Ὀδυσσέα τινὰ φίλον αὐτοῦ ὀνομάζουσιν οἱ χρηστοὶ βουκόλοι, φαλακρὸν μὲν ἄνθρωπον. ἀλλὰ δεινὸν ὁμιλῆσαι πράγμασι καὶ πόρους ἐν ἀμηχάνοις εὑρεῖν. ἀμέλει γελῶσιν, ὅταν περὶ αὐτοῦ λέγωσιν ἡγούμενοι πέρυσιν ἐκτετυφλῶσθαι τὸν κύκλωπα, καὶ ὡς εἵλκετο μὲν ὑπὸ τῷ κριῷ τὸ γερόντιον. τὸ δὲ κάθαρμα τὴν θύραν ἐπῄρει, καὶ οὐ ῥᾳγεῖν ᾤετο τὸν ἡγεμόνα τῆς ποίμνης, οὐκ ἀχθόμενον τῷ φορτίῳ. τῇ δὲ αὐτοῦ συμφορᾷ συναχθόμενον. ἐγένετο βραχύ τι διὰ τὴν ἐπιστολῆς μεθ' ἡμῶν τῇ συνώμῃ. τεθέαται τὸν ἀγρόν. εἶδες ἀπολόην πολιτευμάτων. τὸν ἐπὶ νῶε βίον ἐρεῖς, πρὶν γενέσθαι τὴν δίκην ἐνδουλεία.

Τῷ αὐτῷ.

ε β Μὴν ἀεὶ καὶ ἀπὼν, ἐπιδημεῖς τῇ μνήμῃ. καὶ γὰρ οὐδ' ἂν εἰ πάνυ βουληθείημεν ἐπιλαθέσθαι, δυνάμεθα. τῆς γλυκυ

τά τῆς σοῦ ψυχῆς καὶ τῶν ἀδουλώτων ἠθῶν ἀδελφὲ διὰ πάντων θαυμάσιε, ὡς οὐδὲν ἂν ἐν ἡμῖν γένοιτο τῆς περὶ σὲ μνήμης ἱερώτερον ἢ τὸ πάλιν περιπτύξασθαι τὴν σεβασμίαν σου κεφαλήν. ὃ δοίη γε ποτὲ θεὸς, καὶ ἴδοιμέν σε. καὶ ἀκούσαιμέν σου τῶν ἡδίστων λόγων ἤχους. ἥσσας δὲ ἡμᾶς καὶ οἷς ἀπέστειλας. ἅπαντα γὰρ ἐκομισάμεθα. ἔλθοι δή ποτε καὶ συντυχίας καιρὸς ἐν ᾧ εὐτυχήσαιμι τοῦτο παρὰ θεοῦ.

Πυλαιμένει.

ὀ Υδὲ τὴν σὴν ἡράκλειαν ἀνήκοον οἶμαι γεγονέναι τοῦ παρ' ἡμῖν φιλοσοφήσαντος Ἀλεξάνδρου. ἀνδρὸς ἅπαντα χρόνον διαβάντος μετὰ δόξης. κοῦφος ἀνὴρ, ὃς ἡρακλεῖ σῶμα μὴ περιβάλῃ. τούτου παῖς, ἐμὸς ἀνεψιὸς, ἐπιδώσει σοι τὴν ἐπιστολήν, τὸν πατρῷον ζῆλον ὑπεισελθὼν, οὐ διὰ τῆς στολῆς. ἀλλὰ διὰ τῆς γνώμης. στέλλεται οὖν ἐπὶ πονηροὺς ἄνδρας, τὸν ἡρακλειον τρόπον ἐκκαθαίρων αὐτῶν τὴν πατρίδα. θεοῦ δὲ ἔδει δήπου καὶ Ἡρακλέους. οὐ μὴν ἀλλὰ καὶ Ἰόλεω συμμάχου καὶ παραστάτου. οὐκοῦν τὸν μὲν θεὸν ἑαυτοῦ ποιεῖται τὸν ἐνόντα τρόπον. καὶ προσκλινὲς βίου τε ἀρετῇ καὶ γνώμης εὐσεβείᾳ. τὴν δὲ σὴν φιλίαν, ἀντὶ τοῦ Ἰόλεω μνηστευόμεθα ἡμεῖς αὐτῷ διὰ τῆς ἐπιστολῆς. συνέσῃ δὲ τοσοῦτον αὐτῷ, ὅσον ἡμῖν. κἂν χρήσῃ τῇ φιλίᾳ τοῦ νεανίσκου, πάντως ἐρεῖς οὐ φαῦλον ἐπαινέτην ἐμέ.

Τῷ αὐτῷ.

ἆ Ρά μοι μέγας φιλόσοφος; ἆρα ἐκεῖνος ὃν ἀπολέλοιπα, Πυλαιμένης, ἡ νεοτελὴς ψυχὴ, τὸ σπέρμα τὸ θεῖον; φοβοῦμαι τὸν χρόνον τὸν ἀπὸ γενέσεως. πλεῖον φοβοῦμαι τὴν ὁμιλίαν τῆς ἀγορᾶς, τὸ ἐνδιαλινδεῖσθαι συχναῖς ἤδη τύχαις καὶ πράξεσι, μὴ μολύνῃ τὸν ἀγνώτατον νεών. τὸν νοῦν σου, τὸν ἱερὸν, ὃν ἐγὼ μετ' ὀλίγων ἀ-

ξιώτατοι

ξιώτατον ἡγοῦμαι δεῖγμα θεοῦ. εὖ οἶδα μέν τοι συνοργιάσουσί σοι τὰ φιλοσοφίας εὐχήν τε ποιησόμενος. ἐπεὶ δ᾽ οὖν κρείττων ὁ τῆς πατρίδος ἔρως ἐγένετο, εὔξομαι ὅπου ποτ᾽ ἐστὶν εἰκὸς, φιλοσοφίαν ἐργάζεσθαί σε κατὰ δύναμιν. τοιγαροῦν ἀσπάζομαι τὴν φίλην κεφαλὴν, καὶ πάνυ πολλάκις ἀσπάζομαι τὴν φίλην κεφαλὴν. καὶ σιγῶν, καὶ λέγων, καὶ γράφων. καὶ μὴ γράφων.

Τῷ αὐτῷ.

ὁ Ιου με περὶ τῆς ὑπατείας Πυλαιμένους αὐτὴν τὴν ψυχὴν, αὐτῇ τῇ ψυχῇ ἀπορῶ λόγων οἷς ἐκχέοιτο, ὅσον ἐστὶ τῆς γνώμης μετὰ τὸ βουλόμενον. μᾶλλον δὲ οὐδὲ αὐτὸ τὸ πάθος, ὅ τι ποτέ ἐστι τὸ περὶ σέ μου τῆς ψυχῆς ἐξενέγκοιμι. ἐγένετο δέ τις ἀνὴρ δεινὸς τὰ ἐρωτικά. Πλάτων ὁ Ἀρίστωνος Ἀθηναῖος. εὔπορος εὑρεῖν. εὔκολος εἰπεῖν, ἐρασιοῦ φύσιν. εὖ δὴ, καὶ ὅ, τι αὐτῷ γενέσθαι περὶ τὰ παιδικὰ βούλεται. ἢ ὑπὲρ ἐμοῦ τοίνυν ἐξευρηκώς τε ἔστω, καὶ εἰρηκώς. βούλοιτ᾽ ἂν οὖν φησιν Ἡφαίστου τέχνῃ συντακῆναί τε καὶ συμφῦναι. καὶ ἓν ἄμφω γενέσθαι.

Τῷ αὐτῷ.

ε Ιετοις ἡμῖν ἀφικνεῖται παρὰ σοῦ γράμματα, ὥσπερ καὶ τοῦτο ὡρῶν φερουσῶν. ἐμοὶ μὲν οὖν ἴσως καρπὸς ἥδιον οὗτος, ἢ ὃν ἐκτρέφουσι μηνῶν κύκλοι καὶ γεωργοί. σὺ δὲ οὐκ ἂν εἰκότα ποιοίης, τῆς ἐπὶ τούτοις ἡμᾶς εὐφροσύνης ἀποστερῶν. ἀλλὰ μετάθου τὴν γνώμην. εὖ ποίησον ἡμῖν τὸ γοῦν τῆτες εὐετηρίαν ἐπιστολῶν.

Τῇ φιλοσόφῳ.

τ Ητες ἐξήνεγκα δύο βιβλία τὸ μὲν, ὑπὸ θεοῦ κινηθεὶς, τὸ δὲ, ὑπὸ λοιδορίας ἀνθρώπων. καὶ γὰρ τῶν ἐν λευκοῖς ἔνιοι τρίβωσι καὶ τῶν ἐν φαιοῖς, ἔφασάν με παρανομεῖν εἰς φιλοσοφίαν, ἐπεί

οὗτοι κάλλους ἐν λέξεσι καὶ ῥυθμοῦ, καὶ περὶ ὁμήρου τί λέγειν ἄξιο ὄντα, καὶ τῶν ἐν τοῖς ῥητορείοις σχημάτων, ὥς δὴ τὸν φιλόσοφον μισολόγον εἶναι προσήκειν, καὶ μόνα περιεργάζεσθαι τὰ δαιμόνια πράγματα. καὶ αὐτοὶ μὲν θεωροὶ τοῦ νοητοῦ γεγονότες, ἐμὲ δὲ οὐ θέμις, διότι νέμω τινὰ σχολὴν ἐκ τοῦ βίου. τῷ καὶ τὴν γλῶτταν καθήρασθαι, καὶ τὴν γνώμην, ἡδίω γενέσθαι. ἐνῆγε δὲ αὐτοὺς πρὸς τὸ καταδικάσαι μου πρὸς μόνην παιδείαν ἐπιτήδειον εἶναι, τὸ τὰς κυνηγετικὰς ἐκ τῆς οἰκίας οὐκ οἶδ᾽ ὅπως διαρρυείσας, σπουδασθῆναι διαφερόντως ὑπὸ νεανίσκων ἐνίων, οἷς ἑλληνισμοῦ τε καὶ χάριτος ἔμελε, καί τινα τῶν ἐκ ποιητικῆς, ἐπιμελῶς ἔχοντα· καὶ παραδεικνύντα τι τῆς ἀρχαίας χειρός, ὅπερ ἐπὶ τῶν ἀνδριάντων λέγειν εἰώθασι μὲν. ἀλλ᾽ ἐκείνων οἱ μὲν, ἀμαθίας ἡγουμένης τοῦ θράσους, προχειρότατοι πάντων εἰσὶ περὶ τοῦ θεοῦ διαλέγεσθαι. οἷς ἂν ἐντύχῃς, εὐθὺς ἀκούσῃ τινὰ περὶ τῶν ἀσυλλογίστων συλλογισμῶν, καὶ μὴ δεομένων ἐπαντλοῦσι τῶν λόγων, ἰδία τι δοκῶ μοι διαφέρον αὐτοῖς. ἀπὸ γὰρ τούτων ἐν ταῖς πόλεσιν οἱ δημοδιδάσκαλοι γίνονται, ὃ τοιγὰρ δεῖ καὶ τὸ κέρας τῆς ἀμαλθείας, ᾧ οὗτοί γε δεῖν οἴονται χρῆσθαι. ἐπιγνώσεις οἶμαι τὸ φῦλον τοῦτο τὸ ῥᾴδιον, ὃ διαβάλλει γενναίαν ὑπόθεσιν, οὗτοί με μαθητιᾶν ἑαυτοῖς ἀξιοῦσι. καὶ φασὶν ἀποφαίνειν ἐν τῷ ὀλίγου τὰ περὶ θεοῦ παντολμότατον, ἡμέρας ἓξ ἢ καὶ μύητας ἀγορεύειν δυνάμενον. ἅτεροι δὲ, οἱ κάλλιον ἠσθημένοι παραπολὺ τούτων εἰσὶ κακοδαιμονέστεροι σοφισταί. καὶ βούλοιντο μὲν ἂν ἐπὶ τοῖς αὐτοῖς εὐδοκιμεῖν. ἀλλ᾽ ἀτυχοῦσι τὸ μὴ δὲ τοῦτο δύνασθαι. καὶ οἴονταί τινας ἐν λογιστηρίοις ἀποδύντας, ἢ πάντως ἀπορίας γοῦν συμφορᾶς

ἀναπει

ἀναπεισθέντας ἐν μεσημβρίᾳ τοῦ βίου φιλοσοφεῖν, ἀπὸ μόνου τοῦ τοὺς θεοὺς ἀπομόσαι καὶ καταμόσαι, πλατωνικῶς· οὐδ' φθάσειεν αὖ ἡ στωικὰ φθεγξαμένη τι τῶν δεόντων. δεινὴ δὲ ὅμως ἡ προσποίησις. ἥ, τε γὰρ ὀφρῦς, βαβαὶ τῆς ἀνατάσεως, εἰς ὅσον ἦρται. καὶ ἡ χεὶρ ὑπερείδει τὸ γένειον. τά τε ἄλλα σεμνοπροσωποῦσιν ὑπὲρ τὰς Ξενοκράτους εἰκόνας. οἵ γε καὶ νομοθετεῖν ἡμῖν ἀξιοῦσιν ἄττα σφίσι λυσιτελέστατα, μηδένα μηδὲν ἀγαθὸν εἰδότα φανερὸν εἶναι, ἡγούμενοι σφῶν αὐτῶν ἔλεγχον, εἴ τις φιλόσοφος ἐπιστήσεται φθέγγεσθαι. αὐτοὶ γὰρ αὖ ὑπὸ τῇ προσποιήσει λαθεῖν καὶ δόξαι τἄνδοθεν εἶναι σοφίας ἀνάπλεῳ. ἄμφω μέντοι τούτω τὠγὼ διαβέβλημαι τον, ὡς ἐπὶ τοῖς οὐδενὸς ἀξίοις ἐσπουδακότα. τὸ μὲν, ὅτι μὴ ταὐτὰ φλυαρῶ· τὸ δὲ, ὅτι μὴ τὸ στόμα συγκλείσας ἔχω, καὶ τὸν βοῦν τὸν ἐκείνων ἐπὶ τῆς γλώττης τίθεμαι. ἐπὶ τούτοις συνετέθη τὸ σύγγραμμα, καὶ ἀπήντησε τῶν μὲν, τῇ φωνῇ, τῶν δὲ, τῇ σιγῇ. προΐεται μὲν γὰρ ὡς ἐπὶ τούτους αὐτοὺς τοὺς ἀφώνους τε καὶ βασκάνους πῶς οἶδε μετ' εὐπρεποῦς τοῦ σχήματος. οὐ μὴν ἀλλ' ἐξεῦρεν ὡς αὖ κἀκείνους συνωφελήσαιτο. καὶ βούλεται μὲν πολυμαθείας οὐχ ἧττον ἐπίδειξις, ἢ ἐγκώμιον εἶναι. οὐ γὰρ ἐξομοσαμένη τὰς αἰτίας. ἀλλ' ἔνετι μᾶλλον αὐτῶν ἔχεται, συχνὰ καὶ πεφιλοτίμηται. προϊὸν δὲ βίων αἱρέσεις ἐξετάζειν, ἐπαινεῖ τὴν φιλοσοφίαν, ὡς φιλοσοφωτάτην τῶν αἱρέσεων. τὴν κρίσιν τινὰ νομίζειν εἶναι χρὴ, τοῦ βιβλίου πυνθάνου. τελευτῶν δὲ καὶ ὑπὲρ τῶν κιβωτίων ἀπολελόγηται, ἐχόντων τινὰ καὶ τούτων αἰτίαν, ἀδιόρθωτα κρύπτειν βιβλία. οὐδὲ γὰρ οὐδὲ τῶν τοιούτων οἱ τελχῖνες ἀπ-

(πέσχοντο. εἰ δ' ἕκαστον

ἐν τάξει τῇ προσηκούσῃ τὰ πάντα σὺν ὥρᾳ, καὶ ἀφορμαὶ δίκαιαι τῶν ἑκάσταχοῦ προκεχειρισμένων. καὶ εἰ μερίζεται μὲν πλείοσι κεφαλαίοις κατὰ τὸ θεσπέσιον γράμμα, τὸν φαῖδρον, ὃν περὶ πάντων ὁμοῦ τῶν εἰδῶν τοῦ καλοῦ Πλάτων διήνεγκε, μεμηχάνηται δὲ ἅπαντα συνῳδὰ ἐφεξῆς τὸ προκείμενον. καὶ ἔπου γέγονε πίστις ὑφέρπουσα, τὸ ὑπὲρ ἰάσαν ζήτημα, καὶ εἰ προῆλθεν ὡς ἐν τοιούτοις ἀπόδειξις ἐκ τῆς πίστεως, καὶ εἰ τὸ δι᾽ ἄλλο γινόμενον, τοῦτο μὲν, τέχνης ἂν εἴη δῶρα καὶ φύσεως. ὅστις δὲ οὐκ ἀγύμναστος ἐπιφωράσαι τι καὶ πρόσωπον θεῖον ὑπὸ φαυλοτέρῳ κρυπτόμενον σχήματι, ὥσπερ ἐν τοῖς ἀθήνησιν οἱ δημιουργοὶ, ἀφροδίτην τε χάριτας καὶ τοιαῦτα κάλλη θεῶν, ἀγάλμασι σειληνῶν καὶ σατύρων ἀμπέχοντες, τοῦτον, οὐ λήσεται τὸ γράμμα, συχνὰ καὶ τῶν ἀβεβήλων ἀποκαλύψαν δογμάτων ὑπὸ τῇ προσποιήσει τοῦ παρέλκειν ἑτέροις λανθάνοντα, τε τοῦ λίαν εἰκῇ καὶ ὡς ἂν δόξειεν ἀφελῶς ἐγκατεσπάρθαι τῷ λόγῳ. τῶν μὲν γὰρ ἐκ τῆς σεληνιακῆς αἰτίας ἀποψύξεων, οἱ νοσοῦντες ἐπιληψίαν, αἰσθάνονται μόνοι. τῶν δὲ κατὰ νοῦν ἐπιβολῶν, μόνοι δέχονται τὰς ἐκλάμψεις. οἷς ὑπανοίγουσι τὸ νοερὸν ὄμμα, φῶς αὐτὸ ἐστι συγγενὲς ὁ θεός. ὃ τοῖς τε νοεροῖς τοῦ νοεῖν, καὶ τοῖς νοητοῖς αἴτιος τοῦ νοεῖσθαι, καθάπερ τὸ τῇδε φῶς ὄψιν συνάπτει τῷ χρώματι. κἂν ἀφέλῃς, παρόντος, ἡ πρὸς αὐτὸ δύναμις ἀνενέργητος. ὑπὲρ δὴ τούτων ἁπάντων σὲ κρίνουσαν περιμένουσι μέν. κἂν μὲν ψηφίσῃ προσοιστέον εἶναι, ῥήτορσιν ἅμα καὶ φιλοσόφοις ἐκκείσεται· τοὺς μὲν γὰρ, ἥσει, τοὺς δὲ, ὀνήσει. πάντως γε, εἰ μὴ παρὰ σοῦ τῆς δυναμένης κρίνειν διαγεγράψεται. εἰ δὲ μὴ φανεῖταί σοι τῆς τῶν ἑλλήνων ἀκοῆς ἄξιον,

καὶ σὺ

καὶ σὺ δὲ δήπου μεταχείρισο τέλους πρὸ τοῦ φίλου τὴν ἀλήθειαν θήσεις, πυκνὸν καὶ βαθὺ σκότος ἐπηλυγάσεται, καὶ λύσεται τοὺς ἀνθρώπους λεγόμενον. ταῦτα μὲν περὶ τούτων. θάτερον δέ, θεὸς καὶ ἐπέταξε καὶ ἐνέκρινεν ὃ τῇ φανταστικῇ φύσει χαριστήριον ἀνατέθειται. ἔστι γὰρ ἐν αὐτῷ περὶ τῆς εἰδωλικῆς ἁπάσης ψυχῆς, καὶ ἕτερα ἄττα προκεχείρισται δόγματα τῶν οὔπω φιλοσοφηθέντων Ἕλλησι. καί τι αὐτοῖς ἀπομνημονεύοι περὶ αὐτοῦ. ἀλλ' ἐξείργασται μὲν ἐπὶ μιᾶς ἀπεννυκτός, μᾶλλον δὲ λοιπᾶς νυκτός, ἣ καὶ τὴν ὄψιν ἤνεγκε τὴν περὶ τοῦ δεῖν αὐτὸ συγγεγράφθαι. ἔστι δὲ οὗ τῶν λόγων, δίς που καὶ τρίς, ὥσπερ τις ἕτερος ὤν, ἐμαυτοῦ γέγονα μετὰ τῶν παρόντων ἀκροατής. καὶ νῦν ὁσάκις ἂν ἐπίω τὸ σύγγραμμα θαυμαστή τις περὶ ἐμὲ διάθεσις γίνεται. καί τις ὀμφή με θεία περιχεῖται κατὰ τὴν ποίησιν. εἰ δὲ μὴ μόνον τὸ πάθος ἐμοῦ, καὶ περὶ ἕτερον δ' ἂν τοῦτο γένοιτο, σὺ καὶ τοῦτο μηνύσεις. σὺ γὰρ δὴ μετ' ἐμὲ πρώτη τῶν Ἑλλήνων ἐντεύξῃ. ταῦτα τῶν πως ἀνεκδότων ἀπέσταλκα. καὶ ἵνα τέλεος ἀριθμὸς ᾖ, προσέθηκα τὸν περὶ τοῦ δώρου, πάλαι γενόμενον ἐν τῷ καιρῷ τῆς πρεσβείας πρὸς ἄνδρα παρὰ βασιλεῖ δυναστεύοντα. καί τι τοῦ λόγου τε καὶ τοῦ δώρου πεντάπολις ὤνατο.

Δομετιανῷ σχολαστικῷ.

π Ανυ σαφῶς δι' αὐτῶν μεμαθηκὼς τῶν ἔργων τὴν σὴν θαυμασίαν κεφαλήν, χαίρουσαν τῇ φιλανθρωπίᾳ, καὶ τοῖς δεομένοις χεῖρα βοηθείας ὀρέγειν, ἐπ' αὐτὸ δὴ τοῦτο παρακαλῶ, ἵππον εἰς πεδίον τοῦτο δὴ τὸ τοῦ λόγου, προτρέπειν ἡγούμενος. καί σοι πλέον ἢ πρότερον ὦ φίλη κεφαλὴ νῦν τὴν φιλανθρωπίαν ἐπιδεικτέον. ὅσῳ καὶ τὸ πρόσωπον ἐλεεινότερον ὃ δὴ νῦν τὸ δυσπεισόμενον.

γνοίη τε γὰρ ῥᾷστ' ἂν αὐτὴ καὶ γυνὴ, δυστυχήσασα χηρείαν, εἶτα σὺν ὀρφανῷ παιδίῳ, παθοῦσα, ἃ πέπονθεν· ὅς τις δέ ἐστιν ὁ ταύτην ἀδικήσας, καὶ ὅτι, καὶ ὅπως, αὐτὴ διδάξει τὴν σὴν καλοκαγαθίαν. ὅρα τοίνυν ὦ θαυμάσιε ὅπως ἐπαμυνῇς τῇ γυναικὶ, τὸ διὰ τὸ καλῶς ἔχον καὶ διὰ τὸ σοὶ πρέπον, τὸ δι' ἐμέ· μεθέξω γὰρ ἔτι σοὶ καὶ γὰρ τῆς εἰς αὐτὴν γινομένων, συγγενίδα τε οὖσαν ἐμὴν, καὶ τεθραμμένην ὑπὸ μητρὶ κοσμίᾳ σωφρόνως παρ' ἡμῖν.

Δομετιανῷ σχολαστικῷ.

τ Α δίκαια χρήζει συμμάχων. εἰ γίνοιντ' ἂν οἱ βοηθοῦντες αὐτοῖς εὐδαίμονες, τοῖς ὀρθῶς ἔχουσι συμπονοῦντες. εἱλόμην δή σε τούτων πρόβολον. γνώμῃ τε ἀμύνονται καὶ τέχνῃ. τὸ μὲν ἐμὸν, ἅπασιν εὖ ποιεῖν οἷς ἂν δύνωμαι. δίδου δὲ αὐτοῖς ἀφορμάς. αἰσθήσῃ γὰρ ὠφελίας, ἣν οὔτε αὐτὸς μέμψῃ, γελάσει τε ἴσως οὐδείς.

ΤΕΛΟΣ.

α. β. γ. δ. ε. ς. Ἑξάδια καὶ ζ τετράδιον.

ΔΗΜΟΣΘΕΝΟΥΣ ΕΠΙΣΤΟΛΑΙ.

ΠΕΡΙ ΤΗΣ ΟΜΟΝΟΙΑΣ.

ΑΝΤΟΣ ἀρχομένῳ σπουδαίου λόγου καὶ ἔργου, ἀπὸ τῶν θεῶν ὑπολαμβάνω προσήκειν πρῶτον ἄρχεσθαι. εὔχομαι δὲ τοῖς θεοῖς πᾶσι καὶ πάσαις, ὅ, τι τῷ δήμῳ τῷ ἀθηναίων ἄριστόν ἐστι καὶ τοῖς εὐνοοῦσι τῷ δήμῳ καὶ νῦν καὶ ἐς τὸν ἔπειτα χρόνον, τοῦτ' ἐμοὶ μὲν ἐπὶ νοῦν ἐλθεῖν γράψαι. τοῖς δ' ἐκκλησιάσασιν ἀθηναίων ἑλέσθαι. εὐξάμενος δὲ ταῦτα τῆς ἀγαθῆς ἐπινοίας ἐλπίδα ἔχων παρὰ τῶν θεῶν, τάδ' ἐπιστέλλω.

Δημοσθένης τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν.

Περὶ μὲν τῆς ἐμῆς οἴκαδε ἀφίξεως, ἀεὶ νομίζω πᾶσιν ὑμῖν ἔσεσθαι βουλεύσασθαι. διόπερ νῦν οὐδὲν περὶ αὐτῆς γέγραφα. τὸν δὲ παρόντα καιρὸν ὁρῶν ἑλομένων μὲν ὑμῖν τὰ δέοντα, ἅμα δόξαν καὶ σωτηρίαν καὶ ἐλευθερίαν δυνάμενον κτήσασθαι, οὐ μόνον ὑμῖν ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν ἕλλησιν. ἀγνοησάντων δ' ἢ παρακρουσθέντων οὐ ῥᾴδιον αὖθις τὸν αὐτὸν ἀναλαβεῖν, ᾠήθην χρῆναι τὴν ἐμαυτοῦ γνώμην ὡς ἔχω περὶ τούτων εἰς μέσον θεῖναι. Ἔστι μὲν οὖν ἔργον τὸ δι' ἐπιστολῆς, ἐμμένειν συμβουλῇ. πολλοῖς γὰρ εἰώθατε ἀπαντᾶν ὑμεῖς πρὸ τοῦ περιμένειν μαθεῖν. λέγοντι μὲν οὖν ἔστιν, αἰσθέσθαι τί βούλεσθε. καὶ διορθώσασθαι τὰ ἀγνοούμενα, ῥᾴδιον. τὸ δὲ βιβλίον οὐδεμίαν ἔχει βοήθειαν τοιαύτην πρὸς τοὺς θορυβοῦντας. οὐ μὴν, ἀλλ' ἐὰν ἐθέλητε ἀκοῦσαι σιγῇ, καὶ περιμεί-

θεῶν θελόντων.

ὥστε πάντα μαθεῖν, οἴομαι καὶ συνθεῖς ἐρεῖσθαι, καὶ περὶ βραχέων τῶν γεγραμμένων ὄντων. αὐτός τε φανήσεσθαι μετὰ πάσης εὐνοίας τὰ δέοντα περὶ ὑμῶν πράττειν, καὶ τὰ συμφέροντα ὑμῖν ἐμφανῆ δείξειν. οὐχ ὡς ἀπορούντων δὲ ὑμῶν ῥητόρων, οὐδὲ τῶν ἀλόγως [illegible] εἰδὼς ὅτι ἂν τύχωσιν ἐρούντων, ἔδοξέ μοι τὴν ἐπιστολὴν πέμπειν. ἀλλ' ὅσα τυγχάνω δι' ἐμπειρίαν καὶ τὸ παρηκολουθηκέναι τοῖς πράγμασιν εἰδώς, ταῦτ' ἐβουλήθην τοῖς μὲν προῃρημένοις λέγειν ἐμφανῆ ποιήσας, ἀφθόνους ἀφορμὰς ὧν ὑπολαμβάνω συμφέρειν ὑμῖν, δοῦναι. τοῖς δὲ πολλοῖς ῥᾳδίαν τὴν τῶν βελτίστων αἵρεσιν καταστῆσαι. ὧν μὲν οὖν ἕνεκα ἐπῆλθέ μοι τὴν ἐπιστολὴν γράφειν, ταῦτ' ἐστί. δεῖ δὲ ὑμᾶς ὦ ἄνδρες Ἀθηναῖοι πρῶτον μὲν ἁπάντων πρὸς ὑμᾶς αὐτοὺς ὁμόνοιαν εἰς τὸ κοινῇ συμφέρον τῇ πόλει παρασχέσθαι. καὶ τὰς ἐκ τῶν πρότερον ἐκκλησιῶν ἀμφισβητήσεις ἐᾶσαι. δεύτερον δὲ πάντας ἐκ μιᾶς γνώμης τοῖς δόξασι προθύμως συναγωνίζεσθαι. ὡς τὸ μηδὲν μηδ' ἁπλῶς πράττειν, οὐ μόνον ἐστὶν ἀνάξιον ὑμῶν καὶ ἀγεννές, ἀλλὰ καὶ τοὺς μεγίστους κινδύνους ἔχει. δεῖ δὲ μηδὲ ταῦτα λαθεῖν ὑμᾶς ἃ καθ' αὑτὰ μὲν οὐκ ἔστιν αὐτάρκη κατασχεῖν πράγματα. προστεθέντα δὲ ταῖς δυνάμεσι, πολλῷ πάντ' εὐκατεργαστότερα ὑμῖν ποιήσει. τίνα οὖν ἐστὶ ταῦτα. μήτε πόλει μηδεμιᾷ μήτε τῶν ἑκάστῃ τῶν πόλεων συνηγωνισμένων τοῖς καθεστηκόσι, μήτε πικραίνεσθαι, μήτε μνησικακεῖν. ὁ γὰρ τοιοῦτος φόβος τοὺς συνειδότας αὐτοῖς ὡς ἀναγκαίοις τοῖς συνεστηκόσι κίνδυνον ἔχουσι πρόδηλον, προθύμους συναγωνιστὰς ποιεῖ. ἀφεθέντες δὲ τοῦ δέους τούτου πάντες, ἠπιώτεροι γενήσονται. τοῦτο δέ, οὐ

μικρὰν

μικρὰν ὠφέλειαν ἔχει. καὶ τὰς μὲν δὴ πόλεις τὰ τοιαῦτα συνήθεσ προλέγειν μᾶλλον οὐδὲ δυνατῷ. ὥσπερ ἂν ὑμῖν αὐτοῖς ὀφθῆτε χρώμενοι, τοιαύτην καὶ κατὰ τῶν ἄλλων προσδοκίαν παραστήσετε ἑκάστοις. φημὶ δὲ χρῆναι μήτε πόλει μήτε στρατηγῷ, μήτε ῥήτορι μήτ' ἰδιώτῃ μηδενὶ τῶν τὰ προτοῦ δοκούντων συνηγωνίσθαι τοῖς καθεστηκόσι μήτε μέμφεσθαι μήτ' ἐπιτιμᾶν μηδένα μηδὲν ὅλως. ἀλλὰ συγχωρῆσαι πᾶσι τοῖς ἐν τῇ πόλει πεπολιτεῦσθαι τὰ δέοντα. ἐπειδήπερ οἱ θεοὶ καλῶς ποιοῦντες σώσαντες τὴν πόλιν, ἀποδεδώκασιν ὑμῖν ὅτι ἂν βούλησθε ἐξ ἀρχῆς βουλεύσασθαι. καὶ νομίζειν ὥσπερ ἂν ἐν πλοίῳ τῶν μὲν ἱστίῳ τῶν δὲ κώπαις ἀποφαινομένων κομίζεσθαι, λέγεσθαι μὲν ὑπ' ἀμφοτέρων ἅπαντα ἐπὶ σωτηρίᾳ, γεγενῆσθαι δὲ τὴν χρείαν πρὸς τὰ συμβάντα ἀπὸ τῶν θεῶν. ἐὰν τοῦτον τὸν τρόπον περὶ τῶν παρεληλυθότων ἐγνωκότες ἦτε, πιστοὶ πᾶσι γενήσεσθε, καὶ καλῶν κἀγαθῶν ἀνδρῶν ἔργα πράξετε, καὶ τὰ πράγματα ὠφελήσετε οὐ μικρῶς, καὶ τοὺς ἐναντιωθέντας ἐν ταῖς πόλεσιν ἢ μεταγνῶναι ποιήσετε πάντας, ἢ κομιδῇ τινὰς αὐτοὺς αἰτίους καταλειφθῆναι. μεγαλοψύχως τοίνυν καὶ πολιτικῶς τὰ κοινῇ συμφέροντα πράττετε καὶ τῶν ἰδίων μέμνησθε. παρακαλῶ δὲ εἰς ταῦτα, οὐ τυχὼν αὐτὸς τῆς τοιαύτης φιλανθρωπίας παρ' ἐνίων, ἀλλὰ ἀδίκως καὶ στασιαστικῶς εἰς τὴν ἑτέρων χάριν προεθείς. ἀλλ' οὐδὲ τὴν ἰδίαν ὀργὴν ἀναπληρῶν, τὸ κοινῇ συμφέρον οἴομαι δεῖν βλάπτειν. οὔτε μίγνυμι τῆς ἰδίας ἔχθρας, εἰς τὸ κοινῇ συμφέρον οὐδέν. ἀλλ' ἐφ' ἃ τοὺς ἄλλους παρακαλῶ, ταῦτα αὐτὸς οἴομαι δεῖν πρῶτος ποιεῖν. οἱ μὲν οὖν παρασκευὴν καὶ ἃ δεῖ φυλάξασθαι

πλέον

καὶ ἃ πράττων τις ἂν κατ' ἀνθρώπινον λογισμὸν μάλιστ' ἂν κατορθοίη, σχεδὸν εἴρηκα ταῦτ' ἐμοί. τοῖς δὲ καθ' ἡμέραν ἐπιστατήσασι καὶ τοῖς ἐκ τοῦ παραχρῆμα συμβαίνουσιν ὀρθῶς χρῆσθαι καὶ συνιδεῖν τὸν ἑκάστου καιρὸν καὶ κεῖνο τί τῶν πραγμάτων ἐξ ὁμιλίας δυνατὸν προσαγαγέσθαι, καὶ τί βίας προσδεῖται, τῶν ἐφεστηκότων στρατηγῶν ἔργον ἐστί. διὸ καὶ χαλεπωτάτην τάξιν ἔχει τὸ συμβουλεύειν. τὰ γὰρ ὀρθῶς βουλευθέντα καὶ διευκρινηθέντα σὺν πολλῇ σπουδῇ καὶ πόνῳ, πολλάκις τῷ τοὺς ἐπιστάντας ἄλλως χρήσασθαι διελυμάνθη. νῦν μέντοι πάνθ' ἕξειν καλῶς ἐλπίζω. καὶ γὰρ εἴ τις ὑπείληφεν εὐτυχῆ τὸν Ἀλέξανδρον τῷ πάντα κατορθοῦν, ἐκεῖνο λογισάσθω. ὅτι πράττων καὶ πονῶν καὶ τολμῶν, οὐχὶ καθήμενος, εὐτύχει. νῦν τοίνυν τεθνεῶτος ἐκείνου ζητεῖ τινας ἡ τύχη μεθ' ὧν ἔσται. τούτους δὲ ὑμᾶς δεῖ γενέσθαι. τούς τε ἡγεμόνας δι' ὧν ἀνάγκη τὰ πράγματα πράττεσθαι, ὡς εὔνους ἐπὶ τὰς δυνάμεις ἐφίστατε. καὶ ὅτι ποιεῖν αὐτὸς ἕκαστος ὑμῶν δυνήσεται καὶ βουλήσεται, τοῦτο πρὸς αὐτὸν εἰπάτω. καὶ ὑποσχέσθω καὶ τοῦ θέρους μὴ ψεύσεται. μηδὲ ἐξαπατηθῆτε, μηδὲ πεισθῆναι παραιρουθεὶς φήσας, ἀναδύσεται. ὥστε τὴν ἔνδειαν ὧν ἂν ἐλλείπηθ' ὑμεῖς, οὐχ εὑρήσετε τοὺς ἀναπληρώσοντας. οὐδὲ τὸν αὐτὸν ἔχει κίνδυνον, περὶ ὧν ἐφ' ὑμῖν ἐστιν ὅπως ἂν βούλησθε πρᾶξαι, μεταβουλεύεσθαι πολλάκις, καὶ περὶ ὧν ἂν ἐνστῇ πόλεμος. ἀλλὰ ἡ περὶ τούτων μετάγνωσις ἧττα τῆς προαιρέσεως γίνεται. μηδὲ ποιήσητε τοῦτο μηδέν. ἀλλ' ὅτι πράξετε γενναίως καὶ ἑτοίμως ταῖς ψυχαῖς, τοῦτο χειροτονεῖτε. κἂν ἅπαξ ψηφίσησθε, τὸν Δία τὸν Δωδωναῖον καὶ τοὺς ἄλλους θεοὺς οἳ πολλὰς καὶ καλὰς καὶ ἀγαθὰς καὶ ἀληθεῖς ὑμῖν

μαν

μαντείας ἀνῃρήκασιν ἡγεμόνας ποιησάμενοι, καὶ παρακαλέσαντες, καὶ κατὰ τὴν νικητηρίων ἀπόδοσιν αὐτοῖς εὐξάμενοι, μετὰ τῆς ἀγαθῆς τύχης ἐλευθεροῦτε τοὺς ἕλληνας.

Περὶ τῆς ἰδίας καθόδου.

ημοσθένης τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. ἐνόμιζον μὲν ἀφῶν ἐπολιτευόμην, οὐχ ὅπως μηδὲν ἀδικῶν τοιαῦτα πείσεσθαι, ἀλλὰ καὶ μέτρια ἂν ἐξαμαρτὼν συγγνώμης τεύξεσθαι. ἐπειδὴ δὲ οὕτω γέγονεν, ἕως μὲν ἑώρων ὑμᾶς οὐδεμιᾶς ἀποδείξεως φανερᾶς οὐδ' ἐλέγχου γινομένου παρὰ τῆς βουλῆς πρὸς τὰ ταύτης ἀπόρρητα καταψηφιζομένους ἁπάντων, οὐδὲν ἔλαττον παραχωρεῖν ὑμᾶς ἡγούμενος, ἢ ἐμαυτὸν ἀποστερεῖσθαι, στέργειν ἡγούμην. τὸ γὰρ οἷς ἂν ἡ βουλὴ φῆσιν τοὺς ὀμωμοκότας δικαστὰς προστίθεσθαι, μηδεμιᾶς ἀποδείξεως ῥηθείσης, τῆς πολιτείας παραχωρεῖν ἦν. ἐπειδὴ δὲ καλῶς ποιοῦντες ᾔσθησθε τὴν δυναστείαν, ἥν τινες τὴν ἐν τῇ βουλῇ κατεσκευάζοντο ἑαυτοῖς, καὶ πρὸς τὰς ἀποδείξεις τοὺς ἀγῶνας κρίνετε τὰ δ' ἀπόρρητα τούτων ἐπιτιμήσεως ἄξια εὑρήκατε, οἶμαι δεῖν ἐὰν καὶ ὑμῖν βουλομένοις ᾖ, τῆς ὁμοίας τυχεῖν σωτηρίας τοῖς τῶν ὁμοίων αἰτιῶν τετυχηκόσι· καὶ μὴ μόνος δι' αἰτίαν ψευδῆ τῆς πατρίδος καὶ τῶν ὄντων καὶ τῆς τῶν οἰκειοτάτων συνηθείας ἀπεστερῆσθαι. εἰκότως δ' ἂν ὑμῖν ὦ ἄνδρες ἀθηναῖοι μέλοι τῆς ἐμῆς σωτηρίας οὐ μόνον κατὰ τοῦτο ὅτι οὐδὲν ὑμᾶς ἀδικῶν τοιαῦτα πέπονθα, ἀλλὰ καὶ τῆς παρὰ τοῖς ἄλλοις ἀνθρώποις ἕνεκ' εὐδοξίας. μὴ γὰρ εἰ μηδεὶς ὑμᾶς ἀναμιμνήσκει τοὺς χρόνους μηδὲ τοὺς καιροὺς ἐν οἷς τὰ μέγιστ' ἐγὼ χρήσιμος ἦν τῇ πόλει, τοὺς ἄλλους ἕλληνας ἀγνοεῖν νομίζετε· μηδ' ἐπιλελῆσθαι τῶν ἐμοὶ πεπραγμένων

ὑπὲρ ὑμῶν ἃ ἐγὼ δυοῖν ἕνεκα νῦν ὀκνῶ γράφειν καθέκαστον· πρὸς
μὲν τὸν φθόνον δι' ὧν πρὸς οὐδὲν ἔτι προὔργου τἀληθῆ λέγειν.
ἑτέρου δὲ ὅτι πολλὰ καὶ ἀνάξια ἐκείνων διὰ τὴν τῶν ἄλλων ἑλ-
λήνων κακίαν νῦν πράττειν ἀναγκαζόμεθα. ἐν κεφαλαίῳ δὲ
τοιαῦτ' ἐστὶν ἐφ' οἷς ἐξητασμένην ὑπὲρ ὑμῶν ἐγώ, ὥσθ' ὑμᾶς μὲν ἐ-
πὶ τούτοις ὑπὸ πάντων ζηλοῦσθαι. ἐμοὶ δ' ἐλπίδα τῶν μεγίστων δω-
ρεῶν προσδοκᾶσθαι παρ' ὑμῶν. τῆς δὲ ἀμαρτίας μὲν ἀγνώ-
μονος δὲ τύχης οὐχ ὡς δίκαιον ἦν ἀλλ' ὡς ἐβούλετο κρινάσης τὸν
ὑπὲρ τῆς τῶν ἑλλήνων ἐλευθερίας ἀγῶνα, ὃν ὑμεῖς ἠγωνίσασθε,
οὐδὲ ἐν τοῖς μετὰ ταῦτα χρόνοις ἀπέστην τῆς εἰς ὑμᾶς εὐνοίας.
οὐδ' ἀντηλλαξάμην ἀντὶ ταύτης οὐδέν. οὐ χάριν. οὐκ ἐλπίδας. οὐ πλοῦ-
τον. οὐ δυναστείαν. οὐκ ἀσφάλειαν. καίτοι πάντα ταῦθ' ἑώρων ὑπάρ-
χοντα τοῖς καθ' ὑμῶν βουλομένοις πολιτεύεσθαι. ὃ δ' ἦ πολλῶν ὄν-
των καὶ μεγάλων ἐφ' οἷς εἰκότως ἐπέρχεταί μοι παρρησιάζεσθαι, μέ-
γιστον ἡγοῦμαι, οὐκ ὀκνήσω γράψαι πρὸς ὑμᾶς. ὅτι ἐν ἅπαντι
τῷ αἰῶνι τῶν μνημονευομένων ἀνθρώπων δεινοτάτου τε γενη-
μένου φιλίππου, καὶ δι' ὁμιλίας πεῖσαι προσέχειν αὐτῷ τὸν νοῦν
ὡς βούλοιτο καὶ διαφθεῖραι χρήμασι τοὺς ἐν ἑκάστῃ τῶν ἑλλη-
νίδων πόλεων γνωρίμους, ἐγὼ μόνος οὐδετέρου τούτων ἡττήθην.
ὃ καὶ ὑμῖν φιλοτιμίαν φέρει, πολλὰ μὲν ἐντυχὼν φιλίππῳ δια-
λεχθεὶς, ἐφ' οἷς ὑμεῖς ἐπέμπετε πρεσβεύοντά με, πολλῶν δ' ἀπωσά-
μενος χρημάτων διδόντος ἐκείνου· ἃ τῶν συνειδότων ἔτι πολλοὶ
ζῶσιν. οὓς τίνα γνώμην ἔχειν περὶ ὑμῶν εἰκὸς λογίσασθε, τὸ γὰρ
αὐτῷ τοιούτῳ τοῦτον τὸν τρόπον κεχρῆσθαι, ἐμοὶ μὲν ἂν εὖ οἶδ'
ὅτι φανείη συμφορά· κακία δὲ οὐδεμία. ὑμετέρα δὲ ἀγνωμο-
σύνη. ἣν αὐτοῖς μεταγνῶναι λύσετε. πάντα τοίνυν τὰ προειρη-
μένα, ἐλάττω νομίζω τῆς συνεχοῦς καὶ καθ' ἡμέραν πολιτείας

Vid. Od. Hor. 3. od. 16. Cic. Att. 1. pag. 15.

ἐν ᾗ παρέσχον ἐμαυτὸν ἐγὼ πολιτευόμενον οὐ μιᾶς ὀργῆς οὐδὲ δυσμενείας οὐδ' ἀδίκου πλεονεξίας οὔτε κοινῆς οὔτε ἰδίας προϊστάμενον· οὐδὲ συκοφαντήσοντα οὐδένα πώποτε οὔτε πολίτην οὔτε ξένον· οὐδὲ καθ' ὑμῶν ἰδίᾳ δεινὸν ὄντα· ἀλλ' ὑπὲρ ὑμῶν εἴ τι δεήσειεν ἐξεταζόμενος δημοσίᾳ· εἰδεῖεν δ' ἂν οἱ πρεσβύτεροι καὶ λέγοιεν νεωτέροις ἔστε δίκαιοι τὴν πρὸς Πύθωνα τὸν Βυζάντιον ἐκκλησίαν ὅτε τοὺς ἀπὸ τῶν Ἑλλήνων ἦλθε πρέσβεις ἔχων, ὡς ἀδικοῦσαν δείξων τὴν πόλιν· ἀπῆλθε δὲ τἀναντία τούτων παθών, μόνου τῶν τότε ῥητόρων ἐξετάσαντος ἐμοῦ τὰ ὑπὲρ ὑμῶν δίκαια. καὶ ἐῶ πρεσβείας ὅσας ὑπὲρ ὑμῶν ἐπρέσβευσα· ἐν αἷς οὐδὲν ἠλαττώθητε πώποτε οὐδὲ καθ' ἕν. ἐπολιτευόμην γὰρ ὦ ἄνδρες Ἀθηναῖοι οὐχ ὅπως ἀλλήλων ὑμεῖς περιγένησθε σκοπῶν. οὐδ' ἐφ' ἑαυτὴν ἀκονῶν τὴν πόλιν, ἀλλ' ἀφ' ὧν δόξαν καὶ μεγαλοψυχίαν ὑμῖν ὑπάρξειν ἐνόμιζον. ἐφ' οἷς ἅπασι μὲν, μάλιστα δὲ τοῖς νέοις ἀγασθῆ προσήκει καὶ σκοπεῖν μὴ μόνον τὸν διακονήσοντα πρὸς χάριν πάντ' ἐν τῇ πολιτείᾳ, τούτου μὲν οὐδέποτ' ἔσται ἀπορῆσαι, ἀλλὰ καὶ τὸν ἐπ' εὐνοίᾳ περὶ ὧν ἂν ἀγνοῆτε ἐπιτιμήσοντα. ἔτι τοίνυν παραλείπω πολλά, ἐφ' οἷς ἕτερος ὁ μηδὲν ἄλλ' συνεγνωσμένος γεγονώς, δικαίως ἂν ἠξίωτο χάριν σωτηρίας. χορηγίας καὶ τριηραρχίας καὶ χρημάτων ἐπιδόσεις ἐν πᾶσι τοῖς καιροῖς, ἐν οἷς ἐγὼ φανήσομαι οὐ μόνον αὐτὸς ἐξητασμένος πρῶτος, ἀλλὰ καὶ τοὺς ἄλλους παρακεκληκώς. ὧν ἕκαστον ὦ ἄνδρες Ἀθηναῖοι λογίσασθε· ὡς ἀνάξιόν ἐστι τῆς περιεστηκυίας νῦν ἐμοὶ συμφορᾶς. ἀφθόνων δ' ὄντων, ἀπορῶ τί πρῶτον ὀδύρωμαι τῶν παρόντων κακῶν· πότερα τὴν ἡλικίαν ἐν ᾗ φυγῆς ἐπικίνδυνον πειρᾶσθαι παρὰ τὴν ἀξίαν ἀναγκάζομαι, ἢ τὴν αἰσχύνην ἐφ' ᾗ κατ' οὐδένα ἔλεγχον οὐδ' ἀπόδειξιν ἀλλ' ἀπώλωλα ἢ τὰς ἐλ-

πικρᾶς ὧν διαμαρτών, ὧν ἑτέροις προσῆκε κληρονομῆσαι κακῶν. οὔτε γὰρ ἔγωγε τῶν ἁρπάλου φίλων φανήσομαι γεγονώς, οὔτ᾽ ἐφ᾽ οἷς ἐπολιτευόμην πρότερον, δίκην ὀφείλων δοῦναι. οὔτε τῶν ἐφ᾽ οἷς ἐκρινόμην ἐξελεγχθέντων, τῶν τε γραφέντων περὶ ἁρπάλου μόνα τὰ ἐμοὶ πεπραγμένα ἀνέγκλητον πεποίηκε τὴν πόλιν. ἐξ ὧν πάντων δηλοῦσθαι, ὅτι καιρῷ τινι ληφθεὶς καὶ οὐκ ἀδικήμασι, τῇ πρὸς ἅπαντας τοὺς ἐν ταῖς αἰτίαις ὀργῇ περιπέπτωκα ἀδίκως, διὰ τὸ πρῶτος εἰσιέναι. ἐπεὶ τί τῶν δικαίων οὐκ εἶπον ἐγώ, τῶν σεσωκότων τοὺς ὕστερον κρινομένους. ἢ τίνα νῦν ἂν εἰπεῖν ἔχει τις. οὐ γὰρ ἔστιν οὐδείς. τὰ γὰρ μὴ γενόμενα οὐκ ἔστι πεῖσαι γεγενῆσθαι. ἀλλὰ περὶ μὲν τούτων παύομαι πολλὰ γράφειν ἔχων. τὸ γὰρ μηδὲν ἐμαυτῷ συνειδέναι πειρᾶν μοι δέδωκεν, εἰς μὲν ὠφέλειαν ἀσθενὲς ὄν. εἰς δὲ τὸ μᾶλλον λυπεῖσθαι πάντων ὀδυνηρότατον. ἐπειδὴ δὲ καλῶς ποιοῦντες, πᾶσι τοῖς ἐν ταῖς αἰτίαις διήλλαχθε, καὶ ἐμοὶ διαλλάγητε ὦ ἄνδρες ἀθηναῖοι. οὔτε γὰρ ἠδίκηχ᾽ ὑμᾶς οὐδένα ὡς ἴσασιν οἱ θεοὶ καὶ ἥρωες. μαρτυρεῖ δέ μοι πᾶς ὁ πρόσθεν παρεληλυθὼς χρόνος, ὃς δικαιότερον ἂν πιστεύοιθ᾽ ὑφ᾽ ὑμῶν, τῆς ἀνεγκλήτου νῦν ἐπενεχθείσης αἰτίας. οὔτ᾽ ἐγὼ χείριστος οὔτ᾽ ἀπιστότατος φανήσομαι τῶν διαβληθέντων. καὶ μὴν τὸ ἀπελθεῖν οὐκ ἂν εἰκότως ὀργὴν πρός με ποιήσειεν. οὐ γὰρ ἀπεγνωκὼς ὑμᾶς, οὐδ᾽ ἑτέρωσε βλέπων οὐδαμοῦ μετέστην. ἀλλὰ πρῶτον μὲν τοῦ ὀνείδους τῆς εἱρκτῆς χαλεπῶς διὰ λαπισμὸν φέρων. εἶτα διὰ τὴν ἡλικίαν οὐκ ἂν οἷός τ᾽ ὢν τῷ σώματι τὴν κακοπάθειαν ὑπενεγκεῖν. ἔτι δ᾽ οὐδ᾽ ὑμᾶς ἐνόμιζον ἀβουλεῖν ἔξω με προπηλακισμοῦ γενέσθαι. ὃς οὐδὲν ὑμᾶς ὠφελῶν, ἐμὲ ἀπώλλυεν. ἐπεὶ ὅτι γε ὑμῖν προσεῖχον τὸν νοῦν καὶ οὐδέσιν ἄλλοις, πολλὰ ἂν ἴδοιτε σημεῖα. εἴς τε γὰρ πόλιν

ἦλθον οὐκ ἐν ᾗ μέγιστα πράξειν αὐτὸς ἔμελλον, ἀλλ' εἰς ἣν καὶ τοὺς προγόνους ἐλθόντας ᾔδειν ὅτε ὁ πρὸς τὸν Πέρσην κατελάμβανεν αὐτοὺς κίνδυνος· καὶ παρ' ᾗ πλείστην εὔνοιαν ὑπάρχουσαν ὑμῖν ἠπιστάμην. ἔστι δ' ἡ Τροιζηνίων αὕτη. ἧς μάλιστα μὲν οἱ θεοὶ καὶ τῆς πρὸς ὑμᾶς εὐνοίας ἕνεκα καὶ τῆς πρὸς ἐμὲ εὐεργεσίας, εὖνοι πάντες εἴησαν. εἶτα σωθεὶς ὑφ' ὑμῶν, δυνηθείην ἀποδοῦναι χάριτας. ὅτε ταύτῃ τινῶν ὡς ἐμοὶ χαριζομένων, ἐπιτιμᾶν ὑμῖν τι πειρωμένων τῇ κατ' ἐμὲ ἀγνοίᾳ, ἐγὼ πᾶσαν εὐφημίαν ὥσπερ ἐμοὶ προσῆκε παρειχόμην· ὅθεν καὶ μάλιστα νομίζω πάντας ἀγασθέντας δημοσίᾳ τιμῆσαι. ὁρῶν δὲ τὴν μὲν εὔνοιαν τῶν ἀνδρῶν μεγάλην, τὴν δὲ εἰς τὸ παρὸν δύναμιν καταδεεστέραν, μετελθὼν εἰς τὸ τοῦ Ποσειδῶνος ἱερὸν ἐν Καλαυρείᾳ, κάθημαι· οὐ μόνον τῆς ἀσφαλείας ἕνεκα ἣν διὰ τὸν θεὸν ἐλπίζω μοι ὑπάρχειν, οὐ γὰρ εὖ οἶδά γε, ἃ γὰρ ἐφ' ἑτέροις ἐστὶν ὡς ἂν βούλωνται πρᾶξαι, λεπτὴν καὶ ἄδηλον ἔχει τῷ κινδυνεύοντι τὴν ἀσφάλειαν, ἀλλ' ὅτι καὶ τὴν πατρίδα ἐνθένδε ἑκάστης ἡμέρας ἀφορῶ· εἰς ἣν τοσαύτην εὔνοιαν ἐμαυτῷ σύνοιδα, ὅσης παρ' ὑμῶν εὔχομαι τυχεῖν. ὅπως οὖν ὦ ἄνδρες Ἀθηναῖοι μηκέτι πλείω χρόνον τοῖς παροῦσι κακοῖς συνέχωμαι, ψηφίσασθέ μοι ταῦτα ἃ καὶ ἄλλοις τισὶν ἤδη. ἵνα μήτε ἀνάξιον ὑμῶν μηδέν μοι συμβῇ, μήτε ἱκέτης ἑτέρων ἀναγκασθῶ γίγνεσθαι. οὐδὲ γὰρ ὑμῖν τοῦτο γένοιτ' ἂν καλόν. ἐπεὶ εἴγε μοι τὰ πρὸς ὑμᾶς ἀδιάλλακτα ὑπάρχει, τεθνάναι με κρεῖττόν ἐστιν. εἰ δ' οὕτως ἄν μοι πιστεύοιτε ταύτην τὴν διάνοιαν ἔχειν καὶ μὴ ἂν μάτην θρασύνεσθαι. καὶ γὰρ ἐμαυτοῦ κυρίους ὑμᾶς ἐποίησα· καὶ οὐκ ἔφυγον τὸν ἀγῶνα, ἵνα μήτε προδῶ τὴν ἀλήθειαν, μήτ' ἀκύρους ὑμᾶς ἐμοῦ μηδεὶς γένηται, ἀλλ' ὅ τι βούλοισθε, τοῦτο χρήσησθε. παρ' ὧν γὰρ ἁπάντων καλῶν κἀγα-

θῶν ἔτυχον, τούτους ᾤμην δεῖν ἔχειν καὶ ἁμαρτεῖν εἰ βούλοιντο εἰς ἐμέ. ἐπειδὴ δὲ καλῶς ποιοῦσα ἡ δικαία τύχη τῆς ἀδίκου κρατήσασα, δὶς περὶ τῶν αὐτῶν ἀπέδωκεν ὑμῖν βουλεύσασθαι, δεῖ μηδὲν ἀνήκεστον ψηφίσασθαι περὶ ἐμοῦ, σώσατέ με ὦ ἄνδρες ἀθηναῖοι καὶ ψηφίσασθε καὶ ὑμῶν αὐτῶν ἄξια καὶ ἐμοῦ. ἐπ' οὐδενὶ γὰρ τῶν πεπραγμένων ἠδικηκότα με εὑρήσετε. οὐδ' ἐπιτήδειον ἄτιμον εἶναι οὐδ' ἀπολωλέναι. ἀλλὰ καὶ εὔνουν τῷ πλήθει τῷ ὑμετέρῳ τοῖς μάλιστα ὁμοίως ἵνα μηδὲν ἐπίφθονον γράψω. πλεῖστα δὲ τῶν πραγματευμένων τῶν νυνὶ ζώντων ὑπὲρ ὑμῶν. καὶ μέγιστα ὑπάρχοντά μοι κατ' ἐμαυτὸν σύμβολα εὐνοίας πρὸς ὑμᾶς. μηδεὶς δ' ὑμῶν ἡγείσθω με ὦ ἄνδρες ἀθηναῖοι μήτε ἀνανδρίᾳ μήτε ἄλλῃ προφάσει φαύλῃ μηδεμιᾷ παρ' ὅλην τὴν ἐπιστολὴν ὀδύρεσθαι. ἀλλ' ἃ τοῖς παροῦσιν ἕκαστος ἀφθόνως χρῆται, ἐμοὶ δὲ ταῦτα νῦν πάρεστιν ὡς μὴ τ' ὤφελε, λῦπαι καὶ δάκρυα καὶ τῆς πατρίδος καὶ ὑμῶν πόθος, καὶ ὧν πέπονθα λογισμός, ἃ πάντα ποιεῖ με ὀδύρεσθαι. ἃ ἐπισκοποῦντες δικαίως, ἐν οὐδενὶ τῶν πεπολιτευμένων ὑπὲρ ὑμῶν οὔτε μαλακίαν οὔτε ἀνανδρίαν προσοῦσαν εὑρήσετέ μοι. πρὸς μὲν δὴ πάντας ὑμᾶς τοσαῦτα. ἰδίᾳ δὲ τοῖς ἐμοὶ προσκρούουσιν ἐναντίον ὑμῶν βούλομαι διαλεχθῆναι. ὅσα μὲν γὰρ τοῖς ὑφ' ὑμῶν ἀγνοηθεῖσιν ὑπηρετοῦντες ἐποίουν, ἔστω δι' ὑμᾶς αὐτοῖς πεπρᾶχθαι τὸ μηδὲν ἐγκαλῶ. ἐπειδὴ δ' ἐγνώσθη ὑμῖν οἷα ταῦτ' ἐστίν, ἐὰν μὲν ὥσπερ ὑπὲρ τῶν λοιπῶν ἐῶσι καὶ ἐμοὶ συγχωρήσωσι, καλῶς ποιήσουσιν. ἐὰν δ' ἐπηρεάζειν ἐγχειρῶσιν, ὑμᾶς ἀξιῶ μοι βοηθεῖν ἁπάντας. καὶ μὴ κυριωτέραν τὴν τούτων ἔχθραν τῆς παρ' ὑμῶν χάριτός μοι γενέσθαι.

εὐτυχεῖτε.

ΠΕΡΙ ΤΩΝ ΛΥΚΟΥΡΓΟΥ ΠΑΙΔΩΝ.

Ημοσθένης τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. περὶ μὲν τῶν κατ' ἐμαυτόν, ἅ μοι παρ' ὑμῶν ἐνόμιζον δίκαιον εἶναι γενέσθαι, τὴν προτέραν ἔπεμψα πρὸς ὑμᾶς· ὑπὲρ ὧν ὅταν ὑμῖν δοκῇ, τότε συγχωρήσετε· περὶ δὲ ὧν νῦν ἐπέσταλκα, βουλοίμην ἂν ὑμᾶς μὴ παριδεῖν· μηδὲ πρὸς φιλονεικίαν ἀλλὰ πρὸς τὸ δίκαιον ἀκοῦσαι. συμβαίνει γάρ μοι καίπερ ἐκποδὼν διατρίβοντι, πολλῶν ἀκούειν ἐπιτιμώντων ὑμῖν ἐπὶ τοῖς περὶ τοὺς λυκούργου παῖδας γινομένοις. ἐπέστειλα μὲν οὖν ἂν τὴν ἐπιστολὴν καὶ τῶν ἐκείνῳ ζῶντι πεπραγμένων ἕνεκα, ὧν ὁμοίως ἐμοὶ πάντες ἂν αὐτῷ δικαίως ἔχοιτε χάριν εἰ τὰ προσήκοντα βούλοισθε ποιεῖν. ἐκεῖνος γὰρ αὑτὸν ἐν τῷ περὶ τὴν διοίκησιν μέρει τάξας τῆς πολιτείας κατ' ἀρχάς, καὶ περὶ τῶν ἑλληνικῶν καὶ συμμαχικῶν οὐδὲν εἰωθὼς γράφειν, ὅτε καὶ τῶν δημοτικῶν εἶναι προσποιουμένων οἱ πολλοὶ κατέλιπον ὑμᾶς, τότε τοῖς τοῦ δήμου προαιρέσεσι προσένειμεν ἑαυτὸν οὐχ ὅτι δωρεὰς καὶ προσόδους ἐκ τούτων ὑπῆρχε λαμβάνειν. ἀπὸ γὰρ τῶν ἐναντίων πάντα τὰ τοιαῦτα ἐγίνετο· οὐδ' ὅτι ταύτην ἀσφαλεστέραν τὴν προαίρεσιν οὖσαν ἑώρα. πολλοὺς γὰρ καὶ προδήλους εἶχε κινδύνους οὓς ἀναγκαῖον ἦν ὑπομένειν τὸν ὑπὲρ τοῦ δήμου λέγειν καὶ πράττειν προαιρούμενον. ἀλλ' ὅτι δημοτικὸς καὶ φύσει χρηστὸς ἀνὴρ ἦν. καίτοι παρὼν ἑώρα τοὺς μὲν βοηθήσοντας αὐτῷ δήμῳ, ἀσθενεῖς ἐπὶ τοῖς συμβεβηκόσιν ὄντας. τοὺς δὲ τἀναντία πράττοντας, κατὰ πάντα ἐρρωμένους. ἀλλ' ὅμως οὐδὲν ἧττον ἐκεῖνος εἴχετο τούτων ἃ συμφέρειν ἡγεῖτο τῷ δήμῳ. καὶ μετὰ ταῦτα ἀόκνως

καὶ λέγων καὶ πράττων ἃ προσῆκεν ἦν φανερὸς ἐφ' οἷς εὐθὺς ἐξητεῖτο ὡς ἅπαντες ἴσασιν. ἐπέστειλα μὲν οὖν ἂν ὥσπερ εἶπον ἐν ἀρχῇ καὶ διὰ τὴν ἐκείνου χάριν. οὐ μὴν ἀλλὰ καὶ ὑμῖν νομίζων συμφέρειν τὰς παρὰ τοῖς ἔξω γινομένας ἐπιτιμήσεις εἰδέναι, πολλῷ προθυμότερον πρὸς τὸ πέμψαι τὴν ἐπιστολὴν ἔσχον. παραιτοῦμαι δὲ τοὺς ἰδίᾳ πρὸς ἐκεῖνον ἔχοντας δυσκόλως ὑπομεῖναι τἀληθῆ καὶ τὰ δίκαια ἀκούειν περὶ αὐτοῦ. εὖ γὰρ ἴστε ὦ ἄνδρες ἀθηναῖοι ὅτι νῦν ἐκ τῶν περὶ τοὺς παῖδας αὐτοῦ γιγνομένων, φαύλην δόξαν ἡ πόλις λαμβάνει. οὐδεὶς γὰρ τῶν ἑλλήνων ἀγνοεῖ, ὅτι ζῶντα λυκοῦργον ἐτιμᾶθ' ὑμεῖς εἰς ὑπερβολήν. καὶ πολλῶν αἰτιῶν ἐπενεχθεισῶν ὑπὸ τῶν φθονούντων αὐτῷ, οὐδεμίαν πώποθ' εὕρετε ἀληθῆ. οὕτω δ' ἐπιστεύετε αὐτῷ καὶ δημοτικὸν παρὰ πάντας ἡγεῖσθε, ὥστε πολλὰ τῶν δικαίων ἐν τῷ φῆσαι λυκοῦργον ἐκρίνετε. καὶ τοῦθ' ὑμῖν ἐξήρκει. οὐ γὰρ ἂν καὶ τοιοῦτον, μὴ δοκοῦν ὑμῖν. νῦν τοίνυν ἅπαντες ἀκούοντες τοὺς υἱεῖς αὐτοῦ δεδέσθαι, τὸν μὲν τεθνεῶτα ἐλεοῦσι. τοῖς παισὶ δ' ὡς ἀνάξια πάσχουσι συνάχθονται. ὑμῖν δ' ἐπιτιμῶσι πικρῶς ὡς οὐκ ἂν τολμήσαιμι γράφειν ἐγώ. ἃ γὰρ ἄχθομαι τοῖς λέγουσι καὶ ἀντιλέγω καθ' ὅσον δύναμαι βοηθῶν ὑμῖν, ταῦτα ἄχρι μὲν τοῦ δῆλον ὑμῖν ποιῆσαι ὅτι πολλοὶ μέμφονται, συμφέρειν ὑμῖν νομίζων εἰδέναι, γέγραφα. ὅσα μέντοι λοιδορίας χωρὶς ὄντα ὧν λέγουσί τινες, καὶ ἀκηκοέναι συμφέρειν ὑμῖν ἡγοῦμαι, ταῦτα δηλώσω. οὐδεὶς γὰρ ὑπείληφεν ὡς ἄρα ἠγνοήκατε καὶ διεψεύσθητε τῆς ἀληθείας περὶ αὐτοῦ λυκούργου. τό, τε γὰρ τοῦ χρόνου πλῆθος, ὃν ἐξεταζόμενος οὐδὲν πώποθ' εὑρέθη περὶ ὑμᾶς οὔτε φρονῶν οὔτε ποιῶν ἄδικον, καὶ τὸ μηδένα ἀνθρώπων εἰς μηδὲν τῶν ἄλλων ἀναισθησίαν ὑμῶν καταγνῶναι, εἰκότως ἀναιρεῖ τὴν ὑπὲρ

τῆς ἀ

φιλανθρωπίας σκῆψιν. λοιπὸν τοίνυν, ὃ πάντες ἂν εἶναι φαύλων ἀνθρώπων ἔργον φήσαιεν τὸ, ὅσον ἂν χρῆσθέ τῳ χρόνον, τοσοῦτον ἑκάστου φροντίζειν δοκεῖν. μετὰ δὲ ταῦτα μηδένα ἔχειν λόγον. εἰς τί γὰρ τῶν ἄλλων χρὴ προσδοκᾶν τῷ τετελευτηκότι τὴν παρ' ὑμῶν ἔσεσθαι χάριν, ὅταν εἰς τοὺς παῖδας καὶ τὴν εὐδοξίαν τἀναντία ὁρᾷ τις γινόμενα. ὧν μόνων καὶ τελευτῶσι πᾶσιν ὅπως ἕξει καλῶς, μέλει. καὶ μὴν οὐδὲ χρημάτων ποιεῖν ἕνεκα ταῦτα δοκεῖν, τῶν καλῶν κἀγαθῶν ἐστιν. οὔτε γὰρ τῆς μεγαλοψυχίας οὔτε τῆς ἄλλης προαιρέσεως τῆς ὑμετέρας, ἀκόλουθον ἂν φανείη. εἰ γὰρ ὑμᾶς λύσασθαι παρ' ἑτέρων ἔδει, δόντας ἐκ τῶν προσιόντων τὰ χρήματα ταῦτα, πάντας ἂν ἡγοῦμαι προθύμους εἶναι, ὃ λόγῳ καὶ φθόνῳ γέγονεν, οὐκ ἔχω τί καταγνῶ, εἰ μὴ ὅλως πικρῶς καὶ παραχωδῶς ἔχειν πρὸς τοὺς δημοτικοὺς ἡμαρτήκατε. εἰ δὲ τοῦτ' ἔστιν οὐκ ὀρθῶς, οὔτε συμφερόντως βουλεύεσθαι ἔγνωκα. θαυμάζω δ' εἰ μηδεὶς ὑμῶν ἐννοεῖ, ὅτι τῶν αἰσχρῶν ἐστι τὸν δῆμον τῶν ἀθηναίων συνέσει καὶ παιδείᾳ πάντων προέχειν δοκοῦντα, ὃς καὶ τοῖς ἀτυχήμασιν ἀεὶ κοινὴν ἔχει καταφυγὴν, ἀγνωμονέστερον φαίνεσθαι Φιλίππου, ὃς ἀνουθέτητος ὢν εἰκότως, τραφεὶς ἐν ἐξουσίᾳ, ὅμως ᾤετο δεῖν, ἐν οἷς εὐτύχησε, μάλιστα τἀνθρώπινα πράττων φαίνεσθαι. καὶ τοὺς παραταξαμένους πρὸς οὓς περὶ τῶν ὅλων διεκινδύνευσεν οὐκ ἐτόλμησε δηλῶσαι, τίνων καὶ τίνες εἰσὶν ἐξετάσας. καὶ γὰρ ὡς ἔοικεν ὁμοίως τῶν παρ' ὑμῖν ῥητόρων ἐνίοις, οὔτε δίκαια εἶναι πρὸς ἅπαντας τὰ αὐτὰ οὔτε καλὰ ἡγεῖτο. ἀλλὰ τὴν τῆς ἀξίας προσθήκην συλλογιζόμενος, τὰ τοιαῦτ' ἐπέκρινεν. ὑμεῖς δ' ὄντες ἀθηναῖοι καὶ παιδείας μετέχοντες, ἣ καὶ τοὺς ἀμαθήτους ἀνεκτοὺς ποιεῖν δοκεῖ γίνεσθαι, πρῶτον μὲν ὃ

πάντων ἀγνωμονέστατόν ἐστι, περὶ ὧν τὸν πατέρα αἰτιῶνταί τινες τοὺς υἱεῖς δεδέχατε. εἶτα τὸ ταῦτα ποιεῖν ἴσον φατέ, ὥσπερ ὑπὲρ σταθμῶν ἢ μέτρων τὸ ἴσον σκοπούμενοι. ἀλλ' οὐχ ὑπὲρ ἀνδρῶν προαιρέσεως καὶ πολιτείας βουλευόμενοι. ἐν οἷς ἐξεταζομένοις, εἰ μὲν χρηστὰ καὶ δημοτικὰ καὶ ἐπ' εὐνοίᾳ τῷ Λυκούργῳ πεπραγμένα φαίνεται, μηδενὸς κακοῦ, ἀλλὰ καὶ πάντων τῶν ἀγαθῶν τοὺς παῖδας αὐτοῦ δίκαιόν ἐστι τυγχάνειν παρ' ὑμῶν. εἰ δὲ τἀναντία τούτων, ἐκεῖνον ὅτε ἔζη, ἔδει δίκην διδόναι. τούτους δὲ μηδ' ὥς ἐφ' οἷς ἐκείνῳ τις ἐγκαλεῖ, τυγχάνειν ὀργῆς. πᾶσι γὰρ πάντων τῶν ἁμαρτημάτων ὅρος ἐστὶ τελευτή. ἐπεὶ εἰ οὕτως ἕξετε, ὥστε οἱ μὲν ἀπεχθέντες τι τοῖς ὑπὲρ τοῦ δήμου πολιτευομένοις μηδὲ πρὸς τελευτήσαντας διαλλαγήσονται, ἀλλὰ καὶ τοῖς παισὶ τὴν ἔχθραν διαφυλάξουσιν. ὁ δὲ δῆμος ᾧ συναγωνίζεται τῶν δημοτικῶν ἕκαστος μέχρι τοῦ παρόντος χρῆσθαι μνημονεύσει τὰς χάριτας, μετὰ ταῦτα δὲ μηδὲν φροντιεῖ, οὐδὲν ἀθλιώτερον ἔσται τοῦ τὴν ὑπὲρ τοῦ δήμου τάξιν αἱρεῖσθαι. εἰ δὲ Μοιροκλῆς ἀποκρίνεται ταῦτα μὲν σοφώτερα ἢ καθ' ἑαυτὸν εἶναι, ἵνα δὲ μὴ ἀποδρῶσιν, αὐτὸς αὐτοὺς δῆσαι, ἐρωτήσατε τοῦτον ἡνίκα Ταυρέας καὶ Πάταικος καὶ Ἀριστογείτων καὶ αὐτὸς, εἰς τὸ δεσμωτήριον παραδοθέντες οὐ μόνον οὐκ ἐδέδεντο, ἀλλὰ καὶ ἐδημηγόρουν, τί δήποτε οὐχ ἑώρα τὰ δίκαια ταῦτα. εἰ δὲ μὴ φήσει τοῦ ἄρχειν, οὐδὲ λέγειν, ἐκ τῶν νόμων αὐτῷ προσήκει· ὥστε πῶς ἴσον ἐστί, τοὺς μὲν ἄρχειν οἷς μηδὲ λέγειν ἔξεστι, τοὺς δὲ δεδέσθαι, ὧν πολλὰ χρήσιμος ἦν ὑμῖν ὁ πατήρ. ἐγὼ μὲν οὖν οὐκ ἔχω συλλογίσασθαι. εἰ μὴ τοῦτο δεῖξαι δημοσίᾳ βούλεσθε, ὅτι βδελυρία καὶ ἀναίδεια καὶ προαίρεσις πονηρίας ἐν τῇ πόλει ἰσχύει· καὶ διασωθῆναι πλείω προσδοκίαν ἔχει. κἄν τι συμβῇ χαλεπὸν τοῖς τοιούτοις, ἀπόλυσις γίνεται. ἐν δὲ προαιρέσει χρηστῇ καὶ βίῳ σώφρονι καὶ δημοτικῷ προελέσθαι ζῆν,

σφαλερόν. κἄν τι γένηται ψήφισμα, ἄφυκτον ἔσται. ἔτι τοίνυν τὸ
μὲν μὴ δίκαιον εἶναι τὴν ἐναντίαν δόξαν ἔχειν ἢ ὅτε ζῶντος εἶχέ τις
ἐκείνου, καὶ τὸ τῶν τε τετελευτηκότων ἢ τῶν παρόντων πλείω ποιεῖ-
σθαι λόγον δίκαιον εἶναι, καὶ πάντα τὰ τοιαῦτα, ἐάσω. παρὰ πᾶ-
σιν ὁμολογεῖσθαι ταῦτα ὑπείληφα. ὅσοις μέντοι παισὶ καὶ εὐερ-
γεσίας ἀπεμνημονεύσατε τῶν ἄλλων, ἡδέως ἂν ἴδοιμι ὑμᾶς καὶ
πολλῶν ἑτέρων ἀπογόνοις. οὐχ ὡς ἐπιτιμῶν δὲ ταῦτα παρήνεγκα
τοσούτου δέω τοῦτο ποιεῖν, ὥστε συμφέρειν μάλιστα τῇ πόλει τὰ
τοιαῦτα κρίνω. προκαλεῖσθαι γὰρ πάντας ἐκ τούτων δημοτι-
κοὺς εἶναι ὁρῶντας ὅτι κἂν ἐν τῷ καθ' ἑαυτοὺς βίῳ τοῖς προσήκου-
σαις αὐτῶν τιμαῖς ὁ φθόνος ἀντιστῇ, τοῖς γε παισὶν ὑπάρξει τὰ προ-
σήκοντα παρ' ὑμῶν κομίσασθαι. πῶς οὖν οὐκ ἄτοπον, μᾶλλον δὲ
καὶ αἰσχρόν, τῶν μὲν ἄλλων τισὶ καὶ παλαιῶν ὄντων τῶν χρόνων κα-
θ' οὓς ἐγένοντο χρήσιμοι, δι' ὧν ἀκούετε τὰς εὐεργεσίας, οὐκ ἐξ ὧν
ἑωράκατε ὑπειληφότας, ὅμως τὴν δικαίαν εὔνοιαν διασώζειν.
Λυκούργῳ δὲ οὕτως ὑπογύου καὶ τῆς πολιτείας καὶ τῆς τελευτῆς
γεγονυίας, μηδὲ ἕως ἂν καὶ τοῖς ἀσυνόμοσι καὶ ὑφ' ὧν ἠδικεῖσθε ἕτοι-
μοι τὸν ἄλλον ἢ τε χρόνον εἰς ἔλεον καὶ φιλανθρωπίαν, μηδὲ ἕως τὰ
θ' ὑμᾶς αὐτοὺς ὁμοίους παρέχειν ἐν ταὐτοῖς τοὺς παῖδας αὐτοῦ
γινομένης τῆς τιμωρίας. οὓς κἂν ἐχθρὸς εἴ τις, μέτριος δὲ ἦν καὶ
λογισμὸν ἔχων, ἐλεῆσαι. θαυμάζω τοίνυν καὶ τοῦτ' εἴ τις ὑμῶν ἀ-
γνοεῖ, ὡς οὐδὲ τοῦτο συμφέρει τῇ πολιτείᾳ φανερὸν γιγνόμενον.
ὅτι τοῖς μὲν ἄλλοις τινὰ κτησαμένοις φιλίαν καὶ κατορθοῦσιν, ἐν
πᾶσι πλεονεκτεῖν ὑπάρχει· κἂν ἀτυχήσωσί τι, ῥᾳδίας εἶναι τὰς
λύσεις. τοῖς δὲ εἰς τὸν δῆμον αὑτοὺς τάξασιν ἑαυτούς, ὁμοῦ τῶν τ' ἄλλων ἔλατ-
τον ἔχειν ὑπάρξει, ἀλλὰ καὶ τὰς συμφορὰς βεβαίας τούτοις μόνοις τῶν
ἄλλων μένειν. ἀλλὰ μὴν ὅτι τοῦθ' οὕτως γίνεται, ῥᾴδιον δεῖξαι. τίς γὰρ

οὐκ οἶδεν ὑμῶν Λάχητι τῷ Μελανώπου, ἁλόντι μὲν ὁμοίως ἐν
δικαστηρίῳ συμβάν, ὡς καὶ νῦν τοῖς Λυκούργου παισίν. ἀφεθῆναι
δὲ ἅπαν τὸ ὄφλημα ἐπιστείλαντος Ἀλεξάνδρου· καὶ πάλιν Μνησι-
βούλῳ τῷ Ἀχαρνεῖ ἁλόντι μὲν ὁμοίως κατὰ γνῶσιν αὐτοῦ τοῦ δι-
καστηρίου, ὥσπερ καὶ τῶν Λυκούργου παίδων, ἀφεθῆναι δὲ κα-
λῶς ποιοῦντι· ἄξιος γὰρ ἀνήρ· καὶ οὐδεὶς ἂν ἐπὶ τούτοις τοὺς νό-
μους ἔφη καταλύεσθαι τῶν νῦν βοώντων. εἰκότως. οὐ γὰρ κατελύ-
οντο. εἴπερ ἅπαντες οἱ νόμοι τῶν δικαίων ἕνεκα καὶ σωτηρίας τῶν
χρηστῶν ἀνθρώπων τίθενται. καὶ μήτε ἀιδίους τοῖς ἀτυχήσασι κα-
θιστάναι τὰς συμφορὰς συμφέρει, μήτ' ἀχαρίστους ὄντας φαίνε-
σθαι. ἀλλὰ μὴν εἴ γε τοῦθ' οὕτως ὥσπερ ἂν φήσαιμεν ἔχειν συμφέ-
ρει, οὐ μόνον τοὺς νόμους οὐ κατελύετε, ἡνίκα ἐκείνους ἠφίετε,
ἀλλὰ καὶ τοὺς βίους ἐσώζετε τῶν τοὺς νόμους θεμένων ἀνθρώπων,
Λάχητα μὲν πρὸς χάριν δεηθέντος Ἀλεξάνδρου ἀφέντες. Μνησίβου-
λον δὲ τῇ τοῦ βίου σωφροσύνῃ σώσαντες. μὴ τοίνυν τὸ κτήσασθαι
τὴν ἔξωθεν φιλίαν λυσιτελέστερον δείκνυτε, ἢ τὸ τῷ δήμῳ παρα-
καταθέσθαι ἑαυτόν. μηδὲ τὸ τῶν ἀγνώτων εἶναι κρεῖττον ἢ τοῖς
πολλοῖς ὑμῖν τὰ συμφέροντα πολιτευόμενον γιγνώσκεσθαι. τὸ
μὲν γὰρ πᾶσιν ἀρέσκειν τὸν συμβουλεύοντα καὶ τὰ κοινὰ πράττον-
τα, ἀδύνατον. ἐὰν δὲ ἐπ' εὐνοίᾳ ταῦτα τῷ δήμῳ τις φρονῇ, δίκαι-
ός ἐστι σῴζεσθαι. εἰ δὲ μὴ καὶ θεραπεύειν ἑτέρους μᾶλλον ἢ τὸν δῆ-
μον ἅπαντας διδάξετε. καὶ φυγεῖν τὸ τῶν ὑμῖν συμφερόντων
ποιοῦντά τι γνωσθῆναι. ὅλως δὲ κοινόν ἐστιν ὄνειδος ἄνδρες Ἀθηναῖοι
καὶ ὅλης τῆς πόλεως συμφορά, τὸν φθόνον δοκεῖν μεῖζον ἰσχύειν πα-
ρ' ὑμῖν, ἢ τὰς τῶν εὐεργεσιῶν χάριτας. καὶ ταῦτα, τοῦ μὲν νοσή-
ματος ὄντος. τῶν δὲ, τοῖς θεοῖς ἀποδεδειγμένων. καὶ μὴν οὐδὲ τὸν

πυθέα παραλείψω τὸν μέχρι τῆς παρόδου δημοτικόν· μετὰ ταῦτα δ' ἕτοιμον εἰς τὰ καθ' ὑμῶν πάντα. τίς γὰρ οὐκ οἶδε τοῦτον ὅτε μὲν τὴν ὑπὲρ ὑμῶν τάξιν ἔχων εἰς τὸ πολιτεύεσθαι παρῄει, ὡς δοῦλον ἐλαυνόμενον καὶ γραφὴν ξενίας φεύγοντα καὶ μικροῦ πραθέντα ὑπὸ τούτων, οἷς νῦν ὑπηρετῶν, τοὺς κατ' ἐμοῦ λόγους ἔγραφεν. ἐπειδὴ δ' ἃ κατηγόρει τότε τῶν ἄλλων, νῦν αὐτὸς πράττει, εὐποροῦντα μὲν οὕτως, ὥστε δύ' ἔχειν ἑταίρας, αἳ μέχρι φθόης καλῶς ποιοῦσαι προπεπόμφασιν αὐτόν· πέντε τάλαντα δ' ὀφλόντα ῥᾷδιον ἐκτῖσαι, ἢ πέντε δραχμὰς ἀνέξεσθαι πρότερον, πρὸς δὲ τούτοις παρ' ὑμῶν τοῦ δήμου, οὐ μόνον τῆς πολιτείας μετειληφότα, ὃ κοινὸν ὄνειδός ἐστιν ἅπασιν, ἀλλὰ καὶ θύοντα ὑπὲρ ὑμῶν τὰς πατρῴους θυσίας ἐν Δελφοῖς. ὅταν οὖν τοιαῦτα καὶ τηλικαῦτα πᾶσιν ἰδεῖν ᾖ παραδείγματα, ἀφ' ὧν ἀλυσιτελὲς προελέσθαι τὰ τοῦ δήμου πᾶς τις ἂν κεῖναι, φοβοῦμαι μὴ ποτ' ἔρημοι τῶν ὑπὲρ ὑμῶν ἐρούντων γένησθε. ἄλλως τε καὶ ὅταν τῶν δημοτικῶν τοῖς μὲν, ἡ καθήκουσα μοῖρα καὶ ἡ τύχη καὶ ὁ χρόνος παραιρῆται, οἷον ναυσικλέα καὶ χάρητα καὶ διότιμον καὶ μενεσθέα καὶ εὔδοξον· ἔτι δ' εὔδημον καὶ ἐφιάλτην καὶ λυκοῦργον· τοὺς δ' ὑμεῖς προῆσθε, ὥσπερ χαρίδημον καὶ φιλοκλέα καὶ ἐμὲ, ὧν ἑτέρους εὐνουστέρους οὐδ' αὐτοὶ νομίζετε· εἰ δ' ὁμοίους τινὰς, οὐ φθονῶ· βουλοίμην δ' ἂν εἴπερ ὑμεῖς δικαίως αὐτοῖς προσοίσεσθε καὶ μὴ ταὐτὰ ἅπερ ὑμεῖς πείσονται, ὡς πλείστους αὐτοὺς γενέσθαι. ἀλλ' ὅταν γε τοιαῦτα οἷα τὰ νῦν παραδείγματα ἐκφέρητε, τίς ἐστιν ὅστις εἰς ταύτην τὴν τάξιν ἑαυτὸν γνησίως ὑμῖν ἐθελήσει δοῦναι· ἀλλὰ μὴν τῶν γε προσποιησομένων οὐκ ἀπορήσετε· οὐδὲ γὰρ πρότερον. μὴ γένοιτο δ' ἰδεῖν ἐξελεγχθέντας αὐτοὺς ὁμοίως ἐκείνοις, οἳ φανερῶς ἃ τότε ἠρνοῦν

τῶν πολιτευόμενοι οὐδένα ὑμῶν οὔτε δεδοίκασιν οὔτε αἰσχύνονται ἃ χρὴ λογιζομένους ὦ ἄνδρες ἀθηναῖοι, μήτε τῶν ἄλλων ὀλιγωρεῖν, μήτε τοῖς προάγουσιν εἰς ἐπιείκειαν καὶ ὁμότητα τὴν πόλιν πείθεσθαι. πολὺ γὰρ μᾶλλον εὐνοίας καὶ φιλανθρωπίας τὰ παρόντα πράγματα δεῖται, ἢ ταραχῆς καὶ δυσμενείας. ὧν ὑπερβολῇ χρώμενοί τινες ἐργολαβοῦσι καθ' ὑμῶν εἰς ὑποδοχὴν πραγμάτων. ὧν διαψεύσειεν αὐτοὺς ὁ λογισμός. εἰ δέ τις ὑμῶν διασύρει ταῦτα, πολλῆς οὐκ ἔστιν εὐηθείας μεστός. εἰ γὰρ ἃ μηδεὶς ἂν ἤλπισεν ὁρῶν γεγενημένα ἃ πρότερον γέγονε τοῦ δήμου πρὸς τοὺς ὑπὲρ αὐτοῦ λέγοντας ὑπ' ἀνθρώπων ἐγκαθέντων, διαβληθέντες νῦν μὴ ἂν οἴεται γενέσθαι, πῶς οὐ τετύφωται; ταῦτα γὰρ εἰ μὲν παρῆν, λέγων ἂν ὑμᾶς ἐδίδασκον. ἐπειδὴ δ' ἐν τοῖς τοιούτοις εἰμί, ἐν οἷς εἴ τις ἐμοῦ κατέψευσται ἐφ' οἷς ἀπωλα γένοιτο, γράψας ἐπέσταλκα. πρῶτον μὲν τὸ πλεῖστον λόγον ποιούμενος τοῦ καλοῦ καὶ τοῦ συμφέροντος ὑμῖν. δεύτερον, δι' ὅτι τὴν αὐτὴν εὔνοιαν ἣν πρὸς ζῶντα λυκοῦργον εἶχον, δίκαιον εἶναι νομίζω καὶ πρὸς τοὺς παῖδας αὐτοῦ φαίνεσθαι ἔχων. εἰ δέ τῳ παρέστηκεν ὡς πολύ μοι περίεστι τῶν ἐμαυτοῦ πραγμάτων, οὐκ ἂν ὀκνήσαιμι πρὸς τοῦτον εἰπεῖν, ὅτι τῶν συμφερόντων ὑμῖν καὶ τοῦ μηδένα τῶν φίλων ἐγκαταλιπεῖν, ὁμοίως ὥσπερ τῆς ἐμαυτοῦ σωτηρίας φροντίζω. οὔκουν ἐκ τοῦ περιόντος ταῦτα ποιῶ. ἀλλ' ἀπὸ τῆς αὐτῆς σπουδῆς καὶ προαιρέσεως καὶ ταῦτα κἀκεῖνα μιᾷ γνώμῃ πραγματεύομαι. περίεστι δέ μοι ταῦτα, οἷα τοῖς κακόν τι νοοῦσιν ὑμῖν περιγένοιτο. καὶ περὶ μὲν τούτων ἱκανά. ἡδέως δ' ἂν ὑμῖν τὴν ἐπ' εὐνοίᾳ καὶ φιλίᾳ μέμψιν ποιησαίμην νῦν μὲν ἐν κεφαλαίῳ. μικρῷ δ' ὕστερον δι' ἐπιστολῆς μακρᾶς. ἣν ἐάνπερ ἐγὼ ζῶ προσδοκᾶτε ἂν μὴ τὰ δίκαια γένηταί μοι παρ' ὑμῶν πρότερον. οἵτινες ὦ πῶς ἂν

εἰπὼν

εἰπὼν μήθ' ἁμαρτεῖν δοκοίην, μήτε ψευδοίμην λίαν ὀλίγωρος.
ὑπὲρ τοὺς ἀγῶνας οὔθ' ὑμᾶς αὐτοὺς αἰσχύνεσθε, ἐφ' οἷς ἀριστογείτονα ἀ-
φείκατε, ἐπὶ τούτοις δημοσθένην ἐκβεβληκότες. καὶ ἃ τοῖς τολ-
μῶσι μηδὲν ὑμῶν φροντίζειν, μὴ λαβοῦσι παρ' ὑμῶν ἔξεστιν ἔχειν,
ταῦτ' οὐ δεδόντες ἐμοὶ ἵνα οἷός τε ὦ τά τε ὀφειλόμενα εἰσπρά-
ξας καὶ τοὺς φίλους ἐρανίσας τὰ πρὸς ὑμᾶς διοικήσω. καὶ μὴ γῆρας
καὶ ψυχὴν ἐπὶ χεῖρα τῶν ὑπὲρ ὑμῶν πεπονημένων ἔχων, κοινὸν ὄνει-
δος τῶν ἀδικησάντων ἐπὶ ξένης περιιὼν ὁρῶμαι. βουλομένου δέ μου
ἐν μὲν ὑμετέρας χάριτος καὶ μεγαλοψυχίας τάξει τὴν οἴκαδέ μοι
ἄφιξιν γενέσθαι, ἐμαυτῷ δὲ λύσιν τῆς γεγενημένης οὐ δικαίως βλασφη-
μίας κρίσασθαι, καὶ μόνον αἰτοῦντος ἄδειαν ὅσονπερ χρόνον τὴν ἔκτισιν
δεδώκατε, ταῦτα μὲν οὐ συγχωρεῖτε. ἐρωτᾶτε δ' ὡς ἀπαγγέλλεται
πρὸς ἐμέ, τίς οὖν αὐτὸν κωλύει παρεῖναι καὶ ταῦτα πράττειν; τὸ ἐ-
πίστασθαι, αἰσχύνεσθαι ὦ ἄνδρες ἀθηναῖοι. καὶ τὸ ἀναξίως τῶν ὑπὲρ ὑ-
μῶν πεπολιτευμένων πράττειν, καὶ τὸ τὰ ὄντα ἀπολωλεκέναι
διὰ τούτους, ἵνα μὴ διπλᾶ κατάθωνται, ἃ οὐκ ἠδύναντο ἁπλᾶ.
ἐπειδὴ ὑπογράψασθαι τὴν ἀρχὴν τὰς καταβολάς, παρ' ὧν με-
τὰ μὲν τῆς ὑμετέρας εὐνοίας ἀφικόμενος, μέρος εἰ καὶ μὴ πάντα
ἴσως ἀνακομισαίμην, ὥστε μηδὲν ἀσχημονεῖν τὸ λοιπὸν τοῦ βίου.
ἂν δὲ ὡς οἱ ταῦτα λέγοντες ἀξιοῦσί με ἔλθω, ἅμα ἀδοξίᾳ καὶ ἀπορίᾳ
καὶ φόβῳ συνέξομαι. ὧν οὐδὲν ὑμεῖς συλλογίζεσθε. ἀλλὰ ῥημά-
των μοι καὶ φιλανθρωπίας φθονοῦντες ἂν οὕτω τύχῃ δι' ὑμᾶς,
περιόψεσθε ἀπολούμενον. οὐ δ' ἂν δεηθείην ἄλλου ἢ ὑμῶν. καὶ τότε
φήσετε δεινὰ πεπονθέναι με ἀκριβῶς οἶδα, ὅτε οὔτ' ἐμοὶ πλέον
οὐδέν, οὔθ' ὑμῖν ἔσται. οὐ γὰρ χρήματα τά γ' εἶναί μοι προσδοκᾶτε,
ἔξω τῶν φανερῶν ὧν ἀφίσταμαι. καὶ τὰ λοιπὰ βούλομαι συναγα-

γεῖν, ἐάν μοι μὴ φιλονείκως ἀλλ' ἀνθρωπίνως δῶτε τὸ πρὸς τοῦτοις ἀσφαλῶς εἶναι. καὶ μὴν οὐδὲ παρ' Ἁρπάλου με λαβόντα δείξετε. οὔτε γὰρ ἠλέγχθην, οὔτ' ἔλαβον. εἰ δὲ τὸ φανὲς ἀξίωμα τῆς βουλῆς ἢ τὸν Ἄρειον πάγον προσβλέπετε, τῆς Ἀριστογείτονος κρίσεως ἀναμνησθέντες, ἐγκαλύψασθε. οὐ γὰρ ἔχω τούτου πρᾳότερον πρόσταγμα τοῖς τοιοῦτ' ἐξημαρτηκόσιν εἰς ἐμέ. οὐ γὰρ δήπου τοῖς αὐτοῖς λόγοις ὑπὸ τῆς αὐτῆς βουλῆς ἀποφανθέντα ἐκεῖνον μὲν ἀφεῖσθαι δίκαιον εἶναι φήσετε. ἐμὲ δὲ ἀπολωλέναι. οὐχ οὕτως ὑμεῖς ἀλογίστως ἔχετε. οὔτε γὰρ ἄξιος οὔτε ἐπιτήδειος οὔτε χείρων, ἀτυχὴς μέντοι δι' ὑμᾶς ὁμολογῶ. πῶς γὰρ οὐκ ἀτυχὴς ᾧ πρὸς τοῖς ἄλλοις κακοῖς καὶ πρὸς Ἀριστογείτονα ἐμαυτὸν ἐξετάζειν συμβαίνει. καὶ ταῦτα πολλῷ ὅτι πρὸς σωτηρίας τετυχηκότα. καὶ μή με ὑπολαμβάνετε ὀργίζεσθαι τοῖς λόγοις τούτοις. οὐ γὰρ ἂν πάθοιμι τοῦτο πρὸς ὑμᾶς ἐγώ. ἀλλ' ἔχει τινὰ τοῖς ἀδικουμένοις ῥᾳστώνην τὸ λέγειν ἃ πάσχουσιν, ὥσπερ τοῖς ἀλγοῦσι τὸ στένειν. ἐπεὶ τῇ γε εὐνοίᾳ οὕτως ἔχω πρὸς ὑμᾶς, ὡς ὑμᾶς ἂν εὐξαίμην πρὸς ἐμέ. καὶ τοῦτ' ἐν πᾶσι πεποίηκα καὶ ποιήσω φανερόν. ἔγνωκα γὰρ ἐξ ἀρχῆς παντὶ τῷ πολιτευομένῳ προσήκειν ὥσπερ ὁ δίκαιος πολίτης, ὥσπερ οἱ παῖδες πρὸς τοὺς γονέας, οὕτως πρὸς ἅπαντας τοὺς πολίτας ἔχειν. εὔχεσθαι μὲν ὡς εὐγνωμονεστάτων τυγχάνειν. φέρειν δὲ τοὺς ὄντας εὐμενῶς. ἡ γὰρ ἐν τοῖς τοιούτοις ἧττα καλὴ καὶ προσήκουσα νίκη παρὰ τοῖς εὖ φρονοῦσι γίνεται.

Εὐτυχεῖτε

ΠΡΟΣ ΤΑΣ ΘΗΡΑΜΕΝΟΥΣ ΒΛΑΣΦΗΜΙΑΣ.

Δημοσθένης τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. ἀκούω περὶ ἐμοῦ Θηραμένην ἄλλους τε λόγους βλασφήμους εἰρηκέναι καὶ δυστυχίαν προφέρειν. τὸ μὲν οὖν τοῦτον ἀγνοεῖν ὅτι λοιδορίας ἣ μηδεμίαν κακίαν καθ' ὅτου λέγεται δείκνυσιν, οὐδέν ἐστ' ὄφελος παρὰ τοῖς εὖ φρονοῦσιν ἀνθρώποις, οὐχὶ θαυμάζω. τὸν γὰρ θρασὺν μὲν τῷ βίῳ, μὴ πολίτην δὲ τὴν φύσιν, ἐν ἐργαστηρίῳ δὲ τεθραμμένον ἐκ παιδὸς, αἰσθάνεσθαί τι τῶν τοιούτων, εὐλογώτερον ἦν ἢ μὴ συνιέναι. τούτῳ μὲν οὖν, ἐὰν ἀφίκωμαί ποτε καὶ σωθῶ, πειράσομαι διαλεχθῆναι περὶ ὧν εἰς ἐμὲ καὶ περὶ ὧν εἰς ὑμᾶς παροινεῖ. καὶ νομίζω καίπερ οὐδὲν μετέχοντα τοῦ αἰσχύνεσθαι, μετριώτερον αὐτὸν ποιήσειν. ὑμῖν δὲ τοῦ κοινῇ συμφέροντος ἕνεκα, βούλομαι δι' ἐπιστολῆς οὓς περὶ τούτων ἔχω λόγους δηλῶσαι. οἷς πάνυ τὸν νοῦν προσέχοντες ἀκούσατε. οἴομαι γὰρ αὐτοὺς οὐκ ἀκοῆς μόνον ἀλλὰ καὶ μνήμης ἀξίους εἶναι. ἐγὼ τὴν πόλιν τὴν ὑμετέραν εὐτυχεστάτην πασῶν πόλεων ὑπολαμβάνω καὶ θεοφιλεστάτην. καὶ ταῦτα οἶδα καὶ τὸν Δία τὸν Δωδωναῖον καὶ τὴν Διώνην καὶ τὸν Ἀπόλλω τὸν Πύθιον ἀεὶ λέγοντας ἐν ταῖς μαντείαις καὶ προσεπισφραγιζομένους τὴν ἀγαθὴν τύχην ἐν τῇ πόλει εἶναι τῇ παρ' ὑμῖν. ὅσα τοίνυν περὶ τῶν ἐπιόντων δηλοῦσιν οἱ θεοὶ, δῆλον ὡς προλέγουσι. τὰς δὲ ἐπὶ τῶν παρεληλυθότων προσηγορίας ἐπὶ ταῖς γεγονυίαις πράξεσι τίθενται. ἃ τοίνυν ἐγὼ πεπολίτευμαι παρ' ὑμῖν, τῶν ἤδη γεγενημένων ἐστὶν, ἀφ' ὧν εὐτυχεῖς ὑμᾶς προσηγορεύκασιν οἱ θεοί. πῶς οὖν δίκαιον τοὺς μὲν πεισθέντας εὐτυχεῖς ὀνομάζεσθαι, τὸν ᾧ πείσονται, τῆς ἐναντίας προσηγορίας τυγχάνειν. πλὴν εἰ τοῦτό τις εἴποι τὴν μὲν

onfer cū eo
qui est in ipse

κοινὴν εὐτυχίαν ἧς ἐγὼ σύμβουλος, θεοὺς τοὺς λέγοντας εἶναι, οἷς
οὐθέμις ψεύδεσθαι· τὴν δ' ἰδίαν βλασφημίαν, ἣν κατ' ἐμοῦ κέχρη-
ται θηραμένης θρασὺν καὶ ἀναιδῆ καὶ οὐδὲ νοῦν ἔχοντ' ἄνθρωπον
εἰρηκέναι. οὐ τοίνυν μόνον τοῖς παρὰ τῶν θεῶν μαντείαις ἀγα-
θὴν οὖσαν εὑρήσετε, ἣ κέχρησθε τύχῃ, ἀλλὰ καὶ ἐξ αὐτῶν τῶν ἔργων
θεωροῦντες ἂν ἐξετάζητε ὀρθῶς. ὑμεῖς γὰρ εἰ μὲν ὡς ἄνθρωποι
τὰ πράγματα βούλεσθε θεωρεῖν, εὐτυχεστάτην εὑρήσετε ἀφ' ὧν
ἐγὼ συνεβούλευσα τὴν πόλιν γεγονυῖαν· εἰ δ' ἃ τοῖς θεοῖς ἐξαίρετ' ὑ-
πάρχει μόνοις, τούτων ἀξιώσετε τυγχάνειν, ἀδυνάτων ἐφίεσθε. τί οὖν
ἐστὶ θεοῖς ἐξαίρετον, ἀνθρώποις δ' οὐ δυνατόν; ἁπάντων τῶν ἀγα-
θῶν ἐγκρατεῖς ὄντας κυρίους εἶναι καὶ αὐτοὺς ἔχειν καὶ δοῦναι
τοῖς ἄλλοις. φλαῦρον δὲ μηδὲν μηδέποτε παντὶ τῷ αἰῶνι μήτε
παθεῖν μήτε μελλῆσαι. ὧν μὴν ὑποκειμένων τούτων ὥσπερ προ-
σήκει, σκοπεῖτε τὰ ὑμέτερα αὐτῶν πρὸς τὰ τῶν ἄλλων ἀνθρώ-
πων. οὐδεὶς γὰρ οὕτως ἐστὶν ἀγνώμων, ὅστις ἂν ἢ τὰ Λακεδαι-
μονίοις συμβεβηκότα οἷς οὐκ ἐγὼ συνεβούλευον, ἢ τὰ Πέρσαις
πρὸς οὓς οὐδὲ ἀφικόμην πώποτε, αἱρετώτερα φήσειεν εἶναι τῶν
ὑμῖν παρόντων. καὶ ἐῶ Καππαδόκας καὶ Σύρους καὶ τοὺς τὴν Ἰν-
δικὴν χώραν κατοικοῦντας ἀνθρώπους ἐπ' ἐσχάτων γῆς. οἷς ἅπασι
συμβέβηκε πολλὰ καὶ δεινὰ πεπονθέναι καὶ χαλεπά. ἀλλὰ μὴ
διὰ τούτων μὲν ἄμεινον ὑμᾶς πράττειν ἅπαντες ὁμολογήσουσι·
Θετταλῶν δὲ καὶ Ἀρκάδων καὶ Ἀργείων χεῖρον ἤ τινων ἄλλων. οἷς
ἐν συμμαχίᾳ συνέβη γενέσθαι Φιλίππῳ. ἀλλὰ τούτων καὶ πολὺ
βέλτιον ἀπηλλάχατε. οὐ μόνον τῷ μὴ δεδουλωκέναι, καίτοι τί
τηλικοῦτ' ἕτερον, ἀλλὰ καὶ τῷ τοὺς μὲν πάντας αἰτίους εἶναι δο-
κεῖν τῶν τοῖς Ἕλλησι κακῶν συμβεβηκότων διὰ Φιλίππου καὶ τῆς

δουλείας

δουλείας, ἐξ ὧν εἰκότως μισοῦνται. ὑμᾶς δ' ὁρᾶσθαι ὑπὲρ τῶν Ἑλλήνων καὶ σώμασι καὶ χρήμασι καὶ πόλει καὶ χώρᾳ καὶ πᾶσιν ἠγωνισμένους. ἀνθ' ὧν εὔκλειαν εἰκὸς ὑπάρχειν καὶ χάριν ἀθάνατον παρὰ τῶν τὰ δίκαια βουλευομένων τυχεῖν. οὐκοῦν ἀφ' ὧν ἐγὼ συνεβούλευσα, τὰ μὲν αὐτίκα πάντων ἄριστα πράττειν τῇ πόλει συμβέβηκε. τὰ δὲ συνηγανις μὲν ἂν ἐνδοξοτέραν εἶναι πεπεῖσθαι. τοιγαροῦν ἐπὶ τούτοις οἱ θεοὶ τὰς μὲν μαντείας τὰς ἀγαθὰς ὑμῖν διδόασι. τὴν δ' ἄδικον βλασφημίαν, εἰς κεφαλὴν τῷ λέγοντι τρέπουσι. γνοίη δ' ἄν τις, εἰ προέλοιτο ἐξετάσαι τὰ ἐπιτηδεύματα ἐν οἷς ζῇ. ἃ γὰρ ἂν καταράσαιτό τις αὐτῷ, ταῦτ' ἐκ προαιρέσεως ποιεῖ. ἐχθρὸς μὲν ἐστὶ τοῖς γονεῦσι. φίλος δὲ Παυσανίᾳ τῷ πόρνῳ καὶ θρασύνεται μὲν ὡς ἀνήρ. πάσχει δ' ὡς γυνή. καὶ τοῦ μὲν πατρός ἐστι κρείττων. τῶν δ' αἰσχρῶν ἥττων. οἷς δ' ὑπὸ πάντων δυσχεραίνεται, τούτοις τὴν διάνοιαν ἀγάλλεται. αἰσχρορρημοσύνῃ καὶ τῷ διηγεῖσθαι ταῦτ' ἐφ' οἷς ἀλγοῦσιν οἱ ἀκούοντες. ὁ δ' ὡς ἀφελὴς καὶ παρρησίας μεστὸς οὐ παύεται. καὶ ταῦτα οὐκ ἂν ἔγραψα, εἰ μὴ κινῆσαι τὴν ἐν ὑμῖν μνήμην τῶν προσόντων αὐτῷ κακῶν ἐβουλόμην. ἃ γὰρ ἂν εἰπεῖν ἄν τις ὀκνήσαι, καὶ γράψαι φυλάξαιτ' ἄν. οἶμαι δὲ κἂν ἀκούσαντα δυσχερᾶναι ταῦτα. ἀπὸ τούτων μηδεὶς οἶδεν ἕκαστος ὑμῶν πολλὰ καὶ δεινὰ καὶ αἰσχρὰ τούτῳ προσόντα. ὥστ' ἔμοιγε μηδὲν ἀναιδὲς εἰρῆσθαι, καὶ τούτων ὑπόμνημα τῶν ἑαυτοῦ κακῶν ὀφθέντα πᾶσιν εἶναι. εὐτυχεῖτε

Πρὸς Ἡρακλεόδωρον.

Ημοσθένης Ἡρακλεοδώρῳ εὖ πράττειν. οὐκ οἶδ' ὅπως χρὴ πιστεύειν οἷς ἀπήγγειλέ μοι Μενεκράτης· οὐδ' ὅπως ἀπιστεῖν ἔχω. ἔφη γὰρ Ἐπίτιμον ἐνδεδεῖχθαι μὲν καὶ ἀπῆχθαι ὑπ' Ἀρχίου. σὲ δὲ ἀγωνίζεσθαι καὶ ἁπάντων αὐτῷ χαλεπώτατον εἶναι. δέομαι

δήσου πρὸς Διὸς ξενίου καὶ πάντων τῶν θεῶν; μή με καταστή-
σῃς αἰσχρῷ καὶ δεινῷ μηδενὶ περιπετῆ. εὖ γὰρ ἴσθι χωρὶς τοῦ με-
γάλην μοῖραν τῆς Ἐπιτίμου σωτηρίας, καὶ νομίσαι μεγάλην ἂν συμ-
φορὰν ἐπὶ πάθοι καὶ τούτου σὺ συναίτιος εἴης, αἰσχύνομαι τοὺς σοῦ
εἰδότας μοι τοὺς λόγους οὓς ἐγὼ περὶ σοῦ πρὸς ἅπαντας ἀνθρώ-
πους ἔλεγον, πεπεισμένος ἐμαυτὸν ἀληθῆ λέγειν, οὐκ ἐκ τοῦ πε-
πλησιακέναι σοι πεῖραν ἔχων. ἀλλ' ὁρῶν ὅτι δόξης ἐπιτυγχά-
νων καὶ παιδείαν ἀπεδέχου καὶ ταῦτα τῆς ἀπὸ τῆς Πλάτωνος δια-
τριβῆς ἥπερ οὖσιν ὡς ἀληθῶς τῶν μὲν πλεονεκτημάτων καὶ τῶν
περὶ ταῦτα σοφισμάτων ἔξω. τοῦ βελτίστου δὲ καὶ τοῦ δικαιοτά-
του πάνυ ἕνεκα ἐξητασμένη. ἧς μὰ τοὺς θεοὺς τῷ μεταλαχόντι μὴ
οὐχὶ ἀψευδεῖν καὶ πρὸς ἅπαντας ἀγαθῷ εἶναι οὐχ ὅσιον ἡγοῦμαι.
γένοιτο δ' ἄν μοι κἀκεῖνο τῶν χαλεπωτάτων. εἰ γὰρ ὁ ἑρμηνεὺς ἐ-
μαυτὸν δικαίως ἔχειν σοι, τὴν ἐναντίαν γνώμην μεταλαβεῖν ἀνα-
γκασθείην, ἃ δὴ ὑπολαμβάνω παρεωρᾶσθαι καὶ πεφενακίσθαι,
κἂν μὴ φῶ, νόμιζε οὕτως ἕξειν. εἰ δὲ ἡμῶν καταπεφρόνηκας ὅτι
τῶν πρώτων οὐκ ἐσμέν πω, λογίσαι ὅτι καὶ σύ ποτε ἦσθα νέος, καὶ τὴν
ἡλικίαν εἶχες ἣν ἡμεῖς νῦν. ἐκ δὲ τοῦ συμβουλεύειν καὶ πράττειν
γεγόνασι τηλικοῦτος. καὶ ἡμῖν τι τοιοῦτο συμβαίη. τὸ μὲν γὰρ εὖ βουλε-
σθαι πάρεστι. τῆς δὲ τύχης συλλαμβανούσης, ἢ τοὔργον γένοιτ' ἄν.
καλὸς οὖν ἔρανος, χάρις δικαία. ἣν καὶ σὺ τίσαι πρὸς ἐμέ. ἢ μὴ
δὴ ὑφ' ἑνὸς τῶν εὖ φρονούντων χεῖρον ἄγου. μὴ δὲ ἧττον. ἀλλ' ἐκεί-
νους μὲν ἄπειπε τὰ σοὶ δοκοῦντα. καὶ πρᾶττε οὕτως ὅπως μηδε-
νὸς τῶν ὁμολογηθέντων στερηθῶμεν. ἀλλ' ἐπιτίμῳ γένηται σωτηρία
τις ἢ ἀπαλλαγὴ τῶν κινδύνων. παρέσομαι δὲ εἰς τὸν χρόνον κἀ-
γὼ καθ' ὃν σὺ φῂς καιρὸν εἶναι. γράψας δέ μοι πέμψον ἢ καὶ ὡς φί-
λῳ ἐπίστελλε. εὐτύχει

Δημοσθένης τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. ἦλθεν ἐπιστολὴ παραντιφίλου πρὸς τοὺς τῶν συμμάχων συνέδρους, τοῖς μὲν βουλομένοις ἀγαθὰ προσδοκᾶν ἱκανῶς γεγραμμένη. τὰ δ' ὑπηρετοῦσιν αὐτὴ πρότερω πολλοὺς καὶ δυσχερεῖς ἀπολείπουσα λόγους. οἱ παραλαβόντες τὰ παραντιπάτρου γράμματα πρὸς δείναρχον εἰς κόρινθον ἐλθόντα, ἅπασαν τὴν πελοπόννησον τοιούτων λόγων ἔπλησαν, οἵων εἰς κεφαλὴν αὐτῶν προστρέψειαν οἱ θεοί. ἀφικομένου δὲ τρυνίου ἥκοντος μετὰ τοῦ παρ' ἐμοῦ φέροντος γράμματα παρὰ Πολεμαίστου πρὸς τὸν ἀδελφὸν Ἐπίνικον ἀνδρὸς ὑμῖν εὔνου καὶ ἐμοὶ φίλου, κἀκείνου πρὸς ἐμὲ ἀγαγόντος ἀκούσαντί μοι ἃ ἔλεγεν, ἐδόκει πρὸς ὑμᾶς αὐτὸν ἀποστεῖλαι. ὅπως πάντα σαφῶς ἀκούσαντες τὰ ἐν τῷ στρατοπέδῳ γεγονότα, τοῦ περὶ τὴν μάχην παραγγελμένου τότε, εἰς τὸ παρὸν θαρρῆτε, καὶ τὰ λοιπὰ τῶν θεῶν θελόντων ἃ βέλτε θεῖ ἕξειν ὑπολαμβάνητε.

ΕΥΤΥΧΕΙΤΕ.

Τέλος τῶν δημοσθένους ἐπιστολῶν

Dion Hipparini fil. huius Dionis soror Aristomache nupsit Dio-
nysio patri. Dionysius tn filius ad quē hae epistolae perscriptae, n
ex Aristom. sed altera Dionys. pat. uxore Doride Δωρίδε suscep-
[illegible]it, qui patri succ. (Cic. 5 Tusc. Ι[illegible]. 9397.) Ex Arist. Narsaeū et Hip-
parinū filios susc. quos tum Dionys. occidit ut solus dominaretur.

Mortis Dionysiū. Plutar. Timoleonte pag. 80..

ΕΠΙΣΤΟΛΑΙ ΠΛΑΤΩΝΟΣ.

ΠΛΑΤΩΝ ΔΙΟΝΥΣΙΩ ΕΥ ΠΡΑΤΤΕΙΝ.

Διατρίψας ἐγὼ παρ' ὑμῖν χρόνον τοσοῦτον, καὶ διοικῶν τὴν ὑμετέραν ἀρχὴν πεπιστευμένος, πάντων μάλιστα τὰς ὠφελείας ὑμῶν λαμβανόντων, τὰς διαβολὰς δυσχερεῖς οὔσας ὑπέμενον. ᾔδειν γὰρ ὅτι τῶν ὠμοτέρων οὐδὲν ἐμοῦ συνελθόντος ὑμῖν δόξει πεπρᾶχθαι. πάντες γὰρ οἱ συμπολιτευόμενοι μεθ' ὑμῶν, ὑπάρχουσί μοι μάρτυρες. ὧν ἐγὼ πολλοῖς συνηγωνισάμην, ἀπολύσας αὐτοὺς οὐ σμικρᾶς ζημίας. αὐτοκράτωρ δὲ πολλάκις τὴν ὑμετέραν πόλιν διαφυλάξας, ἀπεπέμφθην ἀτιμότερον, ἢ πτωχὸν ὑμῶν ἀποστελλόντων προσῆκει. καὶ κελευόντων ἐκπλεῦσαι, τοσοῦτον παρ' ὑμῖν διατρίψαντα χρόνον. ἐγὼ μὲν οὖν περὶ ἐμαυτοῦ βουλεύσομαι τὸ λοιπὸν, τρόπον ἀπανθρωπότερον. σὺ δὲ τοιοῦτος ὢν τύραννος, οἰκήσεις μόνος. τὸ δὲ χρυσίον τὸ λαμπρὸν ὅπερ ἔδωκας εἰς ἀποστολὴν, ἀγεῖ σοι Βακχεῖος ὁ τὴν ἐπιστολὴν φέρων. οὔτε γὰρ ἐφόδιον ἐκεῖνό γ' ἦν ἱκανὸν, οὔτε πρὸς τὸν ἄλλον βίον ξυμφέρον. ἀδοξίαν δὲ πλείστην μὲν τῷ διδόντι σοι παρασκευάζον. οὐ πολλῷ δὲ ἐλάττω καὶ μοὶ τῷ λαμβάνοντι. διόπερ οὐ λαμβάνω. σοὶ δ' οὐδὲν διαφέρει δηλονότι καὶ λαβεῖν καὶ δοῦναι τοσοῦτον. ὥστε κομισάμενος, ἄλλον τινὰ τῶν ἑταίρων θε

ῥαπεύουσιν ὥσπερ ἐμέ. κἀγὼ γὰρ ἱκανῶς ὑπὸ σοῦ τεθεράπευμαι. καί μοι τὸ τοῦ Εὐριπίδου, κατὰ καιρὸν ἔδοξεν εἰπεῖν, ὅτι σοὶ πραγμάτων ἄλλων ποτὲ ξυμπεσόντων, ἄξιον τοιοῦτον ἄνδρα σοι παρεστάναι. ὑπομνῆσαι δέ σε βούλομαι. διότι καὶ τῶν ἄλλων τραγῳδιοποιῶν οἱ πλεῖστοι, ὅταν ὑπό τινος ἀποθνήσκοντα τύραννον εἰσάγωσιν, ἀναβοῶντα ποιοῦσι. φίλων ἔρημος ὦ τάλας ἀπόλλυμαι. χρηστοῦ δὲ τινὰ ἀπολλύμενον, οὐδεὶς πεποίηκε. κἀκεῖνο δὲ τὸ ποίημα τοῖς νοῦν ἔχουσιν, οὐ κακῶς ἔχειν δοκεῖ. οὐ χρυσὸς ἀγλαὸς σπανιώτατος ἐν θνατῶν δυσελπίστῳ βίῳ οὐδ᾽ ἀδάμας, οὐδ᾽ ἀργύρου κλῖναι, πρὸς ἄνθρωπον δοκιμαζόμενα ἀστράπτει πρὸς ὄψεις. οὐδὲ γαίας εὐρυ-

πέδου, γόνιμοι βρίθοντες αὐτάρκεις γύαι, ὡς

ἀγαθῶν ἀνδρῶν ὁμοφράδμων νόησις.

ἔρρωσο. καὶ γίνωσκε τοσοῦτον ἡ

μῶν δημαρτηκὼς ἵνα

πρὸς τοὺς ἄλλους

βέλτιον

προσ

φέ-

ρῃ.

Κούσας Ἀρχεδήμου, ὅτι σὺ ἡγῇ χρῆναι περὶ σοῦ, μὴ μόνον ἐμὲ ἡσυχίαν ἄγειν, ἀλλὰ καὶ τοὺς ἐμοὺς ἐπιτηδείους, τὸ φλαῦρόν τι ποιεῖν ἢ λέγειν περὶ σοῦ. Δίωνα δὲ μόνον, ἐξαίρετον ποιῇ. οὗτος δὲ ὁ λόγος σημαίνῃ, τὸ Δίωνα ἐξαίρετον εἶναι, ὅτι οὐκ ἄρχω ἐγὼ τῶν ἐμῶν ἐπιτηδείων· εἰ γὰρ ἦρχον ἐγὼ οὕτω τῶν τε ἄλλων καὶ σοῦ καὶ Δίωνος, πλείω ἂν ἦν ὑμῖν τε πᾶσιν ἀγαθά, τοῖς τε ἄλλοις Ἕλλησιν ὡς ἐγώ φημι. νῦν δὲ μέγας ἐγώ εἰμι, ἐμαυτὸν παρέχων τῷ ἐμῷ λόγῳ ἑπόμενον. καὶ ταῦτα λέγω ὡς οὐχ ὑγιές τι Κρατιστόλου καὶ Πολυξένου πρός σε εἰρηκότων, ὧν φασι λέγειν τὸν ἕτερον, ὅτι ἀκούσαι Ὀλυμπίασι πολλῶν τινων τῶν μετ' ἐμοῦ σε κακηγορούντων. ἴσως γὰρ ὀξύτερον ἐμοῦ ἀκούει. ἐγὼ μὲν γὰρ οὐκ ἤκουσα. χρὴ δὲ ὡς ἐμοὶ δοκεῖ οὑτωσί σε ποιεῖν τὸ λοιπόν· ὅταν τι τοιοῦτον λέγῃ τις περὶ ἡμῶν τινός, γράμματα πέμψαντα, ἐμὲ ἐρέσθαι. ἐγὼ γὰρ τἀληθῆ λέγειν, οὔτε ὀκνήσω, οὔτε αἰσχυνοῦμαι. ἐμοὶ δὲ δὴ καὶ σοὶ τὰ πρὸς ἀλλήλους οὑτωσὶ τυγχάνει ἔχοντα. οὔτε αὐτοὶ ἀγνῶτές ἐσμεν οὐδενὶ Ἑλλήνων, ὡς ἔπος εἰπεῖν. οὔτε ἡ συνουσία ἡμῶν σιγᾶται. μὴ λανθανέτω δέ σε ὅτι οὐδ' εἰς τὸν ἔπειτα χρόνον σιγηθήσεται. τοιοῦτοι οἱ παραδεδεγμένοι εἰσὶν αὐτήν. ἅτε οὐκ ὀλίγην γεγενημένην οὐδ' ἠρέμα. τί οὖν δὴ λέγω· νυνὶ ἐρῶ ἄνωθεν ἀρξάμενος. πέφυκε ξυνιέναι εἰς ταὐτὸ φρόνησίς τε καὶ δύναμις μεγάλη. καὶ ταῦτ' ἄλληλα ἀεὶ διώκει καὶ ζητεῖ καὶ ξυγγίγνεται. ἔπειτα καὶ οἱ ἄνθρωποι χαίρουσι περὶ τούτων, αὐτοί τε διαλεγόμενοι καὶ ἄλλων ἀκούοντες ἔν τε ἰδίαις συνουσίαις καὶ ἐν ταῖς ποιήσεσιν. οἷον καὶ περὶ Ἱέρωνος ὅταν διαλέγωνται

ὅτι ἐστί τις αἴσθησις τοῖς τεθνεῶσι περὶ τῶν ἐνθάδε γιγνομένων. Vid. Plat. … Axioch. …

ἄνθρωποι καὶ παυσανίου τοῦ λακεδαιμονίου χαίρουσι τὴν σιμω-
νίδου ξυνουσίαν παραφέροντες, ἅ, τε ἔπραξε καὶ εἶπε πρὸς αὐτούς.
καὶ περίανδρον τὸν κορίνθιον καὶ θαλῆν τὸν μιλήσιον, ὑμνεῖν εἰώθα-
σιν ἅμα. καὶ περικλέα καὶ ἀναξαγόραν. καὶ κροῖσον αὖ καὶ σόλωνα,
ὡς σοφούς. καὶ κῦρον, ὡς δυνάστην. καὶ δὴ ταῦτα μιμούμενοι οἱ ποιη-
ταὶ, κρέοντα μὲν καὶ τειρεσίαν συνάγουσι. πολύειδον δὲ, καὶ μίνω. ἀγα-
μέμνονα δὲ, καὶ νέστορα. καὶ ὀδυσσέα καὶ παλαμήδη. ὡς δ' ἐμοὶ δο-
κεῖ, καὶ προμηθέα διὶ ταύτῃ πῃ συνῆγον οἱ πρῶτοι ἄνθρωποι. τού-
των δὲ τοὺς μὲν εἰς διαφοράν, τοὺς δ' εἰς φιλίαν ἀλλήλοις ἰόν-
τας. τοὺς δὲ, τοτὲ μὲν εἰς φιλίαν. τοτὲ δ' εἰς διαφοράν. καὶ τὰ μὲν,
ὁμονοοῦντας, τὰ δὲ, διαφερομένους ᾄδουσι. πάντα δὴ ταῦτα λέγω,
τόδε βουλόμενος ἐνδείξασθαι. ὅτι οὐκ ἐπειδὰν ἡμεῖς τελευτήσω-
μεν, καὶ οἱ λόγοι οἱ περὶ ἡμῶν αὐτῶν σεσιγήσονται. ὥστε ἐπιμελητέ-
ον αὐτῶν ἐστιν. ἀνάγκη γὰρ ὡς ἔοικε, μέλειν ἡμῖν καὶ τοῦ ἔπειτα χρό-
νου. ἐπειδὴ καὶ τυγχάνουσι κατά τινα φύσιν. οἱ μὲν ἀνδραποδωδέ-
στατοι οὐδὲν φροντίζοντες αὐτοῦ. οἱ δ' ἐπιεικέστατοι πᾶν ποι-
οῦντες, ὅπως ἂν εἰς τὸν ἔπειτα χρόνον εὖ ἀκούσωσιν, ὃ δὴ καὶ ἐγὼ
τεκμήριον ποιοῦμαι. ὅτι ἐστί τις αἴσθησις τοῖς τεθνεῶσι, τῶν
ἐνθάδε. αἱ γὰρ βέλτισται ψυχαὶ, μαντεύονται ταῦτα οὕτως
ἔχειν. αἱ δὲ μοχθηρόταται οὔ φασι. κυριώτερα δὲ, τὰ τῶν θείων
ἀνδρῶν μαντεύματα, ἢ τὰ τῶν μή. οἶμαι δ' ἔγωγε τοῖς ἔμπροσθεν,
περὶ ὧν λέγω, εἰ ἐξείη αὐτοῖς ἐπανορθώσασθαι τὰς αὐτῶν συνου-
σίας, πάνυ ἂν σπουδάσαι ὥστε βελτίω λέγεσθαι περὶ αὐτῶν ἢ νῦν.
τοῦτο ἡμῖν ἔτι σὺν θεῷ εἰπεῖν ἔξεστιν. εἴ τι ἄρα μὴ καλῶς πέπρα-
κται κατὰ τὴν ἔμπροσθεν συνουσίαν ἐπανορθώσασθαι, καὶ ἔργῳ
καὶ λόγῳ. περὶ γὰρ φιλοσοφίαν φημὶ ἐγὼ τὴν ἀληθινὴν δόξαν
ἔσεσθαι.

Cic. 1 Tusc. Quod si omnium consensus, natura vox est, omnesque qui ubique sunt consentiunt esse aliquid, quod ad eos pertineat, qui e vita cesserint, nobis quoque idem existimandum est. Et si quorum aut ingenio, aut virtute animus excellit, eos arbitramur (quia natura optima sunt) cernere naturae vim maxime, verisimile est, cum optimus quisque maxime posteritati serviat, esse aliquid cuius is post mortem sensum sit habiturus. Sed ut deos esse natura opinamur, qualesque sint ratione cognoscimus: sic permanere animos arbitramur consensu nationum omnium.

ἔσεσθαι· ἡμῶν μὲν ὄντων ἐπιεικῶν, βελτίω· φαύλων δὲ, τοὐναντίον.
καίτοι περὶ τούτου ἡμεῖς ἐπιμελούμενοι, οὐδὲν ἂν εὐσεβέστερον
πράττοιμεν· οὐδ᾽ ἀμελοῦντες, ἀσεβέστερον· ὡς δὴ δεῖ γίνεσθαι, καὶ τὸ
δίκαιον ᾗ ἔχει, ἐγὼ φράσω. ἦλθον ἐγὼ εἰς σικελίαν, δόξαν ἔχων
πολὺ τῶν ἐν φιλοσοφίᾳ διαφέρειν· βουλόμενος δὲ ἐλθεῖν εἰς συ-
ρακούσας συμμάρτυρα λαβεῖν σε· ἵνα μοι τιμῷτο φιλοσοφία
καὶ παρὰ τῷ πλήθει· τοῦτο δ᾽ οὐκ εὐαγές μοι ἀπέβη· τὸ δ᾽ αἴτιον,
οὐ λέγω, ὅπερ ἂν πολλοὶ εἴποιεν· ἀλλ᾽ ὅτι ἐφαίνου, οὐ πάνυ ἐμοὶ πι-
στεύειν σύ· ἀλλ᾽ ἐμὲ μέν πως ἀποπέμψασθαι ἐθέλειν, ἑτέρους δὲ με-
ταπέμψασθαι, καὶ ζητεῖν δὲ πρᾶγμα, τί τὸ ἐμόν ἐστιν, ἀπιστῶν ὡς
ἐμοὶ δοκεῖ· καὶ οἱ ἐπὶ τούτοις βοῶντες, πολλοὶ ἦσαν, λέγοντες, ὡς
σὺ ἐμοῦ μὲν, καταπεφρόνηκας· ἄλλα δὲ ἐσπούδακας· ταῦτα δὴ
διαβεβόηται· ὃ δὴ μετὰ ταῦτα δίκαιόν ἐστι ποιεῖν, ἄκουε· ἵνα σοι
καὶ ἀποκρίνωμαι ὃ σὺ ἐρωτᾷς, πῶς χρὴ ἔχειν ἐμὲ καὶ σὲ πρὸς ἀλ-
λήλους. εἰ μὲν ὅλως φιλοσοφίας καταπεφρόνηκας, ἐᾶν χαί-
ρειν· εἰ δὲ παρ᾽ ἑτέρου ἀκήκοας, ἢ αὐτὸς βελτίονα εὕρηκας
τῶν παρ᾽ ἐμοὶ, ἐκεῖνα τίμα· εἰ δ᾽ ἄρα τὰ παρ᾽ ἡμῶν σοι ἀρέσκει,
τιμητέον καὶ ἐμὲ μάλιστα· νῦν οὖν ὥσπερ καὶ ἐξ ἀρχῆς, σὺ κα-
θηγοῦ· ἕψομαι δὲ ἐγώ· τιμώμενος μὲν γὰρ ὑπὸ σοῦ, τιμήσω σε.
μὴ τιμώμενος δὲ, ἡσυχίαν ἕξω· ἔτι δὲ σὺ μὲν ἐμὲ τιμῶν καὶ τού-
του καθηγούμενος φιλοσοφίαν δόξεις τιμᾶν· καὶ αὐτὸ τοῦθ᾽ ὅτι
διεσκόπεις καὶ ἄλλως, πρὸς πολλῶν εὐδοξίαν σοι οἴσει ὡς φιλο-
σόφῳ ὄντι· ἐγὼ δὲ σὲ τιμῶν μὴ τιμῶντα πλοῦτον δόξω θαυμάζειν τε
καὶ διώκειν· τοῦτο δ᾽ ἴσμεν ὅτι παρὰ πᾶσιν ὄνομα οὐ καλὸν ἔχει.
ὡς δ᾽ ἐν κεφαλαίῳ εἰπεῖν, σοῦ μὲν τιμῶντος, ἀμφοτέροις κό-

σμος. ἐμοῦ δὲ, συνειδὸς ἀμφοῖν. περὶ μὲν οὖν τούτων ταῦτα. τὸ δὲ σφαιρίον, οὐκ ὀρθῶς ἔχει. δηλώσει δέ σοι ἀρχέδημος, ἐπειδὰν ἔλθῃ. καὶ δὴ καὶ περὶ τοῦδε ὃ τούτου τιμιώτερόν τ' ἐστὶ καὶ θειότερον, καὶ μάλα σφόδρ' αὐτῷ δηλωτέον, ὑπὲρ οὗ σὺ πέπομφας ἀπορούμενος. φῂς γὰρ δὴ κατὰ τὸν ἐκείνου λόγον, οὐχ ἱκανῶς ἀποδεδεῖχθαί σοι περὶ τῆς τοῦ πρώτου φύσεως. φραστέον δή σοι δι' αἰνιγμῶν, ἵν' ἄν τι ἡ δέλτος ἢ πόντου ἢ γῆς ἐν πτυχαῖς πάθῃ, ὁ ἀναγνοὺς μὴ γνῷ. ὧδε γὰρ ἔχει. περὶ τὸν πάντων βασιλέα πάντ' ἐστί. καὶ ἐκείνου ἕνεκα πάντα. καὶ ἐκεῖνο αἴτιον ἁπάντων τῶν καλῶν. δεύτερον δὲ, περὶ τὰ δεύτερα, καὶ τρίτον περὶ τὰ τρίτα. ἡ οὖν ἀνθρωπίνη ψυχὴ, περὶ αὐτὰ ὀρέγεται, μαθεῖν ποῖ' ἄττα ἐστί, βλέπουσα εἰς τὰ αὑτῆς συγγενῆ ὧν οὐδὲν ἱκανῶς ἔχει. τοῦ δὴ βασιλέως πέρι καὶ ὧν εἶπον, οὐδέν ἐστι τοιοῦτο. τὸ δὴ μετὰ τοῦτο ἡ ψυχή φησιν. ἀλλὰ ποῖόν τι μήν; τοῦτ' ἐστὶν ὦ παῖ διονυσίου καὶ δωρίδος τὸ ἐρώτημα, ὃ πάντων αἴτιόν ἐστι κακῶν. μᾶλλον δὲ ἡ περὶ τούτου ὠδὶς, ἐν τῇ ψυχῇ ἐγγιγνομένη. ἣν εἰ μή τις ἐξαιρεθήσεται, τῆς ἀληθείας ὄντως οὐ μή ποτε τύχοι. σὺ δὲ τοῦτο πρὸς ἐμὲ ἐν τῷ κήπῳ ὑπὸ ταῖς δάφναις, αὐτὸς ἔφησθα ἐννενοηκέναι. καὶ εἶναι σὸν εὕρημα. καὶ ἐγὼ εἶπον, ὅτι τοῦτο εἰ φαίνοιτό σοι οὕτως ἔχειν, πολλῶν ἂν εἴης λόγων ἐμὲ ἀπολελυκώς. οὐ μὴν ἄλλῳ πώποτ' ἔφην ἐντετυχηκέναι, τοῦθ' ηὑρηκότι. ἀλλὰ ἡ πολλή μοι πραγματεία, περὶ τοῦτ' εἴη. σὺ δὲ ἴσως μὲν ἀκούσας του, τάχα δ' ἂν θείᾳ μοίρᾳ, κατὰ τοῦθ' ὁρμήσας. ἔπειτα αὐτοῦ τὰς ἀποδείξεις ὡς ἔχων βεβαίως, οὐκ ἀπέδησας, ἀλλ' ἐπίσοι τοτὲ μὲν οὕτως, τοτὲ δὲ ἄλλως, περὶ τὸ φανταζόμενον. τὸ δὲ, οὐδέν ἐστι τοιοῦτον. καὶ τοῦτο, οὐ σοὶ μόνῳ γέγονεν. ἀλλ' εὖ ἴσθι μηδένα πώποτέ μου τὸ πρῶτον ἀκούσαντα, ἔχειν ἄλλως πως, ἢ οὕτως κατ' ἀρχάς. καὶ ὁ μὲν πλείω ἔχων πράγματα, ὁ δὲ, ἐλάττω, μόγις ἀπαλλάττονται.

σχεδὸν

σχεδὸν δὲ οὐδεὶς ὀλίγα. τούτων δὴ γεγονότων καὶ ἐχόντων οὕτω σχεδὸν κατὰ τὴν ἐμὴν δόξαν εὑρήκαμεν ὃ σὺ ἐπέστειλας, ὅπως δεῖ πρὸς ἀλλήλους ἡμᾶς ἔχειν. ἐπεὶ γὰρ βασανίζεις αὐτὰ ξυγγιγνόμενός τε ἄλλοις, καὶ παραθεώμενος παρὰ τὰ τῶν ἄλλων, καὶ αὐτὰ καθ' αὑτά, νῦν σοι ταῦτά τε, εἰ ἀληθὴς ἡ βάσανος, προσφύσεται, καὶ οἰκεῖος τούτοις τε καὶ ἡμῖν ἔσῃ. πῶς οὖν οὐ ταῦτ' ἔσται καὶ πάντα ἃ εἰρήκαμεν; τὸν ἀρχέδημον, νῦν τε ὀρθῶς ἐποίησας πέμψας. καὶ τὸ λοιπὸν ἐπειδὰν ἔλθῃ πρὸς σέ, καὶ ἀπαγγείλῃ τὰ παρ' ἐμοῦ. μετὰ ταῦτα ἴσως ἄλλαι σε ἀπορίαι λήψονται. πέμψεις οὖν αὖθις ἂν ὀρθῶς βουλεύῃ παρ' ἐμὲ τὸν ἀρχέδημον. ὁ δ' ἐμπορευσάμενος ἥξει πάλιν. καὶ τοῦτ' ἐὰν δὶς ἢ τρὶς ποιήσῃς, καὶ βασανίσῃς τὰ παρ' ἐμοῦ πεμφθέντα ἱκανῶς, θαυμάζοιμ' ἂν εἰ μὴ τὰ πρὶν ἀπορούμενα πολύ σοι διοίσει, ἢ τὰ νῦν. θαρροῦντες οὖν ποιεῖτε οὕτως. οὐ μὴ γάρ ποτε τῆς ἐμπορείας ταύτης, οὔτε σὺ στελεῖς, οὔτε ἀρχέδημος ἐμπορεύσεται καλλίω καὶ θεοφιλεστέραν. εὐλαβοῦ μέντοι, μήποτε ἐκπέσῃ ταῦτα εἰς ἀνθρώπους ἀπαιδεύτους. σχεδὸν γὰρ ὥς ἐμοὶ δοκεῖ, οὐκ ἔστι τούτων πρὸς τοὺς πολλοὺς καταγελαστότερα ἀκούσματα. οὐδ' αὖ πρὸς τοὺς εὐφυεῖς θαυμαστότερά τε καὶ ἐνθουσιαστικώτερα. πολλάκις δὲ λεγόμενα καὶ ἀεὶ ἀκουόμενα, καὶ πολλὰ ἔτη, μόγις ὥσπερ χρυσὸς ἐκκαθαίρεται μετὰ πολλῆς πραγματείας. ὃ δὲ θαυμαστὸν αὐτοῦ γέγονεν, ἄκουσον. εἰσὶ γὰρ ἄνθρωποι ταῦτα ἀκηκοότες, καὶ πλείους, δυνατοὶ μὲν μαθεῖν. δυνατοὶ δὲ μνημονεῦσαι. καὶ βασανίσαντες πάντῃ, πάντως κρῖναι γέροντες ἤδη, καὶ οὐκ ἐλάττω τριάκοντα ἐτῶν ἀκηκοότες. οἳ νῦν ἄρτι σφίσι φασί, τὰ μὲν τότε ἀπιστότατα δόξαντα εἶναι, νῦν πιστότατα καὶ ἐναργέστατα φαίνεσθαι. ἃ δὲ τότε πιστότατα, νῦν τοὐναντίον. πρὸς ταῦτ' οὖν σκοπῶν εὐλαβοῦ μήποτέ σοι μεταμελήσῃ τῶν νῦν ἀναξίως ἐκπε-

ὄντων. μεγίστη δὲ φυλακὴ, τὸ μὴ γράφειν, ἀλλ' ἐκμανθάνειν. οὐ γάρ ἐστι τὰ γραφέντα, μὴ οὐκ ἐκπεσεῖν. διὰ ταῦτα οὐδὲν πώποτ' ἐγὼ περὶ τούτων γέγραφα. οὐδ' ἔστι σύγγραμμα πλάτωνος οὐδὲν, οὐδ' ἔσται. τὰ δὲ νῦν λεγόμενα, σωκράτους ἐστὶ καλοῦ καὶ νέου γεγονότος. ἔρρωσο, καὶ πείθου. καὶ τὴν ἐπιστολὴν ταύτην νῦν πρῶτον πολλάκις ἀναγνοὺς, κατάκαυσον. ταῦτα μὲν ταύτῃ. περὶ δὲ πολυξένου, ἐθαύμασας, ὅτι οὐ πέμψαιμί σοι. ἐγὼ δὲ καὶ περὶ λυκόφρονος, καὶ τῶν ἄλλων τῶν παρὰ σοὶ ὄντων, λέγω καὶ πάλαι καὶ νῦν τὸν αὐτὸν λόγον, ὅτι πρὸς τὸ διαλεχθῆναι καὶ φύσει καὶ τῇ μεθόδῳ τῶν λόγων, πάμπολυ διαφέρεις αὐτῶν. καὶ οὐδεὶς αὐτῶν ἑκὼν ἐξελέγχεται ὥς τινες ὑπολαμβάνουσιν, ἀλλ' ἄκοντες. καὶ δοκεῖς μέντοι πάνυ μετρίως κεχρῆσθαί τε αὐτοῖς καὶ δεδωρῆσθαι. ταῦτα μὲν περὶ τούτων πολλὰ, ὡς περὶ τοιούτων. φιλιστίωνι δὲ, εἰ μὲν αὐτὸς χρῇ, σφόδρα χρῶ. εἰ δὲ οἷόν τε, σπευσίππῳ χρῆσον καὶ ἀπόπεμψον. δεῖται δέ σου καὶ σπεύσιππος. ὑπέσχετο δέ μοι καὶ φιλιστίων εἰ σὺ ἀφῇς αὐτὸν, ἥξειν προθύμως ἀθήναζε. τὸν ἐκ τῶν λατομιῶν εὖ ἐποίησας ἀφείς. ἐλαφρὰ δὲ ἡ δέησις, καὶ περὶ τῶν οἰκετῶν αὐτοῦ καὶ περὶ ἡγησίππου τοῦ ἀρίστωνος, ἐπέστειλας γάρ μοι αὖ τις ἀδικῇ ἢ τοῦτον ἢ ἐκείνους, καὶ σὺ αἰσθῃ, μὴ ἐπιτρέψειν. καὶ περὶ λυσικλείδου, τἀληθὲς εἰπεῖν ἄξιον. μόνος γὰρ τῶν ἐκ σικελίας ἀθήναζε ἀφικομένων, οὐδὲν μετεβάλετο περὶ τῆς σῆς καὶ ἐμῆς συνουσίας. ἀλλ' ἀεί τι ἀγαθὸν καὶ ἐπὶ τὰ βελτίω λέγων περὶ τῶν γεγονότων, διατελεῖ. Τῷ αὐτῷ.

Γ' epist.

Πλάτων διονυσίῳ χαίρειν ἐπιστείλας, ἆρ' ὀρθῶς ἂν τυγχάνοιμι τῆς βελτίστης προσρήσεως, ἢ μᾶλλον κατὰ τὴν ἐμὴν συνήθειαν γράφων εὖ πράττειν ὥσπερ εἴωθα ἐν ταῖς ἐπιστολαῖς τοὺς φίλους προσαγορεύειν; σὺ μὲν γὰρ δὴ καὶ τὸν θεὸν ὡς ἤγγειλαν οἱ τότε θεωροῦντες, προσεῖπες ἐν δελ-

Προοίμιον περὶ προσρήσεως ὀρθῆς. Διή[γησις] ... τὴν διαβολὴν εἰς Πλάτωνα Διονυσίῳ διαβληθεῖσαν. Ἔπειτα Πρότασις δύσκολος τῆς διττῆς διαβολῆς ἀνασκευαστική. Τέλος δὲ ἐπίλογος καὶ ἀνακεφαλαίωσις

φοις αὐτῷ τούτῳ θωπεύσας τῷ ῥήματι· καὶ γέγραφας ὥς φασι
χαῖρε καὶ ἡδόμενον βίοτον διάσῳζε τυράννου· ἐγὼ δέ, οὐδὲ ἀνθρώ-
πῳ, μὴ ὅτι δὴ θεῷ, παρακελευσαίμην ἂν δρᾶν τοῦτο. θεῷ μέν, ὅ-
τι παρὰ φύσιν προστάττοιμ' ἄν· πόρρω γὰρ ἡδονῆς ἵδρυται καὶ λύ-
πης, τὸ θεῖον. ἀνθρώπῳ δέ, ὅτι τὰ πολλὰ βλάβην ἡδονὴ καὶ λύπη γεν-
νᾷ· δυσμαθίαν καὶ λήθην καὶ ἀφροσύνην καὶ ὕβριν τίκτουσα ἐν τῇ
ψυχῇ. καὶ ταῦτα μέν, οὕτως εἰρήσθω παρ' ἐμοῦ περὶ τῆς προσρήσε-
ως· σὺ δ' ἀναγνοὺς αὐτά, ὅπῃ βούλει δέξασθαι, ταύτῃ δέχου. φασὶ
δ' οὐκ ὀλίγοι, λέγειν σε πρός τινας τῶν παρὰ σὲ πρεσβευόντων· ὡς
ἄρα σοῦ ποτε λέγοντος, ἀκούσας ἐγὼ μέλλοντος τάς τε ἑλληνί-
δας πόλεις ἐν σικελίᾳ οἰκίζειν, καὶ συρακουσίους ἐπικουφίσαι
τὴν ἀρχήν, ἀντὶ τυραννίδος εἰς βασιλείαν μεταστήσαντα, ταῦτα ἄ-
ρα σὲ μὲν τότε διεκώλυσα ὡς σὺ φῄς, σοῦ σφόδρα προθυμουμέ-
νου· νῦν δὲ δίωνα διδάσκοιμι δρᾶν αὐτὰ ταῦτα· καὶ τοῖς διανοή-
μασι τοῖς σοῖς, τὴν σὴν ἀρχὴν ἀφαιρούμεθά σε. σὺ δ' εἰ μέν
τι διὰ τοὺς λόγους τούτους ὠφελῇ, γιγνώσκεις αὐτός· ἀδικεῖς δ' οὖν
ἐμὲ τἀναντία τῶν γενομένων λέγων. ἅδην γὰρ ὑπὸ φιλιστίδου, καὶ
ἄλλων πολλῶν, πρὸς τοὺς μισθοφόρους, καὶ εἰς τὸ συρακουσίων πλῆ-
θος διεβλήθην, διὰ τὸ μένειν ἐν ἀκροπόλει. τοὺς δ' ἔξωθεν εἴ τι γί-
γνοιτο ἁμάρτημα πᾶν εἰς ἐμὲ τρέπειν, σὲ φάσκοντας πάντα
ἐμοὶ πείθεσθαι. σὺ δ' αὐτὸς οἶσθα σαφέστατα τῶν πολιτικῶν ἐμέ σοι κοι-
νῇ πραγματευσάμενον ἑκόντα, ὀλίγα δὴ κατ' ἀρχὰς ὅτε τι πλέον ποι-
εῖν ἂν ᾤηθην· ἅ τε βραχέα ἄττα, καὶ τὰ τῶν νόμων προοίμια σπου-
δάσαντα μέχρι, χωρὶς ὧν σὺ προσέγραψας ἤ τις ἕτερος· ἀκούω γὰρ ὕστε-
ρον ὑμῶν τινας αὐτὰ διασκευωρεῖν· δῆλα μὴν ἑκάτερα ἔσται, τοῖς
τὸ ἐμὸν ἦθος δυναμένοις κρίνειν. ἀλλ' οὖν ὅπερ ἄρτι εἶπον, οὐ διαβολῆς
προσδέομαι πρός τε συρακουσίους, καὶ εἰ δή τινας ἑτέρους πείθεις λέγων αὐτά·

invidiosa magis quam vero

ἀλλὰ πολὺ μᾶλλον ἀπολογίας πρός τε τὴν πρότερον γενομένην διαβολήν· καὶ τὴν νῦν μετ' ἐκείνην μείζω φυομένην τε καὶ σφοδροτέραν. πρὸς δύο δή μοι, διττὰς ἀναγκαῖον ποιήσασθαι τὰς ἀπολογίας. πρῶτον μέν, ὡς εἰκότως σοι ἔφυγον κοινωνεῖν περὶ τὰ τῆς πόλεως πράγματα· τὸ δὲ δεύτερον, ὡς οὐκ ἐμὴν ταύτην εἴρηκας συμβουλήν· οὐδ' ἐμὲ διακωλύσειν μέλλοντί σοι κατοικίζειν ἑλληνίδας πόλεις, ἐμποδὼν ἐμὲ γενέσθαι. τὴν οὖν ἀρχὴν ὧν εἶπον, περὶ προτέρων ἄκουε πρότερον. ἦλθον καλούμενος εἰς συρακούσας, ὑπό τε σοῦ καὶ δίωνος. τοῦ μὲν δεδοκιμασμένου παρὰ σοὶ καὶ ξένου πάλαι γεγονότος. ἐν ἡλικίᾳ δ' ὄντος μέσῃ τε καθεστηκυίᾳ. ὧν δὴ πάντως που χρεία τοῖς νοῦν καὶ σμικρὸν κεκτημένοις, μέλλουσι περὶ τοσούτων ὅσα ἦν τότε τὰ σά, βουλεύεσθαι. σοῦ δὲ ὄντος μὲν σφόδρα νέου, πολλῆς δὲ ἀπειρίας οὔσης περὶ σέ, τούτων ὧν ἔμπειρον ἔδει γεγονέναι, καὶ σφόδρα ἀγνῶτος ἐμοί· τὸ μετὰ τοῦτο, εἴτ' ἄνθρωπος, εἴτε θεός, εἴτε τύχη τις μετὰ σοῦ δίωνα ἐξέβαλεν, ἐλείφθης μόνος. ἆρ' οὖν οἴει μοι τότε πολιτικῶν εἶναι κοινωνίαν πρὸς σέ· τὸν μὲν ἔμφρονα κοινωνόν, ἀπολωλεκότι· τὸν δὲ ἄφρονα, ὁρῶν τι μετὰ πονηρῶν καὶ πολλῶν ἀνθρώπων καταλελειμμένον· οὐκ ἄρχοντα, οἰόμενον δ' ἄρχειν· ὑπὸ δὲ τοιούτων ἀνθρώπων ἀρχόμενον· οἷς τί χρῆν ποιεῖν ἐμέ. μῶν οὐχ ὅπερ ἐποίουν ἀναγκαῖον ἐκ τῶν λοιπῶν; τὰ μὲν πολιτικὰ χαίρειν ἐᾶν, εὐλαβούμενον τὰς ἐκ τοῦ φθόνου διαβολάς. ὑμᾶς δὲ πάντως καίπερ ἀλλήλων χωρὶς γεγονότας καὶ διαφόρους ὄντας, πειρᾶσθαι φίλους ἀλλήλοις ὅτι μάλιστα ποιεῖν. τούτων δὴ καὶ σὺ μάρτυς, ὅτι τοῦτο αὐτὸ ζητείνων, οὐκ ἀνῆκα πώποτε, καὶ μόγις μέν, ὅμως δ' ὡμολογήθη νῷν, πλεῦσαι μὲν οἴκαδε ἐμέ, ἐπειδὴ πόλεμος ὑμᾶς κατεῖχεν. εἰρήνης δὲ αὖ γενομένης, ἐλθεῖν

ἐλθεῖν ἐμέ τε καὶ δίωνα εἰς συρακούσας· σὲ δὲ καλεῖν ἡμᾶς καὶ ταῦτα μὲν οὕτως ἐγένετο. τῆς ἐμῆς εἰς συρακούσας ἀποδημίας πέρι τῆς πρώτης, καὶ τῆς πάλιν οἴκαδε σωτηρίας. τὸ δὲ δεύτερον, εἰρήνης γενομένης ἐκάλεις με· οὐ κατὰ τὰς ὁμολογίας, ἀλλὰ μόνον ἥκειν ἐπέστελλες. δίωνα δὲ εἰσαῦθις ἔφησθα μεταπέμψασθαι· διὰ ταῦτα οὐκ ἦλθον, ἀλλὰ καὶ δίωνι τότ' ἀπηχθόμην· ᾤετο γὰρ εἶναι βέλτιον, ἐλθεῖν ἐμὲ καὶ ὑπακοῦσαί σοι. τὸ δὲ μετὰ ταῦτα, ὕστερον ἐνιαυτῷ τριήρης ἀφίκετο καὶ ἐπιστολαὶ παρὰ σοῦ. τῶν δ' ἐν ταῖς ἐπιστολαῖς γραμμάτων ἦρχεν, ὡς ἂν ἀφίκωμαι, τὰ δίωνός μοι γενήσοιτο πράγματα πάντα, κατὰ νοῦν τὸν ἐμόν· μὴ ἀφικομένου δὲ τοὐναντία. αἰσχύνομαι δὴ λέγειν, ὅσαι τότε ἐπιστολαὶ παρὰ σοῦ, καὶ παρ' ἄλλων ἦλθον διὰ σὲ ἐξ ἰταλίας καὶ σικελίας· καὶ παρ' ὅσους τῶν ἐμῶν οἰκείων καὶ τῶν γνωρίμων· καὶ πᾶσαι διακελευόμεναί μοι ἰέναι, καὶ δεόμεναι σοὶ πάντως ἐμὲ πείθεσθαι. ἐδόκει δὴ πᾶσιν ἀρξαμένοις ἀπὸ δίωνος, δεῖν ἐμὲ πλεῦσαι καὶ μὴ μαλθακίζεσθαι· καίτοι τήν θ' ἡλικίαν αὐτοῖς προὐτεινόμην καὶ περὶ σοῦ διϊσχυριζόμην, ὡς οὐχ οἷός τ' ἔσοιο, ἀνταρκέσαι τοῖς διαβάλλουσιν ἡμᾶς καὶ βουλομένοις εἰς ἔχθραν ἐλθεῖν. ἑώρων γὰρ καὶ τότε καὶ νῦν ὁρῶ, τὰς μεγάλας οὐσίας καὶ ὑπερόγκους τῶν τε ἰδιωτῶν καὶ τῶν μονάρχων σχεδὸν, ὅσῳ περ ἂν μείζους ὦσι, τοσούτῳ πλείους καὶ μείζους τοὺς διαβάλλοντας, καὶ πρὸς ἡδονὴν μετὰ αἰσχρᾶς βλάβης ὁμιλοῦντας, τρεφούσας· οὗ κακὸν οὐδὲν μεῖζον γεννᾷ πλοῦτός τε καὶ ἡ τῆς ἄλλης ἐξουσίας δύναμις. ὅμως δ' οὖν πάντα ταῦτα χαίρειν ἐάσας ἦλθον· διανοηθεὶς, ὡς οὐδένα δεῖ τῶν ἐμῶν φίλων ἐμὲ αἰτιᾶσθαι ὡς διὰ τὴν ἐμὴν ῥαθυμίαν, τὰ σφέτερα πάντα ἐξὸν μὴ ἀπολέσθαι, διώλετο. ἐλθὼν δ', οἶσθα

ὧν δὴ σύμπαντα τἀκεῖθεν ἤδη διηγούμενα. ἐγὼ μὲν, ἠξίουν διον
κατὰ τὴν ὁμολογίαν τῶν ἐπιστολῶν πρῶτον μὲν, καταγαγεῖν δίω-
να οἰκειωσάμενον φράζων τὴν οἰκειότητα ἣν ἐμοὶ τότε ἐπείθου.
τάχ' ἂν βέλτιον τῶν νῦν γεγονότων ἔσχε, καὶ σοὶ καὶ συρακούσαις.
καὶ τοῖς ἄλλοις ἕλλησιν, ὡς ἡ ἐμὴ δόξα μαντεύεται. ἔπειτα τὰ δί
5 ωνος τοὺς οἰκείους ἔχειν ἠξίουν. καὶ μὴ διανέμεσθαι τοῖς διανειμαμένοις, οὓς οἶ
σθα. πρὸς δὲ τούτοις, ᾤμην δεῖν τὰ χρήματα παρὰ σοῦ κατ' ἐνιαυτὸν εἰωθότα
αὐτῷ κομίζεσθαι. καὶ μᾶλλον ἔτι καὶ οὐχ ἧττον ἐμοῦ παραγενο
μένου πέμπεσθαι. τούτων οὐδενὸς τυγχάνων, ἠξίουν ἀπιέναι. τὸ
μετὰ ταῦτα, ἔπειθές με μένειν τὸν ἐνιαυτὸν φάσκων τὴν δίω
νος ἀποδόμενος οὐσίαν πᾶσαν, τὰ μὲν ἡμίσεα ἀποπέμψειν εἰς κόρ
ινθον. τὰ δ' ἄλλα τῷ παιδὶ καταλείψειν αὐτοῦ. πολλὰ ἔχων εἰ
πεῖν, ὧν ὑποσχόμενος, οὐδὲν ἐποίησας, διὰ τὸ πλῆθος αὐτῶν συντέμνω.
τὰ γὰρ δὴ χρήματα πάντα ἀποδόμενος οὐ πείσας δίωνα. φάσκων οὐ πωλή
σειν ἄνευ τοῦ πείθειν, τὸν κολοφῶνα ὦ θαυμάσιε ταῖς ὑποσχέσεσιν ἁ-
πάσαις, νεανικώτατον ἐπέθηκας. μηχανὴν γὰρ οὔτε καλὴν
οὔτε κομψὴν οὔτε δικαίαν οὔτε συμφέρουσαν, εὗρες ἐμὲ ἐκφο
βεῖν ὡς ἀγνοοῦντα τὰ τότε γινόμενα, ἵνα μὴ δὲ ἐγὼ ζητοίην τὰ
χρήματα ἀποπέμπεσθαι. ἡνίκα γὰρ ἡρακλείδην ἐξέβαλες οὔτε
συρακουσίοις δοκοῦν δικαίως οὔτ' ἐμοί. διότι μετὰ θεοδότου καὶ
εὐρυβίου συνεδεήθην σου μὴ ποιεῖν ταῦτα, ταύτην λαβὼν ὡς ἱκα
νὴν πρόφασιν εἶπες ὅτι καὶ πάλαι σοι δῆλος εἴην. σοῦ μὲν οὐδὲν φροντίζων
δίωνος δὲ καὶ τῶν δίωνος φίλων καὶ οἰκείων. καὶ ἐπειδὴ νῦν θεοδότης καὶ ἡρα
κλείδης ἐν διαβολαῖς εἶεν οἰκεῖοι δίωνος ὄντες, πᾶν μηχανῴμην,
ὅπως οὗτοι μὴ δώσουσι δίκην. καὶ ταῦτα μὲν ταύτῃ περὶ τὰ πο
λιτικὰ κοινωνίας τῆς ἐμῆς καὶ σῆς. εἰ δέ τινα ἑτέραν ἀλλοτριότητα
ἐνεῖδες

ἐνδεὲς ἐν ἐμοὶ πρὸς σέ, εἰκότως οἶδα ταύτῃ πάντα ταῦτα γεγονέναι, καὶ μὴ θαύμαζε· κακὸς γὰρ ἂν ἔχοντι νοῦν ἀνδρὶ φαινοίμην ἐνδίκως· πεισθεὶς ὑπὸ τοῦ μεγέθους τῆς σῆς ἀρχῆς, τὸν μὲν παλαιὸν φίλον καὶ ξένον, κακῶς πράττοντα διὰ σὲ, μηδὲν σοῦ χείρονα, ἵνα οὕτως εἴπω, τοῦτον μὲν προδοῦναι· σὲ δὲ τὸν ἀδικοῦντα ἑλέσθαι, καὶ πάντ' ἔδραν, ὅ πῃ σοὶ προσφιλὲς ἦν, ἕνεκα χρημάτων δηλονότι· οὐδὲν γὰρ ἂν ἕτερον ἔφησεν αἴτιον τις εἶναι τῆς ἐμῆς μεταβολῆς, εἰ μετεβαλόμην. ἀλλὰ ταῦτα μὲν ταύτῃ γενόμενα, τὴν ἐμὴν καὶ σὴν λυκοφιλίαν καὶ ἀκοινωνίαν διὰ σὲ ἀπειργάσατο. σχεδὸν δ' εἰς λόγον ὁ λόγος ἥκει μοι ξυνεχὴς τῷ νῦν δὴ γενομένῳ, περὶ οὗ μοι τὸ δεύτερον ἀπολογητέον ἔφην εἶναι. σκόπει δὴ καὶ πρόσεχε πάντως, ἄν σοι τι ψεύδεσθαι δόξω καὶ μὴ τἀληθῆ λέγειν. φημὶ γάρ σε Ἀρχεδήμου παρόντος ἐν τῷ κήπῳ καὶ Ἀριστοκρίτου, σχεδὸν ἡμέραις πρότερον εἴκοσι τῆς ἐμῆς ἐκ Συρακουσῶν οἴκαδ' ἀποδημίας, ἃ νῦν δὴ λέγεις ἐμοὶ μεμφόμενος, ὡς Ἡρακλείδου τέ μοι καὶ τῶν ἄλλων πάντων μᾶλλον, ἢ σοῦ μέλοι· καὶ μετὰ τούτων ἐναντίον διηρώτησας, εἰ μνημονεύω κατ' ἀρχὰς ὅτ' ἦλθον, κελεύων σε τὰς πόλεις τὰς Ἑλληνίδας κατοικίζειν. ἐγὼ δὲ συνεχώρουν μεμνῆσθαι· καὶ ἔτι νῦν μοι δοκεῖ ταῦτ' εἶναι βέλτιστα. ῥητέον δὲ ὦ Διονύσιε, καὶ τὸ μετὰ τοῦτο τότε λεχθέν. ἠρόμην γὰρ δή σε, πότερον αὐτὸ τοῦτό σοι ξυμβουλεύσαιμι μόνον, ἤ τι καὶ ἄλλο πρὸς τούτῳ. σὺ δὲ καὶ μάλα ἀπεκρίνω μεμηνιμένως καὶ ὑβριστικῶς εἰς ἐμὲ ὡς ᾤου· διὸ τὸ τότε σοι ὕβρισμα, νῦν ὕπαρ ἀντὶ ὀνείρατος γέγονεν. εἶπες δὲ καὶ μάλα πλαστῶς γελῶν, εἰ μέμνημαι, ὡς παιδευθέντα με ἐκέλευες ποιεῖν πάντα ταῦτα ἢ μὴ ποιεῖν. ἔφην ἐγὼ κάλλιστα Z. μέρος.

μνημονεῦσαί σε. οὐκοῦν παιδευθέντα γεωμετρεῖν ἢ πῶς; κἀγὼ τὸ μετὰ ταῦτα ὃ ἐπῄει μοι εἰπεῖν, οὐκ εἶπον· φοβούμενος μὴ σμικροῦ ῥήματος ἕνεκα τὸν ἔκπλουν ὃν προσεδόκων, μή μοι στενὸς γένοιτο ἀντ' εὐρυχωρίας. ἀλλ' οὖν ὧν ἕνεκα πάντ' εἴρηται, τοῦτ' ἔστι· μή με διάβαλλε λέγων, ὡς οὐκ εἴων ἐγώ σε πόλεις Ἑλληνίδας ἐρρούσας ὑπὸ βαρβάρων, οἰκίζειν οὐδὲ συρακουσίους ἐπικουφίσαι, βασιλείαν ἀντὶ τυραννίδος μεταστήσαντα. τούτων γὰρ, οὐχ ἧττον ἐμοὶ πρέποντα ἔχοις ἄν ποτε λέγων μου καταψεύδεσθαι. πρὸς δὲ τούτοις, ἔτι σαφεστέρους τούτων εἰς ἔλεγχον λόγους ἐγὼ δοίην ἂν εἴ τις ἱκανή που φαίνοιτο κρίσις. ὡς ἐγὼ μὲν ἐκέλευον. σὺ δ' οὐκ ἤθελες πράττειν αὐτά. καὶ μὴν οὐ χαλεπὸν εἰπεῖν ἐναργῶς ὡς ἦν ταῦτα ἄριστα πραχθέντα, καὶ σοὶ καὶ συρακουσίοις καὶ σικελιώταις πᾶσιν. ἀλλ' ὦ τᾶν εἰ μὲν φῂς εἰρηκέναι εἰρηκὼς ταῦτα, ἔχω τὴν δίκην. εἰ δ' ὁμολογεῖς, τὸ μετὰ τοῦτο ἡγησάμενος εἶναι σοφὸν τὸν στησίχορον, τὴν παλινῳδίαν αὐτοῦ μιμησάμενος ἐκ τοῦ ψεύδους εἰς τὸν ἀληθῆ λόγον μεταστήσῃ.

Πλάτων Δίωνι συρακουσίῳ εὖ πράττειν

ἶμαι μὲν φανερὰν εἶναι διὰ παντὸς τοῦ χρόνου τὴν ἐμὴν προθυμίαν, περὶ τὰς συμβεβηκυίας πράξεις. καὶ ὅτι πολλὴν εἶχον περὶ αὐτῶν σπουδὴν εἰς τὸ ξυμπερανθῆναι, οὐκ ἄλλου τινὸς ἕνεκα μᾶλλον, ἢ τῆς ἐπὶ τοῖς καλοῖς φιλοτιμίας. νομίζω γὰρ δίκαιον εἶναι, τοὺς ὄντας τῇ ἀληθείᾳ ἐπιεικεῖς, καὶ πράττοντας τοιαῦτα, τυγχάνειν δόξης τῆς προσηκούσης. τὰ μὲν οὖν

εἰς τὸ

εἰς τὸ παρὸν σὺν θεῷ εἰπεῖν ἔχει καλῶς. τὰ δὲ περὶ τῶν μελλόν-
των, ὁ μέγιστός ἐστιν ἀγών. ἀνδρεία μὲν οὖν καὶ τάχει καὶ ῥώμῃ διε-
νεγκεῖν, δόξειεν ἂν καὶ ἑτέρων εἶναί τινων. ἀλήθεια δὲ καὶ δικαι-
οσύνῃ, καὶ μεγαλοπρεπείᾳ καὶ τῇ περὶ πάντα ταῦτα εὐσχημο-
σύνῃ ξυμφαίη τις ἂν τοὺς τοιούτους τὰ τοιαῦτα τιμᾶν, εἰκότως
τῶν ἄλλων διαφέρειν. νῦν οὖν δῆλον μέν ἐστιν ὃ λέγω. ἀναμιμνή-
σκειν δὲ ὅμως δεῖ ἡμᾶς αὐτούς. ὅτι προσήκει πλέον ἢ παίδων,
τῶν ἄλλων ἀνθρώπων διαφέρειν, τοὺς οἶσθα δήπου. φανεροὺς οὖν
δεῖ ἡμᾶς γενέσθαι, ὅτι ἐσμὲν τοιοῦτοι οἷοίπερ φαμέν. ἄλλως τε καὶ
ἐπειδὴ σὺν θεῷ εἰπεῖν ῥᾴδιον ἔσται. τοῖς μὲν γὰρ ἄλλοις, συμβέβη-
κεν ἀναγκαῖον εἶναι πλανηθῆναι πολὺν τόπον, εἰ μέλλουσι γνω-
σθῆναι. τὸ δὲ νῦν ὑπάρχον περὶ σὲ τοιοῦτόν ἐστιν, εἰπεῖν. εἰς ἕνα τό-
πον ἀποβλέπειν. καὶ ἐν τούτῳ μάλιστα πρὸς σέ. ὡς οὖν ὑπὸ πάν-
των ὁρώμενος παρασκευάζου, τόν τε Λυκοῦργον ἐκεῖνον ἀρχαῖον
ἀποδείξων καὶ τὸν Κῦρον. καὶ εἴ τις ἄλλος πώποτε ἔδοξεν ἤθει καὶ
πολιτείᾳ διενεγκεῖν. ἄλλως τε καὶ ἐπειδὴ πολλοὶ καὶ σχεδὸν ἅ-
παντες οἱ τῇδε λέγουσιν ὡς πολλή ἐστιν ἐλπὶς ἀναιρεθέντος Διονυ-
σίου, διαφθαρῆναι τὰ πράγματα, διὰ τὴν σήν τε καὶ Ἡρακλεί-
δου καὶ Θεοδότου καὶ τῶν ἄλλων γνωρίμων φιλοτιμίαν. μάλιστα
μὲν οὖν, μηδεὶς εἴη τοιοῦτος. ἐὰν δ᾽ ἄρα καὶ γένηταί τις, σὺ φαί-
νου ἰατρεύων. καὶ πρὸς τὸ βέλτιστον ἔλθοις ἄν. ταῦτα δὲ ἴσως,
γελοῖόν σοι φαίνεται εἶναι τὸ ἐμὲ λέγειν, διότι καὶ αὐτὸς οὐκ ἀγνο-
εῖς. ἐγὼ δὲ καὶ ἐν τοῖς θεάτροις ὁρῶ τοὺς ἀγωνιστὰς ὑπὸ τῶν παί-
δων παροξυνομένους, μή τί γε δὴ ὑπὸ τῶν φίλων, οὓς ἄν τις οἴηται
μετὰ σπουδῆς, κατ᾽ εὔνοιαν παρακελεύεσθαι. νῦν οὖν αὐτοί τε ἀγω-

ὥστε τοὺς ἐξ ἀπάσης τῆς οἰκουμένης εἰ καὶ νεανικώτερον ἐστὶ εἰπεῖν, εἰς τ

ρίζεσθε, ἡμῖν δ' οὐδὲν ἐπιστέλλετε· τὰ δ' ἐνθάδε παραπλησίως ἔχει, καθάπερ καὶ ὑμῶν παρόντων. ἐπιστέλλετε δὲ ὅτι τε πράττετε, ἢ πράττοντες τυγχάνετε. ὡς ἡμεῖς πολλὰ ἀκούοντες οὐδὲν ἴσμεν. καὶ νῦν ἐπιστολαὶ παρὰ μὲν θεοδότου καὶ ἡρακλείδου, ἥκουσιν εἰς λακεδαίμονα καὶ αἴγιναν. ἡμεῖς δὲ καθάπερ εἴρηται, πολλὰ ἀκούοντες περὶ τῶν τῇδε, οὐδὲν ἴσμεν. ἐνθυμοῦ δὲ, καὶ ὅτι δοκεῖς τισιν ἐνδεεστέρως τοῦ προσήκοντος θεραπευτικὸς εἶναι. μὴ οὖν λανθανέτω σε ὅτι διὰ τοῦ ἀρέσκειν τοῖς ἀνθρώποις, καὶ τὸ πράττειν ἐστίν. ἡ δ' αὐθάδεια ἐρημίᾳ ξύνοικος. εὐτύχει.

Πλάτων Περδίκκᾳ εὖ πράττειν.

In Timaeo et Gorg. ... fuit Rex Mac. et regnau. 28.

Εὐφραίῳ μὲν συνεβούλευσα καθάπερ ἐπέστελλες τῶν σῶν ἐπιμελούμενον, περὶ ταῦτα διατρίβειν. δίκαιος δ' εἰμὶ καὶ ξενικὴν καὶ ἱερὰν ξυμβουλὴν λεγομένην συμβουλεύειν, περί τε τῶν ἄλλων ὧν ἂν φράζῃς, καὶ ὡς εὐφραίῳ δεῖ τανῦν χρῆσθαι. πολλὰ μὲν γὰρ ὁ ἀνὴρ χρήσιμος. μέγιστον δὲ οὗ καὶ σὺ νῦν ἐνδεὴς εἶ. διά τε τὴν ἡλικίαν, καὶ διὰ τὸ μὴ πολλοὺς αὐτοῦ πέρι ξυμβούλους εἶναι τοῖς νέοις. ἔστι γὰρ δή τις φωνὴ τῶν πολιτειῶν ἑκάστης, καθαπερεί τινων ζώων, ἄλλη μὲν δημοκρατίας, ἄλλη δ' ὀλιγαρχίας. ἡ δ' αὖ μοναρχίας. ταύτας φαῖεν μὲν ἂν ἐπίστασθαι πάμπολλοι. πλεῖστον δ' ἀπολείπονται τοῦ κατανοεῖν αὐτὰς πλὴν ὀλίγων δή τινων. ἥτις μὲν ἂν οὖν τῶν πολιτειῶν τὴν αὐτῆς φθέγγηται φωνὴν, πρός τε θεοὺς καὶ πρὸς ἀνθρώπους, καὶ τῇ φωνῇ τὰς πράξεις ἑπομένας ἀποδιδῷ, θάλλει τε ἀεὶ καὶ σώ-

4 Pol. Arist. ...

Theage. ξυμβουλὴ ἱερόν ... ἔστι περὶ ... ρου ἂν ἄνθρωπος βουλεύσαιτο, ἢ περὶ παιδείας ἑαυτοῦ ἢ τῶν αὐτοῦ οἰκείων

ζεται. μίμου μὲν ᾗ δ' ἄλλων φθείρεται. πρὸς ταῦτ' οὖν ὑμῖν εὐφραῖος σοὶ γένοιτο οὐχ ἥκιστα ἂν χρήσιμος. καίπερ καὶ πρὸς ἄλλα ὢν ἀνδρεῖος. τοὺς γὰρ τῆς μοναρχίας λόγους, οὐχ ἥκιστα ὑπ' αὐτὸν ἐλπίζω συνεξευρήσειν τῶν περὶ τὴν σὴν διατριβὴν ὄντων. εἰς ταῦτ' οὖν αὐτῷ χρώμενος, ὀνήσει τε αὐτὸς καὶ ἐκεῖνον πλεῖστα ὠφελήσεις. ἐὰν δέ τις ἀκούσας ταῦτα εἴπῃ, πλάτων ὡς ἔοικε προσποιεῖται μὲν, τὰ δημοκρατίᾳ συμφέροντα εἰδέναι. ἐξὸν δ' ἐν τῷ δήμῳ λέγειν καὶ συμβουλεύειν αὐτῷ τὰ βέλτιστα, οὐπώποτε ἀναστὰς ἐφθέγξατο, πρὸς ταῦτ' εἰπεῖν, ὅτι πλάτων ὀψὲ ἐν τῇ πατρίδι γέγονε. καὶ τὸν δῆμον κατέλαβεν ἤδη πρεσβύτερον καὶ εἰθισμένον ὑπὸ τῶν ἔμπροσθεν, πολλὰ καὶ ἀνόμοια τῇ ἐκείνου συμβουλῇ πράττειν. ἐπεὶ πάντων ἂν ἥδιστα καθάπερ πατρὶ συνεβούλευεν αὐτῷ, εἰ μὴ μάτην μὲν κινδυνεύσειν ᾤετο, πλέον δ' οὐδὲν ποιήσειν. ταὐτὸν δὴ οἶμαι δράσαι ἂν καὶ τὴν ἐμὴν συμβουλήν. εἰ γὰρ δόξαιμεν ἀνιάτως ἔχειν, πολλὰ ἂν χαίρειν ἡμῖν εἰπὼν, ἐκτὸς ἂν γένοιτο τῆς περὶ ἐμὲ καὶ τὰ ἐμὰ συμβουλῆς.

Πλάτων ἑρμείᾳ καὶ ἐράστῳ καὶ κορίσκῳ, εὖ πράττειν.

Μοὶ φαίνεται θεῶν τις ὑμῖν τύχην ἀγαθὴν ἂν δέξησθε εὖ μάλα καὶ ἱκανῶς παρασκευάζειν. οἰκεῖτε γὰρ δὴ γείτονές τε ὑμῖν αὐτοῖς. καὶ χρείαν ἔχοντες, ὥστε ἀλλήλους εἰς τὰ μέγιστα ὠφελεῖν. ἑρμείᾳ μὲν γὰρ οὔτε ἵππων πλῆθος οὔτε ἄλλης πολεμικῆς συμμαχίας οὐδ' αὖ χρυσοῦ προσγενομένου γένοιτ' ἂν μείζων εἰς τὰ πάντα δύναμις. ἢ φίλων βεβαίων τε καὶ ἦθος ἐχόντων ὑγιές. ἐράστῳ δὲ καὶ κορίσκῳ, πρὸς τῇ τῶν εἰδῶν σοφίᾳ τῇ κα

ἀλλὰ ταύτῃ φημὶ ἐγὼ καίπερ γέρων ὢν προσδεῖν σοφίας τῆς περὶ τοὺς πονη-
ροὺς καὶ ἀδίκους φυλακτικῆς καί τινος ἀμυντικῆς δυνάμεως. ἄπειροι
γάρ εἰσι διὰ τὸ μεθ' ἡμῶν μετρίων ὄντων καὶ οὐ κακῶν, συχνὸν διατετρι-
φέναι τοῦ βίου· διὸ δὴ τούτων προσδεῖν εἶπον, ἵνα μὴ ἀναγκάζωνται τῆς
ἀληθινῆς μὲν ἀμελεῖν σοφίας· τῆς δὲ ἀνθρωπίνης τε καὶ ἀναγκαίας
ἐπιμελεῖσθαι μειζόνως ἢ δεῖ. ταύτην δ' αὖ τὴν δύναμιν, Ἑρμείας
μοι φαίνεται φύσει τε ὅσα μήπω ξυγγεγονότι καὶ τέχνῃ, δι' ἐμ-
πειρίας εἰληφέναι. τί οὖν δὴ λέγω· σοὶ μέν, Ἑρμεία, πεπειραμένος
Ἐράστου καὶ Κορίσκου πλέονα ἢ σύ, φημὶ καὶ μηνύω καὶ μαρτυρῶ
μὴ ῥᾳδίως εὑρήσειν σε ἀξιοπιστότερα ἤθη τούτων τῶν γειτόνων. ἔχε-
σθαι δὴ παντὶ ξυμβουλεύω δικαίῳ τρόπῳ τούτων τῶν ἀνδρῶν,
μὴ πάρεργον ἡγούμενον. Κορίσκῳ δὲ καὶ Ἐράστῳ πάλιν Ἑρμείου ἀν-
τέχεσθαι ξύμβουλός εἰμι καὶ πειρᾶσθαι τοῖς αὐθέξεσιν ἀλλήλοιν
εἰς μίαν ἀφικέσθαι φιλίας ξυμπλοκήν. ἂν δέ τις ὑμῶν ἄρα ταύ-
την πῃ λύειν δοκῇ, τὸ γὰρ ἀνθρώπινον οὐ παντάπασι βέβαιον, δεῦρο
παρ' ἐμὲ καὶ τοὺς ἐμούς, πέμπετε μομφῆς κατήγορον ἐπιστολήν.
οἶμαι γὰρ δίκῃ τε καὶ αἰδοῖ τοὺς παρ' ἡμῶν ἐντεῦθεν ἐλθόντας
λόγους, εἰ μή τι τὸ λυθὲν μέγα τύχοι γενόμενον, ἐπῳδῆς ἧστινο-
σοῦν μᾶλλον ἂν συμφῦσαι καὶ συνδῆσαι πάλιν εἰς τὴν προϋπάρ-
χουσαν φιλότητά τε καὶ κοινωνίαν. ἢν ὅταν μὲν φιλοσοφῶμεν ἅ-
παντες ἡμεῖς τε καὶ ὑμεῖς ὅσον ἂν δυνώμεθα καὶ ἑκάστῳ παρείκῃ, κύ-
ρια τὰ νῦν κεχρησμῳδημένα ἔσται. τὸ δ' ἂν μὴ δρῶμεν ταῦτα, οὐκ ἐρῶ.
φήμην γὰρ ἀγαθὴν μαντεύομαι. καί φημι ταῦθ' ἡμᾶς πάντ' ἀγαθὰ
ποιήσειν, ἂν θεὸς ἐθέλῃ. ταύτην τὴν ἐπιστολὴν πάντας ὑμᾶς τρεῖς ὄντας
ἀναγνῶναι χρή, μάλιστα μὲν ἀθρόους, εἰ δὲ μή, κατὰ δύο κοινῇ,

κατὰ

[Marginalia: Vide utra[illegible] tais, sit [illegible] — κακῶν — [illegible] affini erg. — [illegible] tha. vult ī amici[illegible] ea, ut unus fiat ex pluribus. — copulatī [illegible] — [illegible] amicitia]

Institut. 1. Copar. amicit. 2. Parta. 1. Copul. conglut. 2. Tueri. 3 quasi [illegible]
1 Cōgressus 2 copulatio [illegible] vel 2 institutio amicitiar. [illegible]
Iūgere mal. coniunctio [illegible] Cōiungere. I [illegible] attrah. ad amicitiā.
[illegible] 2 [illegible] amic. libri.

κατὰ δύναμιν οἷόν τε ἐστὶ πλείστης· καὶ χρῆσθαι συνθήκῃ καὶ νόμῳ κυρίῳ, ὅ ἐστι δίκαιον· ἐπομνύντας σπουδῇ τε ἅμα μὴ ἀμούσῳ καὶ τῇ τῆς σπουδῆς ἀδελφῇ παιδιᾷ, καὶ τὸν τῶν πάντων θεὸν ἡγεμόνα τῶν τε ὄντων καὶ τῶν μελλόντων, τοῦ τε ἡγεμόνος καὶ αἰτίου πατέρα κύριον ὃν ἂν ὄντως φιλοσοφῶμεν, εἰσόμεθα πάντες σαφῶς εἰς δύναμιν ἀνθρώπων εὐδαιμόνων.

propinquis.

Πλάτων τοῖς Δίωνος οἰκείοις τε καὶ ἑταίροις, εὖ πράττειν.

Ἐπεστείλατέ μοι νομίζειν δεῖν τὴν διάνοιαν ὑμῶν εἶναι τὴν αὐτὴν ἣν εἶχε καὶ Δίων. καὶ δὴ καὶ κοινωνεῖν διεκελεύεσθέ μοι, καθ' ὅσον οἷός τέ εἰμι ἔργῳ καὶ λόγῳ. ἐγὼ δὲ εἰ μὲν δόξαν καὶ ἐπιθυμίαν τὴν αὐτὴν ἔχετε ἐκείνῳ ξύμφημι κοινωνήσειν. εἰ δὲ μὴ βουλεύσεσθαι πολλάκις. τίς δ' ἦν ἡ ἐκείνου διάνοια καὶ ἐπιθυμία, σχεδὸν οὐκ εἰκάζων, ἀλλ' ὡς εἰδὼς σαφῶς εἴποιμ' ἄν. ὅτε γὰρ κατ' ἀρχὰς εἰς Συρακούσας ἐγὼ ἀφικόμην, σχεδὸν ἔτη τετταράκοντα γεγονὼς Δίων εἶχε τὴν ἡλικίαν, ἣν τὰ νῦν Ἱππαρῖνος γέγονε. καὶ ἣν ἔσχε τότε δόξαν, ταύτην καὶ διετέλεσεν ἔχων· Συρακοσίους οἴεσθαι δεῖν ἐλευθέρους εἶναι κατὰ νόμους τοὺς ἀρίστους οἰκοῦντας· ὥστε οὐδὲν θαυμαστὸν εἴ τις θεῶν καὶ τοῦτον, εἰς τὴν αὐτὴν δόξαν περὶ πολιτείας, ἐκείνῳ γενέσθαι σύμφρονα ποιήσειε. τίς δ' ἦν ὁ τρόπος τῆς γενέσεως αὐτῆς, οὐκ ἀπάξιον ἀκοῦσαι νέῳ καὶ μὴ νέῳ. πειράσομαι δὲ ἐξ ἀρχῆς αὐτὴν ἐγὼ πρὸς ὑμᾶς διεξελθεῖν. ἔχει γὰρ καιρὸν τὰ νῦν. νέος ἐγώ ποτε ὤν, πολλοῖς δὴ ταὐτὸν ἔπαθον. ᾠήθην εἰ θᾶττον ἐμαυτοῦ γενοίμην κύριος, ἐπὶ τὰ κοινὰ τῆς πόλεως εὐθὺς ἰέναι, καί μοι τύχαι τινὲς τῶν τῆς πόλεως

viri Ath. p[re]fecti

πραγμάτων, τοιάδε παρέπεσεν. ὑπὸ πολλῶν γὰρ τῆς τότε πολιτείας λοιδορουμένης, μεταβολὴ γίγνεται. καὶ τῆς μεταβολῆς, εἷς καὶ πεντήκοντά τινες ἄνδρες προύστησαν ἄρχοντες. ἕνδεκα μὲν, ἐν ἄστει. δέκα δ' ἐν πειραιεῖ. περί τε ἀγορὰν ἑκάτεροι τούτων, ὅσα τ' ἐν τοῖς ἄστεσι διοικεῖν ἔδει. τριάκοντα δὲ πάντων ἄρχοντες κατέστησαν αὐτοκράτορες. τούτων δή τινες, οἰκεῖοί τε ὄντες καὶ γνώριμοι ἐτύγχανον ἐμοί. καὶ δὴ παρεκάλουν εὐθὺς, ὡς ἐπὶ προσήκοντα πράγματά με. καὶ ἐγὼ, θαυμαστὸν οὐδὲν ἔπαθον ὑπὸ νεότητος. ᾠήθην γὰρ αὐτοὺς ἔκ τινος ἀδίκου βίου, ἐπὶ δίκαιον τρόπον ἄγοντας διοικήσειν δὴ τὴν πόλιν, ὥστε αὐτοῖς σφόδρα προσεῖχον τὸν νοῦν, τί πράξοιεν. καὶ ὁρῶν δήπου τοὺς ἄνδρας ἐν χρόνῳ ὀλίγῳ χρυσῆν ἀποδείξαντας τὴν ἔμπροσθεν πολιτείαν, τά τε ἄλλα καὶ φίλον ἄνδρα ἐμοὶ πρεσβύτερον σωκράτη ὃν ἐγὼ σχεδὸν οὐκ ἂν αἰσχυνοίμην εἰπὼν δικαιότατον εἶναι τῶν τότε ἐπί τινα τῶν πολιτῶν μεθ' ἑτέρων ἔπεμπον, βίᾳ ἄξοντα ὡς ἀποθανούμενον. ἵνα δὴ μετέχοι τῶν πραγμάτων αὐτοῖς. εἴτε βούλοιτο, εἴτε μή. ὁ δ' οὐκ ἐπείθετο. πᾶν δὲ παρεκινδύνευσε παθεῖν, πρὶν ἀνοσίων αὐτοῖς ἔργων γενέσθαι κοινωνός. ἃ δὴ πάντα καθορῶν καὶ ἔτι ἄλλα τοιαῦτα οὐ σμικρὰ, ἐδυσχέρανά τε, καὶ ἐμαυτὸν ἐπανήγαγον ἀπὸ τῶν τότε κακῶν. χρόνῳ δὲ οὐ πολλῷ, μετέπεσε τὰ τῶν τριάκοντά τε καὶ πᾶσα ἡ τότε πολιτεία. πάλιν δὲ, βραδύτερον μὲν, εἷλκε δέ με ὅμως, ἡ περὶ τὸ πράττειν τὰ κοινὰ καὶ πολιτικὰ ἐπιθυμία. ἦν οὖν καὶ ἐν ἐκείνοις ἅτε τεταραγμένοις, πολλὰ γιγνόμενα, ἅ τις ἂν δυσχεράνειεν. καὶ οὐδέν τι θαυμαστὸν ἦν τιμωρίας ἐχθρῶν γίγνεσθαί τινων τισὶ μείζους, ἐν μεταβολαῖς. καίτοι πολλῇ γε ἐχρήσαντο οἱ τότε κατελθόντες ἐπιεικείᾳ. κατὰ δέ τινα τύχην,

κινδυνεύω το ἐγγίζω, ἢ δοκῶ. Πλατ. τ. πολ. ... ψυχῆς ... κινδυνεύουσιν ἐγγύς τι εἶναι τοῦ τριακοστοῦ μαθος. ... κινδυνεύουσι πει-θειν ἐνίους, οὗτοι εἰσὶ δεινοὶ παρασχεῖν λόγον τῷ ... Dem. στεφ. περὶ ... ἐν τισὶ ... σφοδρὰν, εἶναι τὸ φίλτερα δεῖ, ἐν οἷς τὸ ὅλον τι κινδυνεύεται τῇ πόλει. Παρα. Ἰσοκ. κ. τ. ...

οἱ περὶ Μελ. κ(αὶ) Ἄνυτον, οἵπερ Πολ[illegible] κρατῆς λόγων παρέσχε τῆς κατηγορίας, ἵνα καλῶς ἀρνηθεὶς ἀποθάνῃ

αὖ τὸν ἑταῖρον ἡμῶν Σωκράτη τοῦτον δυναστεύοντές τινες, εἰ-
σάγουσιν εἰς δικαστήριον, ἀνοσιωτάτην αἰτίαν ἐπιβαλόντες, καὶ
πάντων ἥκιστα Σωκράτει προσήκουσαν, ὡς ἀσεβῆ γὰρ οἱ μὲν εἰ-
σήγαγον, οἱ δὲ, κατεψηφίσαντο, καὶ ἀπέκτειναν, τὸν τότε τῆς
ἀνοσίου ἀγωγῆς οὐκ ἐθελήσαντα μετασχεῖν περὶ ἕνα τῶν τότε φευ-
γόντων φίλων, ὅτε φεύγοντες ἐδυστύχουν αὐτοί. σκοποῦντι δή μοι
ταῦτά τε, καὶ τοὺς ἀνθρώπους τοὺς πράττοντας τὰ πολιτικὰ, καὶ
τοὺς νόμους γε καὶ ἔθη, ὅσῳ μᾶλλον διεσκόπουν ἡλικίας τε εἰς
τὸ πρόσθεν προύβαινον, τοσούτῳ χαλεπώτερον ἐφαίνετο ὀρθῶς
εἶναί μοι τὰ πολιτικὰ διοικεῖν. οὔτε γὰρ ἄνευ φίλων ἀνδρῶν καὶ
ἑταίρων πιστῶν, οἷόν τ' εἶναι πράττειν. οὓς οὔθ' ὑπάρχοντας ἦν εὑρεῖν
εὐπετές, οὐ γὰρ ἔτι ἐν τοῖς τῶν πατέρων ἤθεσι καὶ ἐπιτηδεύμα-
σιν ἡ πόλις ἡμῶν διῳκεῖτο. καινούς τε ἄλλους, ἀδύνατον ἦν κτᾶ-
σθαι μετά τινος ῥᾳστώνης. τά τε τῶν νόμων γράμματα καὶ ἔθη,
διεφθείρετο. καὶ ἐπεδίδου θαυμαστὸν ὅσον, ὥστε με τὸ πρῶτον πολ-
λῆς μεστὸν ὄντα ὁρμῆς ἐπὶ τὸ πράττειν τὰ κοινὰ, βλέποντα εἰς
ταῦτα καὶ φερόμενα ὁρῶντα πάντῃ πάντως, τελευτῶντα ἰλιγ-
γιᾶν. καὶ τοῦ μὲν σκοπεῖν μὴ ἀποστῆναι, μή ποτε ἄμεινον ἂν γίγνοιτο
περί τε αὐτὰ ταῦτα, καὶ δὴ καὶ περὶ τὴν πᾶσαν πολιτείαν. τοῦ
δὲ πράττειν αὖ, περιμένειν ἀεὶ καιρούς. τελευτῶντα δὲ νοῆσαι περὶ
πασῶν τῶν νῦν πόλεων, ὅτι κακῶς ξύμπασαι πολιτεύονται.
τὰ γὰρ τῶν νόμων αὐταῖς, σχεδὸν ἀνιάτως ἔχοντά ἐστιν, ἄνευ πα-
ρασκευῆς θαυμαστῆς τινος μετὰ τύχης. λέγειν τε ἠναγκάσθην,
ἐπαινῶν τὴν ὀρθὴν φιλοσοφίαν, ὡς ταύτης ἐστὶ τά τε πολιτι-
κὰ δίκαια καὶ τῶν ἰδιωτῶν πάντα κατιδεῖν. κακῶν οὖν οὐ-
λήξειν τὰ ἀνθρώπινα γένη πρὶν ἂν ἢ τὸ τῶν φιλοσοφούντων
ὀρθῶς γε καὶ ἀληθῶς γένος, εἰς ἀρχὰς ἔλθῃ τὰς πολιτικὰς, ἢ τὸ

Ἴλιγξ. Λυκ. πολὺς ... ὁ ἱδρὼς, ἀθρόο... δὲ ὁ ἴλιγξ. Διο... Μυγάλ... θρων εἰς ἕνα τόπον συρραττόντων ἴλιγ... πολλαὶ κ(αὶ) φοβεραὶ ... νίσαντο.

ὁ σχολιαστὴς πληγῆναι ὑπὸ τῆς ἀπορ. ἰλιγγιᾶσθαι ... ὁ περιπατῶν ... Pla. Gorg.
εἴ τίς σε ... ἀγόμενος εἰς τὸ δεσμωτήριον ἀπαγάγοι, φάσκων ἀδικεῖν
μηδὲν ἀδικοῦντα ὦ Σώκρατες, οἶσθα ὅτι οὐκ ἂν ἔχοις ὅ τι χρήσαιο σαυτῷ
ἀλλ' ἰλιγγιῴης, κ(αὶ) χασμῷο. Ἴδε Πρωταγόρ. ἐγὼ δὲ τὸ πρῶτον ὥσπερ ὑπὸ
ἀγαθοῦ πύκτου πληγεὶς, ἐσκοτώθην κ(αὶ) ἰλιγγίασα.

pub. putant. Si ... sapientes homines ... qui regeret, omne suum studium, in doctrina, ac sapientia collocassent ... videtur potestatis & sapientiae ... [illegible]

τῶν δυναστευόντων ἐν ταῖς πόλεσιν, ἔκ τινος μοίρας θείας ὄντως φιλοσοφήσῃ. ταύτην δὴ τὴν διάνοιαν ἔχων εἰς ἰταλίαν τε καὶ σικελίαν ἦλθον, ὅτε πρῶτον ἀφικόμην. ἐλθόντα δέ με, ὁ ταύτῃ λεγόμενος αὖ βίος εὐδαίμων, ἰταλιωτικῶν τε καὶ συρακουσίων τραπεζῶν πλήρης, οὐδαμῇ οὐδαμῶς ἤρεσε. δίς τε τῆς ἡμέρας ἐμπιπλάμενον ζῆν, καὶ μηδέποτε κοιμώμενον μόνον νύκτωρ, καὶ ὅσα τούτων ἐπιτηδεύματα ξυνέπεται τῶν βίων. ἐκ γὰρ τούτων τῶν ἐθῶν, οὔτ' ἂν φρόνιμος οὐδείς ποτε γενέσθαι τῶν ὑπὸ τὸν οὐρανὸν ἀνθρώπων ἐκ νέου ἐπιτηδεύων δύναιτο, οὐδ' οὕτως θαυμαστῇ φύσει κραθήσεται. σώφρων δὲ οὐδ' ἂν μελλήσαι ποτὲ γενέσθαι. καὶ δὴ καὶ περὶ τῆς ἄλλης ἀρετῆς ὁ αὐτὸς λόγος ἂν εἴη. πόλις τε οὐδεμία ἂν ἠρεμήσαι κατὰ νόμους οὐδοὺς τινασοῦν, ἀνδρῶν οἰομένων ἀναλίσκειν μὲν δεῖν πάντα εἰς ὑπερβολάς. ἀργῶν δέ, εἰς ἅπαντα ἡγουμένων αὖ δεῖν γίνεσθαι, πλὴν εἰς εὐωχίας καὶ πότους, καὶ ἀφροδισίων σπουδὰς διαπονουμένων. ἀναγκαῖον δὲ εἶναι ταύτας τὰς πόλεις, εἰς τυραννίδας τε καὶ ὀλιγαρχίας καὶ δημοκρατίας μεταβαλλούσας, μηδέποτε λήγειν. δικαίου δὲ καὶ ἰσονόμου πολιτείας τοὺς αὐταῖς δυναστεύοντας, μηδ' ὄνομα ἀκούοντας, ἀνέχεσθαι. ταῦτα δὴ πρὸς τοῖς πρόσθε διανοούμενος εἰς συρακούσας διεπορεύθην. ἴσως μὲν κατὰ τύχην. ἔοικε μὴν τότε μηχανωμένῳ τινὶ τῶν κρειττόνων, ἀρχὴν βαλέσθαι τῶν νῦν γεγονότων πραγμάτων περὶ δίωνα καὶ τῶν περὶ συρακούσας. δέος δὲ μὴ καὶ πλειόνων ἔτι ἐὰν μὴ νῦν ὑμεῖς ἐμοὶ πείθησθε, τὸ δεύτερον συμβουλεύοντι. πῶς οὖν δὴ λέγω πάντων ἀρχὴν γεγονέναι τὴν τότε, τὴν εἰς σικελίαν ἐμὴν ἄφιξιν. ἐγὼ συγγενόμενος δίωνι τότε νέῳ, κινδυνεύω τὰ δοκοῦντα ἐμοὶ βέλ

Quid ... [illegible] ... Pl. ad Di. ... In qua ... [illegible]
no cu venissem, vita illa beata, quae ferebat, plena Italicarum Syracusanarumque mensar, mo mihi placuit: Bis in die satur fieri nec unquam pernoctare solum: caeteraque quae comitantur huius vitae: in qua sapiens nemo efficitur unquam. Moderatus vero multo minus. Quae enim natura tam mirabilis temperari potest? Quo igitur ... civile vita possit esse, a qua abest prudentia? Abest moderatio?

τὰ ἀνθρώποις εἶναι μηνύων διὰ λόγων, καὶ πράττειν αὐτὰ ξυμ-
βουλεύων, ἀγνοεῖν ὅτι τυραννίδος τινὰ τρόπον κατάλυσιν ἐσομέ-
νην μηχανώμενος, ἐλάνθανον ἐμαυτόν. δίων μὲν γὰρ δὴ μάλ' εὐ-
μαθὴς ὤν, πρός τε τἆλλα καὶ πρὸς τοὺς τότε ὑπ' ἐμοῦ λόγους λε-
γομένους, οὕτως ὀξέως ὑπήκουσε καὶ σφόδρα, ὡς οὐδεὶς πώποτε
ὧν ἐγὼ προσέτυχον νέων, καὶ τὸν ἐπίλοιπον βίον ζῆν ἠθέλησε, δια-
φερόντως τῶν πολλῶν ἰταλιωτῶν τε καὶ σικελιωτῶν ἀρετὴν, πε-
ρὶ πλείονος ἡδονῆς τῆς τε ἄλλης τρυφῆς ἠγαπηκώς. ὅθεν ἐπα-
χθέστερον τοῖς περὶ τὰ τυραννικὰ νόμιμα ζῶσιν ἐβίω, μέχρι τοῦ θα-
νάτου τοῦ περὶ διονύσιον γενομένου. μετὰ δὲ τοῦτο, διενοήθη μὴ μόνον
ἐν αὐτῷ ποτ' ἂν γενέσθαι ταύτην τὴν διάνοιαν, ἣν αὐτὸς ὑπὸ τῶν
ὀρθῶν λόγων ἔσχεν. ἐγγινομένην δ' οὖν ἔν τισιν, ὧν καὶ διονύσιον ἠ-
γήσατο ἕνα γενέσθαι, τάχ' ἂν ξυλλαμβανόντων θεῶν. γενομένου δ' αὖ
τοῦ τοιούτου τόν τε αὐτοῦ βίον καὶ τὸν τῶν ἄλλων συρακουσίων, ἀ-
μήχανον ἂν μακαριότητι ξυμβῆναι γενόμενον. πρὸς δὴ τούτοις
ᾠήθη δεῖν ἐκ παντὸς τρόπου, εἰς συρακούσας ὅτι τάχιστα ἐλθεῖν ἐ-
μὲ, κοινωνὸν τούτων. μεμνημένος, τήν τε αὐτοῦ καὶ ἐμὴν συνου-
σίαν, ὡς εὐπετῶς ἐξειργάσατο εἰς ἐπιθυμίαν ἐλθεῖν αὐτὸν τοῦ
καλλίστου τε καὶ ἀρίστου βίου. ὃ δὴ καὶ νῦν εἰ διαπράξαιτο ἐν διο-
νυσίῳ ὡς ἐπεχείρησε, μεγάλας ἐλπίδας εἶχεν ἄνευ σφαγῶν
καὶ θανάτων καὶ τῶν νῦν γεγονότων κακῶν βίον ἂν εὐδαίμο-
να καὶ ἀληθινὸν ἐν πάσῃ τῇ χώρᾳ κατασκευάσαι. ταῦτα
δίων ὀρθῶς διανοηθεὶς, ἔπεισε μεταπέμπεσθαι διονύσιον ἐμέ. καὶ
αὐτὸς ἐδεῖτο πέμπων, ἥκειν ὅτι τάχιστα ἐκ παντὸς τρόπου, πρίν
τινας ἄλλους ἐντυχόντας διονυσίῳ, ἐπ' ἄλλον βίον αὐτὸν τὸν βελ-

Δωρίδος ἐκ μητρὸς φοῖβε κοινώμασι βλαστών.

τίσου παρα-ξέψαι. λέγων δὲ τάδε ἐδεῖτο εἰ καὶ μακρότερα εἰπεῖν, τίνας οὐ καιροὺς ἔφη μείζους περιμενοῦμεν, τῶν νῦν παραγεγονότων θείᾳ τινὶ τύχῃ. καταλέγων δὲ τήν τε ἀρχὴν τῆς ἰταλίας καὶ σικελίας καὶ τὴν αὑτοῦ δύναμιν ἐν αὐτῇ, καὶ τὴν νεότητα, καὶ τὴν ἐπιθυμίαν τὴν διονυσίου, φιλοσοφίας τε καὶ παιδείας ὡς ἔχοι σφόδρα λέγων, τούς τε αὑτοῦ ἀδελφιδοῦς καὶ τοὺς οἰκείους. ὡς εὐπαρά-κλητοι εἶεν πρὸς τὸν ὑπ' ἐμοῦ λεγόμενον ἀεὶ λόγον καὶ βίον. ἱκα-νώτατοί τε διονύσιον συμπαρακαλεῖν. ὥστε εἴπερ ποτὲ, καὶ νῦν ἐλ-πὶς πᾶσα ἀποτελεσθήσεται, τοῦ τοὺς αὐτοὺς φιλοσόφους τε καὶ πόλεων ἄρχοντας μεγάλων ξυμβῆναι γενομένους. τὰ μὲν δὴ πα-ρακελεύματα, ἦν ταῦτά τε καὶ τοιαῦτα ἕτερα συχνά. τὴν δ' ἐμὴν δόξαν, τὸ μὲν περὶ τῶν νέων ὅπῃ ποτὲ γενήσοιτο εἶχε φό-βος. αἱ γὰρ ἐπιθυμίαι τῶν τοιούτων ταχεῖαι. καὶ πολλάκις ἑ-αυταῖς ἐναντίαι φερόμεναι. τὸ δὲ δίωνος ἦθος, ἠπιστάμην τῆς ψυ-χῆς πέρι φύσει τε ἐμβριθὲς ὄν. ἡλικίας τε ἤδη μετρίως ἔχον. ὅθεν μοι σκοπουμένῳ καὶ διστάζοντι, πότερον ἂν εἴη πορευτέον καὶ ὑ-πακουστέον ἢ πῶς, ὅμως ἔρρεψε δεῖν εἴ ποτέ τις τὰ διανοηθέντα περὶ νόμων τε καὶ πολιτείας ἀποτελεῖν ἐγχειρήσοι, καὶ νῦν πειρα-τέον εἶναι. πείσας γὰρ ἕνα μόνον, ἱκανῶς πάντα ἐξειργασμένος ἐσοίμην ἀγαθά. ταύτῃ μὲν δὴ τῇ διανοίᾳ τε καὶ τόλμῃ, ἀπῆρα οἴκοθεν, οὐχ ᾗ τινες ἐδόξαζον. ἀλλ' αἰσχυνόμενος μὲν ἐμαυτὸν τὸ μέγι-στον, μὴ δόξαιμί ποτε ἐμαυτῷ παντάπασι, λόγος μόνον ἀτεχνῶς εἶναί τις. ἔργου δὲ οὐδενὸς ἄν ποτε ἑκὼν ἀνθάψασθαι. κινδυνεύσειν δὲ προδοῦναι, πρῶτον μὲν, τὴν δίωνος ξενίαν τε καὶ ἑταιρείαν ἐν κινδύνοις ὄντως γεγονότος οὐ σμικροῖς. εἴτ' οὖν πάθοι τι, εἴτ' ἐκ-πε

σῶν ὑπὸ Διονυσίου καὶ τῶν ἄλλων ἐχθρῶν, ἐλθὼν παρ' ὑμᾶς φυ-
γὼν, καὶ ἀνέροιτο εἰπών· ὦ Πλάτων, ἥκω σοι φυγὰς, οὐχ ὁπλιτῶν δε-
όμενος οὐδ' ἱππέων ἐνδεὴς γενόμενος τοῦ ἀμύνασθαι τοὺς ἐχθροὺς· ἀλλὰ λό-
γων καὶ πειθοῦς· ᾗ σε μάλιστα ἠπιστάμην ἐγὼ, δυνάμενον ἀνθρώπους νέους, ἐπὶ
τὰ ἀγαθὰ καὶ τὰ δίκαια προτρέποντα, εἰς φιλίαν τε καὶ ἑταιρείαν
ἀλλήλοις καθιστάναι ἑκάστοτε. ὧν ἐνδείᾳ κατὰ τὸ σὸν μέρος νῦν +
ἐγὼ καταλιπὼν Συρακούσας, ἐνθάδε πάρειμι, τὸ μὲν ἐμὸν, ἔ-
λαττον ὄνειδος σοι φέρει. φιλοσοφία δ' ἣν ἐγκωμιάζεις ἀεὶ, καὶ ἀτί-
μως φῂς ὑπὸ τῶν λοιπῶν ἀνθρώπων φέρεσθαι, πῶς οὐ προδέδο-
ται τὰ νῦν μετ' ἐμοῦ, μέρος ὅσον ἐπὶ σοὶ γέγονε; καὶ Μεγαροῖ μὲν +
εἰ κατοικοῦντες ἐτυγχάνομεν, ἦλθες δήπου ἄν μοι βοηθὸς, ἐφ' ἅ σε
παρεκάλουν, ἢ πάντων ἂν φαυλότατον ἡγοῦ σαυτόν. νῦν δ' ἄρα τὸ
μῆκος τῆς πορείας, καὶ τὸ μέγεθος δὴ τοῦ πλοῦ καὶ τοῦ πόνου
ἐπαιτιώμενος, οἴει δόξαν κακίας ἀποφεύξεσθαί ποτε; πολλοῦ γε καὶ
δεήσει. λεχθέντων δὲ τίς ἂν ἦν μοι πρὸς ταῦτα εὐσχήμων ἀπόκρισις;
οὐκ ἔστιν. ἀλλ' ἦλθον μὲν κατὰ λόγον, ἐν δίκῃ τε, ὡς οἷόν τε ἀν-
θρωπον μάλιστα. διὰ τὰ τοιαῦτα καταλιπὼν τὰς ἐμαυτοῦ
διατριβὰς οὔσας οὐκ ἀσχήμονας, ὑπὸ τυραννίδα, δοκοῦσαν οὐ
πρέπειν τοῖς ἐμοῖς λόγοις, οὐδὲ ἐμοί· ἐλθών τε, ἐμαυτὸν ἠλευθέ-
ρωσα, καὶ Διὸς ξενίου καὶ τῆς φιλοσόφου ἀνέγκλητον μοίρας πα-
ρέσχον· ἐπονειδίστου γενομένης αὖ ἔτι καταμαλθακισθεὶς καὶ
ἀποδειλιῶν αἰσχύνης μετέχον κακῆς. ἐλθὼν δὲ, οὐ γὰρ δεῖ
μηκύνειν, εὗρον στάσεως τὰ περὶ Διονύσιον μεστὰ ξύμπαν-
τα καὶ διαβολῶν πρὸς τὴν τυραννίδα Δίωνος πέρι. ἤ-
μυνον μὲν οὖν, καθόσον ἠδυνάμην. σμικρὰ δ' οἷός τ' ἦν

ψυχαγωγίας

γινόμενος ἐμοί

Μεγαρὶς χώρα ... ἐπ' ἀνατολῇ Ἀθ... ἀπὸ δυσ. κόλπον Κορ... χόν. ἀπ. μεσημβρ. Β... τίαν. Μεγαρὶς ἀπὸ Μεγάρων τοὔνομα ... Hinc Theognis ... Steph. ... Μεγαρεὺς ἀπὸ ... πρὸς τῇ Ἀττικῇ ... Et hinc ... Euclid. Math. ... Σικελίας ... Ποιητὴν δὲ καὶ ἡμε...

... Θεόγνιν πολίτην τῶν ἐν Σικελίᾳ Μεγαρέων.

μηνὶ δὲ σχεδὸν ἴσως τετάρτῳ δίωνα διονύσιος αἰτιώμενος ἐπι-
βουλεύειν τῇ τυραννίδι, σμικρὸν εἰς πλοῖον ἐμβιβάσας, ἐξέβα-
λεν ἀτίμως. οἱ δὴ δίωνος τὸ μετὰ τοῦτο πάντες φίλοι, ἐφοβούμε-
θα μή τινα ἐπαιτιώμενος τιμωροῖτο, ὡς συναίτιον τῆς δίωνος ἐπι-
βουλῆς. περὶ δ' ἐμοῦ καὶ διῆλθε λόγος τις ἐν συρακούσαις ὡς τεθνε-
ὼς εἴην ὑπὸ διονυσίου ὡς πάντων τούτων τῶν τότε γεγονότων αἴ-
τιος. ὁ δέ, αἰσθανόμενος πάντας ἡμᾶς οὕτω διατεθέντας, φοβού-
μενος μὴ μεῖζον ἐκ τῶν φόβων γίγνοιτό τι, φιλοφρόνως πάντας
ἀνελάμβανε. καὶ δὴ καὶ αὐτὸν ἐμέ, παρεμυθεῖτό τε καὶ θαρρεῖν διε-
κελεύετο. καὶ ἐδεῖτο, πάντως μένειν. ἐγίγνετο γάρ οἱ τὸ μὲν ἐμὲ
φυγεῖν ἀπ' αὐτοῦ, καλὸν οὐδέν. τὸ δὲ μένειν. διὸ δὴ καὶ σφόδρα
προσεποιεῖτο δεῖσθαι. τὰς δὲ τῶν τυράννων δεήσεις ἴσμεν ὅτι με-
μιγμέναι ἀνάγκαις εἰσίν. ὃ δὴ μηχανώμενος διεκώλυέ μου τὸν
ἔκπλουν εἰς ἀκρόπολιν ἀγαγὼν καὶ κατοικίσας, ὅθεν οὐδ' ἂν εἷς
ἔτι με ναύκληρος. μὴ ὅτι κωλύοντος ἐξήγαγε διονυσίου. ἀλλ' οὐ-
δ' εἰ μὴ πέμπων αὐτὸς τὸν κελεύοντα ἐξαγαγεῖν ἐπέστελλεν οὔτ'
ἂν ἔμπορος. οὔτε τῶν ἐν ταῖς τῆς χώρας ἐξόδοις ἀρχόντων οὐδ' ἂν
εἷς περιεῖδέ με μόνον ἐκπορευόμενον, ὃς οὐκ ἂν συλλαβὼν εὐθέ-
ως παρὰ διονύσιον πάλιν ἀπήγαγεν. ἄλλως τε καὶ διηγγελμένον
ἤδη ποτὲ τοὐναντίον ἢ τὸ πρότερον πάλιν. ὡς πλάτωνα, διονύσι-
ος θαυμαστῶς ὡς ἀσπάζεται. τὸ δ' εἶχε δὴ πῶς. τὸ γὰρ ἀληθὲς δεῖ
φράζειν, ἠσπάζετο μὲν ἀεὶ προϊόντος τοῦ χρόνου μᾶλλον, κατὰ
τὴν τοῦ τρόπου τε καὶ ἤθους συνουσίαν. ἑαυτὸν δὲ ἐπαινεῖν μᾶλλον ἢ δί-
ωνα ἐβούλετό με. καὶ φίλον ἡγεῖσθαι διαφερόντως μᾶλλον, ἢ ἐκεῖνον. καὶ
θαυμαστῶς ἐφιλονείκει πρὸς τὸ τοιοῦτον. ᾗ δ' ἂν οὕτως ἐγένετο,
εἴπερ ἐγίγνετο κάλλιστα, ὤκνει, ὡς δὴ μανθάνων, καὶ ἀκούων τῶν

περὶ

Cic. 9. Att. p. 144. Dies et noctes [illegible] illam [illegible] re prospecto, euolare cupio. [illegible]

Ratione tamen ac modo quo idipsum confieri confirit & poterat & debebat, te suscipere pugnabat, quantumuis esset praeclarum studium tuum atque voluntas extitisset. Ratio autem et via erat huiusmodi: ut videlicet, disserendo, nostras audiendoque in philosophia rationes, familiaritate quotidiana mihi coniungeretur.

περὶ φιλοσοφίαν λόγων οἰκειοῦσθαί τε ἐμοὶ συγγίγνεσθαι. φοβούμενος τοὺς τῶν διαβαλλόντων λόγους, μή πη παραποδισθείη, καὶ Δίων δὴ πάντα εἴη διαπεπραγμένος. ἐγὼ δὲ πάντα ὑπέμενον, τὴν πρώτην διάνοιαν φυλάττων ᾗπερ ἀφικόμην, εἴπως εἰς ἐπιθυμίαν ἔλθοι τῆς φιλοσόφου ζωῆς· ὁ δ' ἐνίκησεν ἀντιτείνων. καὶ ὁ πρῶτος δὴ χρόνος τῆς εἰς σικελίαν ἐμῆς ἐπιδημήσεώς τε καὶ διατριβῆς, διὰ πάντα ταῦτα ξυνέβη γενόμενος. μετὰ δὲ τοῦτο, ἀπεδήμησά τε, καὶ πάλιν ἀφικόμην πάσῃ σπουδῇ μεταπεμπομένου διονυσίου. ὧν δὲ ἕνεκα καὶ ὅσα ἔπραξα, ὡς εἰκότα τε καὶ δίκαια ὑμῖν, πρῶτον μὲν ξυμβουλεύσας ἃ χρὴ ποιεῖν ἐκ τῶν νῦν γεγονότων, ὕστερον δὲ τὰ περὶ ταῦτα, διέξειμι τῶν ἐπανερωτώντων ἕνεκα. τί δὴ βουλόμενος ἦλθον τὸ δεύτερον, ἵνα μὴ τὰ πάρεργα ὡς ἔργα μοι ξυμβαίνῃ λεγόμενα. λέγω δὴ τάδε. ἐγὼ τὸν συμβουλεύοντα ἀνδρὶ κάμνοντι, καὶ δίαιταν διαιτωμένῳ μοχθηρὰν, πρὸς ὑγίειαν ἄλλο τι, χρὴ πρῶτον μὲν αὐτὸν μεταβάλλειν τὸν βίον, καὶ ἐθέλοντι μὲν πείθεσθαί τε τἆλλα ἤδη παραινεῖν. μὴ ἐθέλοντι δὲ, φεύγοντα ἀπὸ τῆς τοιούτου ξυμβουλῆς, ἄνδρα τε ἡγοίμην ἂν καὶ ἰατρικόν. τὸν δὲ ὑπομένοντα, τοὐναντίον, ἄνανδρόν τε καὶ ἄτεχνον. ταὐτὸν δὴ καὶ πόλει, εἴτε αὐτῆς εἴη κύριος, εἴτε καὶ πλείους, εἰ μὲν κατὰ τρόπον ὀρθῇ πορευομένης ὁδῷ τῆς πολιτείας ξυμβουλεύοιτό τι τῶν προσφόρων, νοῦν ἔχοντος τὸ τοῖς τοιούτοις ξυμβουλεύειν. τοῖς δ' ἔξω τὸ παράπαν βαίνουσι τῆς ὀρθῆς πολιτείας, καὶ μηδαμῇ ἐθέλουσιν αὐτῆς εἰς ἴχνος ἰέναι, προαγορεύουσι δὲ τῷ ξυμβούλῳ τὴν μὲν πολιτείαν ἐᾶν καὶ μὴ κινεῖν, ὡς ἀποθανουμένῳ ἐὰν κινῇ· ταῖς

κληθεῖσαν vid. 57.

pag. 57.

δὲ βουλήσεσιν ἢ ἐπιθυμίαις αὐτῶν ὑπηρετοῦντα, ξυμβουλεύειν κε
λεύουσι, τίνα τρόπον γένοιτ' ἂν ῥᾷστά τε καὶ τάχιστα εἰς τὸν αἰεὶ
χρόνον. τὸν μὲν ὑπομένοντα τὰς ξυμβουλὰς τοιαύτας ἡγοίμην
ἄνανδρον. τὸν δ' οὐχ ὑπομένοντα ἄνδρα. ταύτην δὴ τὴν διάνοιαν ἐγὼ
κεκτημένος, ὅταν τίς μοι ξυμβουλεύῃ περί τινος τῶν μεγίστων περὶ τὸν
αὐτοῦ βίον, οἷον περὶ χρημάτων κτήσεως, ἢ περὶ σώματος ἢ περὶ ψυχῆς
ἐπιμελείας, ἂν μέν μοι τὸ καθ' ἡμέραν αὐτῷ τινι τρόπῳ δοκῇ ζῆν, ἢ
συμβουλεύοντος ἂν ἐθέλειν πείθεσθαι, περὶ ὧν ἀνακοινοῦται, προθύ
μως συμβουλεύω, καὶ οὐκ ἀφοσιωσάμενος μόνον ἐπαυσάμην.
ἐὰν δὲ μὴ ξυμβουλεύηταί μοι τὸ παράπαν, ἢ συμβουλεύοντι δῆ
λος ᾖ μηδαμῇ πεισόμενος, αὐτόκλητος ἐπὶ τὸν τοιοῦτον οὐκ ἔρ
χομαι συμβουλεύσων. βιασόμενος δέ, οὐδ' ἂν υἱὸς ᾖ, δούλῳ δὲ
ξυμβουλεύσαιμ' ἄν, μὴ ἐθέλοντά γε προσβιαζοίμην. πατέρα δὲ ἢ
μητέρα, οὐχ ὅσιον ἡγοῦμαι προσβιάζεσθαι, μὴ νόσῳ παραφροσύ
νης ἐχομένους. ἐὰν δέ τινα καθεστῶτα ζῶσι βίον, ἑαυτοῖς ἀρέσκον
τα, ἐμοὶ δὲ μή, μήτε ἀπεχθάνεσθαι μάτην νουθετοῦντα. μήτε
δὴ κολακεύοντά γε, ὑπηρετεῖν αὐτοῖς, πληρώσεις ἐπιθυμιῶν ἐκ
πορίζοντα, ἃς αὐτὸς ἀσπαζόμενος οὐκ ἂν ἐθέλοιμι ζῆν. ταὐτὸν
δὲ καὶ περὶ πόλεως αὐτοῦ διανοούμενον χρὴ ζῆν τὸν ἔμφρονα.
λέγειν μέν, εἰ μὴ καλῶς αὐτῷ φαίνοιτο πολιτεύεσθαι, εἰ μέλλοι μήτε
ματαίως ἐρεῖν, μήτε ἀποθανεῖσθαι λέγων. βίαν δὲ πατρίδι πολι
τείας μεταβολῆς μὴ προσφέρειν, ὅταν ἄνευ φυγῶν καὶ σφαγῆς

ἀνδρῶν

... exisse dirimt nos qui quicquam ... feruntur aut in bellum, aut iracundia. ibid. quia non sunt in po...
... mortis, cui natura regum totius animi tribuit. θ. πολιτείας 451. ὁ Ἀρίστωνος υἱὸς τὸν ἄριστόν
καὶ εὐδαίμονας ἔκρινε τοῦτον δ' εἶναι βασιλικώτατον καὶ βασιλεύοντα αὑτοῦ.

Tusc. 185.

ἀνδρῶν, μὴ διὰ τοῦ ἐπίστασθαι τὴν ἀρετὴν. ἡσυχίαν δὲ ἄγοντας
εὐχὰς θεῖσι τὰ ἀγαθὰ αὑτῷ τε καὶ τῇ πόλει. κατὰ δὴ τοῦτον τὸν τρό-
πον, ἐγὼ ὑμῖν τ' αὐτὰ ξυμβουλεύω, ξυνεβούλευον δὲ καὶ Διονυσίῳ μετὰ Δί-
ωνος ζῆν μὲν τὸ μεθ' ἡμέραν πρῶτον, ὅπως ἐγκρατὴς αὐτὸς αὑτοῦ
ὅτι μάλιστα ἔσεσθαι μέλλοι. καὶ πιστοὺς φίλους τε καὶ ἑταίρους
κτήσεσθαι, ὅπως μὴ πάθοι ἅπερ ὁ πατὴρ αὐτοῦ. ὃς παραλα-
βὼν Σικελίας πολλὰς καὶ μεγάλας πόλεις ὑπὸ τῶν βαρβάρων
ἐκπεπορθημένας, οὐχ οἷός τ' ἦν κατοικίσας, πολιτείας ἐν ἑκά-
σταις καταστήσασθαι πιστὰς ἑταίρων ἀνδρῶν, οὔτε ἄλλων δή ποθεν ὀ-
θνείων, οὔτε ἀδελφῶν, οὓς ἔθρεψέ τε αὐτὸς νεωτέρους ὄντας, ἔκ
τε ἰδιωτῶν, ἄρχοντας, καὶ ἐκ πενήτων πλουσίους ἐπεποιήκει
διαφερόντως. τούτων κοινωνὸν τῆς ἀρχῆς οὐδένα οἷός τ' ἦν, πει-
θοῖ καὶ διδαχῇ καὶ εὐεργεσίαις καὶ ξυγγενείαις ἀπεργασάμενος
ποιήσασθαι. Δαρείου δὲ ἑπταπλασίως φαυλότερος ἐγένετο. ὃς οὐκ
ἀδελφοῖς πιστεύσας οὐδ' ὑπ' αὐτοῦ τραφεῖσι, κοινωνοῖς δὲ μόνον τῆς
τοῦ Μήδου τε καὶ εὐνούχου χειρώσεως, διένειμέ τε μέρη μείζω ἕ-
καστα Σικελίας πάσης ἑπτά, καὶ πιστοῖς ἐχρήσατο τοῖς κοινωνοῖς
καὶ οὐκ ἐπιτιθεμένοις, οὔτε αὐτῷ οὔτε ἀλλήλοις. ἔδειξέ τε πα-
ράδειγμα, οἷον χρὴ τὸν νομοθέτην καὶ βασιλέα τὸν ἀγαθὸν γί-
γνεσθαι. νόμους γὰρ κατασκευάσας, ἔτι καὶ νῦν διασέσωκε τὴν Περ-
σῶν ἀρχήν. ἔτι δ' Ἀθηναῖοι πρὸς τούτοις, οὐκ αὐτοὶ κατοικίσαντες
πολλὰς τῶν Ἑλλήνων πόλεις, ὑπὸ βαρβάρων ἐμβεβλημένας, ἀλλ' οἰκουμένας
παραλαβόντες ὅμως ἑβδομήκοντα ἔτη διεφύλαξαν τὴν ἀρχήν,

Margin notes (left): Vix ... animi ... ; qui & familiares ; ... ; ἄλλ. ; ... ; ... sardarus ; ... ; ἐν οἰκείοις ; ... ; ... Nom. Plat.

Margin notes (right): ... mit. 38. ... Ved. T. 5. Tusc. ... Peloponnes. belli ... 30 ... Ved. ... 39. Tusc. ... Xenoph. 2. ... tribuit ... rex ... Polyb. 1. in ... capta urbe a Gallis ... in ... Isocr. Nicocl.

† Abundabat autem et aequalium familiaritatibus et summe tuendum propinquor... Habebat etiam more Graecorum quosdam adolescentes amore coniunctos. ... (Ved. 5. Tusc. 239.) his quos ex familiis locupletum servos delegerat, quibus nomen servitutis ipse detraxerat, et quibusdam convenis, et feris barbaris corporis custodiam committebat ——— amicitias desiderabat, quarum infidelitatem extimesce-
bat.

ἄνδρας φίλους ἐν ταῖς πόλεσιν ἑκάσταις κεκτημένοι. Διονύσιος δὲ εἰς μίαν πόλιν ἀθροίσας πᾶσαν Σικελίαν ὑπὸ σοφίας, πιστεύων οὐδενὶ, μόγις ἐσώθη. πένης γὰρ ἦν, ἀνδρῶν φίλων καὶ πιστῶν οὗ μεῖζον σημεῖον εἰς ἀρετὴν καὶ κακίαν οὐκ ἔστιν οὐδὲν, τοῦ ἔρημον ἢ μὴ, τοιούτων ἀνδρῶν εἶναι. ἃ δὴ καὶ Διονυσίῳ ξυνεβουλεύομεν ἐγὼ καὶ Δίων ἐπειδὴ τὰ παρὰ πατρὸς αὐτῷ ξυνεβεβήκει οὕτως ἀνομιλήτῳ μὲν παιδείας, ἀνομιλήτῳ δὲ συνουσιῶν τῶν προσηκουσῶν γεγονέναι, πρῶτον ἐπὶ ταῦτα ὁρμήσαντα φίλους ἄλλους αὐτῷ τῶν οἰκείων ἅμα καὶ ἡλικιωτῶν καὶ συμφώνους πρὸς ἀρετὴν κτήσασθαι. μάλιστα δ᾽ αὐτὸν αὐτῷ. τούτων γὰρ αὐτὸν θαυμαστῶς ἐνδεᾶ γεγονέναι λέγοντες οὐκ ἐναργῶς οὕτως. οὐ γὰρ ἦν ἀσφαλές. αἰνιττόμενοι δὲ καὶ διαμαχόμενοι τοῖς λόγοις, ὡς οὕτω μὲν πᾶς ἀνὴρ αὐτόν τε καὶ ἐκείνους ὧν ἂν ἡγεμὼν γίγνηται σώσει. μὴ ταύτῃ δὲ τραπόμενος, τἀναντία πάντα ἀποτελεῖ. πορευθεὶς δὲ ὡς λέγομεν, καὶ ἑαυτὸν ἔμφρονά τε καὶ σώφρονα ἀπεργασάμενος, εἰ τὰς ἐξηρημωμένας Σικελίας πόλεις κατοικίσειε. νόμοις τε ξυνδήσειε καὶ πολιτείαις, ὥστε αὐτῷ οἰκείας καὶ ἀλλήλαις εἶναι πρὸς τὰς τῶν βαρβάρων βοηθείας, οὐ διπλασίαν τὴν πατρῴαν ἀρχὴν μόνον ποιήσει, πολλαπλασίαν δὲ ὄντως. ἕτοιμον γὰρ εἶναι τούτων γενομένων, πολὺ μᾶλλον δουλώσασθαι Καρχηδονίους τῆς ἐπὶ Γέλωνος αὐτοῖς γενομένης δουλείας. ἀλλ᾽ οὐχ ὥσπερ νῦν τοὐναντίον, ὁ πατὴρ αὐτοῦ φόρον ἐτάξατο φέρειν τοῖς βαρβάροις. ταῦτα ἦν λεγόμενα καὶ παρακελευόμενα ὑφ᾽ ἡμῶν τῶν ἐπιβουλευόντων Διονυσίῳ, ὡς πολλαχόθεν ἐχώρουν οἱ τοιοῦτοι λόγοι. οἳ δὴ κρατήσαντες παρὰ Διονυσίῳ,

ἐξέβαλον

Id. d. Pat. Ἰσον. Νικοκλ. 39. παραλαβὼν μὲν εὗρεν Σικελίαν ἀνάστατον γεγενημένην [illegible] ἐπιθυμήσας [illegible] καὶ [illegible] ἁπάσας τὰς ἐν Σικελίᾳ πόλεις [illegible] κατεστρέψατο. [illegible] ἀρχιδ. Διον. ὁ τύρ. [illegible] εἰς πολιορκίαν ὑπὸ Καρχηδονίων [illegible]

ἐξέβαλλε μὲν Δίωνα. ἡμᾶς δὲ εἰς φόβον κατέβαλλεν. ἵνα δὴ περανῶμεν οὐκ ὀλίγα πράγματα ἐν ὀλίγῳ χρόνῳ, ἐλθὼν ἐκ Πελοποννήσου καὶ Ἀθηνῶν Δίων, ἔργῳ τὸν Διονύσιον ἐνουθέτησεν. ἐπειδὴ δ' οὖν ἠλευθέρωσέ τε καὶ ἀπέδωκεν αὐτοῖς δὶς τὴν πόλιν, ταὐτὸν πρὸς Δίωνα Συρακούσιοι τότε ἔπαθον, ὅπερ καὶ Διονύσιος ὅτε αὐτὸν ἐπεχείρει παιδεύσας θρέψαι βασιλέα τῆς ἀρχῆς ἄξιον, οὕτω κοινωνεῖν αὐτῷ τοῦ βίου παντός. ὁ δὲ τοῖς διαβάλλουσι καὶ λέγουσιν ὡς ἐπιβουλεύων τῇ τυραννίδι Δίων πράττοι πάντα ὅσα ἔπραττεν ἐν τῷ τότε χρόνῳ ἵνα ὁ μὲν παιδείᾳ δὴ τὸν νοῦν κηληθεὶς ἀμελοῖ τῆς ἀρχῆς, ἐπιτρέψας ἐκείνῳ. ὁ δὲ σφετερίσαιτο καὶ Διονύσιον ἐκβάλλοι ἐκ τῆς ἀρχῆς δόλῳ. ταῦτα τότε ἐνίκησε καὶ τὸ δεύτερον ἐν Συρακουσίοις λεγόμενα, καὶ μάλα ἄτοπόν τε καὶ αἰσχρὰ νίκη τοῖς τῆς νίκης αἰτίοις. οἷον γὰρ γέγονεν, ἀκοῦσαι χρὴ τοὺς ἐμὲ παρακαλοῦντας πρὸς τὰ νῦν πράγματα. ἦλθον Ἀθηναῖος ἀνὴρ ἐγώ, ἑταῖρος Δίωνος, σύμμαχος αὐτῷ πρὸς τὸν τύραννον, ὅπως ἀντὶ πολέμου φιλίαν ποιήσαιμι. διαμαχόμενος δὲ τοῖς διαβάλλουσιν ἡττήθην. πείθοντος δὲ Διονυσίου τιμαῖς καὶ χρήμασι, γενέσθαι μετ' αὐτοῦ μάρτυρά τε καὶ φίλον, πρὸς τὴν εὐπρέπειαν τῆς ἐκβολῆς τῆς Δίωνος αὐτῷ γίγνεσθαι, τούτων δὴ τὸ πᾶν διήμαρτεν. ὕστερον δὲ δὴ κατιὼν οἴκαδε Δίων ἀδελφὼ δύο προσλαμβάνει Ἀθήνηθεν, οὐκ ἐκ φιλοσοφίας γεγονότε φίλω, ἀλλ' ἐκ τῆς περιτρεχούσης ἑταιρείας ταύτης τῆς τῶν πλείστων φίλων, ἣν ἐκ τοῦ ξενίζειν τε καὶ μυεῖν καὶ ἐποπτεύειν πραγματεύονται. καὶ δὴ

Redit ad id quod promittit. 55

τούτω τὼ ξυγκατάγοντε αὐτὸν φίλω, ἐκ τούτων τε καὶ ἐκ τῆς πρὸς τὴν κάθοδον ὑπηρεσίας ἐγενέσθην ἑταίρω· ἐλθόντες δὲ εἰς σικελίαν ἐπειδὴ δίωνα ᾔσθοντο διαβεβλημένον εἰς τοὺς ἐλευθερωθέντας ὑπ' αὐτοῦ σικελιώτας, ὡς ἐπιβουλεύοντα γενέσθαι τύραννον, οὐ μόνον τὸν ἑταῖρον καὶ ξένον προὔδοσαν, ἀλλ' οἷον τοῦ φόνου αὐτόχειρες ἐγένοντο ὅπλα ἔχοντες ἐν ταῖς χερσίν· αὐτοὶ τοῖς φονεῦσι παρεστῶτες ἐπίκουροι. καὶ τὸ μὲν αἰσχρὸν καὶ ἀνόσιον, οὔτε παρίεμαι ἔγωγε οὔτε τι λέγω· πολλοῖς γὰρ καὶ ἄλλοις ὑμνεῖν ταῦτα ἐπιμελές· καὶ εἰς τὸν ἔπειτα μελήσει χρόνον· τὸ δὲ ἀθηναίων πέρι λεγόμενον ὡς αἰσχύνην οὗτοι περιῆψαν τῇ πόλει, ἐξαιροῦμαι. φημὶ γὰρ κἀκεῖνον ἀθηναῖον εἶναι, ὃς οὐ προὔδωκε τὸν αὐτὸν τοῦτον, ἐξὸν χρήματα καὶ ἄλλας τιμὰς πολλὰς λαμβάνειν. οὐ γὰρ διὰ βαναύσου φιλότητος ἐγεγόνει φίλος· διὰ δὲ ἐλευθέρας παιδείας κοινωνίαν· ᾗ μόνῃ χρὴ πιστεύειν τὸν νοῦν κεκτημένον μᾶλλον ἢ συγγενείᾳ ψυχῶν καὶ σωμάτων. ὥστε οὐκ ἀξίω ὀνείδους γεγόνατον τῇ πόλει, τὼ δίωνα ἀποκτείναντε, ὡς ἐλλογίμω πώποτε ἄνδρε γενομένω. ταῦτα εἴρηται πάντα τῆς ξυμβουλῆς ἕνεκα τῶν δίωνος φίλων καὶ συγγενῶν. συμβουλεύω δὲ δὴ πρὸς τούτοις τὴν αὐτὴν ξυμβουλὴν, καὶ λόγον τὸν αὐτὸν λέγων ἤδη τρίτον τρίτοις ὑμῖν. μὴ δουλοῦσθαι σικελίαν ὑπ' ἀνθρώποις δεσπόταις μὴ δὲ ἄλλην πόλιν ὅ γ' ἐμὸς λόγος ἀλλ' ὑπὸ νόμοις. οὔτε γὰρ τοῖς δουλουμένοις, οὔτε τοῖς δουλωθεῖσιν, ἄμεινον αὐτοῖς καὶ παισὶ παίδων τε ἐκγόνοις. ἀλλ' ὀλέθριος πάντως ἡ πεῖρα. σμικρὰ δὲ καὶ ἀνελεύθερα ψυχῶν ἤθη, τὰ τοιαῦτα ἁρπάζειν κέρδη φιλεῖ. οὐδὲν

τῶν εἰς

τὴν εἰς τὸν ἔπειτα καὶ εἰς τὸν παρόντα καιρὸν ἀγαθῶν καὶ δικαίων εἰδότα θέλοντί τε καὶ ἀνθρωπίνων. ταῦτα πρῶτον μὲν Δίωνα ἐγὼ ἐπεχείρησα πείθειν. δεύτερον δὲ, Διονύσιον. τρίτους δ' ὑμᾶς νῦν. καί μοι πείθεσθε Διὸς τρίτου σωτῆρος χάριν. εἶτα εἰς Διονύσιον βλέψαντες καὶ Δίωνα. ὧν ὁ μὲν μὴ πειθόμενος ζῇ τανῦν οὐ καλῶς. ὁ δὲ πειθόμενος, τέθνηκε καλῶς. τὸ γὰρ τῶν καλλίστων ἐφιέμενον αὑτῷ τε καὶ πόλει, πάσχειν ὅτι ἂν πάσχῃ, πᾶν ὀρθὸν καὶ καλόν. οὔτε γὰρ πέφυκεν ἀθάνατος ἡμῶν οὐδείς, οὔτ' εἴ τῳ ξυμβαίη, γένοιτο ἂν εὐδαίμων ὡς δοκεῖ τοῖς πολλοῖς. κακὸν γὰρ καὶ ἀγαθὸν οὐδὲν, λόγου ἄξιόν ἐστι τοῖς ἀψύχοις. ἀλλ' ἢ μετὰ σώματος οὔσῃ ψυχῇ τοῦτο ξυμβήσεται ἑκάστῃ. ἢ κεχωρισμένῃ. πείθεσθαι δὲ ὄντως ἀεὶ χρὴ τοῖς παλαιοῖς τε καὶ ἱεροῖς λόγοις, οἳ δὴ μηνύουσιν ἡμῖν ἀθάνατον ψυχὴν εἶναι. δίκας τε ἴσχειν, καὶ τίνειν τὰς μεγίστας τιμωρίας, ὅταν τις ἀπαλλαχθῇ τοῦ σώματος. διὸ καὶ τὰ μεγάλα ἁμαρτήματα καὶ ἀδικήματα, σμικρότερον εἶναι χρὴ νομίζειν κακὸν πάσχειν, ἢ δρᾶσαι. ὧν ὁ φιλοχρήματος πένης τε ἀνὴρ τὴν ψυχὴν οὔτε ἀκούει, ἐάν τε ἀκούσῃ, καταγελῶν, ὡς οἴεται, πανταχόθεν ἀναιδῶς ἁρπάζει πᾶν ὅτι περ ἂν οἴηται καθάπερ θηρίον φαγεῖν ἢ πιεῖν ἢ περὶ τὴν ἀνδραποδώδη καὶ ἀχάριστον ἀφροδίσιον λεγομένην οὐκ ὀρθῶς ἡδονὴν ποριεῖν αὐτῷ τοῦ μὴ ἐμπλασθαι. τυφλὸς ὢν καὶ οὐχ ὁρῶν οἷς ξυνέπεται τῶν πραγμάτων ἀνοσιουργία καὶ ἡλίκον ἀεὶ μετὰ ἀδικήματος ἑκάστου. ἣν ἀναγκαῖον τῷ ἀδικήσαντι συνέλκειν ἐπί τε γῆς στρεφομένῳ καὶ ὑπὸ γῆς νοστήσαντι

πορείαν ἀτιμοῦντε καὶ ἀθλίαν πάντως πανταχῇ. Δίωνα δὴ ἐγὼ λέγων ταῦτά τε καὶ ἄλλα τοιαῦτα, ἔπειθον. καὶ τοῖς ἀποκτείνασιν ἐκεῖνον δικαιότατ' ἂν ὀργιζοίμην ἐγὼ τρόπον τινὰ ὁμοιότατα καὶ Διονυσίῳ. ἀμφότεροι γὰρ ἐμέ καὶ τοὺς ἄλλους ὡς ἔπος εἰπεῖν ἅπαντας, τὰ μέγιστα ἔβλαψαν ἀνθρώπους. οἱ μὲν, τὸν βουλόμενον δικαιοσύνῃ χρῆσθαι διαφθείραντες. ὁ δὲ οὐδὲν ἐθελήσας χρήσασθαι δικαιοσύνῃ διὰ πάσης τῆς ἀρχῆς, μεγίστην δύναμιν ἔχων, ἐν ᾗ γενομένῃ φιλοσοφία τε καὶ δύναμις ὄντως ἐν ταὐτῷ διὰ πάντων ἀνθρώπων Ἑλλήνων τε καὶ βαρβάρων λάμψασα ἱκανῶς δόξαν παρέστησε πᾶσι τὴν ἀληθῆ, ὡς οὐκ ἄν ποτε γένοιτο εὐδαίμων, οὔτε πόλις οὔτ' ἀνὴρ οὐδείς, ὃς ἂν μὴ μετὰ φρονήσεως ὑπὸ δικαιοσύνῃ διαγάγῃ τὸν βίον. ἤτοι ἐν αὑτῷ κεκτημένος, ἢ ὁσίων ἀνδρῶν ἀρχόντων ἐν ἤθεσι, τραφείς τε καὶ παιδευθεὶς ἐνδίκως. ταῦτα μὲν Διονύσιος ἔβλαψε. τὰ δὲ ἄλλα σμικρὰ ἂν εἴη πρὸς ταῦτά μοι βλάβη. ὁ δὲ Δίωνα ἀποκτείνας οὐκ οἶδε ταὐτὸν ἐξειργασμένος τούτῳ. Δίωνα γὰρ ἐγὼ, σαφῶς οἶδα, ὡς οἷόν τε περὶ ἀνθρώπων ἄνθρωπον διισχυρίζεσθαι ὅτι τὴν ἀρχὴν εἰ κατέσχεν, ὡς οὐκ ἄν ποτε ἐπ' ἄλλο γε σχῆμα ἀρχῆς ἐτράπετο, ἢ ἐπὶ τὸ Συρακούσας μὲν πρῶτον τὴν πατρίδα τὴν ἑαυτοῦ, ἐπεὶ τὴν δουλείαν αὐτῆς ἀπήλλαξε καὶ φαιδρύνας ἐλευθερίῳ ἐν σχήματι κατέστησε. τὸ μετὰ τοῦτ' ἂν πάσῃ μηχανῇ ἐκόσμησε νόμοις τοῖς προσήκουσί τε καὶ ἀρίστοις τοὺς πολίτας. τό τε ἐφεξῆς τούτοις, προὐθυμεῖτ' ἂν πρᾶξαι. πᾶσαν Σικελίαν κατοικίζειν, καὶ ἐλευθέραν ἀπὸ τῶν βαρβάρων ποιεῖν. τοὺς μὲν, ἐκβάλλων. τοὺς δὲ,

χειρούμενος ῥᾷον ἱέρωνος. τούτων δ' αὖ γιγνομένων, δι' ἀνδρὸς δικαίου τε καὶ ἀνδρείου καὶ σώφρονος καὶ φιλοσόφου, τὴν αὐτὴν ἀρετῆς ἂν πέρι γενέσθαι δόξαν τοῖς πολλοῖς, ἥπερ ἄν, εἰ διονύσιος ἐπείσθη παρὰ πᾶσιν ἂν ὡς ἔπος εἰπεῖν ἀνθρώποις, ἀπέσωσε γενομένη. νῦν δὲ ἤ πού τις δαίμων, ἤ τις ἀλιτήριος ἐμπεσὼν ἀνομίᾳ, καὶ ἀθεότητι, καὶ τὸ μέγιστον τόλμαις ἀμαθίας, ἐξ ἧς πάντα κακὰ πᾶσιν ἐρρίζωται καὶ βλαστάνει, καὶ εἰς ὕστερον ἀποτελεῖ καρπὸν τοῖς γεννήσασι πικρότατον, αὕτη πάντα τὸ δεύτερον ἀνέτρεψέ τε καὶ ἀπώλεσε. νῦν δὲ δὴ εὐφημῶμεν χάριν οἰωνοῦ τὸ τρίτον. ὅμως δὴ μιμεῖσθαι μὲν συμβουλεύω δίωνα ὑμῖν τοῖς φίλοις τήν τε τῆς πατρίδος εὔνοιαν, καὶ τὴν τῆς τροφῆς σώφρονα δίαιταν μὲν ἐπὶ λῳόνων. ὧν δὲ ὀρνίθων τὰς ἐκείνου βουλήσεις πειρᾶσθαι ἀποτελεῖν. αἳ δὲ ἦσαν, ἀκηκόατε παρ' ἐμοῦ σαφῶς. τὸν δὲ μὴ δυνάμενον ὑμῶν δωριστὶ ζῆν κατὰ τὰ πάτρια, διώκοντα τέν τε τῶν δίωνος σφαγέων καὶ τὸν σικελικὸν βίον, μήτε παρακαλεῖν μήτε οἴεσθαι πιστὸν αὐτὶ καὶ ὑγιὲς πρᾶξαί ποτε. τοὺς δὲ ἄλλους παρακαλεῖν ἐπὶ πάσης σικελίας κατοικισμόν τε καὶ ἰσονομίαν. ἔκ τε αὐτῆς σικελίας καὶ ἐκ πελοποννήσου ξυμπάσης. φοβεῖσθαι δὲ μηδὲ ἀθήνας. εἰσὶ γὰρ καὶ ἐκεῖ, πάντων ἀνθρώπων διαφέροντες πρὸς ἀρετὴν ξενοφόνων τε ἀνδρῶν μισοῦντες τόλμας. εἰ δ' οὖν, ταῦτα μὲν ὕστερα γένοιτ' ἄν. κατεπείγουσι δὲ ὑμᾶς αἱ τῶν στάσεων πολλαὶ καὶ παντοδαπαὶ φυόμεναι ἑκάστης ἡμέρας διαφοραί, εἰδέναι μέν που χρὴ πάντα τινὰ ἄνδρα, ᾧ καὶ βραχὺ δόξης ὀρθῆς μετέδωκε θεία τις τύχη, ὡς οὐκ ἔστι παῦλα κακῶν τοῖς στασιάσα-

σι, πρὶν ἂν οἱ κρατήσαντες, μάχαις καὶ ἐκβολαῖς ἀνθρώπων καὶ
σφαγαῖς μνησικακοῦντες, καὶ ἐπὶ τιμωρίας παύσωνται τρεπό-
μενοι τῶν ἐχθρῶν. ἐγκρατεῖς δὲ ὄντες αὐτῶν, θέμενοι νόμους κοινοὺς
μηδὲν μᾶλλον πρὸς ἡδονὴν αὐτοῖς, ἢ τοῖς ἡττηθεῖσι κειμένους, ἀναγκά-
σωσιν αὐτοὺς χρῆσθαι τοῖς νόμοις, δυοῖν οὔσαις ἀνάγκαις, αἰδοῖ καὶ
φόβῳ. φόβῳ μὲν διὰ τὸ κρείττους αὐτῶν εἶναι δεικνύντες τὴν βίαν·
αἰδοῖ δὲ αὖ, διὰ τὸ κρείττους φαίνεσθαι περί τε τὰς ἡδονάς, καὶ τοῖς
νόμοις μᾶλλον ἐθέλοντές τε καὶ δυνάμενοι δουλεύειν. ἄλλως δὲ
οὐκ ἔστιν ὡς ἄν ποτε κακῶν λῆξαι πόλις ἐν αὐτῇ στασιάσασα. ἀλ-
λὰ στάσεις καὶ ἔχθραι καὶ μίση καὶ ἀπιστίαι, ταῖς οὕτω διατεθεί-
σαις πόλεσιν, αὐταῖς πρὸς αὐτὰς ἀεὶ γίγνεσθαι φιλεῖ.
τοὺς δὴ κρατήσαντας ἀεὶ χρὴ ὅταν περ ἐπιθυμήσωσι σωτηρί-
ας, αὐτοὺς ἐν αὐτοῖς ἄνδρας προκρῖναι τῶν ἄλλων, οὓς ἂν πυν-
θάνωνται ἀρίστους ὄντας. πρῶτον μὲν γέροντας, καὶ παῖδας καὶ
γυναῖκας κεκτημένους οἴκοι καὶ προγόνους αὐτῶν, ὅτι μάλι-
στα πολλούς τε ἀγαθοὺς καὶ ὀνομαστούς. καὶ κτῆσιν κεκτημέ-
νους πάντας ἱκανήν. ἀριθμὸν δὲ εἶναι μυριάνδρῳ πόλει, πεν-
τήκοντα ἱκανοὶ τοιοῦτοι. τούτους δὲ, δεήσεσι καὶ τιμαῖς ὅτι με-
γίσταις οἴκοθεν μεταπέμπεσθαι. μεταπεμψαμένους δὲ, ὀμόσαν-
τας δεῖσθαι, καὶ κελεύειν θεῖναι νόμους, μήτε νικήσασι μήτε
νικηθεῖσι νέμειν πλέον τὸ δὲ ἴσον καὶ κοινὸν πάσῃ τῇ πόλει. τε-
θέντων δὲ τῶν νόμων ἐν τούτῳ δὴ τὰ πάντα ἐστίν. ἂν μὲν γὰρ οἱ νενικη-
κότες ἥττους αὐτοὺς τῶν νόμων, μᾶλλον τῶν νενικημένων πα-

ρέχωνται

ρέχωνται, πάντ' ἔσται σωτηρίας τε καὶ εὐδαιμονίας μεστά. καὶ πάντων κακῶν ἀποφυγή. εἰ δὲ μή, μήτ' ἐμὲ μήτ' ἄλλον κοινωνὸν παρακαλεῖν, ἐπὶ τὸν μὴ πειθόμενον τοῖς νῦν ἐπεσταλμένοις. ταῦτα γάρ ἐστιν ἀδελφὰ ὧν τε δίων ὧν τ' ἐγὼ ἐπεχειρήσαμεν συρακούσαις εὖ φρονοῦντες συμπρᾶξαι. δεύτερα μὴν πρῶτα δ' ἦν, ἃ τὸ πρῶτον ἐπεχειρήθη μετ' αὐτοῦ Διονυσίου πραχθῆναι πᾶσι κοινὰ ἀγαθά. τύχη δέ τις ἀνθρώπων κρείττων διεφόρησε. τὰ δὲ νῦν ὑμεῖς πειρᾶσθε εὐτυχέστερον αὐτὰ ἀγαθῇ πρᾶξαι μοίρᾳ καὶ θείᾳ τινὶ τύχῃ. ξυμβουλὴ μὲν δὴ καὶ ἐπιστολὴ εἰρήσθω, καὶ ἡ παρὰ διονύσιον ἐμοὶ προτέρα ἄφιξις. ἡ δὲ δὴ ὑστέρα πορεία τε καὶ πλοῦς, ὡς εἰκότως τε ἅμα καὶ ἐμμελῶς γέγονεν, ᾧ μέλει ἀκούειν ἔξεστι τὸ μετὰ τοῦτο. ὁ μὲν γὰρ δὴ πρῶτος χρόνος τῆς ἐν σικελίᾳ διατριβῆς μοι, διεπεράνθη καθάπερ εἶπον πρὶν συμβουλεύειν, τοῖς οἰκείοις καὶ ἑτέροις τοῖς περὶ δίωνα. τὸ μετ' ἐκεῖνα δ' οὖν, ἔπεισα ὅπῃ δή ποτ' ἐδυνάμην, διονύσιον ἀφεῖναί με. εἰρήνης δὲ γενομένης, ἦν γὰρ τότε πόλεμος ἐν σικελίᾳ, ξυνωμολογήσαμεν ἀμφότεροι. διονύσιος μὲν ἔφη μεταπέμψεσθαι δίωνα καὶ ἐμὲ πάλιν, καταστησάμενος τὰ περὶ τὴν ἀρχὴν ἀσφαλέστερον ἑαυτῷ. δίωνα δ' ἠξίου διανοεῖσθαι, μὴ φυγὴν αὐτῷ γεγονέναι τότε μετάστασιν δέ. ἐγὼ δ' ἥξειν ὡμολόγησα ἐπὶ τούτοις τοῖς λόγοις. γενομένης δ' εἰρήνης, μετεπέμπετό με. δίωνα δ' ἐπισχεῖν ἐνιαυτὸν ἐδεῖτο. ἐμὲ δ' ἥκειν ἐκ παντὸς τρόπου ἠξίου. δίων μὲν οὖν, ἐκέλευέ τε με πλεῖν καὶ ἐδεῖτο

καὶ γὰρ δὴ λόγος ἐχώρει πολὺς ἐκ σικελίας, ὡς διονύσιος θαυμα-
στῶς φιλοσοφίας ἐν ἐπιθυμίᾳ πάλιν εἴη γεγονὼς τανῦν· ὅθεν ὁ δί-
ων συντεταμένως ἐδεῖτο ἡμῶν, τῇ μεταπέμψει μὴ ἀπειθεῖν. ἐγὼ
δὲ, ᾔδειν μέν που κατὰ τὴν φιλοσοφίαν, τοῖς νέοις πολλὰ τοιαῦ-
τα γιγνόμενα. ὅμως δ' οὖν ἀσφαλέστερόν μοι ἔδοξε, χαίρειν τότε γε
πολλὰ καὶ δίωνα καὶ διονύσιον ἐᾶν. καὶ ἀπηχθόμην, ἀμφοῖν ἀπο-
κρινάμενος. ὅτι γέρων τε εἴην. καὶ κατὰ τὰς ὁμολογίας, οὐδὲν γί-
γνοιτο τῶν τανῦν πραττομένων. ἔοικε δὴ τὸ μετὰ τοῦτο, ἀρχύτας
τε παρὰ διονύσιον πρὶν ἀφικέσθαι. ἐγὼ γὰρ πρὶν ἀπιέναι, ξε-
νίαν καὶ φιλίαν ἀρχύτῃ καὶ τοῖς ἐν τάραντι καὶ διονυσίῳ ποιή-
σας, ἀπέπλεον. ἄλλοι τέ τινες ἐν συρακούσαις ἦσαν. δίωνός τε
ἄττα διακηκοότες καὶ τούτων τινὲς ἄλλοι, παρακουσμάτων τι-
νῶν ἔμμεστοι τῶν κατὰ φιλοσοφίαν. οἳ δοκοῦσί μοι διονυσίῳ πει-
ρᾶσθαι διαλέγεσθαι τῶν περὶ τὰ τοιαῦτα, ὡς διονυσίου πάντα δια-
κηκοότος ὅσα διενοούμην ἐγώ. ὁ δὲ, οὔτε ἄλλως ἐστὶν ἀφυὴς πρὸς
τὴν τοῦ μανθάνειν δύναμιν. φιλότιμός τε θαυμαστῶς. ἤρεσκέ
τε οὖν ἴσως αὐτῷ τὰ λεγόμενα, ᾐσχύνετό τε φανερὸς γιγνόμε-
νος οὐδὲν ἀκηκοὼς, ὅτε ἐπεδήμουν ἐγώ. ὅθεν ἅμα μὲν, εἰς ἐ-
πιθυμίαν ᾔει τοῦ διακοῦσαι ἐναργέστερον. ἅμα δ' ἡ φιλο-
τιμία, κατήπειγεν αὐτόν. δι' ἃ δὲ οὐκ ἤκουσεν ἐν τῇ πρόσθεν ἐ-
πιδημίᾳ, διεξήλθομεν ἐν τοῖς ἄνω ῥηθεῖσι νῦν δὴ λόγοις. ἐ-
πειδὴ οὖν οἴκαδέ τε ἐσώθην, καὶ καλοῦντος τὸ δεύτερον ἀ-
πηρνήθην καθάπερ εἶπον, νῦν δοκεῖ μοι διονύσιος παντάπασι

φιλοτιμη

φιλοτιμηθῆναι. μή ποτέ τισι δόξαιμι καταφρονῶν αὐτοῦ, τῆς φύσεώς τε καὶ ἕξεως ἅμα καὶ τῆς διαίτης ἔμπειρος γενόμενος, οὐκ ἐθέλειν δυσχεραίνων παρ' αὐτὸν ἀφικνεῖσθαι. δίκαιος δὴ λέγειν εἰμὶ τἀληθὲς καὶ ὑπομένειν, εἴτις ἄρα τὰ γεγονότα ἀκούσας, καταφρονήσει τῆς ἐμῆς φιλοσοφίας. τὸν τύραννον δὲ, ἡγήσεται νοῦν ἔχειν. ἔπεμψε μὲν γὰρ δὴ διονύσιος τρίτον ἐπ' ἐμὲ τριήρη, ῥᾳστώνης ἕνεκα τῆς πορείας. ἔπεμψε δὲ ἀρχέδημον, ὃν ἡγεῖτό με τῶν ἐν σικελίᾳ περὶ πλείστου ποιεῖσθαι τῶν ἀρχύτᾳ, ξυγγεγονότων ἕνα, καὶ ἄλλους γνωρίμους τῶν ἐν σικελίᾳ. οὗτοι δὲ ἡμῖν ἤγγελλον πάντες τὸν αὐτὸν λόγον, ὡς θαυμαστὸν ὅσον διονύσιος ἐπιδεδωκὼς εἴη πρὸς φιλοσοφίαν. ἔπεμψε δὲ ἐπιστολὴν πάνυ μακρὰν, εἰδὼς ὡς πρὸς δίωνα διεκείμην. καὶ τὴν αὖ δίωνος προθυμίαν, τοῦ ἐμὲ πλεῖν καὶ εἰς συρακούσας ἐλθεῖν. πρὸς γὰρ δὴ πάντα ταῦτα ἦν παρεσκευασμένη τὴν ἀρχὴν ἔχουσα ἡ ἐπιστολὴ, τῇδέ πῃ φράζουσα. Διονύσιος πλάτωνι. τὰ νόμιμα ἐπὶ τούτοις εἰπὼν, οὐδὲν τὸ μετὰ τοῦτο εἶπε πρότερον, ἢ ὡς ἂν εἰς σικελίαν πεισθεὶς ὑφ' ἡμῶν ἔλθῃς τανῦν, πρῶτον μέν σοι τὰ περὶ δίωνα ὑπάρξει ταύτῃ γιγνόμενα ὅπηπερ ἂν αὐτὸς ἐθέλῃς. θελήσεις δ', οἶδ' ὅτι τὰ μέτρια καὶ ἐγὼ συγχωρήσομαι. εἰ δὲ μὴ, οὐδέν σοι τῶν περὶ δίωνα ἕξει πραγμάτων, οὔτε περὶ τἆλλα οὔτε περὶ αὐτὸν κατὰ νοῦν γιγνόμενα. ταῦθ' οὕτως εἶπε. τἆλλα δὲ, μακρὰ ἂν εἴη καὶ ἄνευ καιροῦ λεγόμενα. ἐπιστολαὶ δὲ ἄλλαι ἐφοίτων, παρά τε ἀρχύτου καὶ τῶν ἐν τάραντι τήν τε φιλοσοφίαν ἐγκωμιάζουσαι τὴν διονυσίου. καὶ ὅτι ἂν μὴ ἀφίκωμαι νῦν, τὴν πρὸς διονύσιον

αὐτοῖς γιγνομένην φιλίαν δι' ἐμοῦ οὐ σμικρὰν οὖσαν πρὸς τὰ πολιτικά,
παντάπασι διαβαλοίην. ταύτης δ' ἔτι αὐτῆς γιγνομένης ἐν τῷ τότε
χρόνῳ τῆς μεταπέμψεως, τῶν μὲν ἐκ σικελίας τε καὶ ἰταλίας ἑλκόντων, τῶν δ'
ἀθήνηθεν, ἀτεχνῶς μετὰ δεήσεως οἷον ἐξωθούντων με, καὶ πά-
λιν ὁ λόγος ἧκεν ὁ αὐτὸς τὸ μὴ δεῖν προδοῦναι δίωνα, μὴ δὲ τοὺς
ἐν τάραντι ξένους τε καὶ ἑταίρους. αὐτῷ δέ μοι ὑπῆν, ὡς οὐ-
δὲν θαυμαστὸν νέον ἄνθρωπον παρακούοντα ἀξίων λόγου πραγμά-
των, εὐμαθῆ πρὸς ἔρωτα ἐλθεῖν τοῦ βελτίστου βίου. δεῖν οὖν αὐ-
τὸ ἐξελέγξαι σαφῶς, ὁποτέρως ποτὲ ἄρα ἔχει. καὶ τοῦτ' αὐτὸ μὴ
δαμῇ προδοῦναι. μὴ δὲ ἐμὲ τὸν αἴτιον γενέσθαι τηλικούτου ἀλη-
θῶς ὀνείδους, εἴπερ ὄντως εἴη τῳ, ταῦτα λελεγμένα. πορεύομαι δὴ
τῷ λογισμῷ τούτῳ κατακαλυψάμενος πολλὰ δεδιώς, μαντευό-
μενός τε οὐ πάνυ καλῶς ὡς ἔοικεν. ἐλθὼν δ' οὖν τὸ τρίτον τῷ σωτῆρι
τοῦτό γε οὖν ἔπραξα ὄντως. ἐσώθην γὰρ τὸ πάλιν εὐτυχῶς. καὶ
τούτων γε μετὰ θεὸν, διονυσίῳ χάριν εἰδέναι χρεών. ὅτι πολλῶν
βουληθέντων ἀπολέσαι με διεκώλυσε. καὶ ἔδωκέ τι μέρος αἰδοῦς
τῶν περὶ ἐμὲ πραγμάτων. ἐπειδὴ δ' ἀφικόμην, ᾤμην τοῦτο πρῶτον
ἔλεγχον δεῖν λαβεῖν. πότερον ὄντως εἴη διονύσιος ἐξημμένος ὑ-
πὸ φιλοσοφίας ὥσπερ πυρός, ἢ μάτην ὁ πολὺς οὗτος ἔλθοι λό-
γος ἀθήναζε. ἔστι δή τις τρόπος τοῦ περὶ τὰ τοιαῦτα πεῖραν
λαμβάνειν, οὐκ ἀγεννής, ἀλλ' ὄντως τυράννοις πρέπων, ἄλλως
τε καὶ τοῖς τῶν παρακουσμάτων μεστοῖς. ὃ δὴ κἀγὼ διονύσιον

εὐθὺς

διάσκ. καθη

Effe

εὐθὺς ἐλθών, ἠσθόμην καὶ μάλα πεπονθότα. Δεικνύναι δὴ δεῖ τοῖς τοιούτοις ὅτι ἔστι πᾶν τὸ πρᾶγμα οἷόν τε, καὶ δι' ὅσων πραγμάτων, καὶ ὅσον πόνον ἔχει. ὁ γὰρ ἀκούσας, ἐὰν μὲν ὄντως ᾖ φιλόσοφος, οἰκεῖός τε καὶ ἄξιος τοῦ πράγματος, θεῖος ὤν, ὁδόν τε ἡγεῖται θαυμαστὴν ἀκηκοέναι. ξυντατέον τε εἶναι νῦν, καὶ οὐ βιωτὸν ἄλλως ποιοῦντι. μετὰ τοῦτο δὴ ξυντείνας αὐτόν τε καὶ τὸν ἡγούμενον τὴν ὁδὸν οὐκ ἀνίησι, πρὶν ἂν ἢ τέλος ἐπιθῇ πᾶσιν, ἢ λάβῃ δύναμιν. ὥστε αὐτὸς αὑτὸν χωρὶς τοῦ δείξαντος μὴ ἀδύνατος εἶναι ποδηγεῖν. ταύτῃ καὶ κατὰ ταῦτα διανοηθεὶς ὁ τοιοῦτος ζῇ. πράττων μὲν, ἐν αἷς τισιν ἂν ᾖ πράξεσι. παρὰ πάντα δὲ ἀεὶ φιλοσοφίας ἐχόμενος, καὶ τροφῆς τῆς καθ' ἡμέραν, ἥτις ἂν αὐτὸν μάλιστα εὐμαθῆ τε καὶ μνήμονα, καὶ λογίζεσθαι δυνατὸν, ἐν αὑτῷ νήφοντα ἀπεργάζηται. τὴν δὲ ἐναντίαν ταύτῃ μισῶν διατελεῖ. οἱ δὲ ὄντως μὲν μὴ φιλόσοφοι. δόξαις δὲ ἐπικεχρωσμένοι καθάπερ οἱ τὰ σώματα ὑπὸ τοῦ ἡλίου ἐπικεκαυμένοι. ἰδόντες τε ὅσα μαθήματά ἐστι καὶ ὁ πόνος ἡλίκος, καὶ δίαιτα ἡ καθ' ἡμέραν ὡς πρέπουσα ἡ κοσμία τῷ πράγματι, χαλεπὸν ἡγησάμενοι καὶ ἀδύνατον αὑτοῖς, οὔτε δὴ ἐπιτηδεύειν δυνατοὶ γίγνονται. ἔνιοι δὲ αὐτῶν πείθουσιν αὑτοὺς ὡς ἱκανῶς ἀκηκοότες εἰσὶ τὸ ὅλον. καὶ οὐδὲν ἔτι δέονταί τινων πραγμάτων. ἡ μὲν δὴ πεῖρα αὕτη γίγνεται, ἡ σαφής τε καὶ ἀσφαλεστάτη πρὸς τοὺς τρυφῶντάς τε καὶ ἀδυνάτους διαπονεῖν ὡς μηδέποτε βάλλειν ἐν αἰτίᾳ τὸν δεικνύντα, ἀλλ' αὐτὸν αὑτὸν, μὴ δυνάμενον πάντα τὰ πρόσφορα ἐπιτηδεύειν τῷ πράγματι.

Περὶ ἰδεῶν.

οὕτω δὴ καὶ διονυσίῳ, τότ' ἐρρήθη τὰ ῥηθέντα. πάντα μὲν οὖν, οὔτ' ἐγὼ διεξῆλθον οὔτε διονύσιος ἐδεῖτο. πολλὰ γὰρ αὐτὸς καὶ τὰ μέγιστα, εἰδέναι τε καὶ ἱκανῶς ἔχειν προσεποιεῖτο, διὰ τὰς ὑπὸ τῶν ἄλλων παρακοάς. ὕστερον δὲ καὶ ἀκούω γεγραφέναι αὐτὸν περὶ ὧν τότε ἤκουσε συνθέντα ὡς αὐτοῦ τέχνην, οὐδὲν τῶν αὐτῶν ὧν ἀκούοι. οἶδα δὲ οὐδὲν τούτων. ἄλλους μὲν τινας οἶδα γεγραφότας, περὶ τῶν αὐτῶν τούτων, οἵτινες δέ, οὐδ' αὐτοὶ αὐτούς. τοσόνδε γε μὴν περὶ πάντων ἔχω φράζειν τῶν γεγραφότων καὶ γραψόντων. ὅσοι φασὶν εἰδέναι περὶ ὧν ἐγὼ σπουδάζω εἴτ' ἐμοῦ ἀκηκοότες, εἴτ' ἄλλων, εἴθ' ὡς εὑρόντες αὐτοὶ, τούτους οὐκ ἔστι κατά γε τὴν ἐμὴν δόξαν περὶ τοῦ πράγματος ἐπαΐειν οὐδέν. οὔκουν ἐμόν γε περὶ αὐτῶν ἐστὶ σύγγραμμα οὐδὲ μήποτε γένηται. ῥητὸν γὰρ οὐδαμῶς ἐστιν, ὡς ἄλλα μαθήματα, ἀλλ' ἐκ πολλῆς συνουσίας γιγνομένης περὶ τὸ πρᾶγμα αὐτὸ, καὶ τοῦ συζῆν, ἐξαίφνης οἷον ἀπὸ πυρὸς πηδήσαντος ἐξαφθὲν φῶς, ἐν τῇ ψυχῇ γενόμενον αὐτὸ ἑαυτὸ ἤδη τρέφει. καίτοι τοσόνδε γε οἶδα. ὅτι γραφέντα ἢ λεχθέντα ὑπ' ἐμοῦ, βέλτιστ' ἂν λεχθείη. καὶ μὴν ὅτι γεγραμμένα κακῶς, οὐχ ἥκιστ' ἂν ἐμὲ λυποῖ. εἰ δέ μοι ἐφαίνετο γραπτέα θ' ἱκανῶς εἶναι πρὸς τοὺς πολλοὺς καὶ ῥητὰ, τί τούτου κάλλιον ἐπέπρακτ' ἂν ἡμῖν ἐν τῷ βίῳ ἢ τοῖς τε ἀνθρώποισι μέγα ὄφελος γράψαι. καὶ τὴν φύσιν εἰς φῶς τοῖς πᾶσι προαγαγεῖν. ἀλλ' οὔτε ἀνθρώποις ἡγοῦμαι τὴν ἐπιχείρησιν περὶ αὐτῶν λεγομένην ἀγαθὸν, εἰ μή τισιν ὀλίγοις, ὁπόσοι δυνατοὶ ἀνευρεῖν αὐτοὶ διὰ μικρᾶς ἐνδείξεως. τῶν τε δὴ ἄλλων, τοὺς μὲν, καταφρονήσεως οὐκ ὀρθῆς ἐμπλήσειεν ἂν οὐδαμῇ ἐμμελῶς τοὺς δὲ ὑψηλῆς καὶ χαύνης ἐλπίδος, ὡς σεμνά τ-

τα

του μεμαθηκότας. ἔτι δὲ μακρότερα περὶ αὐτῶν ἐν νῷ μοι γέγονεν
εἰπεῖν. τάχα γὰρ ἂν περὶ ὧν λέγω σαφέστερον ἂν εἴη τι λεχθέν-
των αὐτῶν. ἔστι γάρ τις λόγος ἀληθὴς ἐναντίος τῷ τολμήσαντι
γράφειν τῶν τοιούτων καὶ ὁτιοῦν, πολλάκις μὲν, ὑπ' ἐμοῦ καὶ πρό
σθεν ῥηθείς, ἔοικε δ' οὖν εἶναι καὶ νῦν λεκτέος. ἔστι τῶν ὄντων ἑκάστῳ,
δι' ὧν τὴν ἐπιστήμην ἀνάγκη παραγίνεσθαι, τρία, τέταρτον δ'
αὐτή. πέμπτον δ' αὐτὸ τιθέναι. ὃ δὴ γνωστόν τε καὶ ἀληθές ἐστιν.
ἓν μὲν, ὄνομα. δεύτερον δὲ, λόγος. τὸ δὲ τρίτον, εἴδωλον. τέ-
ταρτον δὲ ἐπιστήμη. περὶ ἓν οὖν, λαβὲ βουλόμενος μαθεῖν τὸ νῦν
λεγόμενον. καὶ πάντων οὕτω πέρι νόησον. κύκλος ἐστί τι λεγόμε-
νον, ᾧ τοῦτ' αὐτό ἐστιν ὄνομα ὃ νῦν ἐφθέγμεθα. λόγος δ' αὐτοῦ τὸ
δεύτερον, ἐξ ὀνομάτων καὶ ῥημάτων συγκείμενος. τὸ γὰρ ἐκ τῶν ἐσχά-
των ἐπὶ τὸ μέσον ἴσον ἀπέχον πάντῃ, λόγος ἂν εἴη ἐκείνου, ᾧπερ στρογ-
γύλον καὶ περιφερὲς ὄνομα καὶ κύκλος. τρίτον δὲ, τὸ ζωγραφού-
μενόν τε καὶ ἐξαλειφόμενον καὶ τορνευόμενον καὶ ἀπολλύμενον.
ὧν αὐτὸς ὁ κύκλος ὃν πέρι πάντ' ἐστὶ ταῦτα, οὐδὲν πάσχει τούτων,
ὡς ἕτερον ὄν. τέταρτον δὲ, ἐπιστήμη καὶ νοῦς. ἀληθής τε δόξα, περὶ
ταῦτ' ἐστίν. ὡς δὲ ἓν τοῦτο αὖ, πᾶν θετέον. οὐκ ἐν φωναῖς οὐδ' ἐν
σωμάτων σχήμασιν, ἀλλ' ἐν ψυχαῖς ἐνόν. ᾧ δῆλον ἕτερόν τε ὂν αὐ-
τοῦ τοῦ κύκλου τῆς φύσεως, τῶν τε ἔμπροσθεν λεχθέντων τριῶν.
τούτων δὲ ἐγγύτατα μὲν, συγγενείᾳ καὶ ὁμοιότητι τοῦ πέμπτου
νοῦς πεπλησίακε. τἆλλα δὲ πλέον ἀπέχει. ταὐτὸν δὴ περί τε εὐθέος
ἅμα καὶ περιφεροῦς σχήματος καὶ χρόας. περί τε ἀγαθοῦ καὶ καλοῦ καὶ δικαίου
καὶ περὶ σώματος ἅπαντος. σκευαστοῦ τε καὶ κατὰ φύσιν γεγονότος. πυ-
ρὸς ὕδατός τε καὶ τῶν τοιούτων πάντων. καὶ ζῴου ξύμπαντος πέρι. καὶ
ἐν ψυχαῖς ἤθους. καὶ περὶ ποιήματα καὶ παθήματα ξύμπαντα,

οὐ γὰρ αὐτῶν τούτων μήτις τὰ τέτταρα λάβῃ. ἄλλως γέ πως οὔποτε τε λέως ἐπιστήμης τοῦ πέμπτου μέτοχος ἔσται. πρὸς γὰρ τούτοις, ταῦτα οὐχ ἧττον ἐπιχειρεῖ τὸ ποιόν τι περὶ ἕκαστον δηλοῦν· ἢ τὸ ὂν ἑκάστου διὰ τὸ τῶν λόγων ἀσθενές. ὧν ἕνεκα, νοῦν ἔχων οὐδείς, τολμήσει ποτὲ εἰς αὐτὸ τιθέναι τὰ νενοημένα ὑπ' αὐτοῦ. καὶ ταῦτα εἰς ἀμετακίνητον, ὃ δὴ πάσχει τὰ γεγραμμένα τύποις. τοῦτο δὲ πάλιν αὖ τὸ νῦν λεγόμενον, δεῖ μαθεῖν. κύκλος ἕκαστος τῶν ἐν ταῖς πράξεσι γραφομένων ἢ καὶ τορνευθέντων, μεστὸς τοῦ ἐναντίου ἐστὶ τῷ πέμπτῳ. τοῦ γὰρ εὐθέος, ἐφάπτεται πάντη. αὐτὸς δὲ φαμὲν ὁ κύκλος οὔτε τι σμικρότερον οὔτε μεῖζον τῆς ἐναντίας ἔχει ἐν αὐτῷ φύσεως. ὄνομά τε αὐτῶν φαμὲν οὐδὲν οὐδενὶ βέβαιον εἶναι. κωλύει δ' οὐδὲν τὰ νῦν στρογγύλα καλούμενα, εὐθέα κεκλῆσθαι. τά τε εὐθέα δή, στρογγύλα. καὶ οὐδὲν ἧττον βεβαίως ἕξειν, τοῖς μεταθεμένοις καὶ ἐναντίως καλοῦσι. καὶ μὴν περὶ λόγου γε ὁ αὐτὸς λόγος εἴπερ ἐξ ὀνομάτων καὶ ῥημάτων σύγκειται, μηδὲν ἱκανῶς βεβαίως εἶναι βέβαιον. μυρίος δὲ λόγος αὖ περὶ ἑκάστου τῶν τεττάρων, ὡς ἀσαφές. τὸ δὲ μέγιστον ὅπερ εἴπομεν ὀλίγον ἔμπροσθεν. ὅτι δυοῖν ὄντοιν τοῦ τε ὄντος καὶ τοῦ ποιοῦ τινος, οὐ τὸ ποιόν τι, τὸ δὲ ζητούσης εἰδέναι τῆς ψυχῆς, τὸ μὴ ζητούμενον ἕκαστον τῶν τεττάρων προτεῖνον τῇ ψυχῇ λόγῳ τε καὶ κατ' ἔργα, αἰσθήσεσιν εὐέλεγκτον τό, τε λεγόμενον καὶ δεικνύμενον ἀεὶ παρεχόμενον ἕκαστον, ἀπορίας τε καὶ ἀσαφείας ἐμπίπλησι πάσης ὡς ἔπος εἰπεῖν πάντ' ἄνδρα. ἐν οἷσι μὲν οὖν μηδ' εἰθισμένοι τὸ ἀληθὲς ζητεῖν ἐσμὲν ὑπὸ πονηρᾶς τροφῆς, ἐξαρκεῖ δὲ τὸ προτεθὲν τῶν εἰδώλων, οὐ καταγέλαστοι γινόμεθα ὑπ' ἀλλήλων, οἱ ἐρωτώμενοι ὑπὸ τῶν ἐρωτώντων, δυναμένων δὲ τὰ τέτταρα διαρρίπτειν τε καὶ ἐλέγχειν. ἐν οἷς δ' ἂν τὸ πέμ

πτον

τῇ ὄρων ἀποκρίνασθαι καὶ δηλοῦν ἀναγκαζόμενος, ὁ βουλόμενος τῶν δυναμένων ἀνατρέπειν κρατεῖ. καὶ ποιεῖ τὸν ἐξηγούμενον ἐν λόγοις ἢ γράμμασιν ἢ ἀποκρίσεσι, τοῖς πολλοῖς τῶν ἀκουόντων, δοκεῖν μηδὲν γινώσκειν ὧν ἂν ἐπιχειρῇ γράφειν ἢ λέγειν. ἀγνοούντων ἐνίοτε, ὡς οὐχ ἡ ψυχὴ τοῦ γράψαντος ἢ λέξαντος ἐλέγχεται ἀλλ' ἡ τῶν τεττάρων φύσις ἑκάστου πεφυκυῖα φαύλως. ἡ δὲ διὰ πάντων αὐτῶν διαγωγὴ, ἄνω καὶ κάτω μεταβαίνουσα ἐφ' ἕκαστον, μόγις ἐπιστήμην ἐνέτεκεν, εὖ πεφυκότος εὖ πεφυκότι. κακῶς δὲ ἂν φυῇ, ὡς ἡ τῶν πολλῶν ἕξις τῆς ψυχῆς, εἴς τε τὸ μαθεῖν εἴς τε τὰ λεγόμενα ἤθη πέφυκε. τὰ δὲ, διέφθαρται, οὐδ' ἂν ὁ λυγκεὺς ἰδεῖν ποιήσειε τοὺς τοιούτους. ἑνὶ δὲ λόγῳ. τὸν μὴ ξυγγενῆ τοῦ πράγματος οὔτ' ἂν εὐμαθία ποιήσειέ ποτε οὔτε μνήμη. τὴν ἀρχὴν γὰρ, ἐν ἀλλοτρίαις ἕξεσιν οὐκ ἐγγίγνεται. ὥστε ὁπόσοι τῶν δικαίων τε καὶ τῶν ἄλλων ὅσα καλὰ μὴ προσφυεῖς εἰσὶ καὶ ξυγγενεῖς. ἄλλοι δὲ ἄλλων εὐμαθεῖς ἅμα καὶ μνήμονες οὐδ' ὅσοι ξυγγενεῖς δυσμαθεῖς δὲ καὶ ἀμνήμονες, οὐδένες τούτων μήποτε μάθωσιν ἀλήθειαν ἀρετῆς εἰς τὸ δυνατὸν οὐδὲ κακίας. ἅμα γὰρ αὐτὰ ἀνάγκη μανθάνειν, καὶ τὸ ψεῦδος ἅμα καὶ ἀληθὲς τῆς ὅλης οὐσίας μετὰ τριβῆς πάσης καὶ χρόνου πολλοῦ, ὅπερ ἐν ἀρχαῖς εἶπον. μόγις δὲ τριβόμενα πρὸς ἄλληλα αὐτῶν ἕκαστα ὀνόματα καὶ λόγοι. ὄψεις τε καὶ αἰσθήσεις, ἐν εὐμενέσιν ἐλέγχοις ἐλεγχόμενα. καὶ ἄνευ φθόνων ἐρωτήσεσι καὶ ἀποκρίσεσι χρωμένων, ἐξέλαμψε φρόνησις περὶ ἕκαστον καὶ νοῦς. συντείνων ὅτι μάλιστ' εἰς δύναμιν ἀνθρωπίνην. διὸ δὴ πᾶς ἀνὴρ σπουδαῖος, τῶν ὄντων σπουδαίων πέρι, πολλοῦ δεῖ μὴ γράψας ποτὲ ἐν ἀνθρώποις, εἰς φθόνον καὶ ἀπορίαν καταβαλεῖ. ἑνὶ δὴ ἐκ τούτων δεῖ γιγνώσκειν λόγῳ. ὅτ' ἂν ἴδῃ τις συγγράμ-

ματα γεγραμμένα εἴτε ἐν νόμοις νομοθέτου. εἴτε ἐν ἄλλοις τισὶν ἅττ' οὖν,
ὡς οὐκ ἦν τούτῳ ταῦτα σπουδαιότατα, εἴπερ ἔστ' αὐτὸς σπουδαῖος. κεῖται δέ που ἐν χώρᾳ τῇ καλλίστῃ τῶν τούτου. εἰ δὲ ὄντως αὐτῷ ταῦτ' ἐσπουδασμένα ἐν γράμμασιν ἐτέθη, ἐξ ἄρα δή οἱ ἔπειτα θεοὶ μὲν, οὐ βροτοὶ δὲ φρένας ὤλεσαν αὐτοί. τούτῳ δὴ τῷ μύθῳ τε καὶ πλάνῳ ὁ ξυνεπισπόμενος, εὖ εἴσεται. εἴτ' οὖν Διονύσιος ἔγραψέ τι, τῶν περὶ φύσεως ἄκρων καὶ πρώτων, εἴτε τὶς ἐλάττων εἴτε μείζων, ὡς οὐδὲν ἀκηκοὼς οὐδὲ μεμαθηκὼς ἦν ὑγιὲς ὧν ἔγραψε κατὰ τὸν ἐμὸν λόγον. ὁμοίως γὰρ αὐτὰ ἐσέβετο ἐμοὶ, καὶ οὐκ ἂν αὐτὰ εἰς ἀναρμοστίαν καὶ ἀπρέπειαν ἐκβάλλειν. οὔτε γὰρ ὑπομνημάτων χάριν ἔγραψεν. οὐδὲν γὰρ δεινὸν μή τις αὐτὸ ἐπιλάθηται, ἐὰν ἅπαξ τῇ ψυχῇ περιλάβῃ. πάντων γὰρ, ἐν βραχυτάτοις κεῖται. φιλοτιμίας δὲ αἰσχρᾶς εἴπερ ἕνεκα, εἴθ' ὡς αὐτοῦ τιθέμενος. εἴθ' ὡς παιδείας δὴ μέτοχος ὢν ἧς οὐκ ἄξιος ἦν, ἀγαπῶν δόξαν τὴν τῆς μετοχῆς γενομένης. εἰ μὲν οὖν ἐκ τῆς μιᾶς συνουσίας Διονυσίῳ τοῦτο γέγονε τάχ' ἂν εἴη. γέγονε δ' οὖν ὅπως ἴττω Ζεὺς φησὶν ὁ Θηβαῖος. διεξῆλθον μὲν γὰρ ὡς εἶπόν τε ἐγὼ, καὶ ἅπαξ μόνον. ὕστερον δὲ οὐ πώποτε ἔτι. ἐννοεῖν δὴ δεῖ τὸ μετὰ τοῦτο, ὅτῳ μέλει τὸ περὶ αὐτὰ γεγονὸς εὑρεῖν ὅπῃ ποτὲ γέγονε. τίνι ποτ' αἰτίᾳ τὸ δεύτερον, καὶ τὸ τρίτον πλεονάκις τε, οὐ διεξῇμεν. πότερον Διονύσιος ἀκούσας μόνον ἅπαξ, οὕτως εἰδέναι τε οἴεται καὶ ἱκανῶς οἶδεν, εἴτε αὐτὸς εὑρὼν ἢ καὶ μαθὼν ἔμπροσθεν παρ' ἑτέρων, ἢ φαῦλα εἶναι τὰ λεχθέντα. ἢ τὸ τρίτον οὐ καθ' αὐτὸν, μείζονα δὲ, καὶ ὄντως οὐκ ἂν δυνατὸς εἶναι φρονήσεώς τε καὶ ἀρετῆς ζῆν ἐπιμελούμενος. εἰ μὲν γὰρ φαῦλα πολλοῖς μάρτυσι μαχεῖται τἀναντία λέγουσιν. οἱ περὶ τῶν τοιούτων, πάμπολυ Διονυσίου κυριώτε-

ροι ἂν

ῥοὶ ἂν εἶεν κριταί. εἰ δὲ οὐ ῥηθῆναι ἢ μεμαθηκέναι ἄξια δοῦν εἶναι πρὸς παιδείαν ψυχῆς ἐλευθέρας, πῶς ἂν μὴ θαυμαστὸς ὢν ἄνθρωπος, τὸν ἡγεμόνα τούτων καὶ κύριον οὕτως εὐχερῶς ἠτίμασεν ἄν. πῶς δ' ἠτίμασεν, ἐγὼ φράζοιμ' ἄν. οὐ πολὺν χρόνον διαλιπὼν τὸ μετὰ τοῦτο, ἐν τῷ πρόσθεν δίωνα ἐῶν τὰ ἑαυτοῦ κεκτῆσθαι καὶ καρποῦσθαι χρήματα, τότε οὐκ ἔτι εἴα τοὺς ἐπιτρόπους αὐτοῦ πέμπειν εἰς πελοπόννησον, καθάπερ ἐπιλελησμένος τῆς ἐπιστολῆς παντάπασιν. εἶναι γὰρ αὐτὰ οὐ δίωνος, ἀλλὰ τοῦ υἱέος ὄντος μὲν ἀδελφιδοῦ αὐτοῦ, κατὰ νόμους δὲ ἐπιτροπεύοντος. τὰ μὲν δὴ πεπραγμένα μέχρι τούτου, ταῦτ' ἦν ἐν τῷ τότε χρόνῳ. τούτων δὲ οὕτω γενομένων ἑωράκειν τε ἀκριβῶς τὴν ἐπιθυμίαν τῆς διονυσίου φιλοσοφίας, ἀγανακτεῖν τε ἐξῆν εἴτε βουλοίμην εἴτε μή. ἦν γὰρ θέρος ἤδη τότε καὶ ἔκπλοι τῶν νεῶν. ἐδόκει δὴ χαλεπαίνειν μὲν οὐ δεῖν ἐμὲ διονυσίῳ μᾶλλον ἢ ἐμαυτῷ τε καὶ τοῖς βιασαμένοις ἐλθεῖν ἐμὲ τὸ τρίτον εἰς τὸν πορθμὸν τὸν περὶ τὴν σκύλλαν, ὄφρ' ἔτι τὴν ὀλοὴν ἀναμετρήσαιμι χάρυβδιν. λέγειν δὲ πρὸς διονύσιον, ὅτι μοι μένειν ἀδύνατον εἴη, δίωνος οὕτω προπεπηλακισμένου. ὁ δὲ παρεμυθεῖτό τε καὶ ἐδεῖτο μένειν, οὐκ οἰόμενος οἱ καλῶς ἔχειν, ἐμὲ ἄγγελον αὐτὸν τῶν τοιούτων ἐλθεῖν ὅτι τάχος. οὐ πείθων δὲ αὐτός μοι πομπὴν παρασκευάσειν ἔφη. ἐγὼ γὰρ ἐν τοῖς ἀποστόλοις πλοίοις ἐμβὰς διενοούμην πλεῖν τεθυμωμένος, πάσχειν τε οἰόμενος δεῖν, εἰ διακωλυοίμην ὁτιοῦν. ἐπειδὴ περιφανῶς ἠδίκουν μὲν οὐδέν, ἠδικούμην δέ. ὁ δὲ οὐδέν με τοῦ καταμένειν προσιέμενον ὁρῶν, μηχανὴν τοῦ μεῖναι τὴν τότε ἔκπλουν, μηχανᾶται τοιάνδε τινά. τῇ μετὰ ταῦτα ἐλθὼν ἡμέρᾳ λέγει πρός με πιθανὸν λόγον. ἐμοὶ καὶ σοὶ δίων ἔφη καὶ τὰ δίωνος, ἐκποδὼν ἀπαλλα

χρὴ τούτου πέρι αὐτά τε πολλάκις διαφέρεσθαι. νῦν ἴσως γὰρ διὰ σὲ ἔφη δέοντά δε. ἀξιῶ ἐκεῖνον ἀπολαβόντα τὰ ἑαυτοῦ, οἰκεῖν μὲν ἐν Πελοποννήσῳ. μὴ ὡς φυγάδα δέ, ἀλλ' ὡς αὐτῷ καὶ δεῦρο ἐξὸν ἀποδημεῖν, ὅταν ἐκείνῳ τε καὶ ἐμοὶ καὶ ὑμῖν τοῖς φίλοις κοινῇ ξυνδοκῇ. ταῦτα δ' εἶναι μὴ ἐπιβουλεύοντος ἐμοί. τούτων δὲ ἐγγυητὰς γίγνεσθαι σέ τε, καὶ τοὺς σοὺς οἰκείους, καὶ τοὺς ἐνθάδε Δίωνος. ὑμῖν δὲ τὸ βέβαιον ἐκεῖνος παρεχέτω. τὰ χρήματα δὲ ἃ ἂν λάβῃ, κατὰ Πελοπόννησον μὲν καὶ Ἀθήνας κείσθω, παρ' οἷστισιν ἂν ὑμῖν δοκῇ. καρπούσθω δὲ Δίων, μὴ κύριος δὲ αὐτῶν γιγνέσθω ἀνελέσθαι. ἐγὼ γὰρ ἐκείνῳ μὲν οὐ σφόδρα πιστεύω τούτοις χρώμενον ἂν τοῖς χρήμασι, δίκαιον γίγνεσθαι περὶ ἐμέ. οὐ γὰρ ὀλίγα ἔσται. σοὶ δὲ καὶ τοῖς σοῖς, μᾶλλον πεπίστευκα. ὅρα δὴ ταῦτα εἴ σοι ἀρέσκῃ, καὶ μένε ἐπὶ τούτοις τὸν ἐνιαυτὸν τοῦτον. εἰς δὲ ὥρας, ἄπιθι λαβὼν τὰ χρήματα ταῦτα. καὶ Δίων εὖ οἶδ' ὅτι πολλὴν χάριν ἕξει σοι, διαπραξαμένῳ ταῦτα ὑπὲρ ἐκείνου. τοῦτον δὴ ἐγὼ τὸν λόγον ἀκούσας, ἐδυσχέραινον μέν. ὅμως δὲ βουλευσάμενος ἔφην εἰς τὴν ὑστεραίαν αὐτῷ περὶ τούτων τὰ δόξαντα ἀπαγγελεῖν. ταῦτα ξυνεθέμεθα τότε. ἐβουλευόμην δὴ τότε μετὰ ταῦτα κατ' ἐμαυτὸν γενόμενος μάλα συγκεχυμένος. πρῶτος δ' ἦν μοι τῆς βουλῆς ἡγούμενος, ὅδε λόγος. φέρε εἰ διανοεῖται τούτων μηδὲν ποιεῖν Διονύσιος ὧν φησιν. ἀπελθόντος δέ μου ἐὰν ἐπιστέλλῃ Δίωνι πιθανὸς αὐτός τε, καὶ ἄλλους πολλοὺς τῶν αὐτοῦ διακελευόμενος ἃ νῦν πρὸς ἐμὲ λέγει. ὡς αὐτοῦ μὲν ἐθέλοντος ἐμοῦ δὲ οὐκ ἐθελήσαντος ἃ προὐκαλεῖτο με δρᾶν, ἀλλ' ὀλιγωρήσαντος τῶν ἐκείνου τὸ παράπαν πραγμάτων. πρὸς δὲ καὶ τούτοισιν ἔτι, μὴ δὲ θέλῃ με ἐκπέμπειν αὐτὸς

τῶν

τῶν ναυκλήρων μηδενὶ προστάττων, ἐνδείξηται δὲ πᾶσι ῥᾳδίως
ὡς ἀβουλῶν ἐμὲ ἐκπλεῖν, ἆρά τις ἐθελήσει με ἄγειν ναύτης ὁρμώ-
μενον ἐκ τῆς διονυσίου οἰκίας. ᾤκουν γὰρ δὴ τοῖς ἄλλοις κακοῖς
ἐν τῷ κήπῳ τῷ περὶ τὴν οἰκίαν. ὅθεν οὐδ' ἂν ὁ θυρωρὸς ἤθελέ-
με ἀφεῖναι, μὴ πεμφθείσης αὐτῷ τινος ἐντολῆς παρὰ διονυσίου. ἂν
δὲ μείνω τὸν ἐνιαυτὸν, ἕξω μὲν δίωνι ταῦτα ἐπιστέλλειν, ἐν οἷς
τ' εἰμὶ, καὶ ἃ πράττω. καὶ ἐὰν μὲν δὴ ποιῇ τι διονύσιος ὧν φησιν,
οὐ παντάπασιν ἔσται μοι καταγέλαστα πεπραγμένα. τάλαντα
γὰρ ἴσως οὐσίαν οὐκ ἔλαττον ἂν ἐκτιμᾶ τις ὀρθῶς ἑκατὸν, ἡ δίωνος
οὐσία. ἂν δ' οὖν γίγνηται τὰ νῦν ἀποφαινόμενα, οἷα εἰκὸς αὐτὰ γί-
γνεσθαι. ἀπορῶ μὲν ὅτι χρήσομαι ἐμαυτῷ. ὅμως δὲ, ἀναγκαῖον ἴ-
σως ἐνιαυτόν γ' ἔτι πονῆσαι, καὶ ἔργοις ἐλέγξαι πειρᾶσθαι, τὰς δι-
ονυσίου μηχανάς. ταῦτά μοι δόξαντα, εἰς τὴν ὑστεραίαν εἶπον πρὸς
διονύσιον ὅτι δέδοκταί μοι μένειν. ἀξιῶ μὴν ἔφην, μὴ κύριον ἡ-
γεῖσθαί σε δίωνος ἐμέ. πέμπειν δὲ μετ' ἐμοῦ σε παρ' αὐτὸν γράμ-
ματα τὰ νῦν δεδογμένα δηλοῦντα. καὶ ἐρωτᾶν εἴτε ἀρκεῖ ταῦτα
αὐτῷ, καὶ εἰ μὴ βούλεται, ἄλλα δὲ ἀξιοῖ, καὶ ταῦτα ἐπιστέλλειν
ὅτι τάχιστα. σὲ δὲ, νεωτερίζειν μηδέν πω περὶ τὰ ἐκείνου. ταῦτ' ἐρρήθη.
ταῦτα ξυνωμολογήσαμεν ὡς νῦν εἴρηται σχεδόν. ἐξέπλευσε δὴ τὰ πλοῖα
μετὰ τοῦτο, καὶ οὐκέτι μοι δυνατὸν ἦν πλεῖν. ὅτε δή μοι καὶ δι-
ονύσιος ἐμνήσθη λέγων, ὅτι τὴν ἡμίσειαν τῆς οὐσίας εἶναι δέοι δίωνος.
τὴν δ' ἡμίσειαν τοῦ υἱέος. ἔφη δὴ πωλήσειν αὐτήν. πραθείσης δὲ, τὰ
μὲν ἡμίσεα, ἐμοὶ δώσειν ἄγειν. τὰ δ' ἡμίσεα τῷ παιδὶ καταλεί-
ψειν αὐτοῦ. τὸ γὰρ δὴ δικαιότατον οὕτως ἔχειν. πληγεὶς δὲ ἐγὼ τῷ λεχθέντι

πάνυ μὲν ὡς ἦν γελοῖον εἶναι ὅτι λέγειν ἔτι. ὅμως δ' εἶπεν, ὅτι σχεδὸν ἥκοι τινὰ παρὰ Δίωνος ἐπιστολήν, περιμένειν ἡμᾶς· καὶ ταῦτα πάλιν αὐτὰ ἐπιστέλλειν. ὁ δ' ἐξῆς τούτοις, πάνυ νεανικῶς ἐπώλει τὴν οὐσίαν αὐτοῦ πᾶσαν, ὅπῃ τε καὶ ὅπως ἤθελε καὶ οἷστισι. πρὸς ἐμὲ δὲ, οὐδὲν ὅλως ἐφθέγγετο περὶ αὐτῶν. καὶ μὴν ὡσαύτως ἐγὼ πρὸς ἐκεῖνον αὖ, περὶ τῶν Δίωνος πραγμάτων, οὐδὲν ἔτι διελεγόμην. οὐδὲν γὰρ ἔτι πλέον ᾤμην ποιεῖν. μέχρι μὲν δὴ τούτων ταύτῃ μοι βεβοηθημένον ἐγεγόνει φιλοσοφίᾳ καὶ φίλοις. τὸ δὲ μετὰ ταῦτα ἐζῶμεν ἐγὼ καὶ Διονύσιος, ἐγὼ μὲν, βλέπων ἔξω, καθάπερ ὄρνις ποθῶν ποθὲν ἀναπτέσθαι. ὁ δὲ, διαμηχανώμενος, τίνα τρόπον ἀνασοβήσοι με, μηδὲν ἀποδοὺς τῶν Δίωνος. ὅμως δὲ ἔφαμεν ἑταῖροι εἶναι πρὸς πᾶσαν Σικελίαν. τῶν δὴ μισθοφόρων τοὺς πρεσβυτέρους, Διονύσιος ἐπεχείρησεν ὀλιγομισθοτέρους ποιεῖν, παρὰ τὰ τοῦ πατρὸς ἔθη. θυμωθέντες δὲ οἱ στρατιῶται συνελέγησαν ἀθρόοι, καὶ οὐκ ἔφασαν ἐπιτρέψειν. ὁ δὲ ἐπεχείρει βιάζεσθαι, κλείσας τὰς τῆς ἀκροπόλεως πύλας. οἱ δὲ φέρονται εὐθὺς πρὸς τὰ τείχη παιῶνά τινα βοήσαντες βάρβαρον καὶ πολεμικόν. οὗ δὴ περιδεὴς Διονύσιος γενόμενος, ἅπαντα συνεχώρησε, καὶ ἔτι πλείω τοῖς τότε συλλεχθεῖσι τῶν πελταστῶν. λόγος δή τις ταχὺ διῆλθεν, ὡς Ἡρακλείδης αἴτιος εἴη γεγονὼς πάντων τούτων. ὃν ἀκούσας, ὁ μὲν Ἡρακλείδης, ἐκποδὼν αὐτὸν εἶχεν ἀφανῆ. Διονύσιος δὲ ἐζήτει λαβεῖν. ἀπορῶν δὲ, Θεοδότην μεταπεμψάμενος εἰς τὸν κῆπον, ἔτυχον δ' ἐν τῷ κήπῳ καὶ ἐγὼ τότε περιπατῶν. τὰ μὲν οὖν ἄλλα οὔτ' οἶδα οὔτ' ἤκουον διαλεγομένων. ἃ δὲ ἐναντίον εἶπε Θεοδότης ἐμοῦ πρὸς Διονύσιον, οἶδά τε καὶ μέμνημαι. Πλάτων γὰρ ἔφη, Διονύσιον ἐγὼ πείθω τουτονί, ἐὰν ἐγὼ γένωμαι δεῦρο Ἡρακλείδην κομίσαι δυνατὸς ἡμῖν εἰς λόγους περὶ τῶν ἐγκλη-

μάτων

μάτων αὐτῷ τῶν νῦν γεγονότων· ἂν ἄρα μὴ δόξῃ δεῖν αὐτὸν οἰκεῖν ἐν σικελίᾳ, τόν τε υἱὸν λαβόντα καὶ τὴν γυναῖκα, ἀξιῶ εἰς πελοπόννησον ἀποπλεῖν, οἰκεῖν τε, βλάπτοντα μηδὲν διονύσιον ἐκεῖ. καρπούμενον δὲ τὰ ἑαυτοῦ. μετεπεμψάμην μὲν οὖν, καὶ πρότερον αὐτόν. μεταπέμψομαι δὲ καὶ νῦν. αὐτὸς ὢν ἀπὸ τῆς προτέρας μεταπομπῆς αὖτε καὶ ἀπὸ τῆς νῦν ὑπακούσῃ μοι. διονύσιου δὲ ἀξιῶ καὶ δέομαι. ἄν τις ἐντυγχάνῃ ἡρακλείδῃ ἐάν τ᾽ ἐν ἀγρῷ ἐάν τ᾽ ἐνθάδε, μηδὲν ἄλλο αὐτῷ φλαῦρον γίγνεσθαι. μεταστῆναι δὲ ἐκ τῆς χώρας ὡς ἂν ἄλλο τι διονυσίῳ δόξῃ. ταῦτα ἔφη συγχωρεῖς, λέγων πρὸς τὸν διονύσιον; συγχωρῶ μὴ δ᾽ ἂν πρὸς τῇ σῇ ἔφη φανῇ οἰκίᾳ πείσεσθαι φλαῦρον μηδὲν παρὰ τὰ νῦν εἰρημένα. τῇ δὴ μετὰ ταύτην τὴν ἡμέραν δείλης, εὐρύβιος καὶ θεοδότης, προσηλθέτην μοι σπουδῇ τε θορυβημένω θαυμαστῶς. καὶ ὁ θεοδότης, λέγει· πλάτων ἔφη, παρῆσθα χθὲς οἷς περὶ ἡρακλείδου διονύσιος ὡμολόγει πρὸς ἐμὲ καὶ σέ; πῶς δὲ οὐκ ἔφην. νῦν τοίνυν ἦ δ᾽ ὅς, περιθέουσι πελτασταὶ, λαβεῖν ἡρακλείδην ζητοῦντες. ὁ δ᾽ εἶναί πῃ ταύτῃ κινδυνεύει. ἀλλ᾽ ἡμῖν ἔφη συνακολούθησον πρὸς διονύσιον, ἁπάσῃ μηχανῇ. ᾠχόμεθα οὖν, καὶ εἰσήλθομεν παρ᾽ αὐτόν. καὶ τὼ μὲν ἑστάτην σιγῇ δακρύοντε. ἐγὼ δὲ εἶπον. οἵδε πεφόβηνται, μή τι σὺ παρὰ τὰ χθὲς ὡμολογημένα ποιήσῃς περὶ ἡρακλείδην νεώτερον. δοκεῖ γάρ μοι ταύτῃ πῃ τετραμμέναι φανερὸς, ἀποτετραμμένος. ὁ δὲ ἀκούσας, ἀνεφλέχθη τε, καὶ παντοδαπὰ χρώματα ἧκεν, οἷα ἂν θυμούμενος ἀφείη. προσπεσὼν δὲ αὐτῷ ὁ θεοδότης, λαβόμενος τῆς χειρὸς, ἐδάκρυσέ τε καὶ ἱκέτευε, μηδὲν τοιοῦτον ποιεῖν. ὑπολαβὼν δὲ ἐγὼ παραμυθούμενος, θάρρει θεοδότα ἔφην. οὐ γὰρ τολμήσει διονύσιος παρὰ τὰ χθὲς ὡμολογημένα, ἄλλα ποτὲ δρᾶν. καὶ ὃς ἐμβλέ

ψας μοι καὶ μάλα τυραννικῶς, σοὶ ἔφην ἐγώ, οὔτε τι σμικρὸν οὔτε μέγα ὡμολόγησα. νὴ τοὺς θεοὺς ἦν δ' ἐγώ, σύ γε ταῦτα ἃ σου νῦν οὗτος δεῖται ποιεῖν. καὶ εἰπὼν ταῦτα, ἀποστρεφόμενος ᾠχόμην ἔξω. τὸ μετὰ ταῦτα ὁ μὲν ἐκυνήγει τὸν ἡρακλείδην. θεοδότης δὲ ἀγγέλους πέμπων ἡρακλείδῃ, φεύγειν διεκελεύετο. ὁ δὲ, ἐκπέμψας τισίαν καὶ πελταστὰς διώκειν ἐκέλευε. φθάνει δὲ ὡς ἐλέγετο ἡρακλείδης, εἰς τὴν καρχηδονίων ἐπικράτειαν ἐκφυγὼν ἡμέρας σμικρῷ τινι μέρει. τὸ δὴ μετὰ τοῦτο, ἡ πάλαι ἐπιβουλὴ διονυσίῳ τοῦ μὴ ἀποδοῦναι τὰ δίωνος χρήματα, ἔδοξεν ἔχθρας λόγον ἔχειν ἂν πρός με πιθανόν. καὶ πρῶτον μὲν ἐκ τῆς ἀκροπόλεως ἐκπέμπει με εὑρὼν πρόφασιν. ὡς τὰς γυναῖκας ἐν τῷ κήπῳ ἐν ᾧ κατῴκουν ἐγώ, δέοι θῦσαι θυσίαν τινὰ δεχήμερον. ἔξω δή με παρ' ἀρχεδήμῳ προσέταττε τὸν χρόνον τοῦτον μεῖναι. ὄντος δέ μου ἐκεῖ θεοδότης μεταπεμψάμενός με, πολλὰ περὶ τῶν τότε πραχθέντων ἠγανάκτει, καὶ ἐμέμφετο διονυσίῳ. ὁ δὲ ἀκούσας ὅτι παρὰ θεοδότην εἴην εἰσεληλυθὼς, πρόφασιν αὖ ταύτην ἄλλην τῆς πρὸς ἐμὲ διαφορᾶς ποιούμενος ἀδελφὴν τῆς πρόσθεν, πέμψας τινὰ ἠρώτα με, εἰ συγγιγνοίμην ὄντως μεταπεμψαμένου με θεοδότου. κἀγὼ παντάπασιν ἔφην. ὁ δὲ ἐκέλευε τοίνυν ἔφη σοι φράζειν, ὅτι καλῶς οὐδαμῇ ποιεῖς, δίωνα, καὶ τοὺς δίωνος φίλους, ἀεὶ περὶ πλείονος αὑτοῦ ποιούμενος. ταῦτ' ἐρρήθη. καὶ οὐκέτι μετεπέμψατό με εἰς τὴν οἴκησιν πάλιν. ὡς ἤδη σαφῶς θεοδότου μὲν ὄντος μου καὶ ἡρακλείδου φίλου, ἐκείνου δ' ἐχθροῦ· καὶ οὐκ εὐνοεῖν ᾤετό με, ὅτι δίωνι τὰ χρήματα ἔρρει παντελῶς. ᾤκουν δὴ τὸ μετὰ τοῦτο ἔξω τῆς ἀκροπόλεως ἐν τοῖς μισθοφόροις

προσιόντες

προσιόντες δέ μοι, ἄλλοι τε καὶ οἱ τῶν ὑπηρεσιῶν ὄντες ἀθήνηθεν ἐμοὶ πολῖται, ἀπήγγελλον ὅτι διαβεβλημένος εἴην ἐν τοῖς πελτασταῖς, καί μοι τινὲς ἀπειλοῖεν, εἴ που λήψοιντό με διαφθερεῖν, μηχανῶμαι δή τινα, τοιάνδε σωτηρίαν. πέμπω παρ' ἀρχύτην καὶ τοὺς ἄλλους φίλους εἰς τάραντα, φράζων ἐν οἷς ὢν τυγχάνω. οἱ δὲ, πρόφασίν τινα πρεσβείας πορισάμενοι παρὰ τῆς πόλεως, πέμπουσι τριακόντορόν τε καὶ λαμίσκον αὐτῶν ἕνα. ὃς ἐλθὼν, ἐδεῖτο διονυσίου περὶ ἐμοῦ λέγων ὅτι βουλοίμην ἀπιέναι καὶ μηδαμῶς ἄλλως ποιεῖν. ὁ δὲ, ξυνωμολόγησε καὶ ἀπέπεμψεν ἐφόδια δούς. τῶν δίωνος δὲ χρημάτων, οὔτ' ἐγώ τι ἀπῄτουν οὔτε τις ἀπέδωκεν. ἐλθὼν δὲ εἰς πελοπόννησον, εἰς ὀλυμπίαν δίωνα καταλαβὼν θεωροῦντα, ἤγγελλον τὰ γεγονότα. ὁ δὲ τὸν δία ἐπιμαρτυράμενος, εὐθὺς παρήγγελλεν ἐμοὶ καὶ τοῖς ἐμοῖς οἰκείοις καὶ φίλοις, παρασκευάζεσθαι τιμωρεῖσθαι διονύσιον. ἡμᾶς μὲν ξεναπατίας χάριν, οὕτω γὰρ ἔλεγέ τε καὶ ἐνόει. αὐτὸν δ' ἐκβολῆς ἀδίκου καὶ φυγῆς. ἀκούσας δ' ἐγὼ τοὺς μὲν φίλους παρακαλεῖν ἐκέλευον εἰ βούλοιντο. ἐμὲ δ' ἐᾶν ὅτι σὺ μετὰ τῶν ἄλλων βίᾳ τινὰ τρόπον σύσσιτον καὶ συνέστιον καὶ κοινωνὸν ἱερῶν διονυσίῳ ἐποίησας, ὃς ἴσως ἡγεῖτο διαβαλλόντων πολλῶν ἐπιβουλεύειν ἐμὲ μετὰ σοῦ ἑαυτῷ καὶ τῇ τυραννίδι. καὶ ὅμως οὐκ ἀπέκτεινεν, ᾐδέσθη δέ. οὔτ' οὖν ἡλικίαν ἔχω συμπολεμεῖν ἔτι σχεδὸν οὐδενί. κοινός τε ὑμῖν εἰμί. ἄν ποτέ τι πρὸς ἀλλήλους δεηθέντες φιλίας ἀγαθόν τι ποιεῖν βουληθῆτε. κακὰ δὲ ἕως ἂν ἐπιθυμῆτε, ἄλλους παρακαλεῖτε. ταῦτα εἶπον, μεμισηκὼς τὴν περὶ σικελίαν πλάνην καὶ ἀτυχίαν. ἀπειθοῦντες δὲ καὶ οὐ πειθόμενοι ταῖς ὑπ' ἐμοῦ διαλέξεσι, πάντων τῶν νῦν γεγονότων κακῶν αὐτοὶ

αἴτιοι ἐγίνοντο αὐτοῖς· ὧν εἰ Διονύσιος ἀπέδωκε τὰ χρήματα Δίωνι. ἢ καὶ παντάπασι κατήλλαξε, οὐκ ἄν ποτε ἐγένετο οὐδέν· ὅσα γε δὴ τἀνθρώπινα. Δίωνα γὰρ ἐγὼ καὶ τῷ βούλεσθαι, καὶ τῷ δύνασθαι, κατεῖχον ἂν ῥᾳδίως. νῦν δὲ ὁρμήσαντες ἐπ' ἀλλήλους, κακῶν πάντα ἐμπεπλήκασι. καίτοι τήν γε αὐτὴν Δίων ἔσχε βούλησιν, ἥνπερ ἂν ἐγὼ φαίην δεῖν ἢ ἐμέ. καὶ ἄλλον ὅστις μέτριος, περί τε τῆς αὐτοῦ δυνάμεως καὶ φίλων καὶ περὶ πόλεως τῆς αὐτοῦ διανοοῖτ' ἂν εὐεργετῶν ἐν δυνάμει καὶ τιμαῖσι γίγνεσθαι τὰ μέγιστα ἐν τοῖς μεγίστοις. ἔτι δὲ οὐκ ἄν τις πλούσιον ἑαυτὸν ποιήσῃ καὶ ἑταίρους καὶ πόλιν ἐπιβουλεύσας, καὶ ξυνωμότας συναγαγὼν πένης ὤν· καὶ ἑαυτοῦ μὴ κρατῶν ὑπὸ δειλίας τῆς πρὸς τὰς ἡδονὰς ἡττημένος. εἶτα τοὺς τὰς οὐσίας κεκτημένους ἀποκτείνας ἐχθροὺς καλῶν τούτους, διαφορῇ τὰ τούτων χρήματα καὶ τοῖς συνεργοῖς τε καὶ ἑταίροις παρακελεύηται ὅπως μηδεὶς αὐτῷ ἐγκαλῇ πένης φάσκων εἶναι. ταὐτὸν δὲ καὶ τὴν πόλιν ἂν οὕτω τις εὐεργετῶν, τιμᾶται ὑπ' αὐτῆς, τοῖς πολλοῖς τὰ τῶν ὀλίγων ὑπὸ ψηφισμάτων διανέμων. ἢ μεγάλης προεστὼς πόλεως καὶ πολλῶν ἀρχούσης ἐλαττόνων, τῇ ἑαυτοῦ πόλει τὰ τῶν σμικροτέρων χρήματα διανέμῃ κατὰ τὸ δίκαιον. τοῦτο μὲν γὰρ οὔτε Δίων οὔτε ἄλλος ποτὲ οὐδείς, ἐπὶ δύναμιν ἑκὼν εἶσιν ἀλιτηριώδη ἑαυτῷ τε καὶ γένει, εἰς τὸν αἰεὶ χρόνον. ἐπὶ πολιτείαν δὲ καὶ νόμων κατασκευὴν τῶν δικαιοτάτων τε καὶ ἀρίστων, οὔτι δι' ὀλιγίστων θανάτων καὶ φυγῶν γιγνομένην. ἃ δὴ Δίων νῦν πράττων προτιμήσας τὸ πάσχειν ἀνόσια τοῦ δρᾶσαι πρότερον· διευλαβούμενος δὲ μὴ παθεῖν, ὅμως ἔπταισεν, ἐπ' ἄκρον ἐλθὼν τοῦ περιγενέσθαι τῶν ἐχθρῶν. θαυμαστὸν πάθος οὐδέν. ὅσιος γὰρ ἄνθρωπος ἀνοσίων πέρι, σώφρων τε καὶ ἔμφρων τὸ μὲν ὅλον, οὐκ ἄν ποτε διαψευσθείη τῆς ψυχῆς τῶν τοιούτων πέρι. κυβερνήτου δὲ ἀγαθοῦ

πάθος ἂν ἴσως οὐ θαυμαστὸν εἰ πάθοι. ὃν χειμὼν μὲν ἐσόμενος, οὐκ ἂν πάνυ λάθοι. χειμώνων δὲ ἐξαίσιον καὶ ἀπροσδόκητον μέγεθος, λάθοιτ' ἄν. καὶ λαθὸν καταλύσειε βίᾳ. ταυτὸν δὴ καὶ δίωνα ἔφηλε δ' ὀλιγίστων. κακοὶ μὲν γὰρ ὄντες αὐτὸν σφόδρα οὐκ ἔλαθον οἱ φήλαντες. ὅσον δὲ ὕψος ἀμαθίας εἶχον, καὶ τῆς ἄλλης μοχθηρίας τε καὶ λαιμαργίας ἔλαθεν. ᾧ δὴ σφαλεὶς κεῖται. σικελίαν πένθει περιβαλὼν μυρίῳ. τὰ δὴ μετὰ τὰ νῦν ῥηθέντα ἃ ξυμβουλεύω σχεδὸν εἴρηταί μοι καὶ εἰρήσθω. ὧν δ' ἐπανέλαβον ἕνεκα τὴν εἰς σικελίαν ἄφιξιν τὴν δευτέραν, ἀναγκαῖον εἶναι ἔδοξέ μοι ῥηθῆναι δεῖν, διὰ τὴν ἀτοπίαν καὶ ἀλογίαν τῶν γιγνομένων. εἰ δ' ἄρα τινὶ τὰ νῦν ῥηθέντα εὐλογώτερα ἐφάνη, καὶ προφάσεις πρὸς τὰ γινόμενα ἱκανὰς ἔχειν ἔδοξέ τῳ, μετρίως ἂν ἡμῖν καὶ ἱκανῶς εἴη τὰ νῦν εἰρημένα.

Πλάτων τοῖς δίωνος οἰκείοις τε καὶ ἑταίροις, εὖ πράττειν.

ἃ Δ' ἂν διανοηθέντες μάλιστα εὖ πράττοιτε, ὄντως πειράσομαι ταῦθ' ὑμῖν κατὰ δύναμιν διεξελθεῖν. ἐλπίζω δέ, οὐχ ὑμῖν μόνοις ξυμβουλεύσειν τὰ συμφέροντα. μάλιστά γε μὴν ὑμῖν. καὶ δευτέροις πᾶσι τοῖς ἐν συρακούσαις. τρίτοις δὲ ὑμῶν καὶ τοῖς ἐχθροῖς καὶ πολεμίοις, πλὴν εἴ τις αὐτῶν ἀνοσιουργὸς γέγονε. ταῦτα γὰρ ἀνίατα, καὶ οὐκ ἄν ποτέ τις αὐτὰ ἐκνίψειε. νοήσατε δέ, ἃ λέγω νῦν. ἐθ' ἡμῖν κατὰ σικελίαν πάσαν λελυμένης τῆς τυραννίδος, πᾶσα μάχη περὶ αὐτῶν τούτων. τῶν μὲν βουλομένων ἀναλαβεῖν πάλιν τὴν ἀρχήν. τῶν δὲ τῇ τῆς τυραννίδος ἀποφυγῇ τέλος ἐπιθεῖναι. ξυμβουλὴ δὲ περὶ τῶν τοιούτων, ὀρθὴ δοκεῖ ἑκάστοτε τοῖς πολλοῖς εἶναι. ταῦτα ξυμβουλεύειν δεῖν, ἃ τοὺς μὲν πολεμίους, ὡς πλεῖστα κακὰ ἐξεργάσεται. τοὺς

ἢ φίλοις, ὡς πλεῖστα ἀγαθά. τὸ δὲ οὐδαμῶς ῥᾴδιον, πολλὰ κακὰ δρῶντα τοὺς ἄλλους, μὴ οὐ καὶ πάσχειν αὐτὸν πολλὰ ἕτερα. δεῖ δὲ οὐ μακρὰν ἐλθόντας ἐκεῖ, τὰ τοιαῦτα ἐναργῶς ἰδεῖν. ἀλλ' ὅσα νῦν γέγονε τῇδε αὐτοῦ περὶ σικελίαν. τῶν μὲν ἐπιχειρούντων δρᾶν, τῶν δὲ ἀμυνάθη τοὺς δρῶντας. ἃ κἂν ἄλλοις μυθολογοῦντες ἱκανοὶ γίγνοισθ' ἂν ἑκάστοτε διδάσκαλοι. τούτων μὲν δὴ σχεδὸν, οὐκ ἀπορία. τῶν δὲ ὅσα γένοιτ' ἂν ἢ πᾶσι συμφέροντα ἐχθροῖς τε καὶ φίλοις, ἢ ὅτι σμικρότατα κακὰ ἀμφοῖν, ταῦτα οὔτε ῥᾴδιον ὁρᾶν, οὔτε ἰδόντα ἐπιτελεῖν. εὐχῇ δὲ προσέοικεν, ἡ τοιαύτη ξυμβουλή τε καὶ ἐπιχείρησις τοῦ λόγου. ἔστω δὴ παντάπασι μὲν, εὐχή τις. ἀπὸ θεῶν χρὴ πάντα ἀρχόμενον, ἀεὶ λέγειν τε καὶ νοεῖν. ἐπιτελὴς δ' εἴη σημαίνουσα ἡμῖν τοιόνδε τινὰ λόγον. νῦν ὑμῖν καὶ τοῖς πολεμίοις σχεδὸν, ἐξ οὗπερ γέγονεν ὁ πόλεμος, συγγένεια ἄρχει μία διὰ τέλους, ἥν ποτε κατέστησαν οἱ πατέρες ὑμῶν, εἰς ἀπορίαν ἐλθόντες τὴν ἅπασαν. ὅθ' ὁ κίνδυνος ἐγένετο ἔσχατος σικελίᾳ τῇ τῶν ἑλλήνων, ὑπὸ καρχηδονίων ἀνάστατον ὅλην ἐκβαρβαρωθεῖσαν γενέσθαι. τότε γὰρ εἵλοντο διονύσιον μὲν ὡς νέον καὶ πολεμικὸν, ἐπὶ τὰς τοῦ πολέμου πρεπούσας αὐτῷ πράξεις. σύμβουλον δὲ καὶ πρεσβύτερον ἱππαρῖνον, ἐπὶ σωτηρίᾳ τῆς σικελίας αὐτοκράτορας ὥς φασι τυράννους ἐπονομάζοντες. καὶ εἴτε δὴ θείαν τις ἡγεῖσθαι βούλεται τύχην καὶ θεὸν, εἴτε τὴν τῶν ἀρχόντων ἀρετὴν, εἴτε τὸ ξυναμφότερον, μετὰ τῶν τότε πολιτῶν τῆς σωτηρίας αἰτίαν ξυμβῆναι γενομένην, ἔστω ταύτῃ ὅπῃ τις ὑπολαμβάνει. σωτηρία δ' οὖν, οὕτως συνέβη τοῖς τότε γενομένοις. τοιούτων οὖν αὐτῶν γεγονότων, δίκαιόν που τοῖς σώσασι, πάντας χάριν ἔχειν. εἰ δέ τι τὸν μετέπειτα χρόνον ἡ τυραννὶς οὐκ ὀρθῶς τῇ τῆς πόλεως δωρεᾷ κατακέχρηται, τούτων δίκας τὰς μὲν ἔχει τὰς δὲ, τινέτω. τίνες οὖν δὴ δίκαι ἀναγ-

γκαίως ὀρθαὶ πείσονται ἂν ἐκ τῶν ὑπαρχόντων αὐτοῖς. εἰ μὲν ῥᾳδίως ὑμεῖς ἀποφυγεῖν οἷοί τ' ἐστὲ αὐτούς τε καὶ ἄλλων μεγάλων κινδύνων καὶ πόνων. ἢ κεῖνοι ἐλθεῖν ὑπὲρ τὸ πάλιν τὴν ἀρχήν, οὐδ' ἂν συμβουλεύειν οἷόν τ' ἦν τὰ μέλλοντα ῥηθήσεσθαι. νῦν δὲ ἐννοεῖν ὑμᾶς ἀμφοτέρους χρεὼν, καὶ ἀναμιμνήσκεσθαι, ποσάκις ἐν ἐλπίδι ἑκάτεροι γεγόνατε, τοῦ νῦν οἴεσθαι σχεδὸν ἀεί τινος σμικροῦ ἐνδεεῖς εἶναι τοῦ μὴ πάντα κατὰ νοῦν πράττειν. καὶ δὴ καὶ ὅτι τὸ σμικρὸν τοῦτο, μεγάλων καὶ μυρίων κακῶν αἴτιον ἑκάστοτε ξυμβαίνει γιγνόμενον, καὶ πέρας οὐδέποτε τελεῖται. ξυνάπτει δὲ ἀεὶ παλαιὰ τελευτὴ δοκοῦσα, ἀρχῇ φυομένῃ νέᾳ. διολεῖσθαι δὲ ὑπὸ τοῦ κύκλου τούτου κινδυνεύσει καὶ τὸ τυραννικὸν ἅπαν καὶ τὸ δημοτικὸν γένος. ἥξει δὲ ἐάνπερ τῶν εἰκότων γίγνηταί τι καὶ ἀπευκτῶν, σχεδὸν εἰς ἐρημίαν τῆς ἑλληνικῆς φωνῆς σικελία πᾶσα φοινίκων ἢ ὀπικῶν μεταβαλοῦσα εἴς τινα δυναστείαν καὶ κράτος. τούτων δὴ χρὴ πάσῃ προθυμίᾳ πάντας τοὺς ἕλληνας τέμνειν φάρμακον. εἰ μὲν δή τις ὀρθότερον ἄμεινόν τε ἔχει τοῦ ὑπ' ἐμοῦ ῥηθησομένου, ἐνεγκὼν εἰς τὸ μέσον, ὀρθότατα φιλέλλην ἂν λέγοιτο. ὃ δέ μοι φαίνεταί πῃ, τὰ νῦν ἐγὼ πειράσομαι πάσῃ παρρησίᾳ καὶ κοινῷ τινι δικαίῳ λόγῳ χρώμενος, ὡς δυοῖν τυραννεύσασί τε καὶ τυραννευθέντι, ὡς ἐν ἑκατέρῳ παλαιὰν ἐμὴν ξυμβουλήν. καὶ νῦν γε ὁ ἐμὸς λόγος ἂν εἴη ξυμβουλεύοντος τυράννῳ παντί. φεύγειν μὲν τοὔνομά τε καὶ τοὔργον τοῦτο. εἰς βασιλείαν δὲ, εἰ δυνατὸν εἴη μεταβαλεῖν. δυνατὸν δὲ, ὡς ἔδειξεν ἔργῳ σοφὸς ἀνὴρ καὶ ἀγαθὸς λυκοῦργος. ὃς ἰδὼν τὸ τῶν οἰκείων γένος ἐν ἄργει καὶ μεσσήνῃ, ἐκ βασιλέων εἰς τυράννων δύναμιν ἀφικομένους, καὶ διαφθείραντας ἑαυτούς τε καὶ τὴν πόλιν ἑκατέρους ἑκατέραν, δείσας περὶ τῆς αὑτοῦ πόλεως ἅμα καὶ γένους, φάρμακον ἐπήνεγκε τὴν τῶν γερόντων ἀρχὴν, καὶ τὸν τῶν ἐφόρων δεσμὸν, τῆς βασιλικῆς ἀρχῆς σωτήριον, ὥστε γενεὰς τοσαύτας ἤδη μετ' εὐκλείας σώζεσθαι. νόμος ἐπειδὴ κύριος ἐγένετο βασιλεὺς τῶν ἀνθρώπων, ἀλλ' οὐκ ἄνθρωποι τύραννοι νόμων, ὃ δὴ καὶ νῦν ὁ ἐμὸς λόγος

πᾶσι παρακελεύεται. τοῖς μὲν τυραννίδος ἐφιεμένοις, ἀποτρέπεσθαι καὶ φεύγειν φυγῇ ἀπλήστως πεινώντων εὐδαιμόνισμα ἀνθρώπων καὶ ἀνοήτων. εἰς βασιλέως δ' εἶδος, πειρᾶσθαι μεταβάλλειν, καὶ δουλεῦσαι νόμοις βασιλικοῖς. τὰς μεγίστας τιμὰς κεκτημένους, παρ' ἑκόντων τε ἀνθρώπων καὶ τῶν νόμων. τοῖς δὲ δὴ ἐλεύθερα διώκουσιν ἤθη καὶ φεύγουσι τὸν δούλειον ζυγὸν ὡς ὂν κακόν, εὐλαβεῖσθαι ξυμβουλεύοιμ' ἄν, μή ποτε ἀπληστίᾳ ἐλευθερίας ἀκαίρου τινός, εἰς τὸ τῶν προγόνων νόσημα ἐμπέσωσιν. ὃ διὰ τὴν ἄγαν ἀναρχίαν οἱ τότε ἔπαθον, ἀμέτρῳ ἐλευθερίας χρώμενοι ἔρωτι. οἱ γὰρ πρὸ Διονυσίου καὶ Ἱππαρίνου ἄρξαντες σικελιῶται. τότε ὡς ᾤοντο, εὐδαιμόνως ἔζων τρυφῶντές τε ἅμα καὶ ἀρχόντων ἄρχοντες, οἳ καὶ τοὺς δέκα στρατηγοὺς κατέλευσαν βάλλοντες τοὺς πρὸ Διονυσίου, κατὰ νόμον οὐδένα κρίναντες, ἵνα δὴ δουλεύοιεν μηδενί. μήτε σὺν δίκῃ. μήτε νόμῳ δεσπότῃ. ἐλεύθεροι δ' εἶεν πάντῃ πάντως. ὅθεν αἱ τυραννίδες ἐγένοντο αὐτοῖς. δουλεία γὰρ καὶ ἐλευθερία ὑπερβάλλουσα μὲν ἑκατέρα, πάγκακον. ἔμμετρος δ' οὖσα, πανάγαθον. μετρία δὲ ἡ θεῷ δουλεία, ἄμετρος δέ, ἡ τοῖς ἀνθρώποις. θεὸς δὲ ἀνθρώποις σώφροσι, νόμος. ἄφροσι δὲ ἡδονή. τούτων δὴ ταύτῃ πεφυκότων, ἃ ξυμβουλεύω συρακοσίοις πᾶσι φράζειν παρακελεύομαι τοῖς Δίωνος φίλοις, ἐκείνου καὶ ἐμὴν κοινὴν ξυμβουλήν. ἐγὼ δ' ἑρμηνεύσω ἃ ἐκεῖνος ἔμπνους ὢν καὶ δυνάμενος εἶπε νῦν πρὸς ὑμᾶς. τίν' οὖν δή τις ἂν εἴποι λόγον ἀποφαίνεται ἡμῖν περὶ τῶν νῦν παρόντων, ἡ Δίωνος ξυμβουλὴ τόνδε. δέξασθε ὦ συρακόσιοι πάντων πρῶτον, νόμους οἵτινες ἂν ὑμῖν φαίνωνται, μὴ πρὸς χρηματισμὸν καὶ πλοῦτον τρέψοντες τὰς γνώμας ὑμῶν, μήτε ἐπιθυμίας. ἀλλ' ὄντων τριῶν, ψυχῆς καὶ σώματος, ἔτι δὲ χρημά-

τῶν, πρώτην μὲν τὴν τῆς ψυχῆς ἐπιμέλειαν ἔχειν δεῖ δευτέραν δὲ τὴν τοῦ σώματος, ὑπὸ τῇ τῆς ψυχῆς κειμένην· τρίτην δὲ καὶ ὑστάτην, τὴν τῶν χρημάτων τιμὴν, δουλεύουσαν τῷ σώματί τε καὶ τῇ ψυχῇ. καὶ ὁ μὲν ταῦτα ἀπεργαζόμενος θεσμὸς, νόμος ἂν ὀρθῶς ὑμῖν εἴη κείμενος ὄντως εὐδαίμονας ἀποτελῶν τοὺς χρωμένους· ὁ δὲ τοὺς πλουσίους εὐδαίμονας ὀνομάζων λόγος, αὐτός τε ἄθλιος γυναικῶν καὶ παίδων ὢν λόγος ἄνους, τοὺς πειθομένους τε ἀπεργάζεται τοιούτους. ὅτι δ' ἀληθῆ ταῦτ' ἐγὼ παρακελεύομαι, ἐὰν γεύσησθε τῶν νῦν λεγομένων περὶ νόμων, ἔργῳ γνώσεσθε. ἡ δὴ βάσανος ἀληθεστάτη δοκεῖ γίνεσθαι τῶν πάντων πέρι. δεξάμενοι δ' οὖν τοὺς τοιούτους νόμους, ἐπειδὴ κατέχει κίνδυνος σικελίαν, καὶ οὔτε κρατεῖτε ἱκανῶς, οὔτ' αὖ διαφερόντως κρατεῖσθε, δίκαιον ἂν ἴσως καὶ ξυμφέρον γίγνοιτο ὑμῖν πᾶσι μέσον τέμνειν, τοῖς τε φεύγουσι τῆς ἀρχῆς τὴν χαλεπότητα ὑμῖν, καὶ τοῖς τῆς ἀρχῆς πάλιν ἐρῶσι τυχεῖν· ὧν οἱ πρόγονοι τότε μέγιστον, ἔσωσαν ἀπὸ βαρβάρων τοὺς ἕλληνας, ὥστ' ἐξεῖναι περὶ πολιτείας νῦν ποιεῖσθαι λόγους· ἔρρουσι δὲ τότε, οὔτε λόγος, οὔτε ἐλπὶς ἐλείπετ' ἂν οὐδαμῆ οὐδαμῶς. νῦν οὖν, τοῖς μὲν ἐλευθερία γιγνέσθω, μετὰ βασιλικῆς ἀρχῆς· τοῖς δὲ, ἀρχὴ ὑπεύθυνος βασιλικὴ, δεσποζόντων νόμων τῶν τε ἄλλων πολιτῶν, καὶ τῶν βασιλέων αὐτῶν, ἄν παράνομον πράττωσιν. ἐπὶ δὲ τούτοις ξύμπασιν, ἀδόλῳ γνώμῃ, καὶ ὑγιεῖ μετὰ θεῶν βασιλέα στήσασθε. πρῶτον μὲν τὸν ἐμὸν υἱὸν χαρίτων ἕνεκα διττῶν, τῆς τε παρ' ἐμοῦ καὶ τῆς παρὰ ἐμοῦ πατρός. ὁ μὲν γὰρ ἀπὸ βαρβάρων ἠλευθέρωσεν ἐν τῷ τότε χρόνῳ τὴν πόλιν. ἐγὼ δὲ ἀπὸ τυράννων, νῦν δὶς· ὧν αὐτοὶ μάρτυρες ὑμεῖς γεγόνατε. δεύτερον δὲ δὴ ποιεῖσθε βασιλέα, τὸν τῷ μὲν ἐμῷ πατρὶ ταὐτὸν

κατὰ τὴν μὲν ὄνομα· ἔργον δὲ διονυσίῳ, χάριν τῆς τε νῦν βοηθείας καὶ ὁσίου τρόπου· ὃς γενόμενος τυράννου πατρὸς ἑκὼν τὴν πόλιν ἠλευθέρου· τιμὴν αὐτῷ καὶ γένει ἀείζωον ἀντὶ τυραννίδος ἐφημέρου καὶ ἀδίκου κτώμενος. τρίτον δὲ προκαλεῖσθαι χρὴ βασιλέα γίνεσθαι συρακουσῶν, ἑκόντα ἑκούσης τῆς πόλεως, τὸν νῦν τοῦ τῶν πολεμίων ἄρχοντα στρατοπέδου· διονύσιον τὸν διονυσίου· ἐὰν ἐθέλῃ ἑκὼν εἰς βασιλέως σχῆμα ἀπαλλάττεσθαι, δεδιὼς μὲν τὰς τύχας, ἐλεῶν δὲ πατρίδα, καὶ ἱερῶν ἀθεραπευσίαν καὶ τάφους μὴ διὰ φιλονεικίαν πάντως πάντα ἀπολέσῃ βαρβάροις ἐπίχαρτος γενόμενος. τρεῖς δ᾽ ὄντας βασιλέας, εἴτ᾽ οὖν τὴν λακωνικὴν δύναμιν αὐτοῖς δόντες, εἴτε ἀφελόντες καὶ ξυνομολογήσαντες, καταστήσετε τρόπῳ τινὶ τοιῷδε. ὃς εἴρηται μὲν καὶ πρότερον ὑμῖν· ὅμως δ᾽ ἔτι καὶ νῦν ἀκούετε· ἐὰν ἐθέλῃ τὸ γένος ὑμῖν τὸ Διονυσίου τε καὶ ἱππαρίνου ἐπὶ σωτηρίᾳ σικελίας παύσασθαι τῶν νῦν παρόντων κακῶν, τιμὰς αὐτοῖς καὶ γένει λαβόντες, εἰς τὸν ἔπειτα καὶ τὸν νῦν χρόνον ἐπὶ τούτοις καλεῖτε, ὥσπερ καὶ πρότερον ἐρρήθη, πρέσβεις οὓς ἂν ἐθελήσωσι κυρίους ποιησάμενοι τῶν διαλλαγῶν εἴτε τινας αὐτόθεν, εἴτε ἔξωθεν, εἴτε ἀμφότερα, καὶ ὁπόσους ἂν συγχωρήσωσι· τούτους δ᾽ ἐλθόντας, νόμους μὲν πρῶτον θεῖναι καὶ πολιτείαν τοιαύτην, ἐν ᾗ βασιλέας ἁρμόττει γίγνεσθαι κυρίους ἱερῶν τε καὶ ὅσων ἄλλων πρέπει τοῖς γενομένοις ποτὲ εὐεργέταις· πολέμου δὲ καὶ εἰρήνης ἄρχοντας, νομοφύλακας ποιήσασθαι ἀριθμὸν τριάκοντα καὶ πέντε, μετά τε δήμου καὶ βουλῆς. δικαστήρια δὲ, ἄλλα μὲν ἄλλων· θανάτου δὲ καὶ φυγῆς, τοὺς τε πέντε καὶ τριάκοντα ὑπάρχειν· πρὸς τούτοις τε ἐκλεκτοὺς γίγνεσθαι δικαστὰς ἐκ τῶν μὲν ἀεὶ περυσινῶν ἀρχόντων· ἕνα ἀφ᾽ ἑκάστης τῆς ἀρχῆς τὸν ἄριστον δόξαντα εἶναι καὶ δικαιότατον· τούτους δὲ τὸν ἐπιόντα ἐνιαυτὸν δικάζειν ὅ-

θανάτου καὶ δεσμοῦ καὶ μεταστάσεως τῆς πόλεως. βασιλέα δὲ, τῶν τοιούτων δικῶν μὴ ἐξεῖναι δικαστὴν ἡγεῖσθαι, καθάπερ ἱερέα φόνου καθαρεύοντα καὶ δεσμοῦ καὶ φυγῆς. ταῦθ' ὑμῖν ἐγὼ καὶ ζῶν διενοήθην γίγνεσθαι, καὶ νῦν διανοοῦμαι. καὶ τότε κρατήσας τῶν ἐχθρῶν, μεθ' ὑμῶν εἰ μὴ ξενικαὶ ἐριννύες ἐκώλυσαν, κατέστησα ἂν ᾗπερ καὶ διενοούμην. καὶ μετὰ ταῦτα σικελίαν ἂν τὴν ἄλλην εἴπερ ἔργα ἐπὶ νῷ ἐγίγνετο, κατῴκισα. τοὺς μὲν βαρβάρους, οὓς νῦν ἔχουσιν ἀφελόμενος, ὅσοι μὴ ὑπὲρ τῆς κοινῆς ἐλευθερίας διεπολέμησαν πρὸς τὴν τυραννίδα. τοὺς δ' ἔμπροσθεν οἰκητὰς τῶν ἑλληνικῶν τόπων, εἰς τὰς ἀρχαίας καὶ πατρῴας οἰκήσεις κατοικίσας. ταῦτα δὴ ταῦτα καὶ νῦν πᾶσι συμβουλεύω κοινῇ διανοηθῆναι, καὶ πράττειν τε καὶ παρακαλεῖν ἐπὶ ταύτας τὰς πράξεις πάντας. τὸν μὴ ἐθέλοντα δὲ, πολέμιον ἡγεῖσθαι κοινῇ. ἔστι δὲ ταῦτα οὐκ ἀδύνατα. ἃ γὰρ ἐν δυοῖν τε ὄντα ψυχαῖν τυγχάνει, καὶ λογισαμένοις εὑρεῖν βέλτιστα ἑτοίμως ἔχει, ταῦτα δὴ σχεδὸν ὁ κρίνων ἀδύνατα, οὐκ εὖ φρονεῖ. λέγω δὲ τὰς δύο, τήν τε ἱππαρίνου τοῦ διονυσίου ὑέος καὶ τὴν τοῦ ἐμοῦ ὑέος. τούτοιν γὰρ ξυνομολογησάντοιν, τοῖς γε ἄλλοις συρακουσίοις οἶμαι πᾶσιν ὅσοι περὶ τῆς πόλεως κήδονται ξυνδοκεῖν. ἀλλὰ θεοῖς τε πᾶσι τιμὰς μετ' εὐχῶν δόντες, τοῖς τε ἄλλοις ὅσοις μετὰ θεῶν πρέπει, πείθοντες καὶ προκαλούμενοι φίλους καὶ διαφόρους μαλακῶς τε καὶ πάντως μὴ ἀποστῆτε, πλὴν ἂν τὰ νῦν ὑφ' ὑμῶν λεχθέντα, οἷον ὀνείρατα θεῖα ἐπιστάντα ἐγρηγορόσιν, ἐναργῆ τε ἐξεργάσησθε τελεσθέντα καὶ εὐτυχῆ.

Πλάτων, Ἀρχύτᾳ Ταραντίνῳ εὖ πράττειν.

Φικοντο πρὸς ἡμᾶς οἱ περὶ ἄρχιππον καὶ φιλωνίδην, τήν τε ἐπιστολὴν φέροντες ἣν σὺ αὐτοῖς ἔδωκας, καὶ ἀπαγγέλλοντες

Doctores ... artium aut scriptores antiquiss.

In 5. ... de Peregrin. Platonis

παρὰ σοῦ. τὰ μὲν οὖν πρὸς τὴν πόλιν οὐ χαλεπῶς διεπράξαντο. καὶ γὰρ οὐδὲ παντελῶς ἦν ἐργώδη. τὰ δὲ παρὰ σοῦ διῆλθεν ἡμῖν, λέγοντες ὑποδυσφορεῖν σε, ὅτι οὐ δύνασαι τῆς περὶ τὰ κοινὰ ἀσχολίας ἀπολυθῆναι. ὅτι μὲν οὖν ἥδιστόν ἐστιν ἐν τῷ βίῳ τὸ τὰ αὑτοῦ πράττειν, ἄλλως τε καὶ εἴ τις ἕλοιτο τοιαῦτα πράττειν οἷα καὶ σύ, σχεδὸν παντὶ δῆλον. ἀλλὰ κἀκεῖνο δεῖ σε ἐνθυμεῖσθαι. ὅτι ἕκαστος ἡμῶν οὐχ αὑτῷ μόνον γέγονεν. ἀλλὰ τῆς γενέσεως ἡμῶν, τὸ μέν τι, ἡ πατρὶς μερίζεται. τὸ δέ τι, οἱ γεννήσαντες. τὸ δὲ, οἱ λοιποὶ φίλοι. πολλὰ δὲ καὶ τοῖς καιροῖς δίδοται τοῖς τὸν βίον ἡμῶν καταλαμβάνουσι. καλούσης δὲ τῆς πατρίδος αὐτῆς πρὸς τὰ κοινά, ἄτοπον ἴσως τὸ μὴ ὑπακούειν, καὶ χώραν καταλιμπάνειν φαύλοις ἀνθρώποις. οἳ οὐκ ἀπὸ τοῦ βελτίστου πρὸς τὰ κοινὰ προσέρχονται. περὶ τούτων μὲν οὖν ἱκανῶς. Ἐχεκράτους δὲ νῦν ἐπιμέλειαν ἔχομεν, καὶ εἰς τὸν λοιπὸν χρόνον ἕξομεν. καὶ διὰ σέ, καὶ διὰ τὸν πατέρα αὐτοῦ Φρυνίωνα. καὶ δι' αὐτὸν τὸν νεανίσκον.

Πλάτων Ἀριστοδώρῳ εὖ πράττειν. Ἀρισόδημος Laert.

Κούω Δίωνος ἐν τοῖς μάλιστα ἑταῖρον εἶναί τε σε νῦν, καὶ γεγονέναι διὰ παντὸς τὸ σοφώτατον ἦθος τῶν εἰς φιλοσοφίαν παρεχόμενον. τὸ γὰρ βέβαιον, καὶ πιστὸν, καὶ ὑγιὲς τοῦτο ἐγώ φημι εἶναι τὴν ἀληθινὴν φιλοσοφίαν. τὰς δὲ ἄλλας τε καὶ εἰς ἄλλα τεινούσας σοφίας τε καὶ δεινότητας κομψότητας οἶμαι προσαγορεύων, ὀρθῶς ὀνομάζειν. ἀλλ' ἔρρωσό τε, καὶ μένε ἐν τοῖς ἤθεσιν οἷσπερ καὶ μένεις.

πλάτων

Πλάτων Λαοδάμαντι εὖ πράττειν.

Ἐπέστειλάς μοι καὶ πρότερον ὅτι πολὺ διαφέρει πρὸς ἅπαντα ἃ λέγεις αὐτὸν ἀφικέσθαι σε Ἀθήναζε. ἐπειδὴ δὲ σὺ φὴς ἀδύνατον εἶναι, μετὰ τοῦτο ἦν δεύτερον, εἰ δυνατὸν ἐμὲ ἀφικέσθαι, ἢ Σωκράτη ὥσπερ ἐπέστειλας. νῦν δὲ Σωκράτης μέν ἐστι περὶ ἀσθένειαν τὴν τῆς στραγγουρίας. ἐμὲ δὲ ἀφικόμενον ἐνταῦθα, ἀσχημον ἂν εἴη μὴ διαπράξασθαι ἐφ᾽ ἅπερ σὺ παρακαλεῖς. ἐγὼ δὲ ταῦτα γενέσθαι ἂν, οὐ πολλὴν ἐλπίδα ἔχω. Διὰ δὲ μακρᾶς ἑτέρας, δέοιτ᾽ ἂν ἐπιστολῆς ἥτις πάντα διεξίοι, καὶ ἅμα οὐδὲ τῷ σώματι διὰ τὴν ἡλικίαν, ἱκανῶς ἔχω πλανᾶσθαι καὶ κινδυνεύειν κατὰ γῆν καὶ κατὰ θάλατταν οἷα ἀπαντᾷ. καὶ νῦν πάντα κινδύνων ἐν ταῖς πορείαις ἐστὶ μεστά. συμβουλεῦσαι μέντοι ἔχω σοί τε καὶ τοῖς οἰκισταῖς. ὃ εἰπόντος μὲν ἐμοῦ φησὶν Ἡσίοδος, δόξαι ἂν εἶναι φαῦλον. χαλεπὸν δὲ νοῆσαι. εἰ γὰρ οἴονται ὑπὸ νόμων θέσεως καὶ ὡντινωνοῦν ποτε πολιτείαν ἂν κατασκευασθῆναι, ἄνευ τοῦ εἶναί τι κύριον ἐπιμελούμενον ἐν τῇ πόλει τῆς καθ᾽ ἡμέραν διαίτης, ὅπως ἂν ᾖ σώφρων τε καὶ ἀνδρική, δούλων τε καὶ ἐλευθέρων, οὐκ ὀρθῶς διανοοῦνται. τοῦτο δ᾽ αὖ, εἰ μὲν εἰσὶν ἤδη ἄνδρες ἄξιοι τῆς ἀρχῆς ταύτης, γένοιτ᾽ ἄν. εἰ δ᾽ ἐπὶ τὸ παιδεῦσαι δεῖ τινος, οὔτε ὁ παιδεύσων οὔτε οἱ παιδευθησόμενοι ὡς ἐγᾦμαι εἰσὶν ὑμῖν. ἀλλὰ τὸ λοιπὸν τοῖς θεοῖς εὔχεσθαι. καὶ γὰρ σχεδόν τι καὶ αἱ ἔμπροσθεν πόλεις, οὕτω κατεσκευάσθησαν. καὶ ἔπειτα εὖ ᾤκησαν, ὑπὸ ξυμβάσεων πραγμάτων μεγάλων καὶ κατὰ πόλεμον καὶ κατὰ τὰς ἄλλας πράξεις γιγνομένων. ὅταν ἐν τοιούτοις καιροῖς, ἀνὴρ καλός τε καὶ ἀγαθὸς ἐγγένηται μεγάλην δύναμιν ἔχων. τὸ δ᾽ ἔμπροσθεν αὐτά, προθυμεῖσθαι μὲν χρὴ καὶ ἀναγκαῖον. διανοεῖσθαι μέντοι αὐτὰ οἷα λέγω καὶ μὴ ἀνοηταίνειν οἰομένους τι ἑτοίμως διαπράξασθαι δεῖν. εὐτύχει.

Πλάτων Ἀρχύτᾳ ταραντίνῳ εὖ πράττειν.

τ Α μὲν παρὰ σοῦ ἐλθόνθ' ὑπομνήματα, θαυμαστῶς ὡς ἄσμενοί τε ἐλάβομεν. καὶ τοῦ γράψαντος αὐτὰ ἠγάσθημεν ὡς ἔνι μάλιστα. καὶ ἔδοξεν ἡμῖν εἶναι ὁ ἀνὴρ ἄξιος ἐκείνων τῶν πάλαι προγόνων. λέγονται γὰρ δὴ οἱ ἄνδρες οὗτοι μυρέοι εἶναι. οὗτοι, δ' ἦσαν τῶν ἐπὶ λαομέδοντος ἐξαναστάντων τρώων, ἄνδρες ἀγαθοὶ, ὡς ὁ παραδεδομένος μῦθος δηλοῖ. τὰ δὲ παρ' ἐμοὶ ὑπομνήματα περὶ ὧν ἐπέστειλας, ἱκανῶς μὲν οὔπω ἔχει. ὡς δέ ποτε τυγχάνει ἔχοντα, ἀπέσταλκά σοι. περὶ δὲ τῆς φυλακῆς, ἀμφότεροι συμφωνοῦμεν. ὥστ' οὐδὲν δεῖ παρακελεύεσθαι.

Πλάτων διονυσίῳ τυράννῳ συρακουσῶν, εὖ πράττειν.

α Ρχή σοι τῆς ἐπιστολῆς ἔστω ἅμα ξύμβολον ὅτι παρ' ἐμοῦ ἐστι, τοὺς λοκροὺς ποτὲ ἑστιῶν νεανίσκους πόρρω κατακείμενος ἀπ' ἐμοῦ, ἀνέστης παρ' ἐμὲ καὶ φιλοφρονούμενος εἶπες εὖ τι ῥῆμα ἔχον ὡς ἐμοί τε ἐδόκει καὶ τῷ παρακατακειμένῳ. ἦν δ' οὗτος, τῶν καλῶν τις. ὃς τότε εἶπεν, ἦ που πολλὰ ὦ διονύσιε εἰς σοφίαν ὠφελῇ ὑπὸ πλάτωνος. σὺ δ' εἶπες, καὶ εἰς ἄλλα πολλά. ἐπεὶ καὶ ἀπ' αὐτῆς τῆς μεταπέμψεως, ὅτι μετεπεμψάμην αὐτὸν, δι' αὐτὸ τοῦτο εὐθὺς ὠφελήθην. τοῦτ' οὖν διασωστέον, ὅπως ἂν αὐξάνηται ἀεὶ ἡμῖν ἡ ἀπ' ἀλλήλων ὠφέλεια. καὶ ἐγὼ νῦν τοῦτ' αὐτὸ παρασκευάζων τῶν τε πυθαγορείων πέμπω σοι καὶ τῶν διαιρέσεων, καὶ ἄνδρα, ὥσπερ ἐδόκει ἡμῖν τότε, ᾧ γε σὺ καὶ ἀρχύτης, εἴπερ ἥκει παρὰ σὲ ἀρχύτης, χρῆσθαι δύναισθ' ἄν. ἔστι δὲ ὄνομα μὲν, Ελίκων.

τὸ δὲ

τὸ δὲ γένος, ἐκ κυζίκου. μαθητὴς δὲ, εὐδόξου, καὶ περὶ πάντα τὰ
ἐκείνου, πάνυ χαριέντως ἔχων. ἔτι δὲ καὶ τῶν ἰσοκράτους μαθη-
τῶν τῷ ξυνέχους· καὶ πολυξένῳ τῶν βρύσωνός τινι ἑταίρων. ὃ δὲ
σπάνιον ἐπὶ τούτοις, οὔτε ἄχαρίς ἐστιν ἐντυχεῖν, οὔτε κακοήθει ἔοι
κεν. ἀλλὰ μᾶλλον ἐλαφρὸς καὶ εὐήθης δόξειεν ἂν εἶναι. δεδιὼς δὲ λέ
γω ταῦτα, ὅτι ὑπὲρ ἀνθρώπου δόξαν ἀποφαίνομαι οὐ φαύλου
ζώου ἀλλ' εὐμεταβόλου, πλὴν πάνυ ὀλίγων τινῶν καὶ εἰς ὀλίγα.
ἐπεὶ καὶ περὶ τούτου φοβούμενος καὶ ἀπιστῶν, ἐσκόπουν αὐτός τε
ἐντυγχάνων. καὶ ἐπυνθανόμην τῶν πολιτῶν αὐτοῦ, καὶ οὐδεὶς οὐ-
δὲν φλαῦρον ἔλεγε τὸν ἄνδρα· σκόπει δὲ καὶ αὐτὸς, καὶ εὐλαβοῦ. μά
λιστα μὲν οὖν, ἂν καὶ ὁπωστιοῦν σχολάζῃς, μάνθανε παρ' αὐτοῦ καὶ
τἆλλα φιλοσόφει. εἰ δὲ μὴ, ἐκδίδαξαι τινά. ἵνα κατὰ σχολὴν μανθά
νων, βελτίων γίγνῃ καὶ εὐδοξῇς, ὅπως τὸ δι' ἐμὲ ὠφελεῖσθαί σε, μὴ
ἀνιῇ. καὶ ταῦτα μὲν δὴ ταύτῃ. περὶ δὲ ὧν ἐπέστελλές μοι ἀποπέμ
πειν σοι, τὸν μὲν ἀπόλλω ἐποιησάμην τε. καὶ ἄγει σοι λεπτίνης,
νέου καὶ ἀγαθοῦ δημιουργοῦ. ὄνομα δ' ἐστὶν αὐτῷ λεωχάρης. ἕτερον
δὲ παρ' αὐτῷ ἔργον ἦν, πάνυ κομψὸν ὡς ἐδόκει. ἐπριάμην οὖν
αὐτὸ βουλόμενός σου τῇ γυναικὶ δοῦναι, ὅτι μου ἐπεμελεῖτο καὶ
ὑγιαίνοντος καὶ ἀσθενοῦντος, ἀξίως ἐμοῦ τε καὶ σοῦ. δὸς οὖν αὐτῇ,
ἂν μή τι σοὶ ἄλλο δόξῃ. πέμπω δὲ καὶ οἴνου γλυκέως δώδεκα σταμνία
τοῖς παισὶ, καὶ μέλιτος, δύο. ἰσχάδων δὲ, ὕστερον ἤλθομεν τῆς ἀ
ποθέσεως. τὰ δὲ μύρτα ἀποτεθέντα κατεσάπη. ἀλλ' αὖθις βέλ
τιον ἐπιμελησόμεθα. περὶ δὲ φυτῶν, λεπτίνης σοι ἐρεῖ. ἀργύριον
δ' εἰς ταῦτα ἕνεκά τε τούτων καὶ εἰς φόρους τινὰς εἰς τὴν πόλιν, ἔλαβον
παρὰ λεπτίνου. λέγων ἅ μοι ἐδόκει εὐσχημονέστατα ἡμῖν εἶναι καὶ ἀληθῆ

λέγειν· ὅτι ἡμέτερον εἴη ὃ εἰς τὴν ναῦν ἀνηλώσω μὲν τὴν λευκα-
δίαν, σχεδὸν ἑκκαίδεκα μνᾶς. τοῦτ' οὖν ἔλαβον. καὶ λαβὼν αὐτός τε ἐ-
χρησάμην καὶ ὑμῖν ταῦτα ἀπέπεμψα. τὸ δὴ μετὰ τοῦτο, περὶ χρη-
μάτων ἄκουε ὅπως σοι ἔχει, περί τε τὰ σὰ ἀθήνησι, καὶ περὶ τὰ ἐμά. ἐ-
γὼ τοῖς σοῖς χρήμασιν ὥσπερ τότε σοι ἔλεγον χρήσομαι, καθάπερ
τοῖς τῶν ἄλλων ἐπιτηδείων. χρῶμαι δὲ, ὡς ἂν δύνωμαι ὀλιγίστοις, ὅ-
σα ἀναγκαῖα ἢ δίκαια ἢ εὐσχήμονα ἐμοί τε δοκεῖ. καὶ παρ' οὗ ἂν λαμ-
βάνω. ἐμοὶ δὴ τοιοῦτον νῦν ξυμβέβηκεν. εἰσί μοι ἀδελφιδῶν θυγα-
τέρες τῶν ἀποθανουσῶν τότε, ὅτ' ἐγὼ οὐκ ἐστεφανούμην. σὺ δ' ἐκέλευ-
ες, τέτταρες. ἡ μὲν, νῦν ἐπίγαμος. ἡ δὲ ὀκταέτις. ἡ δὲ σμικρὸν πρὸς
τρισὶν ἔτεσιν. ἡ δὲ οὔπω ἐνιαυσία. ταύτας ἐκδοτέον ἐμοί ἐστι καὶ
τοῖς ἐμοῖς ἐπιτηδείοις, αἷς ἂν ἐγὼ ἐπιβιῶ. αἷς δ' ἂν μὴ, χαιρόντων.
καὶ ὧν ἂν γένωνται οἱ πατέρες αὐτῶν ἐμοῦ πλουσιώτεροι οὐκ ἐκ-
δοτέον. τὰ δὲ νῦν ἐγὼ αὐτῶν εὐπορώτερος. καὶ τὰς μητέρας δὲ
αὐτῶν ἐγὼ ἐξέδωκα. καὶ μετ' ἄλλων καὶ μετὰ δίωνος. ἡ μὲν οὖν
σπευσίππῳ γαμεῖται, ἀδελφῆς οὖσα αὐτῷ θυγάτηρ. δεῖ δὴ ταύ-
τῃ οὐδὲν πλέον, ἢ τριάκοντα μνῶν. μέτριαι γὰρ αὗται ἡμῖν προῖ-
κες. ἔτι δὲ ἐὰν ἡ μήτηρ τελευτήσῃ ἡ ἐμὴ, οὐδὲν ἂν πλείονος ἢ δέ-
κα μνῶν δέοι ἂν, εἰς τὴν οἰκοδομίαν τοῦ τάφου. καὶ περὶ ταῦτα, τὰ
μὲν ἐμὰ ἀναγκαῖα σχεδόν τι ἐν τῷ νῦν ταῦτά ἐστιν. ἐὰν δέ τι ἄλ-
λο γίγνηται ἴδιον ἢ δημόσιον ἀνάλωμα διὰ τὴν παρὰ σὲ ἄφιξιν,
ὥσπερ τότε ἔλεγον δεῖ ποιεῖν, ἐμὲ μὲν διαμάχεσθαι, ὅπως ὡς
ὀλίγιστον γίγνηται τὸ ἀνάλωμα. ὃ δ' ἂν μὴ δύνωμαι, σὴν εἶναι τὴν δα-
πάνην. τὸ δὴ μετὰ ταῦτα λέγω περὶ τῶν σῶν αὖ χρημάτων τῶν ἀ-
θήνησι τῆς ἀναλώσεως, ὅτι πρῶτον μὲν ἐάν τι δέῃ ἐμὲ ἀναλίσκειν

εἰς χορηγίαν ἤ τι τοιοῦτον, οὐκ ἔστι σοι ξένος οὐδεὶς ὅστις δώσει ὡς ᾠόμεθα. ἐπεὶ τὸ αὔτι σοι αὐτῷ διαφέρει μέγα, ὥστε ἀναλωθὲν μὲν ἤδη ὀνῆσαι. μὴ ἀναλωθὲν δὲ ἀλλ' ἐγχρονισθὲν ἕως ἄν τις παρὰ σοῦ ἔλθῃ, βλάψαι πρὸς τῷ χαλεπῷ τοιοῦτόν σοι ἐστὶ καὶ αἰσχρόν. ἐγὼ γὰρ δὴ ταῦτά γε ἐζήτασα, παρ' ἀνδρομήδη τὸν αἰγινήτην πέμψας ἔραστον, παρ' οὗ ἐκέλευες τοῦ ὑμετέρου ξένου εἴ τι δεοίμην λαμβάνειν, βουλόμενος καὶ ἄλλα μείζονα ἃ ἐπέστελλες πέμπειν. ὁ δὲ, εἶπεν εἰκότα καὶ ἀνθρώπινα, ὅτι καὶ πρότερον ἀναλώσας τῷ πατρί σου μόλις κομίσαιτο. καὶ νῦν, σμικρὰ μὲν δοίη ἄν. πλείω δὲ, οὐ. οὕτω δὴ παρὰ λεπτίνου ἔλαβον. καὶ τοῦτό γε, ἄξιον ἐπαινέσαι λεπτίνην οὐχ ὅτι ἔδωκεν, ἀλλ' ὅτι προθύμως. καὶ τὰ ἄλλα περὶ σὲ καὶ λέγων καὶ πράττων, ὅτι οἷός τ' ἦν ἐπιτήδειος, φανερὸς ἦν. χρὴ γὰρ καὶ τὰ τοιαῦτα καὶ τἀναντία τούτων, ἐμὲ ἀπαγγέλλειν, ὁποῖός τις ἂν ἕκαστος ἐμοὶ φαίνηται περὶ σέ. τὸ δ' οὖν περὶ τῶν χρημάτων ἐγώ σοι παρρησιάσομαι. δίκαιον γὰρ καὶ ἅμα ἐμπείρως ἔχων, τῶν παρὰ σοὶ λέγοιμ' ἄν. οἱ προσαγγέλλοντες ἑκάστοτέ σοι, ὅτι ἂν οἴωνται ἀνάλωμα εἰσαγγέλλειν οὐκ ἐθέλουσι προσαγγέλλειν, ὡς δὴ ἀπεχθησόμενοι. ἔθιζε οὖν αὐτοὺς καὶ ἀνάγκαζε φράζειν, καὶ ταῦτα καὶ τὰ ἄλλα. σὲ γὰρ δεῖ εἰδέναι τε τὰ πάντα κατὰ δύναμιν, καὶ κριτὴν εἶναι καὶ μὴ φεύγειν τὸ εἰδέναι. πάντων γὰρ ἄριστόν σοι ἔσται πρὸς τὴν ἀρχήν. τὰ γὰρ ἀναλώματα ὀρθῶς ἀναλισκόμενα καὶ ὀρθῶς ἀποδιδόμενα, πρός τε τἆλλα καὶ πρὸς αὐτὴν τὴν τῶν χρημάτων κτῆσιν. καὶ σὺ δὴ φὴς ἀγαθὸν εἶναι, καὶ φήσεις. μὴ οὖν σε διαβαλλόντων πρὸς τοὺς ἀνθρώπους οἱ κήδεσθαί σου φάσκοντες. τοῦτο γὰρ οὔτε ἀγαθὸν οὔτε καλὸν πρὸς δόξαν σοι δοκεῖ ξύμβολον εἶναι. τὰ μετὰ ταῦτα, περὶ δίωνος λέγοι

μὴ αὖ. τοῦ μὲν ἄλλου οὔπω ἔχω λέγειν, πρὶν ἂν παρὰ σοῦ ἔλθωσιν αἱ ἐπιστολαὶ ὥσπερ ἔφης. περὶ μέντοι ἐκείνων ὧν οὐκ εἴας μεμνῆσθαι πρὸς αὐτὸν, οὔτε ἐμνήσθην, οὔτε διελέχθην. ἐξεπειρώμην δὲ, εἴτε χαλεπῶς εἴτε ῥαδίως οἴσει γινομένων. καί μοι ἐδόκει οὐκ ἠρέμα ἂν ἀχθεσθῆ εἰ γίγνοιτο. τὰ δ᾽ ἄλλα περὶ σὲ καὶ ἔργῳ καὶ λόγῳ, μέτριός μοι δοκεῖ εἶναι Δίων. Κρατίνῳ, τῷ Τιμοθέου μὲν ἀδελφῷ, ἐμῷ δὲ ἑταίρῳ, θώρακα δωρησώμεθα ὁπλιτικὸν τῶν μάλα καλῶν τῶν πεζῶν. καὶ ταῖς Κέβητος θυγατράσι, χιτώνια τρία ἑπτάπηχη μὴ τῶν πολυτελῶν τῶν ἀμοργίνων, ἀλλὰ τῶν σικελικῶν τῶν λινῶν. ἐπιεικῶς δὲ γινώσκεις τοὔνομα Κέβητος. γεγραμμένος γάρ ἐστιν ἐν τοῖς σωκρατείοις λόγοις, μετὰ Σιμμίου Σωκράτει διαλεγόμενος ἐν τῷ περὶ ψυχῆς λόγῳ. ἀνὴρ, πᾶσιν ἡμῖν οἰκεῖός τε καὶ εὔνους. περὶ δὲ δὴ τοῦ ξυμβόλου τοῦ περὶ τὰς ἐπιστολὰς, ὅσας τε ἂν ἐπιστέλλω σπουδῇ καὶ ὅσας ἂν μὴ, οἶμαι μέν σε μεμνῆσθαι. ὅμως δὲ ἐννόει καὶ πάνυ πρόσεχε τὸν νοῦν. πολλοὶ γὰρ οἱ κελεύοντες γράφειν, οὓς οὐ ῥᾴδιον φανερῶς διωθεῖσθαι. τῆς μὲν γὰρ σπουδαίας ἐπιστολῆς, θεὸς ἄρχει. θεοὶ δὲ τῆς ἧττον. οἱ πρέσβεις, καὶ ἐδέοντο ἐπιστέλλειν σοι, πάνυ γὰρ προθύμως σέ πανταχοῦ καὶ ἐμὲ ἐγκωμιάζουσι, καὶ οὐχ ἥκιστα Φίλαγρος, ὃς τότε τὴν χεῖρα ἠσθένει. καὶ Φιλαΐδης παρὰ βασιλέως ἥκων τοῦ μεγάλου, ἔλεγε περὶ σοῦ. εἰ δὲ μὴ πάνυ μακρᾶς ἐπιστολῆς ἦν, ἔγραψα ἂν ἃ ἔλεγε. νῦν δὲ Λεπτίνου, πυνθάνου. ἂν τὸν θώρακα ἢ ἄλλο τι ὧν ἐπιστέλλω πέμπῃς, ἂν μὲν αὐτὸς ἔχειν βούλῃ. εἰ δὲ μὴ, Τηρίλλῳ δός. ἔστι δὲ τῶν ἀεὶ πλεόντων ἡμέτερος ἐπιτήδειος, καὶ τὰ ἄλλα καὶ περὶ φιλοσοφίαν χαρίεις. Τίσωρος δ᾽ ἐστὶ κηδεστής. ὃς τότε ὅθ᾽ ἡμεῖς ἀπεπλέομεν, ἐπολιανόμει. ἔρρωσο. καὶ φιλοσόφει. καὶ τοὺς ἄλλους προτρέπου τοὺς

νεωτέρους

νεωτέρους, καὶ τοὺς συσφαιριστὰς ἀσπάζου ὑπὲρ ἐμοῦ· καὶ πρὸς τά τε τοῖς τε ἄλλοις, καὶ Ἀριστοκρίτῳ, ἐάν τις παρ' ἐμοῦ λόγος, ἢ ἐπιστολὴ παρὰ σὲ ἴῃ, ἐπιμελεῖσθαι ὅπως ὡς τάχιστα σὺ αἴσθῃ· καὶ ὑπομιμνήσκειν σε, ἵνα ἐπιμελῇ τῶν ἐπισταλέντων. καὶ νῦν Λεπτίνῃ τῆς ἀποδόσεως τοῦ ἀργυρίου μὴ ἀμελήσῃς, ἀλλ' ὡς τάχιστα ἀπόδος· ἵνα καὶ οἱ ἄλλοι πρὸς τοῦτον ὁρῶντες, προθυμότεροι ὦσιν ἡμῖν ὑπηρετεῖν. ἰατροκλῆς ὁ μετὰ μυρωνίδου τότε ἐλεύθερος ἀφεθεὶς ὑπ' ἐμοῦ, πλεῖ νῦν μετὰ τῶν πεμπομένων παρ' ἐμοῦ. ἔμμισθον οὖν που αὐτὸν κατάστησον, ὡς ὄντα σοι εὔνουν· καὶ ἄν τι βούλῃ αὐτῷ χρῶ· καὶ τὴν ἐπιστολὴν ἢ αὐτὴν ἢ εἰ ὑπόμνημα αὐτῆς σώζετοι καὶ αὐτὸς ἴσθι.

Τῶν πλάτωνος ἐπιστολῶν τέλος.

ΦΙΛΙΠΠΩι.

Ι τὰς ἡγεμονίας ἀναλαμβάνοντες πρὸς δυσφημί-
ὁ αν τῶν ἀρχομένων οὐχ ὑπὸ τῆς τύχης ἀλλ' ὑπὸ τῆς
φύσεως προηγμένοι, ταῖς ἀρχαῖς ἐμπιστεύονται,
αἳ μεταπίπτειν εἰώθασιν· ἀλλ' ἐπὶ ταῖς ἀρεταῖς
μέγα φρονοῦσιν, δι' ὧν καὶ σφόδρα σοφῶς πολιτευόμενοι. οὐδὲν γὰρ τῶν ἐν ἀνθρώποις βέβαιον καὶ ἰσχυρὸν οὐδ' ὃ μέχρι τῆς ἑσπέρας ἥλιος τραχείᾳ ῥοπῇ συναλλοιεῖ καὶ μεταφέρει. Ποικίλλουσα τοὺς βίους ἀπαρτίας, καθάπερ τραγῳδίας ὑποκρίσει τοῖς ἡμετέροις κακοῖς ἡ φύσις μετασκευάζεται. εἴπερ μὴ διεψεύμεθα τῆς ἀληθείας· ὅτι τὸν ἄλλον τρόπον ὥσπερ τῶν ἐκ γῆς φυομένων ἕκαστον, καὶ τοὺς ἄνδρας ἀνθεῖν ποτε συμβαίνει· καὶ τὰς ἀκμὰς ἐν χρόνοις τισὶν ἀναλαμβανομένους πολὺ τῶν ἄλλων διαφέρειν· διὸ πειρῶ μήτε τῆς ἑλλάδος τυραννικώτερον προΐστασθαι, μήτε τοῖς κτήμασι στιβαρώτερον. τὸ μὲν γὰρ προπετείας ἐστὶ σημεῖον. τὸ δὲ ὁμολογουμένης ἀβουλείας τεκμήριον. δεῖ γὰρ τοὺς νοῦν ἔχοντας τῶν δυναστευόντων μὴ διὰ τὰς ἀρχὰς ἀλλὰ διὰ τῶν ἀρχῶν θαυμάζεσθαι. ἵνα τῆς τύχης μεταπεσούσης τῶν αὐτῶν ἐγκωμίων ἀξιῶνται. τὰ δ' ἄλλα εὖ πράττε. ψυχὴν πρὸς φιλοσοφίαν, σῶμα δὲ πρὸς ὑγείαν ἄγων καὶ ἐπιμελούμενος.

Ἀλεξάνδρῳ.

Πορῶ τίνων ἢ ποίων ἀρχὴν με λάβοι πρὸς σέ. ἐφ' ἃ γὰρ ἂν
α ἐπισκοπῶν ἐπιβάλλω τῇ διανοίᾳ, πάντα μοι φαίνεται
μεγάλα καὶ θαυμαστά. ἀλήθης οὐδὲν ἄξιον ὁρῶ. μνήμης ἢ οἰκεῖα καὶ προτρέψεως. ὧν οὐδὲν οὐδ' εἷς ἀμαυρώσει χρόνος. αἱ γὰρ καλαὶ τῶν διδασκάλων παραινέσεις ἀπροτρέψας θεατὴν ἔχουσι τὸν αἰῶνα.

διὸ

διὸ πειρῶ τὴν ἀρχὴν μὴ εἰς ὕβριν, ἀλλ' εἰς εὐεργεσίαν κατατίθεσθαι πρὸς ἀρχήν. ἧς οὐδὲν μεῖζον τῶν ἐν βίῳ ὑπάρχειν πέφυκε. διὸ καὶ τὸ θνητὸν τῆς φύσεως πολλάκις ὑπὸ τοῦ χρόνου διαλυόμενον ἄφθαρτον διὰ τὸ μέγεθος τῶν ἔργων κέκτηται τὴν μνήμην. τούτων οὖν τὴν ἔννοιαν ἔχε. οὐ γὰρ ἀλόγως ἤχθησαν ὡς ἐνίοις οἱ ἀτόπως καὶ τὰς γνώμας διετέθησαν. σοὶ καὶ γένος ἔντιμον. καὶ βασιλεία πατρῷος καὶ παιδεία βέβαιος. καὶ δόξα περίβλεπτος. καὶ ὅσον ταῖς ἀφορμαῖς τῆς τύχης διαφέρεις, τοσοῦτον καὶ ταῖς ἀρεταῖς τῶν καλῶν προσήκει σε διενεγκεῖν. τὰ δ' ἄλλα πράττε μὲν τὰ ξυμφέροντα, ἐπιτέλει δὲ τὰ δόξαντα.

Φιλίππῳ.

Οἱ πολλοὶ τῶν φιλοσόφων τὴν εὐεργεσίαν θεῷ ἰσότιμον παρεσκευάσαν. ὡς γὰρ ἁπλῶς εἰπεῖν χάριτος ἀμοιβὴ καὶ δόσις συνέχει τοὺς τῶν ἀνθρώπων βίους, τῶν μὲν διδόντων, τῶν δὲ λαμβανόντων. τῶν δ' αὖ πάλιν ἀνταποδιδόντων. διὸ καλὸν καὶ δίκαιόν ἐστι πάντας μὲν τοὺς ἀτυχοῦντας ἐλεεῖν. οἶκτος μὲν γὰρ ἡμέρου ψυχῆς ἐστι σημεῖον. χαλεπότης δὲ ἀπαιδεύτου. αἰσχρὸν γὰρ καὶ σχέτλιον ἀρετὴν ἀτυχοῦσαν περιορᾶν. ὅθεν ἐπαινῶ καὶ τὸν ἡμέτερον γνώριμον Θεόφραστον λέγοντα τὴν χάριν ἀμεταμέλητον εἶναι. καὶ καλὸν καρπὸν φέρειν, τὸν παρὰ τῶν εὖ παθόντων ἔπαινον. διόπερ δεῖ τοὺς νοῦν ἔχοντας τῶν ἀνθρώπων εἰς πολλοὺς αὐτὴν κατατίθεσθαι νομίζοντας χωρὶς τῆς εὐφημίας, ἔρανόν τινα τοῦτον αὐτοῖς ὑπάρξειν ἐν ταῖς μεταβολαῖς τῶν πραγμάτων, καὶ εἴ γε μὴ πάντας, ἀλλ' ἕνα τινὰ τῶν εὐεργετημάτων ἀποδώσειν τὴν χάριν. ὅθεν πειρῶ πρόθυμος μὲν εἶναι ταῖς εὐεργεσίαις

αις. ἔποχος δὲ τοῖς θυμοῖς. τὸ μὲν γὰρ βασιλικόν τε καὶ ἥμερον, τὸ δὲ βάρβαρόν τε καὶ στυγητόν. τὰ δ᾽ ἄλλα καθὼς ἂν δοκιμάζῃς πράττε μὴ παρορῶν τὰς λυσιτελεῖς ψήφους.

Τοῦ αὐτοῦ

Ιδιάραντες τῶν βασιλέων ἐπὶ φρονήσει, καὶ τοὺς ὑπεροχοῦς τῶν ἄστρων ψαύσαντες, εὐδοκιμοῦσιν, οὐ δὲ πρὸς τοὺς αὐτοὺς πολιτευόμενοι καιρούς. ἀλλὰ καὶ θεωροῦντες τὸ τῆς τύχης ἄστατον, θησαυρίζουσι τὴν χάριν πρὸς ἑκάτερα. ἐν μὲν ταῖς εὐπραγίαις τιμῆς βουλόμενοι μεταλαμβάνειν. τιμὴ γὰρ οἰκεῖον ἀρετῆς ἐστιν. ἐν δὲ τοῖς συμπτώμασι βοηθείας. αἱ γὰρ συμφοραὶ τἀναγκαῖα κρίνουσι τῶν καλῶν πρότερον. σαφέστατος γὰρ εὐνοίας ἔλεγχος ὁ τῆς τύχης καιρός. ἀπαιτεῖ γὰρ οὐ λόγους, ἀλλὰ πράξεις δεόντως. ἡ γὰρ τῶν εὐνοούντων ὄψις ὥσπερ ἐν πελάγει χειμαζομένῳ παρεφάνη γῆ. πᾶσα δὲ ὡς ἔοικεν ἐν ἐρήμῳ πεσοῦσα τύχῃ, σκοπὸς ἀληθὴς γίνεται τοῖς πολεμεῖν ἢ ἀδικεῖν ἢ συκοφαντεῖν αἱρουμένοις. μόνη δὲ τῶν σπουδαίων διαυτὴ τὸ τῆς τύχης εὐκίνητον οὐκ ἀπαρνεῖται. φέρουσα δὲ λόγος πᾶν τὸ πρόσωπον τῶν κατὰ πλάτωνα κρειττόνων εὖ διατίθεται. διὸ καὶ τὴν ταχύτητα τῶν πραγμάτων εὐλαβοῦ. καὶ τὸν κύκλον τῆς μεταπτώσεως ἡγοῦ. καὶ τὰς ἐν τῷ ζῆν ψήφους λογίζου. πολλὰ γὰρ ἡ ταὐτομάτου φορὰ νομίζει περὶ βίων καὶ ῥοπὰς αὐτονόμους ποιεῖ. τοῖς μὲν ἀγνοοῦσι μετάνοιαν δίδου. τοῖς δὲ εὐνοοῦσι τὰς χάριτας προχείρους νέμε. ταῦτα γὰρ πράττων οὐχ ἅπαξ ἀλλὰ διόλου συντηρῶν, ἀσφαλέστατα καὶ ἀκίνδυνα τὰ τῆς ἡγεμονίας ἕξεις μέλαθρα, ὡς μὲν ὑπὲρ μεγάλων ὀλίγα. ὡς δὲ πρὸς σὲ, πάντα σχεδὸν ἔρυται.

η Πρόχειρος ἀδικία τῆς πολυχρονίου χάριτος λυσιτελέστερον πέφυκεν ὑπάρχειν. ἡ μὲν γὰρ ὀλιγοχρόνιον ἔχει τὴν μνήμην καὶ τὴν βλάβην. ἡ δὲ γηράσκει ὡς ἂν πεποιημένη τὴν δυσμένειαν ἔργον ἀοίδιμον παρασκευάζειν. καί τοι πολλάκις δώρῳ λοιπούμενοι γαληνισμὸν εὑρόμενό τι. καὶ μεθείσαντες τρικυμίας σάλον τῆς διανοίας εὔδιον μὲν πορθμόν. διὸ φημὶ δεῖν τὴν ἑταιρείαν μάλιστα μὲν μὴ ἀδικεῖν εὐδοκεῖν καὶ εὔλογον ἔχειν πρόφασιν. εἰ δὲ μή γε ἀκουσίως τοῦτο πράξασιν, θᾶττον διαλύεσθαι τὴν ἔχθραν. τὸ γὰρ μηδὲν ἀδικεῖν ἴσως ὑπὲρ ἄνθρωπον. τὸ δὲ πλανηθέντα διασώσασθαι ἣν ἐπιφέρῃ τις μέμψιν, καλῆς τε σφόδρα εὐσταθούσης κρίσεως ἴδιον ὑπάρχει. τὰ δ' ἄλλα ἔρρωσο.

Φίλιππος Ὀλυμπιάδι.

α Ποδέχομαι τὴν σὴν φρόνησιν καὶ τὴν πρόνοιαν τοῦ συμφέροντος. ὅτι τὸ κατὰ φύσιν συγγενές, οὐ φύσει φιλόστοργος, ἀλλ' ἀρετῇ κρίνασα δοκιμάζεις. οὕτω γὰρ οἶμαι τε ἡμᾶς ἀφροντιστοῦντας τοῦ καλοῦ, ἀναγκάσεις καὶ τὸν τῶν καλῶν ἀναλαμβάνειν ζῆλον. θησαύρισμα δὲ ἐστὶν ἀρετῆς τερπνόν τι κομιζούσης τῷ βίῳ δι' ὅλου, μὴ τῇ συγγενείᾳ χαρίζεσθαι τὸ φιλόστοργον ἀλλὰ τῷ τοῦ γένους ἀξιώματι μεταδιδόναι τῆς φιλανθρωπίας. ὁ μὲν γὰρ πολλάκις κατὰ φύσιν ὑπάρχων, εὐθὺς καὶ τὴν φύσιν τῶν γεγεννηκότων οὖσαν σπουδαίαν ὑβρίζειν εἴωθεν. ὁ δὲ μηδεμιᾶς συγγενείας κοινωνήσας ἐνίοτε διὰ τὸν παρὰ φύσιν κόσμον τὴν φύσιν ηὔξησε. μηδὲν οὖν ἀνάξιον τοῦ γένους καὶ τῆς πρὸς ἡμᾶς εὐνοίας φρόνει. ἔτι δὲ καὶ τῆς περὶ βίον κοσμιότητος ἀντέχου. καὶ πρᾶττε πάντα φιλίππου μὲν ἄξια, ὀλυμπιάδος δὲ οὐκ ἀλλότρια. ὁ γὰρ τῆς διανοίας ὄγκος, πρὸς τὸ μὴ βλέπειν τι τῶν ἀναγκαίων, ὄγκος μὲν κακῶν.

φθόνος δὲ ἀγαθῶν. ἄνευ γὰρ νοῦ καὶ συνέσεως οὔθ' αἱ πράξεις ὄνησιν φέρουσιν οὔθ' αἱ δυνάμεις ὠφέλιμοι καθεστᾶσι. διὸ δεῖ πρότερον τὴν χρῆσιν ἢ τὴν κτῆσιν τῶν ἀγαθῶν σκοπεῖν, καὶ τότε πράττειν τοῖς μεγίστοις καὶ πλείστοις κτήμασι χρησαμένους. τὸ γὰρ μὴ κεκτῆσθαι πλοῦτον, βλάβην οὐ κομίζει τηλικαύτην. τὸ δὲ τοῖς οὖσι κακῶς κεχρῆσθαι, ἀπόλλυσι τὸν ὄντως φασὶ κεχρημένον βίον. ἔχουσα τοίνυν ταῦτα κατὰ νοῦν τῆς ψυχῆς καὶ μεθημέραν σκόπει τὸ συμφέρον ταῖς τῆς ἡγεμονίας προσόδοις. οὕτω γὰρ ἀναγκαῖόν ἐστι τὴν ἀρχὴν πλείστην καὶ μεγίστην ἐπίδοσιν λήψεσθαι. ὅταν ὁ μὲν οἶκος ἀρετῆς οἰκεῖος ᾖ. ὁ δὲ τοῦ χρυσοῦ δεσπόζων μὴ δέηται καλοκαγαθίας. τὰ δ' ἄλλα προνοοῦ τοῦ συμφέροντος.

Φίλιππος Ἀριστοτέλει εὖ πράττειν.

Σθι μοι γεγονότα υἱόν. πολλὴν οὖν τοῖς θεοῖς χάριν ἔχω, οὐχ οὕτως ἐπὶ τῇ γεννήσει τοῦ παιδός, ὡς ἐπὶ τῷ κατὰ τὴν σὴν ἡλικίαν αὐτὸν γεγονέναι. ἐλπίζω γὰρ αὐτὸν ὑπὸ σοῦ τραφέντα καὶ παιδευθέντα ἄξιον ἔσεσθαι καὶ ἡμῶν καὶ τῆς τῶν πραγμάτων διαδοχῆς.

Ἀλέξανδρος Ἀριστοτέλει εὖ πράττειν.

Υκ ὀρθῶς ἐποίησας ἐκδοὺς τοὺς ἀκροαματικοὺς τῶν λόγων. τίνι γὰρ ἔτι διοίσομεν ἡμεῖς τῶν ἄλλων, εἰ καθ' οὓς ἐπαιδεύθημεν λόγους, οὗτοι πάντων ἔσονται κοινοί. ἐγὼ δὲ βουλοίμην ἂν ταῖς περὶ τὰ ἄριστα ἐμπειρίαις ἢ ταῖς δυνάμεσι διαφέρειν.

Ἀριστοτέλης Ἀλεξάνδρῳ εὖ πράττειν.

Γράψας μοι περὶ τῶν ἀκροαματικῶν λόγων οἰόμενος δεῖν αὐτοὺς φυλάττειν ἐν ἀπορρήτοις. ἴσθι οὖν αὐτοὺς ἐκδεδομένους καὶ μὴ ἐκδεδομένους. ξυνετοὶ γάρ εἰσι μόνοις τοῖς ἡμῶν ἀκούσασιν.

ΤΕΛΟΣ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΣΤΟΛΑΙ. ΒΑΣΙΛΕΥΣ ΒΑΣΙΛΕΩΝ ΜΕΓΑΣ ΑΡΤΑΞΕΡΞΗΣ ΠΑΙΤΩ ΧΕΙΡΕΙΝ.

Οὖσος προσεπέλασεν ἡ καλουμένη λοιμικὴ τοῖς στρατεύμασιν ἡμῶν· καὶ τὰ πολλὰ πολλάκις ποιησάντων ἡμῶν ἔνδοσιν οὐκ ἔδωκεν. ὅθεν ἀξιῶ παντοίως καὶ πᾶσαις ταῖς παρ' ἐμοῦ διδομέναις δωρεαῖς, ἤτι τῶν ἐκ φύσεως ἐπινοημάτων ἤτι τῶν ἐκ τέχνης πράξεων ἤ τινα ἑτέρου ἀνδρὸς ἑρμηνείαν δυναμένου ἰάσασθαι, πέμπε τάχος. μάστιξον ἀξιῶ τὸ πάθος, ἅλωκε δὲ κατὰ τὸν ὄχλον καὶ πολὺς ἅλις πνεῦμα μέγα τε πυκνὸν ἔχων. οὐ πολεμοῦντες πολεμούμεθα ἐχθρὸν ἔχοντες τὸν θῆρα λυμαινόμενον. τὰ ποίμνια πέφυκε. πολλοὺς δυσιάτους ἐποίησε. πικρὰ βέλη βελῶν καταπέμπει. οὐ φέρω συνώμιλον οὐκ ἔτι ἔχω μετ' ἀνδρῶν γονίμων βουλεύσασθαι. λῦε τοίνυν τὰ πάντα μὴ διαλείψας ἀγαθῇ τύχῃ. Ἔρρωσο.

Παῖτος βασιλεῖ μεγάλῳ Ἀρταξέρξῃ χαίρειν.

Α φυσικὰ παθήματα, οὐ λύει τὴν ἐπιδημίαν τοῦ λοιμικοῦ πάθους. ὅσα γὰρ ἐκ φύσεως γίνεται νοσήματα αὐτὴ ἡ φύσις ἰῆται κρίνουσα. ὅσα δὲ δι' ἐπιδημίας τέχνη τεχνικῶς κείνουσα τὴν διάθεσιν τῶν σωμάτων. ἱπποκράτης ἰητρὸς ἰῆται τοῦτο τὸ πάθος. τῷ γένει μὲν οὖν ἐστι δωριεύς. πόλεως δὲ κῶ. πατρὸς δὲ ἡρακλείδου τοῦ ἱπποκράτους, τοῦ γνωσιδίκου τοῦ νέβρου τοῦ σωστράτου, τοῦ θεοδώρου. τοῦ κλεομυττάδα. τοῦ κρισάμιδος. οὗτος θείᾳ φύσει κέχρηται. ἐκ μικρῶν καὶ ἰδιωτικῶν ἐς μεγάλα καὶ τεχνικὰ προήγαγε τὴν ἰατρικήν. γίνεται μὲν οὖν ὑμῖν ὁ θεῖος ἱπποκρά-

της, ἔνατος μὲν ἀπὸ τοῦ κρισάμιδος τοῦ βασιλέως. ὀκτωκαιδέκατος δὲ ἀπὸ ἀσκληπιοῦ. εἰκοστὸς δὲ ἀπὸ διός. μητρὸς δὲ πραξιθέας τῆς φαιναρέτης ἐκ τῆς οἰκίας τῶν ἡρακλειδῶν ὥστε κατ' ἀμφότερα τοῦ σπέρματος θεῶν ἀπόγονός ἐστιν ὁ θεῖος ἱπποκράτης. πρὸς μὲν πατρὸς ἀσκληπιάδης ὤν. πρὸς δὲ μητρὸς ἡρακλείδης. ἔμαθέ τε τὴν τέχνην παρὰ τῷ πατρὶ ἡρακλείδῃ καὶ παρὰ τῷ πάππῳ ἱπποκράτει. ἀλλὰ παρὰ μὲν τούτοις ὡς εἰκὸς τὰ πρῶτα ἐμυήθη τῆς ἰατρικῆς, ὅσα πιθανὸν ἦν καὶ τούτους εἰδέναι. τὴν δὲ σύμπασαν τέχνην αὐτὸς ἑαυτὸν ἐδίδαξε θείᾳ φύσει κεχρημένος. καὶ τοσοῦτον ὑπερβεβηκὼς τῇ τῆς ψυχῆς εὐμοιρίᾳ τοὺς προγόνους ὅσον διενήνοχεν αὐτῶν, καὶ τῇ τῆς τέχνης ἀρετῇ. καθαίρει δὲ οὐ θηρίων μὲν γένος, θηριωδῶν δὲ σωμάτων καὶ ἀγρίων πολλὴν γῆν καὶ θάλασσαν διασπείρων πανταχοῦ ὥσπερ ὁ τριπτόλεμος τὰ τῆς δήμητρος σπέρματα τὰ τοῦ ἀσκληπιοῦ βοηθήματα. τοιγαροῦν ἐκδικώτατα καὶ οὗτος ἀνιέρωται πολλαχοῦ τῆς γῆς. ἠξίωται δὲ τῶν αὐτῶν ἡρακλεῖ καὶ ἀσκληπιῷ ὑπὸ ἀθηναίων δωρεῶν. αὐτὸν μεταπέμψαι κελεύων ἀργύριον καὶ χρυσίον ὅσον ἂν βούληται δώσειν αὐτῷ. οὗτος ἐπίσταται οὐχ ἕνα τρόπον τῆς ἰάσεως τοῦ πάθους. οὗτος πατὴρ ὑγιείας. οὗτος σωτήρ. οὗτος ἀκεσώδυνος. οὗτος ἁπλῶς ἡγεμὼν τῆς θεοπρεποῦς ἐπιστήμης.

Βασιλεὺς βασιλέων μέγας Ἀρταξέρξης Ὑστάνει ἑλλησπόντου ὑπάρχῳ.

Ἱπποκράτους ἰητροῦ κῴου ἀπὸ ἀσκληπιοῦ γεγονότος ἐς ἐμὲ κλέος ἀφῖκται τῆς τέχνης. δὸς οὖν αὐτῷ χρυσὸν ὅσον ἂν βούληται, καὶ τἄλλα χορηγίην ὧν σπανίζει. καὶ πέμπε εἰς ἡμᾶς. ἔσται γὰρ ἰσότιμος περσῶν τοῖς ἀρίστοις. καὶ εἴ τις ἄλλος ἀνὴρ κατ' εὐρώπην ἀγαθός, φίλον οἴκῳ βασιλέως ποιοῦ μὴ φειδόμενος ὄλβου. ἄνδρας γὰρ εὑρεῖν δυναμένους κατὰ συμβουλὴν οὐ ῥᾴδιον.

Ὑστάνης Ἱπποκράτει ἀσκληπιαδῶν ὄντι ἀπογόνῳ χαίρειν.

Ἔπεμψεν ὁ βασιλεὺς ἐπιστολὴν σέο χρήζων, ἔπεμψά σοι. γράψον οὖν πρὸς αὐτὸν κατὰ τάχος, ἵνα πρὸς βασιλέα πέμψω. ἔρρωσο.

Ἱπποκράτης ἰητρὸς Ὑστάνει ὑπάρχῳ ἑλλησπόντου.

Πέμπε ἐς βασιλέα ὡς ὅτι τάχος γράφω ὅτι καὶ τροφῇ καὶ ἐσθῆτι καὶ οἰκήσει καὶ πάσῃ τῇ ἐς βίον οὐσίῃ ἀρκεούσῃ χρέομαι. Περσῶν δὲ ὄλβου οὔ μοι θέμις ἐπαυρέσθαι, οὐδὲ βαρβάρους ἄνδρας νούσων παύειν ἐχθροὺς ὄντας ἑλλήνων.

Ἀβδηριτῶν τῇ βουλῇ.

Πολίτης ὑμέων Μελησαγόρης ἧκεν ἐς Κῶ καὶ ἔτυχε τότε ἐοῦσα ἡ ἀνάληψις τῆς ῥάβδου ἐν ἐκείνῃ τῇ ἡμέρῃ καὶ ἐτήσιος ὡς ἴστε πανήγυρις καὶ πομπὴ πολυτελὴς ἐς κυπάρισσον, ἣν ἔθος ἄγειν τοῖς ἱερεῦσι θεῷ προσήκουσιν. ἐπεὶ δὲ σπουδάζειν ἐῴκει καὶ ἐκ τοῦ λόγου καὶ ἐκ τῆς προσόψιος ὁ Μελησαγόρας πεισθεὶς ὅπερ ἣν ἐπείγειν τὸ πρῆγμα ἀνέγνων τε ὑμέων τὴν ἐπιστολὴν καὶ ἐθαύμασα ὅτι ἑνὸς ἀνθρώπου ὡς εἷς αὐτὸς ἡ πόλις θορυβέεσθε. μακάριοι οὖν δῆμοι ὁκόσοι ἴσασι τοὺς ἀγαθοὺς ἄνδρας ἔρυμα αὐτοῦ, καὶ οὐ τοὺς πύργους οὐδὲ τὰ τείχεα, ἀλλὰ σοφῶν ἀνδρῶν σοφὰς γνώμας. ἐγὼ δὲ πείθομαι τέχνας εἶναι θεῶν χάριτας, ἀνθρώπους δὲ ἔργα φύσιος. καὶ μὴ νεμεσήσητε ἄνδρες Ἀβδηρῖται, οὐχ ὑμᾶς δοκέω, ἀλλὰ φύσιν αὐτὴν καλεῖν ἐμὲ ἀνασῶσαι, κτῆμα ἑαυτῆς κινδυνεῦον ὑπὸ νούσου διαπεσεῖν. ὥστε πρὸ ὑμέων ἐγὼ φύσει καὶ θεοῖς ὑπακούω νοσεῦντα Δημόκριτον ἰήσασθαι, εἴγε δὴ καὶ νοσῶν ἐστιν, ἀλλὰ μὴ ἀπάτῃ συσκιάζεσθε, ὅπερ εὔχομαι. καὶ γένοιτο πλέον ἐν ἡμῖν εὐνοίας τεκμήριον, καὶ πρὸς ὑπόνοιαν ταραχθῆναι. ἀργύριον δέ μοι ἐρχομένῳ οὔτ᾽ ἂν φύσις οὔτε θεὸς ὑπάρχοι, ὥστε μὴ δή μευ Ἀβδηρῖται βιάζεσθε, ἀλλ᾽ ἐᾶτε ἐλευθέρης τέχνης ἐλεύθερα τὰ ἔργα. οἱ δὲ μισθαρνεῦντες δουλεύειν ἀναγκάζουσι τὰς ἐπιστήμας ὥσπερ ἐξανδραποδίζοντες αὐτὰς ἐκ τῆς προ-

πέρας παῤῥησίας ἐθῶς εἰκὸς καὶ ψεύσαιντ᾽ ἂν ὡς περὶ μεγάλης νούσου· καὶ ἀρνηθεῖεν ἂν ὡς περὶ μικρῆς, καὶ οὐκ ἂν ἔλθοιεν ὑποσχόμενοι, καὶ πάλιν ἔλθοιεν μὴ κληθέντες. οἰκτρός γε ὁ τῶν ἀνθρώπων βίος ὅτι δι᾽ ὅλου αὐτοῦ ὡς πνεῦμα χειμέριον ἡ ἀφόρητος φιλαργυρίη διεκδύνει, ἐφ᾽ ἣν εἴθε μᾶλλον ἅπαντες ἰητροὶ συνήεσαν ἀποθεραπεῦσαι χαλεπωτέρην μανίης νοῦσον ὅτι καὶ μακαρίζεται νοσέουσα καὶ κακοῦσα. οἶμαι δ᾽ ἔγωγε τὰ τῆς ψυχῆς νοσήματα πάντα μανίης σφοδρῆς εἶναι ἐμποιούσης δόξας τινὰς καὶ φαντασίας τοῦ λογισμοῦ. ὧν ὁ δι᾽ ἀρετῆς ἀποκαθαρθεὶς ὑγιάζεται. ἐγὼ δὲ εἰ πλουτεῖν δεξάμενος ἐβουλόμην ὦ ἄνδρες ἀβδηρῖται, οὐκ ἂν ἕνεκα δέκα ταλάντων διέβαινον πρὸς ὑμέας. ἀλλ᾽ ἐπὶ τὸν μέγαν ἐρχόμενος περσῶν βασιλέα, ἔνθα πόλιες ὅλαι πρεσήσαν τῆς δὲ ἀνθρώπων εὐτυχίας γεγεμισμέναι, ἰώμην ἂν τὸν ἐκεῖ λοιμὸν αὐτός. ἀλλ᾽ ἀπηρνησάμην ἐχθρὴν ἑλλάδι χώρην ἐλευθερῶσαι κακῆς νούσου. κἀγὼ τὸ μὲν ἐπ᾽ ἐμοὶ καταναυμαχῶ τοὺς βαρβάρους. εἶχον δ᾽ ἂν αἰσχύνην τὸν βασιλέως πλοῦτον καὶ πατρίδος ἐχθρὴν περιουσίην. περικείμην δ᾽ ἂν αὐτὰ ὡς ἑλέπολις τῆς ἑλλάδος ὑπάρχων. οὐκ ἔστι πλοῦτος, τὸ πανταχόθεν χρηματίζεσθαι. μεγάλα γὰρ ἱερὰ τῆς ἀρετῆς ἐπὶ δικαιοσύνην οὐκ ὀρυσσόμενα, ἀλλ᾽ ἐμφανέα ἐόντα. ἢ οὐκ οἴεσθε ἴσον ἁμάρτημα σώζειν πολεμίους καὶ φίλους μισθοῦ. ἀλλ᾽ οὐχ ὧδε ἔχει τὰ ἡμέτερα δῆμε. οὐ καρποῦμαι δὲ νόσους, οὐδὲ δι᾽ εὐχῆς ἤκουσα τὴν δημοκρίτου παράκροισιν. ὃς εἴτε ὑγιαίνει φίλος ἐστὶν, εἴτε νοσεύει θεραπευθεὶς, φίλος πλέον ὑπάρξει. πυνθάνομαι δὲ αὐτὸν ἐμβριθέα καὶ στεῤῥὸν τὰ ἤθεα καὶ τῆς ὑμετέρης πόλιος ἐόντα κόσμον.

Φιλο

Φιλοποίμενι χαίρειν.

Ι τὴν τῆς πόλιος ἐπιστολὴν ἀναδόντες μοι πρέσβεις, καὶ τεὴν ἀνέδοσαν. ἥσθην δὲ κάρτα ξενίην ὑπισχνουμένου σέο καὶ τὴν ἑτέρην δίαιταν. ἔλθοιμεν δὲ αἰσίῃ τύχῃ καὶ ἀφιξόμεθα ὡς ὑπολαμβάνομεν χρηστοτέρῃσιν ἐλπίσιν, ὡς ἐν τῇ γραφῇ παραδεδήλωται, οὐ μανίην ἀλλὰ ψυχῆς τινα ῥῶσιν ὑπερβάλλουσαν διασαφηνέοντες ἀνδρὸς μήτε παίδων μήτε γυναικὸς μήτε συγγενέων μήτε οὐσίης μήτε τινὸς ὅλως ἐν φροντίδι ἐόντος, ἡμέρην δὲ καὶ εὐφρόνην πρὸς ἑαυτῷ κατεστῶτος καὶ ἰδιάζοντος τὰ μὲν πολλὰ ἐν ἄντροισι καὶ ἐρημίῃσιν ἢ ὑπὸ σκέπῃσι δενδρέων ἢ καὶ μαλθακῇσι ποίαις, ἢ παρ' ἡσύχοισιν ὑδάτων ῥεέθροισι. συμβαίνει μὲν οὖν τὰ πολλὰ τοῖς μελαγχολῶσι τοιαῦτα. σιγηροί τε γὰρ ἐνίοτε καὶ μονήρεες καὶ φιλέρημοι τυγχάνουσιν. ἀπανθρωπεύονταί τε ξύμφυλον ὄψιν ἀλλοτριωτάτην νομίζοντες. οὐκ ἀπεοικὸς δὲ καὶ τοῖς περὶ παιδείαν ἐσπουδακόσι τὰς ἄλλας φροντίδας ὑπὸ μιῆς τῆς ἐν σοφίῃ διαθέσεως σεσοβῆσθαι. ὥσπερ γὰρ δμῶες καὶ δμωΐδες ἐν τοῖσιν οἴκοισι θορυβέοντες καὶ στασιάζοντες ὁκόταν ἐξαπιναίως αὐτοῖς ἡ δέσποινα ἐπιστῇ, πτοηθέντες ἐφησυχάζουσι, παραπλησίως καὶ αἱ λοιπαὶ αἱ κατὰ ψυχὴν ἐπιθυμίαι ἀνθρώποισι κακῶν ὑπηρέτιδες. ἐπὴν δὲ σοφίης ὄψις ἑαυτὴν ἐπιστήσῃ ὡς δοῦλα τὰ λοιπὰ πάθεα ἐκκεχώρηκε. ποθέουσι δὲ ἄντρα καὶ ἡσυχίαν, οὐ πάντως οἱ μανέντες, ἀλλὰ καὶ οἱ τῶν ἀνθρωπίνων πρηγμάτων ὑπερφρονήσαντες ἀταραξίης ἐπιθυμίῃ. ὁκόταν γὰρ ὁ νοῦς ὑπὸ τῶν ἔξωθεν φροντίδων κοπτόμενος ἀναπαύσασθαι θελήσῃ τὸ σῶμα, τότε ταχέως εἰς ἡσυχίην μετήλλαξεν. εἶτα ἀναστὰς ὀρθὸς ἐν ἑαυτῷ περισκοπεῖ κυκλωχώριον ἀληθείης, ἐν ᾧ οὐ γυνή, οὐ τέκνα, οὐ μήτηρ, οὐ κα-

σίτηγοι, οὐ συγγενέες, οὐ δμῶες, οὐ δοῦλοι, οὐδὲν τῶν θόρυβον ἐμποιούντων· πάντα δὲ ἀποκεκλεισμένα τὰ πράσσοντα ἕστηκεν ὑπὸ φόβον, οὐδὲ πλησιάσαι τολμέοντα ὑπὸ εὐλαβείης τῶν αὐτόθι οἰκεόντων. οἰκέουσι δὲ τὸ χωρίον ἐκεῖνο τέχναι καὶ ἀρεταὶ καὶ θεοὶ καὶ δαίμονες καὶ βουλαὶ καὶ γνῶμαι καὶ ὁ μέγας πόλος ἐν ἐκείνῳ τῷ χωρίῳ τοὺς πολυκινήτους ἀστέρας κατέστηται. εἰς ὃ τάχα καὶ δημόκριτος ὑπὸ σοφίης μετοικήσας, εἰ γοῦν ἐθόρεων τοὺς ἐν τῇ πόλει οἷά γε τηλοῦ ἐκδεδημηκὼς, δοξάζεται μανίης νοῦσον διὰ τὸ φιλέρημον. σπεύδουσι δὲ ἀβδηρῖται ἀργυρίου ἐλεγχθῆναι ὅτι οὐ ξυνιᾶσι δημοκρίτου, ἀλλὰ σύ γε ἡμῖν κατάρτυε τὴν ξενίην ἑταῖρε φιλοποίμην. οὐδὲ γὰρ ἐθέλω τεταραγμένῃ τῇ πόλει παρασχεῖν ὄχλησιν ἐκ παλαιοῦ ἴδιον ἔχων ξένον σε ὡς οἶσθα.

Διονυσίῳ χαίρειν.

ἢ Περίμενόν με ἐν ἁλικαρνασσῷ, ἢ φθάσον αὐτὸς ἐλθὼν ὦ ἑταῖρε· κατὰ πᾶσαν γὰρ ἀνάγκην ἀπιτέον εἰς ἄβδηρα μοι δημοκρίτου χάριν. ἐφ' ὃν νοσέοντα μετεπέμψατό με ἡ πόλις. ἄλεκτος γάρ τοι ἡ συμπαθείη τῶν ἀνθρώπων διονύσιε. ὡς μία ψυχὴ συννοσεῖ τῷ πολίτῃ. ὥστε μοι δοκέουσι καὶ αὐτοὶ θεραπείης δέεσθαι. ἐγὼ μὲν οἶμαι οὐδὲ νοῦσον αὐτὸ εἶναι, ἀλλὰ μετρίην παιδείης. οὐκ οὖσαν δὲ τῷ ὄντι ἀμετρίην ἀλλὰ νομιζομένην τοῖσιν ἰδιώτῃσιν, ἐπεὶ οὐδέποτε βλαβερὸν τὸ ἀρετῆς ἄμετρον. δόξα δὲ νούσου γίνεται τοῦτο διὰ τὴν τῶν κρινόντων ἀπαιδευσίην. δοκιμάζει δὲ ἕκαστος ἐξ ὧν αὐτὸς οὐκ ἔχει, τὸ ἐν ἄλλῳ πλεονάζον περισσεύειν. καὶ ἴσως που καὶ ὁ δειλὸς ἀμετρίην τὴν ἀνδρείην ὑπείληφε. καὶ ὁ φιλάργυρος τὴν μεγαλοψυχίην. καὶ πᾶσα ἔλλειψις ὑπερβάλλειν δοκέει τὸ ἀρετῆς σύμμετρον. ἐκεῖνον μὲν οὖν αὐτὸν ἰδόντες μετὰ τῆς ἐνθένδε προγνώ

σιος τε ἀκούσαντες τὸν λόγον αὐτοῦ ἄμεινον εἰσόμεθα. σὺ δὲ ἐπείξομαι ὦ Διονύσιε παραγενέσθαι. βούλομαι γὰρ ἐν διατρίψαισε τῇ πατρίδι μου μέχρις ἂν ἐπανέλθω. ὅκως τήν τε ἡμετέρην φροντίζῃς καὶ πρὸ τῆς ἐμῶν τῆς πόλιος. ἔπειγε οὐκ οἶδ' ὅπως ἐκ συντυχίης ὑγιεινὸν τὸ ἔτος ἐστὶ καὶ τὴν ἀρχαίην φύσιν ἔχον. ὥστε οὐ πολλὰ παρενοχλέουσι νοῦσοι. πλὴν ὅμως πάριθι. οἰκήσεις δὲ τὴν ἐμὴν ξυνοικοῦσαν οἰκίην. ἅτε καὶ τοῦ γυναίου μένοντος πρὸς τοὺς γονέας διὰ τὴν ἐμὴν ἀποδημίην. ἐπισκόπει δὲ καὶ τὰ ἐκείνης ὅκως διάγῃ σωφρόνως καὶ μὴ διὰ τὴν τοῦ ἀνδρὸς ἀπουσίην ἄλλους ἄνδρας νομίσῃ. κόσμιος μὲν οὖν ἦν ἐξ ἀρχῆς τε τοὺς γονέας τε ὅσους εἶχε. τὸν δὲ πατέρα ἀνδρικόν τε καὶ μισοπόνηρον ὑπὸ φύσεως γερόντιον. ἀλλ' ὅμως ἀεὶ χρήζει γυνὴ σωφρονίζοντος. ἔχει γὰρ φύσει καὶ τὸ ἀκόλαστον ἐν αὐτῇ, ὅπερ εἰ καθ' ἡμέρην μὴ ἐκκόπτοιτο, ὥσπερ τὰ δένδρα καθυλομανέει. ἐγὼ δὲ φίλον ἀκριβέστερον οἶμαι εἰς φυλακὴν γυναικός. οὐ γὰρ ὡς ἐκείνοις καὶ τοιούτοισι συνοικέει πάθος εὐνοίης. διὸ πολλάκις ἐπισκιάζονται τὴν νουθεσίην. φρονιμώτερον δὲ ἐν παντὶ τὸ ἀπαθέστερον ἐὰν ᾖ ἐπικαλώμενον ὑπὸ εὐνοίης.

Δημαγήτῳ χαίρειν.

õ Ἴδε παρὰ σοὶ γενόμενος ἐν Ῥόδῳ Δημάγητε τὴν ναῦν ἐκείνην, ἁλίας ἐπιγραφὴ ἦν αὐτῇ, ἀγκαλόν τινα καὶ δίπρυμνον ἱκανῶς τε προσεσταλμένην, καὶ διάβασιν ἔχει πολλήν, ἐπήρμενόν τε τὸ ναυτικὸν αὐτῆς ὡς ὀξὺ καὶ ἀσφαλὲς καὶ ἔντεχνον ὑπουργῆσαι τε τοῦ πλήθους τὴν εὐδρομίην. ταύτην ἔκπεμψον ἡμῖν, εἰ οἷόν τε μὴ κώπαις, ἀλλὰ πτεροῖς ἐρετμώσας αὐτήν. ἐπείγει οὖν τὸ πρῆγμα φιλότης καὶ μάλα εἰς Ἄβδηρα διαπλεῦσαι πάντα ταχέως. βούλομαι νοσέουσαν ἰήσασθαι πόλιν διὰ μουσεῖον ἕνα Δημόκριτον ἀκέσεις τοῦ τὸ κλέος τοῦ

τοῦτον ἡ πατρὶς αἰτιῆται μανίῃ κεκακῶσθαι, ἐγώ τε βούλομαι μὴ ὄντως αὐτὸν παρακόπτειν, ἀλλ' ἐκείνοις δόξαν γίνεσθαι. γελᾷ φασιν ἀεί. καὶ οὐδέποτε παύεται γελῶν ἐπὶ παντὶ πρήγματι. σημεῖον αὐτῶν τοῦτο μανίης δοκέει. ὅθεν λέγε τοῖς ἐν ῥόδῳ φίλοις μετριάζειν καὶ μὴ περιαλλὰ γελᾶν. μὴ δὲ περιαλλὰ σκυθρωπάζειν. ἀλλὰ τουτέων ἀμφοῖν τὸ μέτριον κτήσασθαι. ἵνα τοῖς μὲν χαριέστατος εἶναι δόξῃ. οἷς δὲ φροντιστὴς περὶ ἀρετῆς μερμηρίζων. ἐνίοτε μέντοι δημόκριτε καλὸν παρ' ἕκαστον αὐτοῦ γελῶντος. εἰ δὲ ἡ ἀμετρίη φλαῦρον, τὸ διὰ παντὸς φλαυρότερον. εἶτ' ἔχει μὲν ἂν αὐτῷ, δημόκριτε νοσέοντος καὶ κινδυνεύοντος καὶ τεθνεῶτος. καὶ πολιορκουμένου, καὶ παντὸς ἐμπίπτοντος κακοῦ, ἕκαστον τῶν πρησσομένων ὕλη σοι γέλωτος ὑπόκειται. οὐ θεομαχεῖς δὲ, εἰ δύο ἐόντοιν ἐν κόσμῳ λύπης καὶ χαρᾶς σὺ θρασύτερον ἐκβέβληκας. μακάριος τ' ἂν ἦς. ἀλλ' ἀδύνατον εἰ μήτε ἡ μήτηρ σοι νενόσηκε μήτε πατὴρ μήτε τὰ ὕστερον τέκνα. μὴ γυνὴ μὴ φίλος ἀλλὰ διὰ τὸν σὸν γέλωτα ἵνα σώζηται εὐτυχέες τὰ πάντα. ἀλλὰ νοσεόντων γελᾷς. ἀποθνησκόντων χαίρεις. ἔτι που πύθοιο κακὸν εὐφραίνεαι. ὡς πονηρότατος εἶ δημόκριτε καὶ πόρρω γε σοφίης. εἰ νομίζεις αὐτὰ μὴ δὲ κακὰ εἶναι. μελαγχολᾷς οὖν ὦ δημόκριτε. κινδυνεύω καὶ αὐτὸς ἀβδηρίτης εἶναι. φρονιμωτέρη δὲ ἡ πόλις. ἀλλὰ περὶ μὲν τούτων ἀκριβέστερον ἐκεῖ λέξομεν δημόκριτε. ἡ δὲ ναῦς καὶ τὸν χρόνον τοῦτον ὃν ἐπιστέλλω σοι χρονίζει.

Φιλοποίμενι χαίρειν.

Ὕπνους καὶ πεφροντικὼς ὑπὲρ δημοκρίτου ἐκείνῃ τῇ νυκτὶ καταδαρθὼν, πρὸς ἀρχομένῃ τῇ ἕω, ὄναρ ἐφαντάσθην. ὃ οὐ νομίζω κάρτα, μηδὲν ἐπισφαλὲς γενήσεσθαι. ἐκπαλτός τε διηγέρθην. ἐδόκεον γὰρ αὐτὸν τὸν ἀσκληπιὸν ὁρᾶν. φαίνεσθαί τε

σθαί τε

ᾔει τε αὐτὸν πλησίον· ἤδη δὲ πρὸς ταῖς ἀβδηριτέων πύλαις ἐτυγχάνομεν. ὁ δὲ ἀσκληπιὸς οὐχ ὡς εἰώθεισαν αὐτοῦ αἱ εἰκόνες, μεγαλίχιός τε καὶ πρᾶος ἰδέσθαι κατεφαίνετο, ἀλλὰ διεγηγερμένος τῇ σχέσει καὶ ἰδέσθαι φοβερώτερος· εἵποντο δὲ αὐτῷ δράκοντες· χρῆμά τι ἑρπετῶν ὑπερφυές· ἐπειγόμενοι δὲ καὶ αὐτοὶ μακρῷ τῷ ἐπισύρματι· καί τι φρικῶδες ὡς ἐν ἐρημίῃ καὶ νάπῃσι κοιλῃσιν ὑποσυρίττοντες· οἱ δὲ κατόπιν ἑταῖροι κίστας φαρμάκων εὖ μάλα περιεσφηκωμένας ἔχοντες ἦσαν· ὤρεξε δέ μοι τὴν χεῖρα ὁ θεός. κἀγὼ λαβόμενος ἄσμενος, ἐλιπάρουν συνέρχεσθαι· καὶ μὴ καθυστερέειν τί μου τῆς θεραπείης. ὁ δὲ οὐδέν τι ἔφη ἐν τῷ παρόντι χρήζεις ἐμέο, ἀλλά σε αὕτη ξεναγήσει θεὸς ἀθανάτων τε καὶ θνητῶν. ἐγὼ δὲ ἐπιστραφεὶς ὁρέω γυναῖκα καλήν τε καὶ μεγάλην ἀσφαλέως πεπλοκισμένην· λαμπρείμονα. διέλαμπον δὲ αὐτῆς οἱ τῶν ὀμμάτων κύκλοι καθαρόν τι φῶς οἷον ἀστέρων μαρμαρυγὰς δοκέειν. καὶ ὁ μὲν δαίμων ἐχωρίσθη. κείνη δὲ ἡ γυνὴ πιεξαμένη τῷ καρπῷ μαλθακῇ τινι εὐτονίῃ διὰ τοῦ ἄστεος ἦγε φιλοφρονεομένη. ὡς δὲ πλησίον τῆς οἰκίης ἦμεν ἵνα τὴν ξενίην ἐδόκεον ηὐτρεπίσθαι, ἀπῄει ὡς φάσμα· μόνον εἰποῦσα αὔριόν σε παρὰ δημοκρίτῳ καταλήψομαι. ἤδη δὲ αὐτῆς μεταστρεφομένης δέομαι ἔφην ἀρίστη τίς εἶ, καὶ τίνα σε καλέομεν. ἡ δὲ, ἀλήθεια ἔφη. αὕτη δὲ ἣν προσιοῦσαν ὁρᾷς καὶ ἐξαίφνης ἑτέρη τις κατεφαίνετο οὐκ ἀκαλὴ μὲν, οὐδὲ αὐτὴ θρασυτέρη δὲ καὶ σεσοβημένη, δόξα ἔφη καλέεται. κατοικέει δὲ παρὰ τοῖσιν ἀβδηρίτῃσιν. ἐγὼ μὲν οὖν ἀναστὰς ὑπεκρινάμην ἐμαυτῷ τὸ ὄναρ ὅτι οὐδὲ νόσου τοῦ ἰητροῦ δημόκριτος. ὅπου γε αὐτὸς ὁ θεραπεύων θεὸς ἀπέστη, οὐκ ἔχων ὕλην θεραπείης. ἀλλ' ἡ μὲν ἀλήθεια τὸ ὑγιαίνειν παρὰ δημοκρίτῳ μένει. ἡ δὲ τοῦ νοσέειν αὐτὸν δόξα πα-

ρ᾽ ἀβδηρίτῃσιν ὄντως κατοικέει. ταῦτα πιστεύω ἀληθέα εἶναι Φιλοποίμην. καὶ ἔστι καὶ οὐκ ἀπογνώσομαι τὰ ὀνείρατα. μάλιστα ἢν ὁμόταν καὶ τάξιν διαφυλάττῃ. ἰητρικὴ δὲ καὶ πάνυ μαντικῆς συγγενής ἐστιν. ἐπεὶ τῶν δυεῖν τεχνέων εἷς πατὴρ ὁ ἀπόλλων, ὁ καὶ πρόγονος ἡμῖν, ἐσσομένας νούσους προαγορεύων καὶ νοσέοντας ἰώμενος.

Κρατεύα χαίρειν.

ε

Εἴσομαί σε ῥιζοτόμον ἄριστον ἑταῖρε. καὶ διὰ τὴν ἄσκησιν καὶ διὰ τὸ τῶν προγόνων κλέος ὡς μηδὲν ἀποδεῖν σε τοῦ προπάτορος κρατεύα. νῦν οὖν εἰ καί ποτε ἄλλοτε βοτανολόγησον ὁκόσα τε καὶ οἷα δύνασαι. ἀναγκαίη γὰρ ἐπείγει. καὶ διαπέμψαι μοι αὐτὰ ἐπ᾽ ἀνδρὶ ὅλῃ πόλει ἰσοστάσιον ἀβδηρίτην μὲν, ἀλλὰ δημόκριτον. νοσέειν γὰρ αὐτόν φασι καὶ καθάρσιος μάλα χρήζειν ἐν τῷ μανίης ὄντα. μὴ χρησαίμεθα μὲν οὖν τοῖς φαρμάκοισιν ὥσπερ καὶ πέπεισμαι. ἀλλ᾽ ὅμως εὐτρεπίσασθαι χρὴ πανταχόθεν. τὸ δὲ χρῆμα τῶν βοτανῶν πολλάκις παρὰ σοὶ ἐθαύμασα ὡς καὶ τὴν τῶν ὅλων φύσιν τε καὶ διάταξιν καὶ τὸ ἱερώτατον γῆς ἵδρυμα. ἐξ ἧς τὰ ζῷα καὶ τὰ φυτὰ καὶ τροφαὶ καὶ φάρμακα καὶ τύχη καὶ ὁ πλοῦτος αὐτὸς ἀναφύεται. οὐδὲ γὰρ εἶχεν οἱ ἐπιβῆ ἡ φιλαργυρίη. οὐδ᾽ ἂν ἀβδηρῖται μὲν νῦν δὲ καταγελώντες ἐδελέαζον, ἀντὶ ἰητροῦ μισθὸν ἐλέγχοντες. εἴθε δὲ ἢ δύνασο κρατεύα φιλαργυρίης τὴν πικρὴν ῥίζαν ἐκκόψαι ὡς μηδὲν αὐτῆς λείψανον ἀφεῖναι. εὖ ἴσθι ἐκαθήραμεν ἂν τῶν ἀνθρώπων μετὰ τῶν σωμάτων τὰς ψυχάς. ἀλλὰ ταῦτα μὲν εὐχαί. σὺ δ᾽ ἡμῖν τὸ περιὸν μάλιστα τὰς ὀρεινὰς καὶ ὑψηλοφύτους ῥιζοτόμει βοτάνας. στερεώτεραι γὰρ τῶν ὑδρηλοτέρων εἰσί. καὶ δριμύτεραι μᾶλλον διὰ τὴν τῆς γῆς πυκνότητα

καὶ τὴν

καὶ τὴν λεπτότητα τοῦ ἠέρος. ὅτι δὲ ἕλκουσιν ἐμψυχότερον δὲ πειράθητι δ' ὅμως ἐς τὰς παραλίμνους ἐλειοὺς πεφυκυίας αὐθολογῆσαι καὶ τὰς παραποταμίους ἢ κρηνίτιδας παρ' ἡμῖν καλεομένας ἀθερίνας καὶ ἄγνους καὶ γλυκυχύλους εἶναι πέπεισμαι. πάντα δὲ ὁκόσα χυλοὶ καὶ ὀποὶ ῥέοντες, ἐν ὑελοῖς ἀγγείοισι φερέσθωσαν. ὁκόσα δ' αὖ φύλλα ἢ ἄνθεα ἐγκώθωσι περιεσφηκωμένοισι. ὅκως μὴ διαρριπιζόμενα τῇσι πνοιῇσιν ἐκλίπῃ τὸν τόνον τῆς φαρμακείης ὥσπερ ἀποψυχήσαντα. ἀλλ' εὐθὺς ἡμῖν ταῦτα πέμψον. καὶ γὰρ ἡ ὥρα τοῦ ἔπεος ἁρμόδιος. ἐς ἡ ἀνάγκη τῆς λεγομένης μανίης ἐπείγει. τέχνης δὲ πάσης μὲν ἀλλότριον ἀναβολή. ἰητρικῆς δὲ καὶ πάνυ. ἐν ᾗ ψυχῆς κίνδυνος ἡ ὑπέρθεσις. ψυχαὶ δὲ τῶν θεραπειῶν οἱ καιροί. ὧν ἡ παραφυλακὴ τὸ τέλος. ἔλπομαι οὖν ὑγιέα εἶναι Δημόκριτον καὶ δίχα ἰήσεως. εἰ δ' ἄρα τι σφάλμα φύσιος ἢ καιροῦ ἢ ἄλλη τις αἰτίη γένοιτο, πολλὰ γὰρ ἂν ἡμᾶς θνητοὺς ἐόντας λάθοι ἅτε μὴ πάσχειν μηδ' ἀφρενίης αὐτὸν ἐόντας ὑπὸ τὸ ἄδηλον, πᾶσαν χρεὼ δύναμιν ἠθροῖσθαι. οὐ γὰρ ἀρκέεται ὁ κίνδυνος οἷς δυνάμεθα, ἀλλ' ἐπιθυμεῖ καὶ ἃ μὴ δυνάμεθα. σχεδὸν δὲ αἰεὶ πρὸς δύο στρατευόμεθα τέλεα. τὸ μὲν, ἀνθρώπου. τὸ δὲ τέχνης. ὧν τὸ μὲν, ἄδηλον. τὸ δὲ, τῆς ἐπιστήμης ὥρισται. δεῖ δὲ ἐν ἀμφοτέροισι τούτοισι εὐτυχίης. τὸ δὲ ἀτέκμαρτον ἐν τοῖσι καθάρσεσι δι' εὐλαβείης ἰόντων. τὸ στομάχου κάθαρσιν ὑφορώμεθα. τὸ συμμετρίην φαρμακείης πρὸς ἀγνοουμένην φύσιν στοχαζόμεθα. οὐ γὰρ ἡ αὐτὴ καὶ μία φύσις ἁπάντων. ἑτέρη δὲ ἀεὶ πρὸς ἑωυτὴν ὁρίζουσα οἰκεῖον. ἐνίοτε δὲ ἐν ταῖς βοτάνῃσι πολλὰ τῷ ἕρπειν ἐνιοβόλησε. τὸ γὰρ ἱκανοῦντα τῇ ἐν τῷ σώματι ῥηϊκάκωσιν αὐταῖς λέξεσι αὐτοῖσι προσεπιπνεύσειεν. ἑρμᾶς τε ἀραιηλὶς

ἢ πτίλος ἢ ὀδμὴ θηλειώδης καὶ ἀπηνὴς τοῦ γινομένου σύμβολον φανείη. ἔστι γὰρ τέχνη διὰ τὸ σύμπτωμα τῆς τύχης τῆς κατορθώσιος ἀφήμαρτε. βεβαιότεραι δ' εἰ αἱ δι' ἐλλεβόρων διὰ τοῦτο καθάρσιες· αἷς καὶ μελάμπους ἐπὶ τῶν προίτου θυγατέρων καὶ αὐτίκα ῥοῖσ ἐφ' ἡρακλέα ἱστορέονται κεχρῆσθαι. μὴ χρησαίμεθα δὲ ἡμεῖς ἐπὶ δημοκρίτου μηδέποτε τουτέων. ἀλλὰ γένοιτο ἐκείνῳ τῶν δραστικωτάτων φαρμάκων σοφίη. Δημαγήτῳ χαίρειν.

Τοῦτο ἐκεῖνο δημάγητε ὅπερ εἰκάζομεν. οὐ παρέκοπτε δημόκριτος, ἀλλὰ πάντας ὑπερεφρόνεε καὶ ἡμᾶς ἐσωφρόνιζε. καὶ δι' ἡμέων ἐσωφρόνιζε πάντας ἀνθρώπους. ἀπέπεμψα δέ σοι φιλότης ὡς ἀληθῶς τὴν ἀσκληπιάδα νῆα ἣ προσθεὶς μετὰ τοῦ ἡλίου ἐπίσημον καὶ ὑγιείην. ἐπεὶ κατὰ δαίμονα τῷ ὄντι ἱστιοδρόμηκε. καὶ ἐκείνῃ τῇ ἡμέρῃ κατέπλευσαν εἰς ἄβδηρα. ᾗ περ αὐτοῖς ἐπεστάλκειν ἀφίξεσθαι. πάντας οὖν ἀολλέας πρὸ τῶν πυλῶν εὕρομεν ὡς εἰκὸς ἡμέας περιμένοντας, οὐκ ἄνδρας μόνον ἀλλὰ καὶ γυναῖκας. ἔτι δὲ καὶ πρεσβύτας καὶ παιδία νὴ τοὺς θεοὺς κατηφέα καὶ τὰ νήπια. οὗτοι μέντοι ὧδε εἶχον ὡς ἐπὶ μαινομένῳ τῷ δημοκρίτῳ. ὁ δὲ μετὰ ἀκριβείας τότε ὑπερεφιλοσόφεεν. ἐπεὶ δέ με εἶδον, ἔδοξαν μικρὸν ἑωυτῶν γεγονέναι καὶ χρηστὰς ἐλπίδας ἐποιέοντο. ὁ δὲ φιλοποίμην ἄγειν με ἐπὶ τὴν ξενίην ὥρμητο· κἀκείνοισι συνεδόκεε τοῦτο. ἐγὼ δὲ ἔφην ὦ ἀβδηρῖται οὐδέν μοι προὔργου ἢ δημόκριτον θεήσασθαι. οἱ δὲ ἐπῄνεον ἀκούοντες καὶ ἥσθησαν. ἦγόν τε συντόμως διὰ τῆς ἀγορῆς· οἱ μὲν ἑπόμενοι, οἱ δὲ προθέοντες ἑτέρωθεν ἕτεροι. ὦ ζεῦ βασιλεῦ λέγοντες βοήθει θεράπευσον. κἀγὼ παρηγόρουν θαρρέειν ὡς τάχα μὲν οὐδενὸς κακοῦ πίσυνος ἐτησίῃσιν ὥρῃσιν. εἰ δ' ἄρα καί τινος βραχέος εὐδιορθώτου. καὶ ἅμα ταῦτα λέγων ᾔειν.

οὐδὲ

οὐδὲ γὰρ πόῤῥω ἦν ἡ οἰκίη· μᾶλλον δὲ οὐδὲ ἡ πόλις. παρῆμεν μὲν οὖν. πλη-
σίον γὰρ τοῦ τείχεος ἐτύγχανε. καὶ ἀνάγουσί με ἡσυχῆ. ἔπειτα κα-
τόπιν τοῦ πύργου βουνός τις ὑψηλὸς μακρῇσι καὶ λασίῃσιν αἰγεί-
ροις ἐπίσκιος. ἔνθεν ἑωρᾶτο τὰ τοῦ δημοκρίτου καταγώγια. καὶ
αὐτὸς ὁ δημόκριτος ἐκάθητο ὑπό τινι ἀμφιλαφεῖ καὶ χθαμαλῇ
πλατανίστῳ ἐν δ᾽ ἐξωμίδι παχείῃ. μοῦνος. ἀνήλειφος. ἐπὶ λιθίνῳ θώ-
κῳ. ὠχριακὼς πάνυ καὶ λεπτόσαρκος. κουρεῶν τὰ γένεια. πα-
ραὐτὸν δὲ ἐπὶ δεξιῆς, λεπτὸν ὀῤῥυτὸν ὕδωρ κατὰ πρανοῦς τοῦ λό-
φου ἠρεμέως ἐκελάρυζεν. ἦν δέ τι τέμενος ὑπὲρ ἐκεῖνον τὸν λό-
φον, ὡς ἐνυπονοίῃ κατεικάζοντι νυμφέων ἱδρυμένον αὐτοφύτοι-
σιν ἐπηρεφὲς ἀμπέλοισιν. ὁ δ᾽ εἶχεν ἐν εὐκοσμίῃ πολλῇ ἐπὶ τοῖν
γονάτοιν βιβλίον. καὶ ἕτερα δέ τινα ἐξ ἀμφοῖν τοῖν μερέοιν αὐτῷ
παραβέβλητο. σεσώρευτο δὲ καὶ ζῶα συχνὰ ἀνατετμημένα δι᾽ ὅλων. ὁ δὲ
ὁτὲ μὲν συντόμως ἔγραφεν ἐγκείμενος. ὁτὲ δὲ ἠρέμει, πάμπο-
λύ τε ἐπέχων καὶ ἐν ἑωυτῷ μερμηρίζων. εἶτα μετ᾽ οὐ πολὺ τούτων
ἐρδομένων ἐξαναστὰς περιεπάτεε. καὶ τὰ σπλάγχνα τῶν ζώων
περιεσκόπεε. καὶ καταθεὶς αὐτὰ μετελθὼν ἐκαθέζετο. οἱ δὲ
ἀβδηρῖται περιεστῶτές με κατηφέες, καὶ οὐ πόῤῥω τοῦ ὄ-
ψεος δακρύων ἔχοντες, φασίν. ὁρᾷς μέν τοι τὸν τοῦ δημοκρί-
του βίον, ὡς μέμηνεν ὦ ἱππόκρατες. καὶ οὔτε ὅ,τι θέλει οἶδεν,
οὔτε ὅτι ἔρδει. καί τις αὐτῶν μᾶλλον ἐνδείξασθαι βουλόμενος τὴν
μανίην αὐτοῦ, ὀξὺ ἐκώκυσεν. ἴκελον γυναικὶ ἐπὶ θανάτῳ
τέκνου ὀλοφυρομένῃ. εἶτα ἐνώμωζεν ὑποκρινόμενος παροδί-
την ἄλλος ὀλέσαντος ὃν διεκόμιζε. καὶ ὁ δημόκριτος ἀκούων
τὰ μὲν ἐμειδία. τὰ δὲ ἐξεγέλα οὐκ ἔτ᾽ οὐδὲν γράφων. τὴν δὲ κε-

φαλίῳ θαμινὰ ἐμπέσειεν. ἐγὼ δὲ, ὑμεῖς μὲν ἔφην ὦ ἀβδηρῖται αὐτοῦ μένετε. ἐγγυτέρω δὲ αὐτὸς καὶ λόγου καὶ σώματος τἀνδρὸς γενηθεὶς, ἰδὼν καὶ ἀκούσας, εἴσομαι τοῦ πάθεος τὴν ἀλήθειαν. καὶ ταῦτα εἰπὼν, κατέβαινον ἡσυχῇ. ἦν δὲ ὀξὺ καὶ ἐπίφορον ἐκεῖνο τὸ χωρίον. μόλις δὴ οὖν διαστηριζόμενος διῆλθον. ἐπεὶ δὲ ἐπλησίαζον, ἔτυχε τότε ἐπελθὼν αὐτῷ ὅ, τι δήποτε γράφων ἐνθουσιωδῶς καὶ μεθ' ὁρμῆς. εἱστήκειν οὖν περιμένων αὐτέου τὸν καιρὸν τῆς ἀναπαύσιος. ὁ δὲ μετὰ μικρὸν τῆς φορῆς λήξας τοῦ γράφειν, προσέβλεψε πρὸς ἐμὲ προσιόντα καί φησι. χαῖρε ξένε. κἀγὼ, πολλὰ δὲ καὶ σὺ δημόκριτε ἀνδρῶν σοφώτατε. ὁ δὲ αἰδεσθεὶς οἶμαι ὅτι ὀνόματι οὐ προσεῖπέ με, σὲ δὲ ἔφη τίνα καλέομεν ἀγνοίῃ γὰρ τοῦ σοῦ ὀνόματος, πρόφασις δὴ τοῦ ξένου προσηγορίας. ἱπποκράτης ἔφην ἔμοιγε οὔνομα ὁ ἰητρός. ὁ δὲ εἶπεν. ἡ τῶν ἀσκληπιαδῶν εὐγένεια; πολύ γε σου τὸ κλέος τῆς ἐν ἰητρικῇ σοφίης πεφοίτηκεν ὡς ἐμέ. τί δὲ σε χρέος δεῦρ' ἤγαγεν ἑταῖρε. μᾶλλον δὲ πρὸ πάντων κάθισον. ὁρᾷς δὲ τὸν οὕτως οὐκ ἀηδῆ φύλλων θημῶνα ὡς χλοερὸς καὶ μαλακός ἐστι καθίσαι. καὶ προσηνέστερος τῆς τύχης ἐπιφθόνων θώκων. καθίσαντος δέ μου πάλιν φησίν. ἴδιον οὖν, τι ἢ ἐπιδήμιον διζήμενος πρῆγμα δεῦρο ἀφῖξαι. φράζε σαφέως. καὶ γὰρ ἡμεῖς ὅτι δυναίμεθα συνεργοῖμεν. κἀγὼ τὸ μὲν κατ' ἀληθείην ἔφην ἕνεκεν σεῦ. δεῦρο γὰρ ἥκω σοὶ συντυχεῖν ἀνδρὶ σοφῷ. ἔχει δὲ πρόφασιν ἡ πατρὶς, ἧς πρεσβείαν τελῶ. ὁ δὲ, ξενίῃ τοίνυν τὰ πρῶτα κέχρησο ἡμετέρῃ. πειρώμενος δὲ κατὰ πάντα τἀνδρὸς, καί πῃ ἤδη μοι δῆλου μὴ παρακόπτοι, φιλοποίμενα οἶσθα ἔφην, πολίτην ἐόντα ὑμέτερον; ὁ δὲ ἦ μάλα ἔφη εἰ τὸν δήμωνος λέγεις υἱὸν, τὸν οἰκέον

τα

ται παρὰ τὴν ἑρμαΐδα κρήνην, τοῦτο εἶπον ὧν τυγχάνω ἐκ πατέ-
ρων ἰδιόξενος. ἀλλὰ σὺ δημόκριτε τῇ κρέσσονί με ξενίῃ δέχου. καὶ
πρῶτόν γε τί ἦν τοῦτο ὃ γράφων τυγχάνεις φράζε. ὁ δὲ ἐπισχὼν ὀ-
λίγον, περὶ μανίης ἔφη. κἀγὼ, ζεῦ βασιλεῦ, φημὶ, εὐκαίρως γε
ἀντιγράφεις πρὸς τὴν πόλιν. ὁ δὲ, ποίην φησὶ πόλιν ἱπποκρα-
τες. ἐγὼ μὲν οὐδὲν ἔφην ὦ δημόκριτε. ἀλλ᾽ οὐκ οἶδ᾽ ὅπως προὔπε-
σον. ἀλλὰ τί περὶ μανίης γράφεις. τί γὰρ εἶπεν ἄλλο, ἢ τίς πέλει,
καὶ ὅκως ἀνθρώποισιν ἐγγίνεται. καὶ τίνα τρόπον ἀπολωφέοιτο.
τὰ γὰρ ζῶα ταῦτα ἔφη ὁκόσα ὁρᾷς, τούτου μὲν τοιγε εἵνεκα ἀνα-
τέμνω. οὐ μισέων θεοῦ ἔργα. χολῆς δὲ διζήμενος φύσιν καὶ θέσιν. οἶ-
δα γὰρ ἀνθρώπων παρακοπῆς ὡς αἰτίη ἐπιπολὺ αὐτὴ πλεονάσα-
σα. ἐπεὶ πᾶσι μὲν φύσει ἐνυπάρχει. ἀλλὰ παροῖς μὲν ἐλάσσω
παροῖς δέ τισι πλείων. ἡ δὲ ἀμετρία αὐτῆς νοῦσοι τυγχάνουσιν ὡς
ὕλης ὁτὲ μὲν ἀγαθῆς ὁτὲ δὲ φαύλης ὑποκειμένης. κἀγὼ νὴ δί᾽ ἔ-
φην ὦ δημόκριτε ἀληθέως τε καὶ φρονίμως λέγεις. ὅθεν εὐδαιμο-
νάσε κείνω, ἀπολαύοντα τοσαύτης ἡσυχίας. ἡμῖν δὲ μετέχειν ταύ-
της οὐκ ἐπιτέτραπται. ἐρόμενος δὲ διατί ἱππόκρατες οὐκ ἐπι-
τέτραπται, ὅτι ἔφην ἢ ἀποικίη ἢ τέκνα ἢ δάνεια. ἢ νοῦσοι ἢ θάνα-
τοι ἢ δμῶες ἢ γάμοι ἢ τοιαῦτά τινα τὴν εὐκαιρίην ὑποτέμνεται.
ἐν ταῦθα δὴ ὁ ἀνὴρ εἰς τὸ εἰωθὸς πάθος κατηνέχθη. καὶ μάλα ἀ-
θρόον τι ἀνεκάγχασε. καὶ ἐπετώθασε. καὶ τὸ λοιπὸν ἡσυχίαν ἦγε. καὶ
ἐγὼ τί μέντοι ἔφην ὦ δημόκριτε καταγελᾷς. πότερον τὰ ἀγαθὰ
ὧν εἶπον ἢ τὰ κακά. ὁ δὲ, ἔτι μᾶλλον ἐγέλα. καὶ ἄποθεν ὁρῶντες οἱ
ἀβδηρῖται, οἱ μὲν τὰς κεφαλὰς αὐτῶν ἔπαιον. οἱ δὲ τὰ μέτωπα. οἱ δὲ τὰς
τρίχας αὐτῶν ἔτιλλον. καὶ γὰρ ὡς ὕστερον ἔφασαν. πλεονάζοντι παρὰ τὸ εἰωθὸς

κατηνέχθη ἢ μαλάθρου τι ἐχρήσατο τῷ γέλωτι. ὑποτυχὼν δὲ ἐγὼ ἔφην· ἀλλὰ μὴν σοφῶν ἄριστε Δημόκριτε· ποθέω γὰρ αἰτίην τοῦ περὶ σὲ πάθεος καταλαβέσθαι, τίνος ἄξιος ἐφάνην ἐγὼ γέλωτος αὐτὸς ἢ τὰ λεχθέντα. ὅκως ἢ μαθὼν παύσωμαι τῆς αἰτίης, ἢ σὺ ἐλεγχθεὶς, διακρούσῃ τοὺς ἀκαίρους γέλωτας. ὁ δὲ, Ἡράκλεις ἔφη. εἰ γὰρ δυνήσῃ με ἐλέγξαι, θεραπείην θεραπεύσεις οἵην οὐδένα πώποτε Ἱππόκρατες. καὶ πῶς οὐκ ἐλεγχθείης ἔφη ὦ ἄριστε. ἢ οὐκ οἴεαι, ἄτοπός γ' εἶναι γελῶν θάνατον ἀνθρώπου. ἢ νοῦσον ἢ παρακοπὴν ἢ σφαγὴν ἢ ἄλλο τι χεῖρον. ἢ τοὔμπαλιν γάμους ἢ πανηγύριας ἢ τεκνογονίην. ἢ μυστήρια. ἢ ἀρχάς. ἢ τιμάς. ἢ ἄλλο ὅλως ὄνομα ἀγαθόν. καὶ γὰρ ἃ δέον οἰκτείρειν, γελᾷς. ἢ ἐφ' οἷσιν ἥδεσθαι χρὴ, καταγελᾷς τούτων. ὥστε μήτε ἀγαθὸν μήτε κακὸν παρὰ σοὶ διακεκεῖσθαι. ὁ δὲ, ταῦτα μὲν εὖ λέγεις Ἱππόκρατες. ἢ δ' οὐκ οἶσθά πω ἡμετέρου γέλωτος αἰτίην. μαθὼν δὲ, εὖ οἶδ' ὅτι κρείσσονα τῆς πρεσβείας αὐτῇ φροντισάμενος, ἀποίσῃ θεραπείην τὸν ἐμὸν γέλωτα τῇ πατρίδι. καὶ ἑαυτὸν καὶ τοὺς ἄλλους δυνήσῃ σωφρονίζειν. αὐθ' ὧν ἴσως κἀμὲ διδάξεις ἰητρικὴν ἀμοιβὴν. γνοὺς οἵην σπουδὴν περὶ τὰ ἀσπούδαστα φιλοτιμεύμενοι πρήσσειν τὰ μηδενὸς ἄξια πάντες ἄνθρωποι, τὸν βίον ἀχρήστως ἀναλίσκουσι, γελώτων ἄξια διοικοῦντες. ἐγὼ δ' ἔφημι, λέγε πρὸς θεῶν. μήποτε γὰρ διαλανθάνει νοσέων πᾶς ὁ κόσμος ἢ οὐδ' ἔχει ὅκου διαπέμψηται πρεσβείην πρὸς θεραπείην; τί γὰρ ἂν εἴη ἔξω αὐτοῦ. ὁ δὲ, ὑπολαβὼν, πολλαί γ' ἔφησιν ἀπειρίαι κόσμων εἰσὶν ὦ Ἱππόκρατες. καὶ μηδαμῶς ἑταῖρε κατασμικρολόγει πλουσίην τὴν φύσιν ἐοῦσαν. ἀλλὰ ταῦτα μὲν ἔφην ὦ Δημόκριτε διδάξεις ἐν ἰδίῳ καιρῷ. εὐλαβεόμεθα δὲ μήκως καὶ τὴν ἀπειρίην διεξιὼν, γελᾷν ἄρξῃ. ἴθι τοίνυν

περὶ

περὶ τοῦ σοῦ γέλωτος τῷ βίῳ λόγον δώσων. ὁ δὲ μάλα τρηχὺ ἀ-
πιδών με, δύο φησὶ τοῦ μοῦ γέλωτος αἰτίας δοκέεις ἀγαθὰ καὶ
φλαῦρα. ἐγὼ δ' ἕνα γελῶ τὸν ἄνθρωπον. ἀνοίης μὲν γέμοντα. κενὸν
δὲ πρηγμάτων ὀρθῶν, πάσῃσιν ἐπιβολῇσι νηπιάζοντα. καὶ
μηδεμιῆς εἵνεκεν ὠφελείης ἀνύοντα τοὺς ἀνηνύτους μόχθους.
πείρατα γῆς καὶ ἀορίστους μυχοὺς ἀμετρίης ἐπιθυμίῃ ὁδεύον-
τα. ἄργυρον τήκοντα καὶ χρυσὸν. καὶ μὴ παυόμενον τῆς κτή-
σιος ταύτης. ἀεὶ δὲ θορυβεόμενον περὶ τὸ πλέον ὅκως αὐτὸς ἐ-
λάσσων γένηται. καὶ οὐδὲν αἰσχύνεται λεγόμενος εὐδαίμων. ὅτι
χάσματα γῆς ὀρύσσει δεσμίων χερσίν. ὧν οἱ μὲν ἐπὶ σομφῆς πε-
πτούσης τῆς γῆς ἐφθάρησαν. οἱ δὲ πολλῷ χρόνῳ ταύτην ἄγοντες
τὴν ἀνάγκην ὡς ἐν πατρίδι τῇ κολάσει καταμένουσιν, ἄργυ-
ρον καὶ χρυσὸν μαστεύοντες. ἴχνη κόνιος καὶ ψήγματα ἐρευνῶν-
τες, ψάμμον ἄλλην ἀλλαχόθεν ἀγείροντες καὶ γῆς φλέβας ἐκ-
τέμνοντες ἐς περιουσίην ἀεὶ βωλοποιοῦντες ἐκ γῆς μητρός. τὴν
δὲ μίην γῆν καὶ τὴν αὐτὴν ἐοῦσαν καὶ θαυμάζουσι καὶ πατοῦ-
σιν. ὅσος γέλως ἐπὶ μόχθου, καὶ κρυφίης τῆς ἐρῶσι. καὶ τὴν φα-
νερὴν ὑβρίζουσι. κύνας ὠνέονται οἱ δὲ ἵππους. οἱ δὲ χώρην πολ-
λὴν περιορίζοντες, ἰδίην ἐπιγράφουσι. καὶ πολλῶν ἐθέλοντες
δεσπόζειν, οὐδ' αὐτῶν δύνανται. γαμέειν σπεύδουσιν ἃς μετ' ὀλίγον ἐκ-
βεβλήκασιν. ἐρῶσιν. εἶτα μισοῦσι. μετ' ἐπιθυμίης τεκνοῦσιν, εἶτα
ἐκβάλλουσι τελέως. τίς ἡ κενὴ σπουδὴ καὶ ἀλόγιστος, μηδὲν μανίης
διαφέρουσα. πολεμοῦσιν ἔμφυλα. ἠρεμίην οὐχ αἱρετίζουσιν. αὖτε
νεκροῦσι βασιλέας ἀνδροφονέουσι. γῆν ὀρύττοντες, ἄργυρον ζη-
τοῦσιν. ἄργυρον εὑρόντες γῆν θέλουσι πρίασθαι. ὠνησάμενοι γῆν, καρ-
ποὺς πιπράσκουσι. καρποὺς ἀποδιδόμενοι, πάλιν ἀργύριον με

τα λαμβάνουσιν· ἔνιοι ὅσοι μεταβεβλήκασιν εἰσὶν, ἔνιοι καὶ ἣν οὐσίην
μὴ ἔχοντες οὐσίην ποθέουσιν· ἔχοντες κρύπτουσιν· ἀφανίζουσι. γε-
λῶ ἐφ' οἷσι κακοπραγέουσιν· ἐπιστένω χαλεπῶς ἐφ' οἷς δυστυχέουσι.
θεσμοὺς γὰρ ἀληθείης παραβεβήκασι· φιλονεικέοντες ἔχθρῃ
πρὸς ἀλλήλους, δῆθεν ἔχουσι μετὰ ἀδελφεῶν καὶ γονέων καὶ πολιτέ-
ων καὶ ταῦτα ὑπὲρ τοιούτων κτημάτων, ὧν οὐδεὶς θανὼν δεσπό-
της ἐστί. ἀλλήλοις τομέουσιν ἄθεσμα βιαφευδύοντες· φίλων τε πα-
τρίδων ἀπορείην ὑπερορῶσι· πλουτίζουσι τὰ ἀνάξια τε τὰ ἄψυχα,
ὅλης τῆς οὐσίης ἀνδριάντας ὠνέονται, ὅτι δοκεῖ λαλεῖν τὸ ἄγαλμα·
τοὺς δὲ ἀληθέως λέγοντας μισέουσι· τῶν μὲν δὴ ὧν ἐφίενται. τὸ γὰρ
ἤπειρον οἰκέοντες, θάλατταν ποθέουσι· καὶ πάλιν οἱ νησιῶται ἔ-
όντες ἠπείρου γλίχονται. καὶ πάντα διαστρέφουσιν εἰς ἰδίην
ἐπιθυμίην. καὶ δοκέουσι μὲν ἐν πολέμῳ ἀνδρείην ἐπαινέεσθαι. νι-
κῶνται δὲ καθημέρην ὑπὸ τῆς ἀσελγείης· ὑπὸ φιλαργυρίης· ὑπὸ
τῶν παθέων ἁπάντων ἃ νοσέουσι. θερσῖται δὲ εἰσὶ τοῦ βίου πάντες.
τί δὲ τὸν ἐμὸν ἱπποκράτες ἐμέμψω γέλωτα. οὐ γὰρ αὐτοὶ τῆς
ἰδίης ἀνοίης. ἀλλ' ἄλλος ἄλλου καταγελᾷ. οἱ μὲν τῶν μεθυόντων
ὅταν αὐτοὶ δοκέωσι νήφειν. οἱ δὲ τῶν ἐρώντων χαλεπωτέρην νόσον
νοσέοντες αὐτοί. οἱ δὲ τῶν πλεόντων. ἄλλοι δὲ τῶν περὶ γεωργίην ἀ-
σχοληθέντων. οὐ συμφωνέουσι γὰρ οὔτε ταῖς τέχνῃσιν οὔτε τοῖς ἔρ-
γοισιν. ἐγὼ δὲ ταῦτα μὲν ἔφην κρήγυα δημόκριτε. οὐδὲ ἄλλος
τις ἂν εἴη λόγος ἁρμοδιώτερος ἐξαγγέλλειν ταλαιπωρίην θνη-
τῶν. ἀλλ' αἱ πρήξιες νομοθετέουσι τὴν ἀναγκαίην. οἰκονομί-
ης τε ἕνεκεν καὶ ναυπηγίης καὶ τῆς ἑτέρης πολιτείης, ἐν ᾗ χρεὼν
εἶναι τὸν ἄνθρωπον. οὐ γὰρ ἐς ἀργίην αὐτὸν ἡ φύσις ἐγέννα. ἐκ
τούτων

τούτων δὴ πάλιν φιλοδοξίη χρηΐσασα ἔσφηλε πολλῶν ὀρθονό-
μον ψυχήν· σπουδάζουσι τῶν μὲν ἅπαντα ὡς ἐπὶ διαπτωσίην·
μηκέτ' οὐ τοῦ ἐόντων δὲ τὴν ἀδηλότητα προορέεσθαι. τοῦ γάρ
τις ὦ δημόκριτε γαμέων, ἢ χωρισμὸν ἢ θάνατον προσεδόκησε. τίς
δ' ὁμοίως παιδοτροφέων ἀπώλειαν· ἀλλ' οὐδὲ ἐν γεωργίῃ καὶ πλόῳ
καὶ ναυτιλίῃ· καὶ βασιλείῃ καὶ ἡγεμονίῃ καὶ πᾶσιν ὅσα ὑπάρχει
κατὰ τὸν αἰῶνα· οὐδὲ εἷς γὰρ προσέλαβε πάντα· ἀλλ' ἀγαθῇ
σὺν ἕκαστος τούτων ἐλπίσι φέρβεται· τῶν δ' ἐγχειρεομένων οὐ μέ-
μνηνται. μήποτ' οὖν ὁ σὸς γέλως τούτοις ἀνάρμοστος. ὁ δὲ δημό-
κριτος. μάλα νωθὴς ἔφη τὸν νόον ὑπάρχεις, μακρὰν γὰρ εἶ ἐ-
μῆς γνώμης ἀπόδημος ἱππόκρατες, ἀταραξίης καὶ ταρα-
χῆς μέτρα ἐπισκοπέων διὰ ἀνοίην. ταῦτα γὰρ αὐτὰ διανοίῃ φρε-
νήρει διοικεόμενοι, αὐτοί τε ῥᾳδίως ἀπηλλάττοιντο. καὶ τὸν ἐ-
μὸν ἐλώφεον γέλωτα. νῦν δ' ὡς ἐπ' ἀρηρόσι τοῦ τοῖσιν ἐν τῷ βίῳ
φρενοβλαβέες τετύφωνται. ἀσυλλογίστως δὲ ἀνοίῃ γὰρ ἀτάκτου
φορῆς δυσδίδακτοι. νουθεσίη γὰρ αὐτάρκης ὑπῆρχεν ἡ τῶν συμ-
βάντων μεταβολή, ὀξέῃσι τροπῇσιν ἐμπίπτουσα αἰφνίδιον,
τροχηλασίην παντοίην ἐλίσσουσα. οἱ δ' ὡς ἐπαρηρέη καὶ βεβαίη
ἐκλελησμένοι παθέων κατὰ τὸ συνεχὲς συμπιπτόντων ἄλλο-
τε ἄλλως, ποθέοντες τὰ λυπέοντα, διζήμενοι τὰ μὴ συμφέ-
ροντα ἐναλινδέονται πολλῇσι ξυμφορῇσιν. εἰ δ' ἐμερμήριζε
κατὰ δύναμιν ἰδίην τὰ ξύμπαντα ἔρδειν, ἀδιέπτωτ' ἂν ἐφρό-
ρεε ζωὴν ἑαυτὸν ἐξετάσας μετὰ σύγκρισιν ἰδίην σαφῶς κατανοήσας
καὶ μὴ γὰρ ἐπιθυμίης τὴν σπουδὴν ἀόριστον ἐκτείνοντα, ἢ πλουσίην φύσιν
ἁπάντων τιθηνὸν διὰ αὐταρκείης ὁδοιπορεῖν. καθάπερ ἡ τῶν παθέων ἐνδεξίη

κίνδυνος πρόδηλος. οὐ τοῦτο μέντοι τῶν αὐτοῦ χρημάτων ἐπισφαλέστερόν ἐστιν. χρήσιμοι δὲ ἐπὶ τῇσι κακοδαιμονίῃσι ξυνθεωρέουται. ἄλλοι δὲ τὰ τῶν πέλας μηδὲν ἱστορέοντες ὑπὸ τῆς ἰδίης κακοπραγίης ἀπώλοντο. τὰ δὲ δῆλα καθάπερ ἄδηλα μὴ θεωρέοντες ὑπόδειγμα τὸν μακρὸν βίον ἔχοντες, γενομένων καὶ μὴ γενομένων ἐξ ὧν ἦν τὸ ἐσόμενον ἔχειν κατανοῆσαι. ταῦτα ὁ ἐμὸς γέλως. ἄφρονες ἄνθρωποι πονηρίης δίκας ἐκτίνοντες φιλαργυρίης, ἀπληστίης, ἔχθρης, ἐνέδρης, ἐπιβουλῆς, βασκανίης. ἀργαλέον ἐξευρεῖν μηχανὴν κακῶν. ἄπειρος γάρ τις ἐστὶ καὶ τοῖσι δολοπλοκίῃσιν ἀνθαμιλλέονται κακόφρονες. ἀρετῆς ἡ παρ' αὐτῆς τρόπος ἐστὶ τὸ χεῖρον. φιλοψευδίην γὰρ ἔχουσι. φιληδονίην κόσμου νόμοισιν ἀπειθέοντες. ὁ δὲ, αὐτῶν κατακρίνει τὴν ἀπροαιρεσίην. μήτε ὁρήσιος μήτε ἀκοῆς μετέχοντας. μούνη δὲ αἴσθησις ἀνθρώπου ἀξεικίη διανοίας τηλαυγοῦς. τό, τε ὂν καὶ τὸ ἐσόμενον προορώμενοι, δυσαρεστοῦντες πᾶσι. καὶ πάλιν τοῖσιν αὐτοῖσιν ἐμπελάζονται. ὠνησάμενοι πλοῖον, πλέουσι. γεωργίην ἀπωσάμενοι αὖθις γεωργοῦσιν. ἐκβάλλοντες γαμετήν, ἑτέρην ὀψάζονται. θάψαντες ἃ ἐγέννησαν, πάλιν τρέφουσι. περασεύξοντο. ὅταν δ' αὐτὸ ἀφικόμενοι στενάζουσιν. ἐν οὐδεμιῇ καταστάσει βεβαίαν ἔχουσι γνώμην. ἡγεμόνες καὶ βασιλέες μακαρίζουσι τὸν ἰδιώτην. ὁ δὲ ἰδιώτης ὀρέγεται βασιλείας. ὁ πολιτευόμενος τὸν χειροτεχνέοντα ὡς ἀκίνδυνον. ὁ χειροτέχνης ἐκεῖνον ὡς εὖ πονέοντα κατὰ πάντων. τὴν γὰρ ὀρθὴν κέλευθον τῆς εὐθυμίης, οὐ θεωρέουσι καθαρὴν καὶ λείην καὶ ἀπρόσπταιστον. ἧς ἡ μὲν ὁδὸς τετόλμηκεν ἐμμενέειν. φέρονται δὲ ἐπὶ τὴν ἐναντίην καὶ σκολιήν, τρηχοβατέοντες καὶ καταφερόμενοι καὶ προσκόπτοντες ἀσθμαίνον-

τες

ἴσιν ὡς διωκόμενοι. ὀρίζονται. ὑστεροῦντες προσποιούμενοι. καὶ οἷς μὲν αὐτέων ἐρῶσιν, ἀπαθῶλους ὑποπεπτήχασιν ἀλλοτρίης φορᾶς εὐνῆς. ἀναιδείῃ πισύνους. οὓς δὲ τίνες φιλαργυρίη νοῦσος ἀόρεστος, οἱ δὲ ἀλλήλοισιν ἀντεπιτίθενται. οἱ δὲ ὑπὸ φιλοδοξίης εἰς ἠέρα ἀναχθέντες, βρίθει κακίης, εἰς βυθὸν ἀπωλείης καταφέρονται. κατασκάπτουσιν ἐποικοδομέοντες. χαρίζονται εἶτα μετανοοῦσι καὶ ἀφαιρέονται τὰ φιλίης δίκαια. κακοπραγέουσι εἰς ἔχθρην, τοῖς συγγενέεσι πολεμοῦσιν. καὶ τούτων αἴτιον ἡ φιλαργυρίη. τί νηπίων ἀθυρόντων διαφέρουσι. τοῖς οἷσιν ἄκριτος μὲν ἡ γνώμη, τὸ δὲ προσπεσὸν, τερπνόν. ἐν δὲ τοῖσι θυμοῖς, τί παριώδον ζώοισ ἀλόγοισι παραλείπουσι. πλὴν ὅτι ἐναυταρκείῃ μένουσιν οἱ θῆρες. τίς γὰρ λεόντων εἰς γῆν κατέκρυψε χρυσόν. τίς ταῦρος πλεονεξίην ἐκορύξατο. τίς δὲ πάρδαλις ἀπληστίην κεχώρηκε. διψᾶ μὲν ἄγριος σῦς ὅσον ὕδατος. λύκος δὲ διαρπάξας τὸ προσπεσὸν διὰ ἀναγκαίης τροφῆς, ἀναπέπαυται. ἡμέρῃσι δὲ καὶ νυξὶ συναπτομένῃσιν οὐκ ἔχει κόρον ὁ ἄνθρωπος. χρόνων μὲν ἐνιαυσίων τάξις, ὅρος καὶ ἀλόγων ἐστὶ τέρμα. ὁ δὲ τὸ διηνεκὲς οἰστρομανίην ἔχει διὰ ἀσελγείης. Ἱππόκρατες. μὴ γελάσω τὸν κλαίοντα δι' ἔρωτα ὅτι συμφερόντως ἀποκέκλεισται. μάλιστα δ' ἂν ῥιψοκινδυνῇ καὶ φέρηται κατὰ βυθῶν ἢ κρημνῶν πελάγους, οὐ τιμωρῶ τὸν γέλωτα. μὴ γελάσω γὰρ τὸν τὴν νῆα πολλοῖσι φορτίοισι βαπτίσαντα, εἶτα καὶ μεταμεμφόμενον τῇ θαλάττῃ, ὅτι κατεβύθισε τὴν πλήρη. ἐγὼ μὲν οὐκ ἀξίως δοκέω γελᾶν. ἐξευρεῖν δὲ καὶ αὐτῷ ἢ θέλοντι λυπηρόν. ἀλλοῦ δὲ ἰατρικὴν ὑπὲρ τούτων ἐχρῆν εἶναι μὴ τεχνωμένην παιώνια φάρμακα. ὁ σὸς πρόγονος ἀσκληπιὸς νουθεσίῃσι προέθω. σώζων ἀνθρώπους, κεραυνοῖσιν εὐχαριστεῖται. ὁρᾷς ὅτι κἀγὼ διὰ αὐτῆς μοι

ρες εἰμὶ, μανίης δὲ ζητεόμενος αἰτίην καὶ ζῶα καταιτείνω καὶ ἀνα-
τέμνω. ἐχρῆν δὲ ἐξ ἀνθρώπων τὴν αἰτίην ἐρευνῆσαι. οὐχ ὁρᾷς ὅτι καὶ
ὁ κόσμος μισανθρωπίης πεπλήρωται; ἄπειρα κατ' αὐτοῦ πά-
θεα συνήθροισεν· ὅλος ἄνθρωπος ἐκ γενετῆς νοῦσός ἐστι. τρεφόμενος, ἄχρηστος
ἱκέτης βοηθείης. αὐξανόμενος ἀπαθής. ἄφρων διὰ χειρὸς παιδαγωγέ-
ης. θρασὺς ἀκμάζων. παρακμάζων, οἰκτρός. τοὺς ἰδίους χειρῶν ἀλλοτρίη
γεωργήσας. ἐκ μητρῴων δὲ λύθρων ἐξέθορε πρῶτος. διὰ τοῦτο γὰρ οἱ μὲν, θυ-
μικοὶ, καὶ ὀργῆς ἀμέτρου γέμοντες. οἱ δὲ ἐν φθορῇσι γὰρ μοιχείῃσι διὰ παντός.
οἱ δὲ ἐν ἐπιθυμίῃσι τῶν ἀλλοτρίων. οἱ δὲ ἐν ἀπωλείῃ τῶν σφετέρων. ὤφελε δύ-
ναμις ὑπάρχειν τὰς ἁπάντων οἰκήσιας ἀνακαλύψαντα μηδὲν
ἀφεῖναι τῶν ἐντὸς παρακάλυμμα, εἶθ' οὕτως ὁρᾶν τὰ πρησσόμενα ἔνδον.
εἴδομεν ἂν, τοὺς μὲν, ἐσθίοντας. οὓς δὲ ἐμέοντας. ἑτέρους δὲ αἰκίῃσι
στρεβλοῦντας. τοὺς δὲ φάρμακα κυκέοντας. τοὺς δὲ συννοοῦντας περὶ
βουλήν. τοὺς δὲ, ψηφίζοντας. ἄλλους χαίροντας. τοὺς δὲ, κλαίοντας.
οὓς δὲ περὶ κατηγορίην ἑτέρων φίλων συγγράφοντας. οὓς δὲ διὰ φιλοδοξί-
ην ἐκφρου. καίτοι γε βαθύτεραι πρήξιες τῶν ἐν ψυχῇ κευθομένων.
καὶ τούτων ὁκόσοι μὲν νέοι, ὁκόσοι δὲ πρεσβῦται αἰτεῦντες, ἀρνεύμενοι
πενόμενοι. πλουσιάζοντες. λιμῷ θλιβόμενοι. οἱ δὲ ἀσωτίῃ βεβαρη-
μένοι. ῥυπόοντες. δέσμιοι. οἱ δὲ τρυφῇσι γαυριῶντες. τρέφοντες. ἄλλοι δὲ
θάπτοντες. ὑπερφρονέοντες ἃ ἔχουσι πρὸς τὰς ἐλπιζομένας πρήξιας
ὁρμώμενοι. οἱ μὲν ἀναίσχυντοι. οἱ δὲ φειδωλοί. οἱ δὲ ἄπληστοι. οἱ δὲ μὴ
φρονέοντες. οἱ δὲ, τυπτόμενοι. οἱ δὲ ὑπερηφανέοντες. οἱ δὲ ἐπαιρόμενοι
κενοδοξίῃ. καὶ οἱ μὲν, ἵπποισι προσεῶτες. οἱ δὲ, ἀνδράσιν. οἱ δὲ κυσίν.
οἱ δὲ λίθοισιν ἢ ξύλοισι. καὶ οἱ μὲν πρεσβείῃσιν, οἱ δὲ στρατηγίῃσιν. οἱ
δὲ ἱερωσύνῃσιν. οἱ δὲ, στεφανηφορέοντες. οἱ δὲ ἐν ὅπλοισιν. οἱ δὲ ἀ-
ποκτιννύμενοι. φέρονται δὲ τούτων ἕκαστοι, οἱ μὲν, περὶ ναυμαχίην
οἱ δὲ, περὶ στρατηγίην. οἱ δὲ, ἐπὶ γεωργίην. ἕτεροι δὲ, περὶ νῆας. οἱ δὲ ἐ-

πατρῴην. οἱ δὲ ἐπὶ ἐκκλησίην. οἱ δὲ ἐπὶ θέητρον. οἱ δὲ, ἐς φυγαδείην.
ἄλλοι ἀλλαχόσε. οἱ μὲν, ἐς φιληδονίην καὶ ἡδυπαθείην καὶ ἀκρασίην.
οἱ δὲ ἐς ἀργίην καὶ ῥαθυμίην. τὰς ἀναξίους οὖν καὶ τὰς δυστήνους
σπουδὰς τοιαύτας ὁρῶντες καὶ τοσαύτας, πῶς μὴ χλευάσωμεν τὸν
ἀκρασίην ἔχοντα βίον αὐτῶν. καίτοι γε ἔλπομαι μηδὲ τὴν σὴν
ἰατρικὴν ἀνδάνειν αὐτοῖς. δυσαρεστοῦνται γὰρ ἀκροήσει. καὶ μανίην τὴν σο
φίην νομίζουσι. ἤκουσα γὰρ ὑπὸ νοσεύντων σαφέως λωβάζεσθαί σου τὸ πολ
λὰ τῶν ἐπιστημέων. ἢ διὰ φθόνον ἢ δι' ἀχαριστίην. οἵ τε γὰρ νοσέοντες ἅμα τῷ
σώζεσθαι, τὴν αἰτίην ἢ θεοῖσιν ἢ τύχῃ προσνέμουσι. πολλοὶ δὲ τῇ φύσει
προσψαύσαντες, ἐχθραίνουσι τὸν εὐεργετήσαντα μικροῦ δεῖν προσαγα
νακτεόντων, ἢν νομίζονται χρεωφειλέται. οἱ πολλοὶ γὰρ τῶν ἀτεχνίης ἐνεόν
των ἔχοντες. ἀΐδριές τε ὄντες, ἐχθαίρουσι τὸ κρεῖσσον. ἐν ἀμαθήτοισι γὰρ
ἐοῦσιν αἱ ψῆφοι. οὔτε δὲ οἱ παθόντες ἐξομολογέεσθαι ἐθέλουσιν, οὔτε οἱ ὁμοτε
χνέοντες μαρτυρέειν. φθόνος γὰρ ἐνίσταται. οὐκ ἄπειρος οὖν τῶν τοιούτων λεχέων
ταῦτα σαφέ' εἰδὼς, ἐν ἀναξιοπαθείῃ σε πολλάκις γενηθέντα καὶ διὰ οὐ
κί τε καὶ βασκανίην φιλοτωθάσου. ἀρκέσης γὰρ οὐδὲ μιῆς γνώσιος, οὔτε μαρ
τυρίης. λέγων ταῦτα, ἔπεμπε δῶρα. καί μοι δαιμόνιόν τε θεοειδής τις κατε
φαίνετο καὶ τῆς προτέρης αὐτοῦ μορφῆς ἐξελελήσμην. καὶ φημί. ὦ Δημό
κριτε μεγαλόξεινε. μεγάλα γὰρ τῶν σῶν ξενίων δωρεὰς εἰς Κῶον ἀπερίσομαι.
πολλοῦ γάρ με τῆς σοφίης θαυμασμοῦ πεπλήρωκας. ἀπονοστέω τε σεῦ κή
ρυξ ἀληθείην ἀνθρωπίνου φύσιος ἐξιχνεύσαντος καὶ νοήσαντος καὶ λαλήσαν
τος. θεραπείην τε λαβὼν παρὰ σεῦ τῆς ἐμῆς διανοίης, ἀπαλλάττομαι.
ὥρης τοῦ ταξιούσης καὶ τῆς τοῦ σώματος ἐπιμελείης. αὔριον δὲ
κατὰ τὸ ἑξῆς ἐν τούτῳ γενησόμεθα. ἀνίστασο μὴν ταῦτ' εἰπών. καὶ ὃς,
ἕτοιμος ἦν ἐπακολουθέειν. προσελθόντι δέ τινι, οὐκ οἶδ' ὁ
πόθεν, ἐπεδίδου τὰ βιβλία. κἀγὼ συντονώτερον ἐπείξας,

ξ iiii

πρὸς τοὺς οὕτως ἀβδηρείτας ἐπὶ τῇ σκοπιῇ ἀναμένοντάς με, αὐθήμερον ἔφην. ἦλθε πρὸς ἐμὲ πρεσβείης χάριν πολλοί. Δημόκριτον δὲ εἶδον ἄνδρα σοφώτατον, σωφρονίζειν ἀνθρώπους μοῦνον δυνάμενον. ταῦτ' ἔχουσι περὶ Δημοκρίτου Δαμάγητε φράζειν, γηθόσυνοι πάμπαν. ἔρρωσο.

Δημόκριτος Ἱπποκράτει.

ἐ Πῆλθες ἡμῖν ὦ Ἱππόκρατες, ὡς μεμηνόσιν ἐλλέβορον δώσων, πεισθεὶς ἀνοήτοισιν ἀνδράσι πρὸς οὓς ὁ πόνος μανίη εἶναι ἐδόκεε. ἐτυγχάνομεν δὲ περὶ κόσμου διαθέσιος καὶ πολογραφίης ἔτι τε ἀστέρων οὐρανίων συγγράφοντες. γνοὺς δὲ τὴν τούτων φύσιν, ὡς ἀτρεκέως κάρτα ἐνδεδημιουργημένα, καὶ ὡς τηλοῦ μανίης καὶ παραφρονήσιος καθεστήκοι, ἐμέο μὲν φύσιν ἐπῄνεσας. ἀπηνέας δὲ τοὺς μεμηνότας ἐκείνους ἔκρινας. ὁκόσα γὰρ ἰνδαλμοῖσι διαλλάσσονται ἀνὰ τὸν ἠέρα, πλάζει ἡμέας, ἃ δὴ κόσμῳ συνορᾶται, καὶ ἅμα μοίρης μὴ ἐόντα τέτευχε, ταῦτα νόος ἐμὸς φύσιν ἐρευνήσας ἀτρεκέως ἐς φάος ἤγαγε. μάρτυρες δὲ τούτων βίβλοι ὑπ' ἐμέο γραφεῖσαι. χρὴ οὖν καὶ σὲ ὦ Ἱππόκρατες μὴ τοιουτοτρόποισιν ἀνδράσι συνέρχεσθαι καὶ συνομιλέειν ὧν νόος ἀκρόπολος καὶ ἀβέβαιος καθέστηκεν. εἰ γὰρ πεισθεὶς τούτοισιν ὡς μεμηνότα με ἐπότισας, ἴσως τὸ πόνημα μανίη ἂν ἐγεγόνει. καὶ σέο τέχνην ἂν κατεμέμψαντο ὡς παραίτιον παραληρήσιος γεγενημένην. ἐλλέβορος γὰρ ὑγιαίνουσι μὲν δοθεὶς ἐπισκοτεῖ διάνοιαν. μεμηνόσι δὲ δοθεὶς κάρτα ὠφελεῖ. γνῶθι γάρ, ὡς εἰ μὴ κατειλαβήκεις με γράφοντα, ἀλλ' ἀνακεκλιμένον ἢ σχέδην περιπατέοντα καὶ προσομιλέοντα ἑαυτῷ, καὶ πολλάκις ὁτὲ μὲν δυσχεραίνοντα, ὁτὲ δὲ μειδιῶντα, ἐπὶ τοῖσιν ἐννοουμένοι

σιν

σιν ὑπὲρ μέθυ, τοῖσι μὲν προσομιλοῦσι τῶν γνωρίμων οὐ προσέχοντες, ἐφιστάνοντες δὲ τὴν διάνοιαν καὶ σκεπτόμενοι ἱκανῶς, ἔγνως ἂν δημόκριτον κατὰ τὴν ὄψιος κρίσιν ἐκ τῶν ὁρεομένων μανίης εἰκόνι ἐοικέναι. χρὴ οὖν τὸν ἰατρὸν, μὴ μόνον ὄψει τὰ πάθεα κρίνειν, ἀλλὰ τοῖς πράγμασι. τούς τε ῥυσμοὺς ἀναλείμμεν ὡς ἐπὶ τὸ πλεῖστον. καὶ πότερον ἄρχοιτο τὸ πάθος ἢ μεσάζοι ἢ λήγοι, καὶ διαφορὴν καὶ ὥρην καὶ ἡλικίην παρατηρέειν. εἴτ' οἱ ἀκριβοῦν τὸ πάθος ὁλομελίην τε χροῦς κίνεος. ἐκ γὰρ τουτέων, ἁπάντων εὐχερῶς ἂν τὰς νούσους εὑρήσεις. ἀπέστειλα δέ σοι τὸν περὶ μανίης λόγον.

Ἱπποκράτης Δημοκρίτῳ.

Ἡ ἰητρικῆς τέχνης, ὦ δημόκριτε, κατορθώματα μὲν οἱ πολλοὶ τῶν ἀνθρώπων οὐ παντάπασιν ἐπαινέουσι. θεοῖσι δὲ πολλάκις προσαρτῶσιν. ἂν δέ τι ἡ φύσις ἀντιπράξῃ καὶ ἀπολέσῃ τὸν θεραπευόμενον, τὸν ἰητρὸν καταμέμφονται, παρέντες τὸ θεῖον. ἐγὼ δὲ δοκέω πλείονα μεμψιμοιρίην ἤ τιμὴν κεκληρῶσθαι τὴν τέχνην. ἐγὼ μὲν γὰρ ἰητρικῆς εἰς τέλος οὐκ ἀφῖγμαι. καίπερ ἤδη γηραλέος καθεστώς. οὐδὲ γὰρ ὁ ταύτης εὑρετὴς ἀσκληπιός. ἀλλὰ καὶ αὐτὸς διεφώνησε, καθάπερ ἡμῖν συγγραφέων βίβλοι παραδεδώκασιν. ἁ μὲν οὖν ὑπὸ σέο ἀποσταλεῖσα ἡμῖν ἐπιστολὴ, καταμέμφεται τὴν φαρμακείης τοῦ ἐλλεβόρου. εἰσήχθην μὲν οὖν, ὦ δημόκριτε, ὡς μεμηνότα ἐλλεβορίσων. οὐκ ἀτὰρ μανεῖσθαι μὲν, ὅς τις ποτὲ εἴης. ὡς δ' ἐντυχὼν εἶδον, οὐ μὰ δία παραφρονήσεως ἔργον ἀλλὰ σχεδὸν ἀποδοχῆς πάσης, κάρτα τὴν φύσιν ἐπῄνεσα. ἄριστόν τε ἑρμηνέα φύσιος καὶ κόσμου ἔκρινα. τοὺς δὲ εἰσαγαγόντας με ἐμεμψάμην ὡς μεμηνότας

φαρμακείης γὰρ αὐτοὶ δέονται. ἐπεὶ δὴ γῖνον τὸ αὐτόματον ἡ μὲν ἐς τὠυτὸ ξυνήγαγεν, ὀρθῶς ποιήσεις ἐπιστέλλων ἡμῖν πυκνότερον· καὶ μεταδιδοὺς τῶν ὑπὸ σέο γεγραμμένων συνταγμάτων. ἀπέστειλα δέ σοι καὶ αὐτὸς τὸν περὶ ἐλλεβορισμοῦ λόγον. ἔρρωσο.

ΗΡΑΚΛΕΙΤΟΥ ΕΠΙΣΤΟΛΑΙ.

Βασιλεὺς Δαρεῖος Ἡράκλειτον ἐφέσιον ἄνδρα σοφὸν προσαγορεύω.

Καταβέβλησαι λόγον γραπτὸν περὶ φύσεως δυσνόητόν τε καὶ δυσεξήγητον· ἔν τισι μὲν οὖν ἑρμηνευόμενος κατὰ λέξιν σὴν, δοκεῖ μοι δύναμίν τινα προσφέρεσθαι θεωρίας κόσμου τοῦ σύμπαντος καὶ τῶν ἀπὸ τούτου συμβαινόντων, ἅπερ ἐστὶν ἐν θειοτάτῃ κείμενα κινήσει. τῶν δὲ πλείστων ἐποχὴν ἔχοντα, πρὸς ζήτησιν καὶ μάθησιν. ὥστε καὶ τοὺς ἐπὶ πλεῖον μετεσχηκότας γραμμάτων ἑλληνικῶν, καὶ τοὺς ἄλλους τοὺς ἀκολουθοῦντας περὶ τὴν τῶν μετεώρων προσοχὴν καὶ φιλομαθίαν, ἀπορεῖσθαι τί ἐστιν ὀρθὴ γνώμη παρὰ σοὶ δοκούσης καταγεγράφθαι διηγήσεως. βασιλεὺς οὖν Δαρεῖος ὑστάσπου βούλεται τῆς σῆς ἀκροάσεως μεταλαβεῖν καὶ παιδείας λογικῆς. ἔρχου δὴ συντόμως πρὸς ἐμὴν ὄψιν καὶ βασίλειον οἶκον. ἕλ-

βασιλευς αλη λωσ γὰρ ὡς ἐπὶ τὸ πλεῖστον ἀνεπισήμαντοι σοφιζομένοις ἀνδράσιν ὄντες, παρορῶσι τὰ καλῶς ὑπ᾽ αὐτῶν ἐνδεικνύμενα πρὸς καλὴν ἀκρόασιν καὶ δίαιταν. παρ᾽ ἐμοὶ δὲ ὑπάρξουσί σοι πᾶσα μὲν προεδρία. καθ᾽ ἡμέραν δὲ καλὴ καὶ σπουδαία προσαγόρευσις, καὶ βίος εὐδόκιμος, σαῖς παραινέσεσιν.

δοξοκοπίῃ

Ἡράκλειτος Δαρείῳ βασιλεῖ πατρὸς Ὑστάσπεως χαίρειν.

Κόσοι τυγχάνουσιν ἐπιχθόνιοι ἄνθρωποι μὲν ἀληθείης καὶ δικαιοσύνης ἀπέχονται, ἀπληστίῃ δὲ καὶ δόξῃ κενῇ προσέχουσι κακῆς εἵνεκεν εὐνοίης. Ἐγὼ δὲ ἀμνηστίην ἔχων πάσης πονηρίης, καὶ κόρον φεύγων παντὸς οἰκειούμενον φθόνου διὰ τὴν ὑπερηφανίην, οὐκ ἂν ἀφικοίμην ἐς Περσικὴν χώρην, ὀλίγοισιν ἀρκεόμενος κατ' ἐμὴν γνώμην.

δικαιοπραγμοσύνης ἀλ.

ἀνοίας. ἀλ.

Βασιλεὺς Δαρεῖος Ἐφεσίοις.

Νὴρ ἀγαθὸς, μέγα ἀγαθὸν πόλει. λόγοις καλοῖς καὶ νόμοις, ψυχὰς ἀγαθὰς ποιεῖ, καὶ μᾶλλον ἄγει εἰς ἀγαθά. ὑμεῖς δὲ Ἑρμόδωρον οὐ μόνον αὑτῶν βέλτιστον ἀλλὰ καὶ Ἰώνων πάντων, ἐξεβάλετε ἐκ πατρίδος, αἰσχρὰς αἰτίας ψυχῇ ἀγαθῇ προσάπτοντες. εἰ μὲν οὖν διεγνώκατε βασιλεῖ πολεμεῖν δεσπότῃ, ἑτοιμάζεσθε. ἀποστελῶ γὰρ στρατιὰν, ἣν ὑμεῖς οὐ δυνήσεσθε ἀντιτάσσεσθαι. αἰσχρὸν γὰρ βασιλεῖ μεγάλῳ μὴ ἀρκέσαι φίλοις. εἰ δὲ μηδὲν τοιοῦτον ἐγχειρήσετε, κατάξατε Ἑρμόδωρον· καὶ ἀπόδοτε αὐτῷ πατρῴαν κτῆσιν μνημονεύοντες ἃ ὑμᾶς ἐκείνου εὐνοίᾳ εὐεργέτησε φόρους ἐλάττους τάξας ὧν ἐφέρετε· καὶ τὴν πολλοῖς δοῦσαν πρὸς οὓς ἐκέκτησθε· ἣν οὐκ ἐοίκατε χάριν ὀφείλειν μόνον. καὶ αὐτό γε Ἑρμόδωρον φίλον βασιλέως ἐφυγαδεύσατε. ἀποστείλατε οὖν ἄνδρας τοὺς ἐροῦντας πρός με τὸ δίκαιον ὑπὲρ ὧν ἐγκαλεῖτε Ἑρμοδώρῳ. ἵν' ἐὰν μὲν ἐκεῖνος ἀδικεῖ χρῆν καὶ σωφρονοῦν, τιμωρηθῇ· ἐὰν δ' ὑμεῖς, τῶν οὖν βελτίους θῶμαι καὶ εἰς τὸ λοιπὸν ἁμαρτάνειν κωλύσω εἰς ἀγαθοὺς ἄνδρας. καὶ γὰρ βασιλεῖ ὑμετέρῳ συμφέρει ταῦτα καὶ ὑμῖν.

Ἡράκλειτος. Ἑρμοδώρῳ.

Δὴ μηκέτι τοῖς ἑαυτοῦ χαλέπαινε ἑρμόδωρε. εὐθυκλῆς ὁ νικοφῶντος τοῦ συλήσαντος τὴν θεόν, ἀσεβείας με γέγραπται. ἄνδρα σοφίᾳ προὔχοντα ἀπαιδευσίᾳ νικῶν. ὡς ὅτι ἐπέγραψα τῷ βωμῷ οὗ ἐπέστησα τὸ ἐμὸν ὄνομα. θεοποιῶν ἄνθρωπον ὄντα ἐμαυτόν. εἶτα κριθήσομαι ὑπὸ ἀσεβοῦς ἐν ἀσεβέσι. τί οἴει. δόξω αὐτοῖς ἀσεβὴς εἶναι, ἐναντία φρονῶν οἷς αὐτοὶ περὶ θεῶν νομίζουσιν. εἰ καὶ πεπηρωμένοι ἐκεῖνον ὄψιν, τυφλότητα ἂν ἔλεγον τὴν ὅρασιν. ἀλλ' ὦ ἀμαθεῖς ἄνθρωποι διδάξατε πρῶτον ἡμᾶς, τί ἐστιν ὁ θεός. ἵνα ἀσεβεῖς λέγοντες πιστεύησθε. ποῦ δ' ἐστὶν ὁ θεός ἐν τοῖς ναοῖς ἀποκεκλεισμένος. εὐσεβεῖς γε οἳ ἐν σκότει τὸν θεὸν ἱδρύετε. ἄνθρωπος λοιδορίαν ποιεῖται λίθινος ἐλέγοιτο. θεὸς δὲ ἀληθεύεται, ὡς, τοῦτο τὸ εὐώνυμον, ἐκ κρημνῶν γεννᾶται. ἀπαίδευτοι οὐκ ἴστε ὅτι οὐκ ἔστι θεὸς χειρότμητος. οὐδὲ ἐξ ἀρχῆς βάσιν ἔχει. οὐδὲ ἔχει ἕνα περίβολον, ἀλλ' ὅλος ὁ κόσμος αὐτῷ ναός ἐστι ζώοις καὶ φυτοῖς καὶ ἄστροις πεποικιλμένος. Ἡρακλεῖ ἐπέγραψα τῷ ἐφεσίῳ τὸν βωμὸν, πολιτογραφῶν ὑμῖν τὸν θεὸν οὐχ ἡρακλείτῳ. ἂν ᾖ ὑμῖν ἀξύνετα τὰ γράμματα, οὐκ ἐμὴ ἀσέβεια τὸ ὑμῶν ἀπαίδευτον. μανθάνετε σοφίην καὶ συνίετε. ἀλλ' οὐ θέλετε. οὐδ' ἐγὼ ἀναγκάζω. γηράσκετε σὺν ἀπαιδευσίᾳ χαίροντες ἰδίοις κακοῖς. ἡρακλῆς ἦν οὐκ ἄνθρωπος ἐγεγόνει. ὡς μὲν ὅμηρος ἐψεύσατο καὶ ξενοκτόνος. ἀλλὰ τί αὐτὸν ἐθεοποίησεν. ἡ ἰδία καλοκαγαθία. καὶ ἔργων τῶν γενναιοτάτων τοσούτους ἐκτελέσαντα ἄθλους. ἐγὼ οὖν ὦ ἄνθρωποι, οὐκ αὐτὸς ἀγαθός εἰμι. ἥμαρτον ἐρόμενος ὑμᾶς. καὶ γὰρ εἰ τἀναντία ἀπεκρίνασθε, ὅμως ἀγαθός εἰμι. καί μοι πολλοὶ καὶ δυσχερέστατοι ἄθλοι κατώρθωνται. νενίκηκα ἡδονάς. νενίκηκα χρήματα. νενίκηκα φιλοτιμίαν. καταπεπάλαικα δειλίαν. καταπεπάλαικα κολακείαν. οὐκ ἀντιλέγει μοι φόβος.

οὐκ αὐτῇ λέγεις μοι μέθῃ. φοβεῖταί με λύπη. φοβεῖταί με ὀργή. κατὰ τούτων αὐτὸς καὶ αὐτὸς ἐστεφάνωμαι. ἐμαυτῷ ἐπιτάττων οὐχ ὑπ' Εὐρυσθέως. οὐ παύσεσθε σοφίαν ὑβρίζοντες καὶ ἴδια ἁμαρτήματα, ἢ ἴδια ἐγκλήματα ἡμῖν προστριβόμενοι, εἰ ἐδύνασθέ με πέντε αὖθις ἐκ παλιγγενεσίας πεντακοσίους ἀναβιῶναι, κατελάβετε ἂν Ἡράκλειτον ἔτι ζῶντα ὑμῶν ἢ οὐδ' ἴχνος ὀνόματος. ἰσοχρονήσω πόλεσι καὶ χώραις διὰ παιδείαν. οὐδέποτε σιγώμενος. κἂν ἡ Ἐφεσίων ἀναρπασθῇ πόλις καὶ οἱ βωμοὶ διαλυθῶσι πάντες, αἱ ἀνθρώπων ψυχαὶ τῆς ἐμῆς ἔσονται χώρα μνήμης. ἄξομαι καὶ αὐτὸς γυναῖκα Ἥβην οὐ τὴν Ἡρακλέους. ἐκεῖνος ἀεὶ ἔσται μετὰ τῆς ἑαυτοῦ. ἑτέρα δὲ ἡμῶν γεννήσεται. πολλὰς ἀρετὴ γεννᾷ. καὶ Ὁμήρῳ ἔδωκεν ἄλλην. καὶ Ἡσιόδῳ ἄλλην. καὶ ὅσοι ἀγαθοὶ γεγόνασι, ἑνὶ ἑκάστῳ συνοικίζει παιδείας κλέος. ἆρ' οὐκ εἰμὶ εὐσεβὴς Εὐθύκλεις ὃς μόνος οἶδα θεόν, οὐδὲ καὶ θρασὺς εἶναι οἰόμενος καὶ ἀσεβὴς τὸν μὴ ὄντα δοκῶν. ἐὰν δὲ μὴ ἱδρυνθῇ θεοῦ βωμὸς οὐκ ἔστι θεός. ἐὰν δὲ ἱδρυνθῇ μὴ θεοῦ, θεός ἐστιν. ὥστε λίθοι θεῶν μάρτυρες. ἔργα δεῖ μαρτυρεῖν οἷα ἡλίου. νὺξ αὐτῷ καὶ ἡμέρα μαρτυροῦσιν. ὧραι αὐτῷ μάρτυρες. γῆ ὅλη καρποφοροῦσα μάρτυς. σελήνης ὁ κύκλος ἐκείνου ἔργον. οὐράνιος μαρτυρία.

Ἡράκλειτος Ἀμφιδάμαντι.

ν Ὅσον μὲν ἀμφιδάμα νόσον ὕδρωπα. ὥστε ὅσα ἐν ἡμῖν, ἑκάστου τὸ κράτος νόσημα. ὑπερβολὴ θερμοῦ, πυρετός. ὑπερβολὴ ψυχροῦ παράλυσις. ὑπερβολὴ πνεύματος πνῖγος, ἣ νῦν ἐμὴ ὑγρὰ νόσος. ἀλλὰ θεῖόν τι ψυχὴ ἡ ἁρμόζουσα αὐτά. ὑγιεία δὲ

τὸ πρῶτον ἰατρικώτατον, φύσις. οὐ γὰρ εἴκαζεν ἡ πρώτη ἀτεχνία τὰ περὶ αὐτῆς, ἀλλ᾽ ὕστερον. ἀλλὰ μιμούμενοι οἱ ἄνθρωποι ἐπιστήμην καὶ ἀσυνοῦς ἐκάλεσαν. Ἐγὼ εἰ οἶδα κόσμου φύσιν, οἶδα καὶ ἀνθρώπου· οἶδα νόσους οἶδα ὑγίειαν· ἰάσομαι ἐμαυτόν· μιμήσομαι θεόν, ὃς κόσμου ἀμετρίας ἐπανισοῖ ἡλίῳ ἐπιτάττων. οὐχ ἁλώσεται νόσῳ Ἡράκλειτος. νόσος Ἡρακλείτου ἁλώσεται γνώμῃ καὶ ἐν τῷ παντὶ ὑγρὰ αὐαίνεται. θερμὰ ψύχεται. οἶδεν ἐμὴ σοφία ὁδοὺς φύσεως· οἶδε καὶ νόσου παῦλαν. ἐὰν δὲ φθάσῃ ὑπὲρ αὔτλου γένηται τὸ σῶμα, δύσεται εἰς τὸ εἱμαρμένον· ἀλλ᾽ οὐ ψυχὴ δύσεται. ἀλλὰ ἀθάνατον οὖσα χρῆμα εἰς οὐρανὸν ἀναπτήσεται μετάρσιος. δέξονταί με αἰθέριοι δόμοι. καὶ Ἐφεσίους συκοφαντήσω. πολιτεύσομαι οὐκ ἐν ἀνθρώποις ἀλλ᾽ ἐν θεοῖς. καὶ οὐχ ἱδρύσω ἄλλων βωμούς, ἀλλ᾽ ἐμοὶ ἄλλοι. οὐδ᾽ ἀπειλήσει μοι ἀσέβειαν Εὐθυκλῆς. ἀλλ᾽ ἐγὼ ἐκείνῳ χολήν. θαυμάζουσι πῶς ἀεὶ σκυθρωπὸς Ἡράκλειτος. οὐ θαυμάζουσι πῶς ἀεὶ πονηροὶ ἄνθρωποι. μικρὰ τῆς κακίας ὑπανεῖτε. κἀγὼ τάχα μειδιάσω. καίτοι πρᾳότερος ἐν τῇ νόσῳ νῦν ἐγενόμην. ὅτι οὐκ ἐντυγχάνω ἀνθρώποις. ἀλλὰ μόνος νοσῶ. τάχα καὶ ψυχὴ μαντεύεται ἀπόλυσιν ἑαυτῆς ἤδη ποτὲ ἐκ τοῦ δεσμωτηρίου τούτου. καὶ σειομένου τοῦ σώματος ἐκκύπτουσα, ἀναμιμνήσκεται τὰ πάτρια χωρία. ἔνθεν κατελθοῦσα περιεβάλλετο ῥέον σῶμα τεθνεὸς ὃ τοῖς πολλοῖς δοκεῖτ᾽ ἀλλ᾽ ἐν φλέγμασι καὶ χολῇ. καὶ ἰχῶρι καὶ αἵματι. καὶ νεύροις. καὶ ὀστοῖς. καὶ σάρκεσι πεπιλημένον. εἰ γὰρ μὴ τὰ πάθη ἐσοφίζετο τὴν κόλασιν, οὐκ ἂν ἤδη πρόπαλαι καταλιπόντες τὸ σῶμα ἐξήλθομεν ἀπ᾽ αὐτοῦ.

Τῷ αὐτῷ.

Ὑπῆλθόν οἱ ἰατροὶ ἀμφιδήμα τὸ πάνυ προθύμως ἐπὶ τὸ
ἐμὸν νόσον, οὔτε τέχνην οὔτε φύσιν εἰδότες. ἀλλὰ γὰρ μὲν οὐδὲ ἐβούλον-
το. γὰρ δὴ, ἐδύναντο ἀμφότερα δὴ ἠγνόουν. οὐδὲν πλέον ἢ κατεμάλαξάν μου
τὴν γαστέρα ταῖς ἀφαιρέσεσιν ἀσκίον. εἰ δὲ τὸ θεραπεύειν ἤθελον. ἀλλ' οὐκ
ἐπέτρεψα. ἀλλὰ λόγον αὐτοὺς πρότερον ᾔτουν τῆς νόσου ἣν οὐκ ἔδοσαν
οὐ δὲ περιεγένοντό μου. ἀλλ' ἐγὼ αὐτῶν. πῶς ἂν οὖν ἔφην δύνασθε αὐλητὴν
τὰς τέχνας εἶναι ὑπὸ μὴ αὐλητοῦ ἡττημένοι. ἐμαυτὸν ἰάσομαι
ἢ ὑμεῖς. ἐάν με διδάξητε, πῶς ἐξ ἐπομβρείας αὐχμὸν ποιητέον. οἱ δὲ, οὐδὲ
συνιέντες τὸ ἐρώτημα ἡσύχασαν ἀπορούμενοι ἐπιστήμης ἰδίου. ἔγνων
ὅτι καὶ τοὺς ἄλλους οὐκ αὐτοί, ἀλλὰ τύχη ἰάσατο. οὗτοι ἀσεβοῦσιν
ἀμφιδήμα, καταψευδόμενοι τεχνῶν ἃς οὐκ ἔχουσι τὸ θεραπεύον-
τες ἃ μὴ ἴσασι. καὶ ἀποκτιννύντες ἀνθρώπους δι' ὀνόματος τέχνης,
ἀδικοῦντες τὴν φύσιν καὶ τέχνην. αἰσχρότερόν ἐστιν ὁμολογεῖν ἄγνοιαν. ἀλ-
λ' ἐπιστήμην οὐκ ἔχοντα. τί ἡδὺ αὐτοῖς τὸ ψεύδεσθαι ἢ ἵνα διαπά-
της χρηματίσωνται. ἀμείνους ἂν ἦσαν μεταιτοῦντες. ἠλεοῦντο
γοῦν ἄν. νῦν δὲ μισοῦνται καὶ βλάπτοντες καὶ ψευδόμενοι. εὐτυχέ-
στεραι αἱ ἄλλαι τέχναι. ταχέως ἐλέγχονται. δυσελεγκτότερα
τὰ κρείττω. ἐλελήθεσαν με οἱ τοιοῦτοι ἐν τῇ πόλει. οὐδεὶς αὐτῶν
ἰατρός. ἀλλὰ πάντων ἀπατεώνων τῶν φαύλων. σοφίσματα τέ-
χνης ἀργυρίου πεπρακότες. Ἡρακλεόδωρον τὸν ἐμὸν θεῖον οὗ-
τοι ἀπέκτειναν καὶ μισθὸν ἔλαβον. οἱ οὐκ ἐδυνήθησαν ἐμῆς νό-
σου λόγον εἰπεῖν. οὐ δὲ ἐξ ἐπομβρείας, πῶς ἂν αὐχμὸς γένοιτο.
οὐκ ἴσασιν ὅτι θεὸς ἐν κόσμῳ μεγάλα σώματα ἰατρεύει, ἐπομβρίσων αὐ-
χμῶντα. τὸ ἄμετρον, τὰ θρυπτόμενα συνοικεῖ. τὰ ὀλισθήσαντα ὑποφθὰς
πιέζει. συνάγει τὰ σκιδνάμενα. φαιδρύνει τὰ ἀπρεπῆ. κατείρ-

ρεῖ τὰ ληφθέντα. διώκει τὰ φθάνοντα. φωτίζει μὲν ἀναλάμπει τὸ ζοφερόν. περατοῖ δὲ τὸ ἄπειρον. καὶ μορφὴν μὲν ἐπιβάλλει τοῖς ἀμόρφοις. ὄψεως δὲ ἀναπίμπλησι τὰ ἀναίσθητα. διὰ πάσης διέρχεται τῆς οὐσίας. πλήττων. ἁρμοζόμενος. διαλύων. πηγνύς. χέων. τὸ μὲν ξηρὸν ἐξυγροῦν τήκει καὶ εἰς λύσιν αὐτὸ καθίστησι. καὶ λιβάδας μὲν ἐκθυμιᾷ. πάλιν χύσει ἢ χαλασθέντα τὸν ἀέρα καὶ συνέχων τὰ μὲν ἄνωθεν διώκει. τὰ δὲ κάτωθεν ἀναδύει. ταῦτα κάμνοντος κόσμου θεραπεία. τοῦτον ἐγὼ μιμήσομαι ἐν ἐμαυτῷ. τοῖς δ' ἰατροῖς χαίρειν λέγω.

Ἑρμοδώρῳ.

Πυνθάνομαι Ἐφεσίους μέλλειν εἰσηγεῖσθαι νόμον κατ' ἐμοῦ ἀνομώτατον. οὐδεὶς γὰρ νόμος ἐφ' ἑνός, ἀλλὰ κρίσις. οὐκ ἴσασιν Ἐφέσιοι ὅτι ἕτερος δικαστὴς νομοθέτου. καὶ τὸ δὲ ἄμεινον, ἐπεὶ ἀμαθέστερον πρὸς ἄδηλον τὸν μέλλοντα πράξειν. ὁ δικάζων δὲ ὁρᾷ τὸν κρινόμενον ὧν συνάπτει αὐτὸ πάθος. ἴσασί με Ἑρμόδωρε συντεχνήσαντά σοι τοὺς νόμους κἀμὲ ἐλάσαι βούλονται. ἀλλ' οὐ πρότερόν γε ἢ ἐλέγξαι αὐτούς. ἐπεὶ δὲ καὶ εὑρήκασι τὸν μὴ γελῶντα καὶ πάντα μισανθρωποῦντα πρὸ ἡλίου δύναντος ἐξιέναι τῆς πόλεως. τοῦτο νομοθετεῖν βούλονται. οὐδεὶς δ' ἐστὶν ὁ μὴ γελῶν, Ἑρμόδωρε, ἢ Ἡράκλειτος. ὥστε ἐμὲ ἐλαύνουσιν. ὦ ἄνθρωποι, οὐ θέλετε μαθεῖν διὰ τί εἰμι ἀγέλαστος; οὐ μισῶν ἀνθρώπους ἀλλὰ κακίαν αὐτῶν. οὕτω γράψατε τὸν νόμον· εἴ τις μισεῖ κακίαν, ἔξιτω τῆς πόλεως· καὶ πρῶτος ἔξειμι. φυγαδευθήσομαι οὐ πατρίδος ἀλλὰ πονηρίας ἄσμενος. μεταγράψατε τὸ διάταγμα. εἰ δ' ὁμολογεῖτε Ἐφεσίοις κακίαν εἶναι, καὶ ὑμᾶς μισῶ

πῶς

πῶς οὐκ ἂν ἐγὼ δικαιότερος νομοθέτης εἴην, τοὺς τιμήσαντας ἡράκλειτον διὰ πονηρίαν ἀγέλαστον ἐξεῖναι τοῦ ζῆν. μᾶλλον δὲ μνείαις ζημιοῦσθε, εἰ πλέον ἀνιᾶσθε ἀργυρίῳ κολαζόμενοι. τοῦτο ὑμῶν ἐστι φυγή. τοῦτο θάνατος. ἠδικήκατέ με ἀφελόμενοι, ὃ θεὸς ἔδωκε. καὶ φυγαδεύετέ με ἀδίκως. ἢ τοῦτο ὑμᾶς πρῶτον ἀγαπήσω ὅτι μου τὸ ἥμερον ἐξεκόψατε. καὶ οὐ παύεσθε. ἐπαγωνιζόμενοι νόμοις καὶ φυγαδείαις. ἐν δὲ τῇ πόλει μένων οὐ πεφυγάδευμαι ἀφ' ὑμῶν. τίνι συμμοιχεύω. τίνι συμμιαιφονῶ. τίνι συμμεθύω. τίνι συμφθείρομαι. οὐ φθείρω. οὐκ ἀδικῶ οὐδένα τῶν ἁπάντων. μόνος εἰμὶ ἐν τῇ πόλει. ἐρημίαν αὐτὴν πεποιήκατε διὰ κακίας. ἡ ἀγορὰ ὑμῶν ἡράκλειτον ἀγαθὸν ποιεῖ; οὐκ. ἀλλὰ ἡράκλειτος, ὑμᾶς. πόλιν. ἀλλ' οὐκ ἐθέλετε. ἐγὼ μὲν βούλομαι καὶ νόμος εἰμὶ ἄλλων. εἷς ὢν οὐκ ἀρκῶ, πόλιν κολάζειν. θαυμάζετε εἰ μηδέποτε γελῶ. ἐγὼ δὲ τοὺς γελῶντας. ὅτι ἀδικοῦντες χαίρουσι σκυθρωπάζειν δέον ἐπ' ἀδικοπραγοῦντας. δότε μοι καιρὸν γέλωτος ἐν εἰρήνῃ. ὥστε μὴ ἐπὶ τὰ δικαστήρια στρατεύεσθαι. ἐν ταῖς στολαῖς ἔχετε τὰ ὅπλα ἀπεστερηκότες χρήματα. γυναῖκα φθείραντες. φίλους φαρμακεύσαντες. ἱεροσυλήσαντες. προαγωγεύσαντες. ὄχλοις ὁραθέντες ἄπιστοι. τυμπανίσαντες. ἄγος ἄλλου πλήρης κακοῦ. τοῦτο γελάσω ὁρῶν ἀνθρώπους ποιοῦντας ἐσθῆτα καὶ γλύφα καὶ κεφαλῆς πόρους ἀτημελήτους. ἢ γυναῖκα φαρμακέως ἐπειλημμένην τέκνου. ἢ μειράκια τῆς οὐσίας ἐκβεβρωμένα. ἢ πολίτην γαμετῆς ἀφηρημένον. ἢ κόρην βίᾳ διαπαρθενευθεῖσαν ἐν παννυχίσιν. ἢ ἑταίραν οὔπω γυναῖκα καὶ γυναικῶν ἔχουσαν πάθη. ἢ διὰ ἀσέλγειαν νεανίσκον ἕνα πόλεως ἐραστὴν ὅλης. ἢ τὰς τῶν ἐλαιῶν φθορὰς ἐν μύροις. ἢ τοὺς ἐν ξυνδείπνοις πινομένους διὰ δακτύ-

λων πλείονας ἢ τὰς δι' ἐδεσμάτων πολυτελείας καὶ γαστέρας ῥεού-
σας. ἢ τοὺς ἐπὶ σκηνῆς ἀγωνοθετουμένους δήμους, τὰ μεγάλα
δίκαια. ἀφήσει δέ μου τὴν ὄψιν ἀρετὴ χυθῆναι, ὑστέρα τρυφείας
τεταγμένη ἢ τοὺς ἀληθινοὺς ὑμῶν πολέμους πλάσω. ὅτε προ-
φάσεις ἀδικημάτων ποιησάμενοι, κατὰ μιαιφονεῖσθε δύστηνοι.
ἐξ αὐτῶν θηρεία γεγονότες. αὐλοῖς καὶ μάστιξι διὰ μουσικῆς εἰς ἄ-
μουσα πάθη παροξυνόμενοι. σίδηρος δὲ ἀρότρων καὶ γεωργίας
δικαιότερον ὄργανον σφαγῆς καὶ θανάτων ηὐτρέπισται. ὑβρίζεται
δι' ὑμῶν θεός, ἀθηνᾶ πολεμίστρια καὶ ἄρης ἐνυάλιος καλούμενος.
φάλαγγας δὲ ἀντιστήσαντες αὐτοὶ κατ' ἀνθρώπων, ἀλλήλων σφαγὰς
εὔχεσθε, ὡς λειποτάκτας τοὺς μὴ μιαιφονοῦντας τιμωρούμενοι. καὶ
ὡς ἀριστέας τοὺς ἐμπλεονάσαντας αἵματι τιμῶντες. λέοντες
δ' οὐχ ὁπλίζονται κατ' ἀλλήλων. οὐδὲ ξίφος ἀναλαμβάνουσιν
οἱ ἵπποι. οὐδὲ τεθωρακισμένον ἴδοις ἀετὸν ἐπ' ἀετῷ. οὐδὲν ἄλλο
ἔχει μάχης ὄργανον. ἀλλ' ἑκάστῳ τὰ μέρη καὶ ὅπλα. τοῖς μὲν κέ-
ρατα τὰ ὅπλα. τοῖς δὲ ῥύγχη. τοῖς δὲ πτερά. τοῖς δὲ τάχος. ἄλ-
λοις μέγεθος. ἄλλοις ὀλιγότης. οἷς δὲ τάχος. οἷς δὲ νῆξις. πολλοῖς
δὲ πνεῦμα. οὐδὲν ξίφος ἄλογα ποιεῖ ζῶα χειρῶν, ὁρῶντα φυλατ-
τόμενον ἐν αὐτοῖς φύσεως νόμον. ἀλλ' οὐκ ἐν αὐτοῖς. μᾶλλον δὲ τοῦ
τὸ πλέον ἂν εἴη παράβασις. ἐνηρεῖσθε τὸ ἀβέβαιον. τέλος δὲ πο-
λέμων. τί ὑμῖν εὐκτέον ἄρα. ἢ δι' ἐκείνων παύσετέ με κατηφείας. πό-
θεν. οὐχὶ δὲ πόλεμον ὁμοφύλων σφῶν. καὶ δενδροτομουμένη καὶ ἀνδρα-
ποδιζομένη πόλις. καὶ γῆρας προπηλακιζόμενον. καὶ γυναῖκες ἀ-
παγόμεναι. καὶ τέκνα ἐξ ἀγκαλῶν ἀποσπώμενα. καὶ θάλαμοι
διαφθειρόμενοι. καὶ παρθένοι παλλακευόμεναι. καὶ μειράκια θη-
λυνόμενα. καὶ ἐλεύθεροι σιδηροδετούμενοι. καὶ ναοὶ θεῶν κατασπώ-
μενοι.

μενοι. καὶ ἡρῷα δαιμόνων κατορύττομεν καὶ πελάνους αὐτοὶ ἔργων καὶ εἰς ἱερὰ θεοῖς ἀδικεῖ. ταῦτα ἀγελαστῶς ἐν εἰρήνῃ πολεμεῖτε διὰ λόγων ἐν πολέμῳ πολιτεύεσθε διὰ σιδήρου. ἁρπάζετε τὸ δίκαιον ἐν ξίφεσιν. Ἑρμόδωρον ἐλαύνετε νόμους γράφων. Ἡράκλειτον ἐλαύνετε ἀσεβεῖ. αἱ πόλεις ἔρημοι καλοκαγαθίας. αἱ ἐρημίαι πρὸς τὸ ἀδικεῖν. ὄχλοι τείχη ἑστήκεν, ἀνθρώπων σύμβολα πονηρίας ἀποκλείονται τὴν βίαν ὑμῶν. οἰκίαις περιβέβληνται πᾶσιν. ἕτερα τείχη πλημμελείας. οἱ ἔνδον, πολέμιοι. ἀλλὰ πολῖται. οἱ ἔκτος, πολέμιοι. ἀλλὰ ξένοι. πάντες ἐχθροί. οὐδένες φίλοι. δύναμαι γελάσαι ἐχθροὺς ὁρῶν τοσούτους; τὸν ἀλλότριον πλοῦτον ἴδιον οἴεσθε. τὰς ἀλλοτρίας γυναῖκας ἰδίας νομίζετε. τοὺς ἐλευθέρους ἀνδραποδίζετε. τὰ ζῶντα κατεσθίετε. τοὺς νόμους παραβαίνετε. παρανομίας νομοθετεῖτε. πάντα βιάζεσθε ἃ μὴ πεφύκατε. τὰ μάλιστα δοκοῦντα ὑμῶν δικαιοσύνης εἶναι σύμβολα. οἱ νόμοι ἀδικίας εἰσὶ τεκμήριον. εἰ γὰρ μὴ ἦσαν, αὐέδην ἂν ἐπορεύεσθε. νῦν δ' ἔτι καὶ μικρὸν ἐπιστομίζεσθε. φόβῳ κολάσεως κατέχεσθε εἰς πᾶσαν ἀδικίαν.

Ἡράκλειτος Ἑρμοδώρῳ.

δ Ηλουμοι Ἑρμόδωρε ποτὲ ἀπαίρειν κέκρικας εἰς Ἰταλίαν. δέξονται σε οἱ ἐκείνης τῆς χώρας θεοὶ καὶ δαίμονες ἡδέως. ὅν γὰρ ἐδόκουν τοῖς σοῖς νόμοις τὰ παρὰ πάσης τῆς οἰκουμένης διαδήματα προσιέναι. καὶ κατὰ τὸ ἔθος τῶν περσῶν ἐγκλείοντας τὸ στόμα προσκυνεῖν αὐτούς. οἱ δὲ σεμνῶς πάνυ καθεστήκεσαν. προσκυνήσουσί σε ἐφέσιοι μηκέτι ὄντα. ὅταν οἱ σοὶ νόμοι πᾶσιν ἐπιτάττωσι. καὶ τότε χρήσονται αὐτοῖς ἀναγκαζόμενοι. θεὸς γὰρ ἐκείνους ἀφείλετο ἡγεμονίαν. καὶ ἑαυτοὺς ἐνόμισαν ἀξίους δουλεύειν. τοῦτο μεμάθηκα καὶ ἐκ πατέρων. ὅλη ἀσία, κτῆμα ἐγένετο βασιλέως καὶ πάντες ἐφέσιοι λά-

φυρομ. ἀληθεῖς εἰσὶν ἐλευθερίας ἀληθοῦς τοῦ ἄρχειν. καὶ νῦν ὡς τὸ εἰκὸς ἐπακούσονται κελευόμενοι. οἱ μὴ πειθέντες οἰμώξονται. καὶ μέμφονται θεοὺς ἄνθρωποι ὅτι αὐτοὺς οὐ πλουτίζουσιν ἀγαθά. οὐ μέμφονται ἴδιον ἦθος ἀφροσύνης. τυφλῶν ἐστὶ μὴ δέξασθαι ἃ δίδωσι χρηστὰ δαίμων. σίβυλλα ἐν πολλοῖς καὶ τοῦτο ἐφράσθη. ὅξ ἰάδος χώρης ἦξ σοφὸν ἰταλιήσιν. εἶδέ σε πρὸ τοσούτου αἰῶνος ἑρμόδωρε ἡ σίβυλλα ἐκείνη ὅ τότε ἤθη. ἐφέσιοι δὲ, οὐδὲ νῦν βούλονται ὁρᾶν, ὃν διὰ θεοφορουμένης γυναικὸς ἀλήθεια ἔβλεπε. σοφὸς μεμαρτύρησαι ἑρμόδωρε. ἐφέσιοι δὲ ἀντιλέγουσι θεοῦ μαρτυρία. ἀποτίσονται ἑαυτῶν ὕβριν. καὶ νῦν ἀποτίννυνται. γνώμης ἀναπιμπλάντες ἡμᾶς κακῆς. οὐκ ἀφαιρούμενος πλοῦτον κολάζει θεός. ἀλλὰ καὶ μᾶλλον δίδωσι πονηροῖς. ἵν᾽ ἔχοντες δι᾽ ὧν ἁμαρτάνουσιν ἐλεγχθήσωνται. καὶ περιουσιάζοντες σκηνοβατῶσιν αὐτῶν τὴν μοχθηρίαν. ἡ δὲ πενία παρακάλυμμά ἐστι. μὴ ἐπιλίπῃ ὑμᾶς τύχη. ἵνα ὀνειδίζησθε πονηρευόμενοι. οὗτοι μὲν χαιρόντων. σὺ δέ μοι δήλου τὸν καιρὸν τῆς ἐξόδου. πάντως ἐντυχεῖν σοι βούλομαι. καὶ περί γε ἄλλων πάνυ συχνῶν καὶ περὶ αὐτῶν νόμων βραχέα εἰπεῖν. ἔγγραφον δ᾽ ἂν αὐτὰ εἰ μὴ περὶ παντὸς ἐποιούμην ἀπόρρητα μένειν. οὐδὲν δὲ οὕτω σιωπᾶται, ὡς ἐνὶ λαλοῦν ἦθος. καὶ ἔτι μᾶλλον ἡράκλειτος ἑρμοδώρῳ. πολλοὶ οὐ διαφέρουσι κεραμίων σαθρῶν, ὡς μηδὲν στέγειν δύνασθαι. ἀλλ᾽ ὑπὸ γλωσσαλγίας διαρρεῖν. ἀθηναῖοι ὄντες αὐτόχθονες ἔγνωσαν φύσιν ἀνθρώπων, ὅτι γηγόμενοι εἰσὶ γῆς, ἔθ᾽ ὅτε δὴ ἐρρωγότα ἔχουσι νοῦν. τοίνυν ἐπαίδευσαν φυλακὴν ἀπορρήτων διὰ μυστηρίων. ἵν᾽ ὡς φόβῳ σιγῶσιν ἃ ἄλλως εἴσει. καὶ μηκέτι χαλεπὸν ᾖ μελετῆσαι τῇ ψυχῇ σιωπᾶν.

Τῶν Ἡρακλείτου ἐπιστολῶν

τέλος.

ΕΠΙΣΤΟΛΑΙ ΔΙΟΓΕΝΟΥΣ ΤΟΥ ΚΥΝΙΚΟΥ͂

ΣΙΝΩΠΕΥΣΙ.

υ Μεῖς μὲν ἐμοῦ φυγὴν κατεψηφίσασθε. ἐγὼ δὲ ὑμῶν μονήν. οἰκήσετε γοῦν διὰ τοῦτο, ὑμεῖς μὲν σινώπην. ἐγὼ δὲ ἀθήνας. τουτέστιν ὑμεῖς μὲν μετὰ τῶν ἐμπόρων. ἐγὼ δὲ μετὰ σόλωνος καὶ τῶν τὴν ἑλλάδα ἠλευθερωκότων ἀπὸ τῶν μήδων. καὶ ὑμεῖς μὲν ἡνιόχοις τε ἄλλοις χρώμενοι ἀνθρώποις ἐκ τοῦ ἐχθροῦ γένους ἕλλησιν. ἐγὼ δὲ δελφοῖς καὶ ἠλείοις μεθ' ὧν καὶ θεοὶ πολιτεύονται. ἀλλ' ὤφελε τοῦτο μὴ νῦν ὑμῖν δόξαι, ἀλλ' ἔτι πάλαι καὶ ἐπὶ τοῦ πατρὸς ἱκέτου. νυνὶ δὲ ἐν τοῦτο δέδοικα μὴ διὰ τὴν πατρίδα ἀπιστηθῶ μέτριος εἶναι. τὸ μὲν οὖν πρὸς ὑμῶν πεφυγαδεῦσθαι συνηγορεῖ. καὶ πιστεύω αὐτῷ μᾶλλον τοῦ ἑτέρου. κρεῖττον γὰρ παραπολὺ διαβάλλεσθαι πρὸς ὑμῶν, ἢ ἐπαινεῖσθαι. ὅμως μέντοι δέδοικα τοῦτο μή με ὁ κοινὸς περὶ πατρίδος λόγος βλάψῃ. ἄλλου δέ τινος, οὐδὲ λόγος. κρεῖττον γάρ που δήποτε οἰκεῖν, ἢ σὺν ὑμῖν οὕτως ἡμῖν προσενεχθεῖσιν. Sic Demosth. πρ[illegible] trat.

Ἀντισθένει.

α Νέβαινον εἰς ἄστυ ἐκ πειραιῶς. καὶ περιτυγχάνουσί μοι μειράκια ἄττα θρυπτόμενα ἀπὸ συμποσίου τινὸς ἐγηγερμένα. καὶ ἐν σφίσιν αὐτοῖς, ἐπεὶ ἄγχου ἐγενόμην ἀναγομένου ἔλεγον ἀπέχου κυνός. κἀγὼ ἐπεὶ τοῦτο ἤκουσα, θαρρεῖτε ἔφην. οὐ γὰρ ὁ κύων τεῦτλα οὐ δάκνει. οἱ δὲ ὡς τοῦτο ἔλεξα ἐπαύσαντο ἀλύοντες. τοὺς στεφάνους οὓς εἶχον περὶ τῇ κεφαλῇ καὶ τῷ τραχήλῳ διαρρήξαντες ἐξέβαλον, καὶ τὰς χλανίδας εὐκόσμως περιεβάλλοντό τε ἥσυχοι δὴ μάλα ἕως εἰς ἄστυ ἠκολούθουν, ἐπακροώμενοι τῶν λόγων, οὓς πρὸς ἐμαυτὸν διεξῄειν.

Ἱππαρχίᾳ.

ἀ Γαμαῖσέ τῆς ἐπιθυμίας ὅτι τε φιλοσοφίας ὠρέχθης γυνὴ οὖσα· καὶ ὅτι τῆς ἡμετέρας αἱρέσεως ἐγγυήθης, ἣν διὰ τὸ αὐστηρὸν καὶ οἱ ἄνδρες κατεπλάγησαν. ἀλλ᾽ ὅπως καὶ τέλος ἐπιθῇς τῇ ἀρχῇ σπούδασον. ἐπιθήσεις δὲ οἶδα εἰ Κράτητός τε τοῦ συναινέτου μὴ ἀπολίποιο, ἡμῖν τε τοῖς εὐεργέταις τῆς φιλοσοφίας θαμινῶς ἐπιστέλλοις. δύνανται γὰρ ἐπιστολαὶ πολλὰ, καὶ οὐχ ἧττον τῆς πρὸς παρόντας διαλέξεως. Ἀντιπάτρῳ.

Ἠμέμφου με ὅτι σοι μεταπεμπομένῳ ἡμᾶς ἐπὶ Μακεδονίαν οὐκ ἐπειθόμην. οὐ δ᾽ ὅτι τοὺς Ἀθήνησιν ἅλας προὐκρίναμεν τῆς παρὰ σοῦ τραπέζης. οὐ γὰρ δι᾽ ὑπεροψίαν τοῦτ᾽ ἐπράξαμεν, ἀλλ᾽ οὐδὲ διὰ φιλοδοξίαν δι᾽ ἣν τάχιστ᾽ ἂν ἕτεροι ἂν ἐποίησαν, ἵνα τισὶ τοῖς πολλοῖς μεγάλοι δόξωσι βασιλεῦσι δυνάμενοι ἀντιλέγειν. συγγνώσῃ οὖν. καὶ γὰρ εἰ πρόβατα ἦμεν, συνέγνως ἂν μὴ πεισθεῖσιν ὅτι οὐκ ἦν προβάτου τε τροφὴ καὶ βασιλεῦσιν ἡ αὐτή. φυλακῇ οὖν τῆς οὐσίας μᾶλλον αὐτ᾽ εἰπὲ μὲν σοι καὶ οὐχ ὑπεροψίας. ἔα οὖν ἕκαστον ὅπου δύναται ζῆν. βασιλικὸν γὰρ τοῦτο, καὶ οὐχ ἕτερον. Περδίκκᾳ.

ἐ Ἰ μὲν ταῖς δόξαις ἤδη πολεμεῖς, λέγω δὲ τοῖς ἰσχυροτέροις ἐχθροῖς καὶ πλεῖστα καταβλάπτουσί σε Θρακῶν τε καὶ Παιόνων καταστρεφόμενος τὰ τῶν ἀνθρώπων πάθη, μεταπέμπου με· δύναμαι γὰρ εἰς τὸν πρὸς αὐτὰ πόλεμον καὶ στρατηγεῖν. εἰ δ᾽ ἔτι σοι τὰ πρὸς αὐτοὺς ἔργα λείπεται καὶ τούτου τοῦ πολέμου σχεδὸν ἀνθάνῃ, ἔα μὲν ἡμᾶς Ἀθήνησι καθέζεσθαι. μετάπεμπου δὲ τοὺς Ἀλεξάνδρου στρατιώτας· οἷς κἀκεῖνος ἐπικούροις χρώμενος, Ἰλλυριοὺς καὶ Σκύθας ὑπέταξεν. Κράτητι.

χ Ὡρειθέντος σου εἰς Θήβας, ἀνέβαινον ἐκ Πειραιῶς ὑπὸ μέσην ἡμέραν. καὶ διὰ τοῦτο λαμβάνει με δίψος καρτερόν. ὁρμήσας

θεῶν ἐπὶ τὴν πέντωπον κρήνην. καὶ ἕως ἐγὼ τὸ ποτήριον ἐκ τῆς πήρας ἐξῄρουν, ἐπιτυχών τις τῶν θεραπόντων τῶν τὴν χώραν ἐργαζομένων, συνάψας κοίλας τὰς χεῖρας ἠρύετο ἀπὸ τῆς κρήνης καὶ οὕτως ἔπινεν. καὶ ἐγὼ δόξαν μοι τοῦ ποτηρίου σοφώτερον εἶναι οὐκ ᾐδέσθην διδασκάλῳ αὐτῷ τῶν καλῶν χρήσασθαι. ἀπορρίψας οὖν τὸ ποτήριον ὃ εἶχον, καί σοι εὑρών τινας ἐπὶ Θήβας ἀνερχομένους, τὸ σοφὸν τοῦτο ἐπέστειλα, ὅτι ἐμὲ βουλόμενον τῶν καλῶν διχάσασθαι ἐπίστασθε, ἀγαθοὶ καὶ σὺ διὰ τοῦτο πειρῶ εἰς τὴν ἀγορὰν ἐμβάλλειν, ἵνα πολλοὶ δὴ τρίβουσιν αὐτοί. ἔσται γὰρ ἡμῖν οὕτω καὶ ἄλλα σοφὰ παρὰ τῶν κατὰ μέρος εὑρεῖν. πολλὴ γὰρ ἡ φύσις, ἣν ἐκβαλλομένην ὑπὸ τῆς δόξης ἐκ τοῦ βίου, ἐπὶ σωτηρίᾳ ἀνθρώπων κατάγομεν ἡμεῖς.

Τῷ πατρὶ Ἱκέτῃ.

μ Ἠ ἀνιῶ, ὦ πάτερ, ὅτι κύων λέγομαι καὶ ἀμπέχομαι τρίβωνα διπλοῦν καὶ πήραν φέρω κατ' ὤμων καὶ ῥάβδον ἔχω διὰ χειρός. οὐ γὰρ ἄξιον ἐπὶ τοῖς τοιούτοις ἀνιᾶσθαι, μᾶλλον δὲ ἥδεσθαι ὅτι ὀλίγοις μὲν ἀρκεῖται ὁ παῖς σου. ἐλεύθερος δὲ ἐστι δόξης, ᾗ πάντες δουλεύουσιν Ἕλληνές τε καὶ βάρβαροι. τὸ δὲ ὄνομα πρὸς τὸ μὴ συμπεφυκέναι τοῖς πράγμασι σύμβολον δ' εἶναι, ἔνδοξόν πως ἐστί. καλοῦμαι γὰρ κύων ὁ οὐρανοῦ, οὐχ ὁ γῆς. ὅτι ἐκείνῳ εἰκάζω ἐμαυτὸν ζῶν οὐ κατὰ δόξαν, ἀλλὰ κατὰ φύσιν ἐλεύθερος ὑπὸ τὸν Δία, εἰς αὐτὸν ἀνατιθεὶς τἀγαθά. τὴν δὲ στολὴν καὶ Ὅμηρος γράφει τὸν τῶν Ἑλλήνων σοφώτατον φορεῖσθαι, ἡνίκα οἴκαδε ἐπανῄει διὰ τῆς Ἀθηνᾶς ὑποθημοσύνῃσιν. οὕτω καλή ἐστιν ὡς μὴ ἀνθρώπων εὕρημα ὁμολογεῖσθαι, ἀλλὰ θεῶν. Φᾶρος μέν οἱ πρῶτα χιτῶνά τε εἵματ' ἔδωκε. Λευγαλέα ῥυπόωντα κακῷ μεμορυγμένα καπνῷ. Ἀμφὶ δέ μιν μέγα δέρμα ταχείης ἕσσ' ἐλάφοιο. Ψιλόν. Δῶκε δέ οἱ σκῆπτρον καὶ ἀεικέα πήρην. Θάρρει οὖν πάτερ ἐπὶ τῷ ὀνόματι ᾧ καλοῦσιν ἡμᾶς καὶ τῇ στολῇ. ἐπειδὴ μὲν κύων ἐστὶ πρὸς θεῶν ἤδη εὕρεμα θεοῦ.

ξη Κον εἰς κόρινθον ἐκ μεγαρέων· καὶ διαπορευόμενος τὴν ἀγορὰν παρέπεμπον διδασκαλείῳ τινὶ παίδων καί μοι ἐπεὶ οὐκ ἐρραψῴδουν ἔδοξε πυθέσθαι τίς ἦν ὁ διδάσκων αὐτούς, καὶ ἀπεκρίναντο διονύσιος ὁ τῆς σικελίας τύραννος. κἀγὼ δόξας αὐτοὺς ἐρεσχελεῖν πρός με, καὶ τοῦτο οὐχ ἁπλῶς ἀποκεκρίσθαι παρελθὼν ἐπί τι βάθρον ἐκάθισα εὐκόσμως ἀναμένων αὐτόν· ἔλεγον γὰρ πρὸς ἀγορὰν ὡρμηκέναι. καὶ δὴ οὐ διαγίνεται πολὺς χρόνος. καὶ ἐπιστρέφεται ὁ διονύσιος. κἀγὼ ἐξαναστὰς προσαγορεύω τε αὐτὸν καὶ ἐπιλέγω ὡς οὐκ εὖ διόνυσε διδάσκεις. ὁ δέ με δόξας συνάχθεσθαι αὐτῷ ἐπὶ τῇ πτώσει τῆς τυραννίδος καὶ τῷ παρόντι σχήματι τοῦ βίου, τοιαῦτα εἶπεν ὦ διόγενες. εὖ ποιεῖς συναλγῶν ἡμῖν. κἀγὼ προσέθηκα τῷ οὐκ εὖ, τὸ ἀληθῶς. ἀλλ' ἐγὼ μὲν οὐχ ὅτι τῆς τυραννίδος ἀφῄρησαι, ἄχθομαι ὦ διονύσιε ἀλλ' ὅτι ἐλευθεριάζεις ἐν τῇ ἑλλάδι τανῦν καὶ περισέσωσαι ἀπὸ τῶν ἐν σικελίᾳ κακῶν· οἷς ἔδει σε ἀποθανεῖν τοσαῦτα ἐργασάμενον φαῦλα γῆν καὶ θάλατταν. Κράτητι.

ξε Γυθόμην σε τὴν οὐσίαν ἅπασαν κατενεγκεῖν εἰς τὴν ἐκκλησίαν, καὶ παραχωρῆσαι τῇ πατρίδι. καὶ στάντα ἐν μέσῳ κηρύξαι κράτης κράτητος κράτητα ἀφίησιν ἐλεύθερον. ἡσθῆναι οὖν ἐπὶ τῇ δωρεᾷ τοὺς πάντας ἀστοὺς καὶ ἀγασθῆναι ἡμᾶς τοὺς τῶν τοιούτων ἀνθρώπων ποιητάς. ἐθελῆσαι δὲ διὰ τοῦτο μεταπέμψαι ἡμᾶς ἀθήνηθεν· σὲ δὲ ἐπιστάμενον τὴν ἡμετέραν κρίσιν κωλῦσαι. ἐν τούτῳ μὲν οὖν ἐπαινῶ σε τοῦ νοῦ. ἐπὶ δὲ τῇ παραδόσει τῆς οὐσίας καὶ ἄγαμαι. ἐπεὶ θᾶττον ἢ προσεδόκησα κρείττων ἐγένου τῶν δοξῶν. ἀλλὰ διὰ ταχέων ἐπάνηκε. ἔτι γάρ σοι δεῖ πρὸς τἄλλα συνασκήσεως καὶ χρονίζειν ἔνθα μὴ εἰσὶν ὅμοιοι οὐκ ἀσφαλές.

Μητροκλεῖ.

Η μόνον ἐπὶ τῇ ἐπιστολῇ καὶ τῷ ὀνόματι καὶ τῇ διαλέξει θάῤῥει μητρόκλεις, ἀλλὰ καὶ ἐπὶ τῷ αἰτεῖν αὐτοὺς τὰ σωτήρια. οὐ γὰρ αἰσχρόν· βασιλεῖς γὰρ καὶ δυνάσται παρὰ τῶν ὑποτεταγμένων αἰτοῦσι χρήματα· στρατιώτας· ναῦς· σῖτον. καὶ οἱ κάμνοντες παρὰ τῶν ἰατρῶν φάρμακα καὶ οὐ μόνον πυρετοῦ ἀλλὰ καὶ φρίκης καὶ λοιμοῦ. καὶ οἱ ἐρασταὶ παρὰ τῶν παιδικῶν φιλήματα καὶ ἀπαφήματα. τὸν δὲ ἡρακλέα παρὰ τῶν ἀναισθήτων φασὶ καὶ ἰσχὺν λαμβάνειν. οὐ γὰρ προῖκα αἰτεῖν οὐδὲ ἐπὶ χείρονι ἀνταλλαγῇ, ἀλλ' ἐπὶ τῷ σωτηρίῳ πάντων ἐστὶν, ἀνθρώπους τὰ πρὸς τὴν φύσιν καὶ ὑπὲρ τοῦ ταῦτα ποιεῖν ἡρακλεῖ τῷ διός. καὶ ἔχειν ἀμείβεσθαι πολὺ κρείττονα ὧν λαμβάνεις αὐτοῖς τινα ταῦτα, μὴ πρὸς τὴν ἀλήθειαν εἶναί σοι τὴν μάχην τοῦτο πράσσοντι, ἀλλὰ πρὸς τὴν δόξαν, ἣ πάντη μάχου, κἂν μηδείς σε ἐπαίνῃ. καλὸν γάρ τοι ἔθος καὶ ὁ πρὸς τὰ τοιαῦτα πόλεμος· σωκράτης δὲ ἔλεγε μὴ αἰτεῖν τοὺς σπουδαίους ἀλλ' ἀπαιτεῖν. εἶναι γὰρ αὐτῶν τὰ πάντα ὡς καὶ τῶν θεῶν· καὶ τοῦτο ἐπειρᾶτο συνάγειν ἐκ τοῦ, κυρίους μὲν ὑπάρχειν τῶν πάντων τοὺς θεούς· κοινὰ δὲ τὰ τῶν φίλων· φίλον δ' εἶναι τῷ θεῷ τὸν σπουδαῖον. αἰτήσεις τοίνυν τὰ ἴδια.

Κράτητι.

κ Αἰ τοὺς ἀνδριάντας τοὺς ἐν τῇ ἀγορᾷ προσιὼν αἴτει τὰ ἄλφιτα. καλὴ γάρ που καὶ ἡ τοιαύτη μελέτη. ἐντεύξῃ γὰρ αὐτοῖς ἀπαθεστέροις ἀνδριάντων. καὶ ὅταν σου μᾶλλον γάλλοις καὶ κιναιδολόγοις μεταδιδῶσι, μὴ θαύμαζε. τιμᾷ γὰρ ἕκαστος τὸν πλησίον. εἰσὶ δὲ οἱ τοῖς πολλοῖς ἀρέσκοντες γάλλοι μᾶλλον ἢ φιλόσοφοι.

Τῷ αὐτῷ.

ὁ Ι πολλοὶ τὸν εὐδαιμονισμὸν, ὅταν μὲν σύντομον ὁδὸν ἐπ' εὐδαιμονίαν φέρουσαν ἀκούσωσιν ἵενται καθάπερ ἡμεῖς ἐπὶ φιλοσ

σοφίαν. ὅταν δὲ ἐπὶ τὴν ὁδὸν ἀφίκωνται καὶ αὐτῆς τὴν χαλεπότη-
τα θεάσωνται, ὡς οἱ ἀσθενοῦντες ὀπίσω ἀναχωροῦσιν, εἶτα μέμφον-
ται ποτὲ οὐχ αὐτῶν τῇ μαλακίᾳ. ἀλλὰ τῆς ἡμῶν ἀμαθίᾳ. ἐᾶσον οὖν τού-
τους μὲν ὅπως ἐσπούδασαν ταῖς ἡδοναῖς συγκαθεύδειν. καταλή-
ψεται γὰρ αὐτοὺς ζῶντας οὐ χεῖρον ὃν ἡμᾶς διαβάλλουσι πόνος, ἀλλ' οἱ
μείζονες δι' οὓς πάσῃ περιστάσει δουλεύουσιν αἰσχρῶς. σὺ δὲ ἐπίμενε
ἐν τῇ ἀσκήσει ὡς πρὸς ἤρξω καὶ σπούδαζε κατ' ἴσον ἡδονῇ ἀντιτάττεσθαι
καὶ πόνῳ. ἐπεὶ καὶ κατ' ἴσον ἀμφότερα πολεμεῖν ἡμῖν πέφυκε. καὶ
εἰς τὰ πρῶτα ἐμποδίζειν. ἡ μὲν, διὰ τοῦ τὰ αἰσχρὰ ἄγειν. ὁ δὲ, διὰ
τὸ ἀπὸ τῶν καλῶν ἀπείργειν τῷ φόβῳ. Ἀπολλήξιδι.

ἀ Πεθέμην τὰ πολλὰ τῶν τὴν πήραν βαρυνόντων. πίνακα
μὲν, διδαχθεὶς ἐν ἄρτῳ τὸ κοῖλον εἶναι. κοτύλην δὲ τὰς χεῖρας. καὶ
οὐκ ἔστιν αἰσχύνη τὸν ἐπιστάτην εἰπεῖν ὅτι παῖς ὢν ἔτι. οὐκ ἔδει δὲ
τὴν εὕρεσιν εὔχρηστον οὖσαν, διὰ τὴν ἡλικίαν παρελθεῖν, ἀλλὰ
προσδέξασθαι. Ἀντιπάτρῳ.

μ Ἔμφη μου τὸν βίον ὡς ἐπίπονον. καὶ διὰ χαλεπότητα ὑπ' οὐ-
δενὸς ὑποστηθησόμενον. ἐγὼ δὲ ἑκὼν αὐτὸν ἐπέτεινα, ἵνα γνῶσιν
οἱ μιμούμενοί με, μὴ τέλεον ἡδυπαθεῖς εἶναι. Τῷ αὐτῷ.

ἀ Κοινῶ λέγειν σε μηδέν με ποιεῖν παράδοξον διπλοῦν τρί-
βωνα φοροῦντα, καὶ πήραν ἐξημμένον. ἐγὼ δὲ θαυμαστὸν
μὲν οὐδέν φημι τούτων. καλὸν δὲ ἑκάτερον αὐτοῖν ἀπὸ διαθέσε-
ως ἐπιτηδευόμενον. οὐ γὰρ μόνον τὸ σῶμα τῇ λιτότητι, ἀλλὰ
καὶ τὴν ψυχὴν σὺν αὐτῷ ἐπαγγέλλεσθαι μὲν πολλὰ, πράττειν δὲ
μὴ δὲ τὰ ἀρκοῦντα. ἀλλ' ἅμα τῷ λόγῳ τὸν βίον ἀκόλουθον
ἐπιδείκνυσθαι. ὃ δὴ πειρῶμαι ποιεῖν καὶ μαρτυρεῖν μοι. ἴσως
ὑπολήψῃ με λέγειν, τὸν ἀθηναίων δῆμον ἢ τῶν κορινθίων ἀδύ-

κους μάρτυρας. τὴν ἐμαυτοῦ ψυχήν φημι ἣν οὐκ ἔστι λαθεῖν
ἁμαρτάνοντα. Ἀπολληξίδι.

ε

Νέτυχόν σοι περὶ οἰκήσεως καὶ χάρις ὑπισχομένῳ. κοχλίαν δὲ θεασάμενος εὗρον οἴκησιν ἀλεεινήν. ἀπολέλυσο οὖν τῆς ὑπηρεσίας καὶ σύγχαιρε ἡμῖν τὴν φύσιν εὑρίσκουσιν. Ἀνταλκίδῃ.

α

Κούω σε γράφειν περὶ ἀρετῆς πρὸς ἡμᾶς καὶ τοῖς συνήθεσί μοι ἐπαγγέλλεσθαι διὰ τῆς γραφῆς πείθειν ἡμᾶς περὶ σοῦ φρονεῖν τι. ἐγὼ δὲ οὐδὲ τὴν τοῦ Τυνδάρεω θυγατέρα ἐπαινῶ τὴν εἰς τὸν οἶνον τὸ νηπενθὲς καλοῦσαν φάρμακον. ἔδει γὰρ αὐτὸ προσενέγκασθαι χωρὶς οἴνου. οὐδὲ σὲ ὡς παρόντων μὲν ἡμῶν οὐδὲν ἐπεδείξω σπουδῆς ἄξιον. διὰ γραμμάτων δὲ ὑπολαμβάνεις ἡμᾶς πείσειν. ταῦτά σοι γράφειν ἔχον, ἵνα μὴ διὰ τῶν ἀψύχων ἡμῖν προσφωνῇς ἀλλὰ παρὼν αὐτός. Ἀπολληξίδι.

μ

Ηὐδώρον φιλόσοφον παρεκάλεσα μὲν συστῆσαί μοι μειρακικοῖ με ἀνίσκοι γελοιοτάτην σύστασιν. ὅτι μὲν γὰρ αὐτὸς ὅς ἐστιν, ἐκ τῶν εἰκόνων εἴσῃ. εἰ δὲ καὶ φιλόσοφος διὰ βίου καὶ λόγου. ὁ δὲ καθ᾽ ἡμᾶς σπουδαῖος δι᾽ ἑαυτοῦ συνίσταται. Ἀναξιλάῳ.

π

Υθαγόρας ἑαυτὸν ἔλεγεν Εὔφορβον γεγενῆσθαι τὸν Πάνθου. ἐγὼ δὲ νέον ἐμαυτὸν ἐπέγνων Ἀγαμέμνονα. σκῆπτρόν τε δὲ ἐμοῦ ἐστὶ τὸ βάκτρον. καὶ χλαμὺς ὁ διπλοῦς τρίβων. ἡ δὲ πήρα παρὰ δέρματος αἰγὸς ἀπόσ. εἰ δὲ μὴ κεκρήκομεν, νέος ὢν Ἀγαμέμνων, γέρων δ᾽ ἂν γενόμενος ἐψιλοκόρσησε. τοιαῦτα δὲ ἄξιον φρονεῖν καὶ λέγειν πρὸς τὸν αὐτὸς ἐφαλέποντα. Μελησίππῳ.

η

Κουόν σε λελυπῆσθαι ὅτι τὰ Ἀθηναίων τέκνα πλήγας ἡμῖν ἐνέτεινε μεθύοντα. καὶ δεινὰ πάσχειν εἰ σοφία πεπαρῴνηται. σὺ δὲ ἴσθι ὅτι τὸ Διογένους μὲν ἐπλήχθη σῶμα ὑπὸ τῶν μεθυόντων. ἀρετὴ δὲ οὐκ ᾐσχύνθη. ἐπεὶ μήτε κοσμεῖσθαι πέφυκεν

ὑπὸ φαύλων μὴ ἐπαισχύνεσθαι. διογγύης μὲν δὴ οὐχ ὑβρίσθη. καλῶς δ' ἔπαθεν ὁ ἀθηναίων δῆμος. ἐν ᾧ τινες ἔδοξαν ἀρετῆς ὑπερδεῖν. διὰ γοῦν τὴν ἐμὸς ἀφροσύνην κατὰ δήμους ἀφραίνοντες ἀπόλλυνται βουλευόμενοι τὰ μὴ προσήκοντα. καὶ στρατευόμενοι δέον ἠρεμεῖν. εἰ δὲ τὴν ἀρχὴν τὴν ἀπόνοιαν ἔστησαν, οὐκ ἂν ἐπὶ ταῦτα ἐχώρουν.

Ἀμυνάνδρῳ.

fuit contraria - Anasta= ... ad Euforamm vir γ ... se facit prima huius no= ... ntris scriptam

Ονεῦσι χάριτας οὐχ ἑκτέον, ἐπεὶ φύσει γέγονε τὰ ὄντα οὔτε τῆς ποιότητος· ἡ δὲ τῶν στοιχείων σύγκρασις, αἰτία ταύτης. ἐκ μὲν ἐκ τῶν κατὰ προαίρεσιν ἢ βούλησιν οὐδεμία χάρις. ἡ γοῦν γένεσις, ἀφροδισίων ἐστὶ παρακολούθημα. ἀπὸ ἡδονῆς ἕνεκεν οὐ γενέσεως ἐπιτηδεύεται. ταύτας τὰς φωνὰς ὁ τῆς ἀπαθείας προφήτης ἐγὼ ἀποφθέγγομαι ἐναντίας τῷ τετυφωμένῳ βίῳ. εἰ δέ τισιν εἶναι φαίνονται σκληρότεραι, φύσις αὐτὰς σὺν ἀληθείᾳ βεβαιοῖ καὶ ὁ βίος ὁ τῶν μὴ κατὰ τῦφον, ἀλλὰ κατ' ἀρετὴν βιούντων.

Ἀγησιλάῳ.

Μοὶ γὰρ μὲν ζῆν οὕτως ἦν ἀβέβαιον, ὡς μὴ πιστεύεσθαι παραμένειν ἕως τὴν ἐπιστολὴν γράφω. πεῖρα δὲ ἱκανὸν αὐτοῦ τεκμήριον. τὰ δὲ τῶν νομιζομένων θεῶν μείζονα ἢ κατ' ἀνθρώπους. ἐν δὲ μόνον ἐμαυτῷ βέβαιον σύνοιδα· τὴν μετὰ γένεσιν, φθοράν. ταῦτ' ἐπιστάμενος αὐτός τε τὰς κενὰς ἐλπίδας ἱπταμένας περὶ τὸ σωμάτιον ἀποφυσῶ. καὶ σοὶ παραγγέλλω μὴ πλεῖον ἀνθρώπου φρονεῖν.

Ἀλεξάνδρῳ.

ε

Υαγγελίζει μοι βασιλέα μακεδόνων σπουδάζειν περὶ τὴν θέαν ἡμῶν. σὺ δὲ ἐποίησας προσθεὶς τῷ βασιλεῖ τοὺς μακεδόνας. τὰ γὰρ ἡμέτερα ἤδεις ἀβασίλευτα. ἰδεῖν δὲ τὸν ἐμὸν τύπον μηδεὶς ὡς ξένον βουλευέσθω. εἰ δὲ μεταλαβεῖν ἀλέξανδρος

βίου

βίου καὶ λόγου βούλεται, λέγε αὐτῷ ὅτι ὅσον ἐξ ἀθηνῶν εἰς μακεδονίαν, τοσοῦτον καὶ ἐκ μακεδονίας εἰς ἀθήνας.

Τῷ αὐτῷ.

ε Ι θέλεις καλὸς καὶ ἀγαθὸς γενέσθαι, ἀπορρίψας ὃ ἔχεις ἐπὶ τῆς κεφαλῆς ῥάκος, παραγενοῦ πρὸς ἡμᾶς, ἀλλ' οὐ μὴ δυνηθῇς. κρατῇ γάρ σε ὑπὸ τῶν ἡφαιστίωνος μηρῶν.

Ἱππίωνι.

π Αρακαλεῖς με ἐπιστεῖλαί σοι ὅτι ποτὲ ἔγνωκα περὶ θανάτου καὶ ταφῆς· ὡς οὐκ ἂν τέλειος φιλόσοφος ἐσόμενος, εἰ μὴ καὶ τὰ μετὰ τὸ ζῆν παρ' ἡμῶν μάθοις. ἐγὼ δὲ ἱκανὸν ἡγοῦμαι τὸ κατ' ἀρετὴν καὶ φύσιν ζῆσαι. καὶ τοῦτο ἐφ' ἡμῖν εἶναι. ὥσπερ δὲ τὰ πρὸ τῆς γενέσεως παρακεχώρηται τῇ φύσει, οὕτω καὶ μετὰ τὸ ζῆν ἐπιτρεπτέον ταύτῃ. αὐτὴ γὰρ ὡς ἐγέννησε καὶ διαλύσει. μηδὲν δὲ εὐλαβηθῇς ὅπως ποτὲ ἀναίσθητος ὦ. ἐγὼ γοῦν ἔγνωκα ἀποπνεύσαντί μοι παρατεθῆναι τὸ βάκτρον. ἵνα τὰ δοκοῦντα λυμαίνεσθαι ζῶα ἀπελαύνοιμι.

Κράτητι.

μ Εμνήσθητι ὅτι τῆς πενίας τὴν ἀρχὴν ἔδωκάς σοι διὰ βίου. καὶ πειρῶ μήτε αὐτὸς ταύτην ἀποθέσθαι, μήτε ὑπ' ἄλλου ἀφαιρεθῆναι αὐτήν. εἰκὸς γὰρ τοὺς ἐν θήβαις ἐκπεριελθεῖν σε πάλιν κακοδαιμονίζοντας. σὺ δὲ τὸν τρίβωνα λεοντῆν νόει. τὸ δὲ βάκτρον ῥόπαλον. τὴν δὲ πήραν γῆν καὶ θάλατταν ἀφ' ἧς τρέφῃ. οὕτω γὰρ ἡράκλειον διαναστείη σοι φρόνημα καὶ πάσης τύχης κρεῖττον. ὧν δὲ σοὶ τῶν θέρμων ἢ καὶ τῶν ἰσχάδων περιῇ, καὶ ἡμῖν πέμπε.

Ἀνικερίδῃ.

λ Ακεδαιμόνιοι καθ' ἡμῶν ἐψηφίσαντο ὡς μὴ τῆς σπάρτης ἐπιβαίνοιμεν. ἀλλὰ σύ γε μηδὲν εὐλαβηθῇς. ὀνόματι γὰρ κέχρησαι κυνισμοῦ. ἀξιελέκτοι γε μὴν, οἱ μὴ νοοῦντες ἃ δοκοῦσιν ἀσκεῖν

ὑπ' ἐμοῦ μόνου καὶ ὀρθοῦσθαι. βίου τε λιτότητι οὐκ οἶδ' ἔστις ἐμοῦ μᾶλλον εὕρηκεν. ὑπομονήν τε τῶν δεινῶν τίς ἂν καυχήσηται διογένους φανέντος. ἀκόλουθα γοῦν καὶ ταῦτα τούτοις. ἀτείχιστον δοκοῦντες δι' ἀνδρίαν οἰκεῖν τὴν σπάρτην, ἀφύλακτον τὴν ψυχὴν τοῖς πάθεσιν ἐκδεδώκασι, μηδένα κατ' αὐτῶν βοηθὸν ἐπιστήσαντες. φοβεροὶ οὖν τοῖς ὁμόροις φανέντες ὑπὸ τῶν ἐν αὐτοῖς νοσημάτων πολεμοῦνται. ἐξελαυνέτωσαν οὖν ἀρετὴν ὑφ' ἧς μόνης δύναιτ' ἂν ἐρρῶσθαι ἡ ψυχὴ καὶ τῶν νοσημάτων ἀπηλλάχθαι.

Τοῖς καλουμένοις ἕλλησιν οἰμώζειν.

ὑ

Πάρχει δὲ τοῦθ' ὑμῖν κἂν ἐγὼ μὴ λέγω, ὄντες τοῖς μὲν ὄψεσιν ἄνθρωποι ταῖς δὲ ψυχαῖς πίθηκοι, προσποιεῖσθε πάντα. γινώσκετε δὲ οὐδέν. τοιγάρτοι τιμωρεῖται μὲν ὑμᾶς ἡ φύσις. νόμους γὰρ ὑμῖν αὐτοῖς μηχανησάμενοι μέγιστον καὶ πλεῖστον τῦφον ἐξ αὐτῶν διεκληρώσασθε μάρτυρας τῆς ἐμπεφυσιωμένης κακίας λαβόντες. καὶ οὐδέποτε ἐν εἰρήνῃ, ἀλλ' ἐν πολέμῳ τὸν ὅλον βίον καταγηρᾶτε. κακοὶ κακῶς ἐπιτήδειοι ὄντες, ἐὰν μικρῷ μαλακώτερον ἱμάτιον ἴδητε ἔχοντα ἢ κομμάτιον πλέον, ἢ ἐν λόγῳ δριμύτερον ἢ μᾶλλον πεπαιδευμένον. οὐδὲν γὰρ διακείμετε ὑγιεῖ λόγῳ, ἀλλ' εἰς εἰκότα καὶ ἔνδοξα καὶ πιθανὰ κατολισθαίνοντες, πάντα μὲν αἰτιᾶσθε. οὐδὲν δὲ οἴδατε. οὐδ' οἱ πρόγονοι ὑμῶν οὐδ' ὑμεῖς, ἀλλ' ὑπὸ ἀγνοίας καὶ ἀφροσύνης καταμωκώμενοι στρεβλοῦσθε καλῶς ποιοῦντες. μισεῖ δ' ὑμᾶς οὐ μόνον ὁ κύων, ἀλλὰ καὶ ἡ φύσις αὐτή. μικρὰ μὲν γὰρ εὐφραίνεσθε, πλείω δὲ λυπεῖσθε καὶ πρὸ τοῦ γῆμαι καὶ γήμαντες ὅτι ἐγήματε ὄντες ἐξώλεις καὶ δυσάρεστοι. ὅσους δὲ καὶ οἵους ἄνδρας ἀπεκτείνατε τοὺς μὲν ἐν πολέμῳ πλεονέκται ὄντες τοὺς δὲ ἐν τῇ καλουμένῃ εἰρήνῃ αἰτίαν ἐπενεγκόντες. οὐκοῦν πολλοὶ μὲν ἐπὶ τῶν σταυρῶν κρέμαν

του. ἄλλοι δὲ ἀπὸ τοῦ δήμου ἀπεσφαγμένοι· ἕτεροι δὲ φάρμακον πιόντες. οἱ δὲ δημοσίᾳ ἐπὶ τοῦ βρόχου δηλονότι ἄδικοι δόξαντες εἶναι. πότερον οὖν ἐπιχειρητέον ὦ κακαὶ κεφαλαὶ παιδεῦσαι τούτους ἢ ἀποκτεῖναι νεκρῶν μὲν ἡμῖν οὐδεμία δήπου χρεία ἐτύγχανεν ἔσσα εἰ μὴ ὥσπερ ἱερείων σάρκας ἐσθίειν ἐμέλλομεν. ἀνδρῶν δὲ ἀγαθῶν πάντως δήπου ἔστι ὦ κακαὶ κεφαλαί. ἀγραμμάτους μὲν δὲ ἀμούσους παιδεύετε γράμματα τὰ καλούμενα μουσικά. ἵνα ὑπάρχωσιν ὑμῖν ὁπότε ἡ χρεία τούτων. ἄνδρας δὲ ἀδίκους διατί οὐ παιδεύσαντες χρῆσθαι τούτοις ὁπότε ἡ χρεία δικαίων. ἐπεὶ καὶ ἀδίκων χρείαν ἔχετε ὁπόταν βούλησθε ἀφελέσθαι πόλιν ἢ στρατόπεδον. καὶ οὔπω μέγα τοῦτο. ἀλλ' ὅταν μετὰ βίας πράσσητε, τὰ καλὰ καὶ κρείσσονα λεηλατούμενα πάρεστιν ὁρᾶν. καὶ οἷς μὲν ὦ κακαὶ κεφαλαὶ ἐπιχειρήσετε, τούτοις ἀδικεῖτε. καίτοι αὐτοὶ μείζονος τιμωρίας ἄξιοι ὄντες. ἔν τε γυμνασίοις ὅταν ἡ τὰ καλούμενα ἕρμαια, ἐσθίετε. πίνετε. μεθύετε. συνουσίας περαίνετε. ἐκ τῶν ἐναντίων περαίνεσθε. συνδικοπαθεῖτε. ἀσεβεῖς ὑμεῖς ὅτι καὶ κρύφα καὶ φανερῶς ποιεῖτε ταῦτα. οὐδὲν μὲν μέλει τῷ καινί. ὑμῖν δὲ πάντα τὰ δὲ ἐπιμελῆ ἐστι. καὶ ὅπου κώας ἔργετε βίου φυσικοῦ, πῶς εἰς αὐτοὺς οὐκ ἂν πλημμελήσητε. κἀγὼ μὲν ὁ κύων τῷ λόγῳ. ἡ δὲ φύσις τῷ ἔργῳ ὁμοίως πάντας ὑμᾶς τιμωρεῖται. ὁμοίως γὰρ πᾶσιν ὑμῖν θάνατος ἐπικρέμαται ὃν ὑμεῖς φοβεῖσθε καὶ πολλάκις. εἰ δὲ πτωχοὺς ὑγιαίνοντας δι' ἔνδειαν, πλουσίους δὲ νοσοῦντας δι' ἀκρασίαν τῆς δυστυχοῦς γαστρὸς καὶ τῶν. χαρισάμενοί τε τὰ ῥτου τοῖς ὀλίγου. ἐξαργαιέσθητε χρόνου ὑφ' ἡδονῆς, μεγάλας καὶ ἰσχυρὰς ἐναποδεικνυμένης ἀλγηδόνας. καὶ οὔτε οὐδὲν ὠφελεῖ ὑμᾶς οὔτε οἰκία οὔτε τὰ ἐν αὐτῇ κιονόκρανα, ἀλλ' ἐν τοῖς χρυσοῖς καὶ ἀργυροῖς κλίναις κατακείμενοι στρεβλοῦσθε καλλωπίζοντες. οὐδὲ σκευοποιεῖσθαι δύνασθε

ἵνα τὰ τῶν ἀγαθῶν λείψανα μετὰ τῶν λαχάνων καταφάγηται κακοὶ κακῶς ἐπιτήδειοι ὄντες. ἀλλ' εἰ νοῦν ἔχετε ὥσπερ οὐκ ἔχετε ἐὰν μεθύετε, σωκράτει τε τῷ σοφῷ πεισθέντες καὶ μοὶ ἢ βηδὸν σύμπαντες φρονεῖν μάθετε, ἢ ἀπάγξασθε. οὐ γὰρ δυνατὸν εἶναι ἄλλως ἐν τῷ ζῆν, εἰ μὴ θέλετε ὥσπερ ἐν συμποσίῳ, ἕως ἂν ὑπερπιόντες τε ὑπερμεθυσθέντες, ὑπὸ ἰλλίγγων καὶ στρόφων συνεχόμενοι ὑφ' ἑτέρων ἄγησθε καὶ μὴ αὐτοὶ δύνασθε σωθῆναι. ἀποταλῶσι δ' ὑμῖν καὶ ἐνθυμουμένοις ὅσα τὰ ἀγαθὰ ὧν δεσπόται λέγεσθε εἶναι, ἔρχονται οἱ κοινοὶ δήμιοι οὓς ὑμεῖς καλεῖτε ἰατρούς, οἳ ἃ ἂν ἐπὶ τὴν γαστέρα ἐπέλθῃ, ταῦτα λέγουσι καὶ πράττουσιν. οὗτοι δὲ καλῶς ποιοῦντες τέμνουσί τε καίουσι καὶ δεσμεύουσι φάρμακά τε διδόασι καὶ ἔσω καὶ ἔξω τοῦ σώματος. καὶ ἐὰν ὑγιασθῆτε οὐ δὲ τοῖς καλουμένοις ἰατροῖς χάριν ἔχετε. ἀλλ' ἐὰν ὑγιασθῆτε, τοῖς θεοῖς φατὲ δεῖν ἔχειν χάριν. ἐὰν δὲ μή, τοῖς ἰατροῖς ἐγκαλεῖτε. πλεῖον δ' ἔμοιγε πρόσεστι τὸ εὐφραίνεσθαι τοῦ λυπεῖσθαι. καὶ τὸ εἰδέναι τοῦ ἀγνοεῖν. διετέλεσα γὰρ ἐντυγχάνων ἀντισθένει τῷ σοφῷ. ὃς μόνος τοῖς εἰδόσιν αὐτὸν δεῖλε καὶ τοῖς ἀλλοτρίοις τοῖς οὐκ εἰδόσι φύσιν λόγων, ἀλήθειαν οὐ παρέβλω. οὐδὲν φροντίσας κνωδάλων νηπίων μὴ ἐπισταμένων ὡς εἴρηται ἐν ἐπιστολῇ λόγοις τινός. βαρβάροις δὲ οὖσιν οἰμώζειν λέγω, ἕως ἂν ἑλληνιστὶ μαθόντες ἕλληνες ἀληθινοὶ γένησθε. νῦν μὲν γὰρ πολὺ χαριέστεροί εἰσιν οἱ καλούμενοι βάρβαροι, καὶ τόπῳ ἐν ᾧ εἰσι. καὶ τρόπῳ. καὶ οἱ μὲν καλούμενοι ἕλληνες, στρατεύουσιν ἐπὶ τοὺς βαρβάρους. οἱ δὲ βάρβαροι διαφυλάττειν οἴονται τὴν ἑαυτῶν πάντες ὄντες αὐτάρκεις. ὑμῖν δὲ ἱκανὸν οὐδὲν καὶ γὰρ φιλόδοξοι καὶ ἄλογοί τε ἀχρήστως τρεφόμενοί ἐστε.

διονυσίῳ

Διονυσίῳ.

Ἐπειδὴ δέονταί σοι ἐπιμέλειαν ποιήσασθαι ἑαυτοῦ, πέμψω σοι ἄνθρωπον οὐδὲν μὰ Δία ἀρισίππῳ καὶ πλάτωνι ὅμοιον. ἀλλ᾽ ἕνα τῶν ἀθήνησι παιδαγωγῶν ὧν ἔχω. δριμύτατα μὲν βλέποντα, ὀξύτατα δὲ βαδίζοντα. σκύτος δὲ ἀλγεινότατον φέροντα. ὅς σε μὰ Δία ἐπιβλέψει τὸ μὴ καθ᾽ ὥραν ἀναπαύεσθαι. καὶ πρωῒ ἐγείρεσθαι παύσας φόβων καὶ δειμάτων. ἐν οἷς ὢν, οἴει τί μᾶλλον διὰ τοὺς δορυφόρους ἢ τῆς ἀκροπόλεως τὴν εὐορκίαν ἀποστήσεσθαι αὐτῶν δυοῖν μόνων ἀεὶ πάρεστι. καὶ σοὶ δὲ ὅσῳ μᾶλλον καὶ πλείω καὶ μείζω τοιαῦτα κατασκευάζῃ, πλείους καὶ μείζους ἀπορίαι καὶ δείματα τῆς ψυχῆς ἀποβαίνουσι. πάντα οὖν ταῦτα περιαιρήσεται. καὶ θάρσος ἐμποιήσας ἀποστήσει τῆς μαλακίας. τί γὰρ ὄφελος ἀνδρὸς μὴ ἐλευθέρου. ἔστι δέ τοι αὐτὸ τοῦτο ἡ δουλεία. οἷς μετὰ δέους ὁ βίος παρεσκεύασται. ἕως μὲν οὖν ταύτας τὰς συνουσίας ἔχεις, οὐκ ὀνήσει σε τούτων τι τῶν κακῶν. ἐὰν δὲ τὸν ἔξω μεταλάβῃς ὅς σου τὰς πλευρὰς ἀποκαθαίρῃ, καὶ παύσῃ δείπνων μαγειρικῶν, ἐν ὁποίοις δὲ καὶ αὐτὸς διαιτᾶται τρόποις καταστήσῃ σε, σωθήσῃ ὦ δείλαιε. νυνὶ δὲ τοιούτους εὕρηκας ἀνθρώπους οἳ ἂν μάλιστά σε διαλυμαίνοιντο καὶ διαφθείροιεν. οὐ γὰρ ὅπως ἀγαθόν τι παρασκευάσωσιν, ἀλλ᾽ ὅπως δειπνήσωσί τι σκοποῦσι καὶ ὅτι κερδανοῦσι ζητοῦσιν, οὐδὲν ἀφαιρούμενοί σου τῶν ὑπαρχόντων κακῶν, ἀλλὰ τῶν ὄντων ἀφαιρούμενοι καὶ προσκαταλύοντες τῶν οἰκείων ἐθῶν. καὶ οὕτως ἀναίσθητος εἶ, ὃς οὐδὲ ἐκεῖνο ἀκούεις οὕτως ἐν μέσῳ καὶ πανταχοῦ τῆς ἑλλάδος λεγόμενον.

Ἐσθλῶν μὲν γὰρ ἄπ᾽ ἐσθλὰ μαθήσεαι. ἢν δὲ κακοῖσι
Συμμίσγῃς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.

Ὧν σοι οὐδὲν βαρύτερόν ἐστιν ὦ δείλαιε τῶν παρόντων τῶν τυραννι-
κῶν τρόπων. οὐδὲ ἔστιν ὅτι σε ἀεὶ ἄλλο μᾶλλον ἀπόλλυσιν. ἀλλ' οὔτε
ἄνθρωπον δυνή ἐξευρεῖν ἐπὶ τούτῳ, ὅστις σε ἀποστήσει ὥσπερ τῆς
ἱερᾶς νόσου καλουμένης τῆς τυραννίδος· ἅπαντα γὰρ ποιεῖς ὅ-
σα ἄνθρωπος μαινόμενος ποιοίη. μόνου δὲ ἀποστὰς τούτου σωθεί-
σῃ ἄν. ἀλλ' οὔτε οἱ συνόντες ὁρῶσιν ὅσον τὸ κακὸν ἔχεις, οὔτε αὐ-
τὸς αἰσθάνῃ. οὕτως ἐκ πολλοῦ τέ σου καὶ σφόδρα ἥπτεται ἡ νόσος.
σκύτους οὖν δεῖσαι ἢ δεσπότου, οὐχ ὅς σε θαυμάσει ἢ κολακεύσει,
ὡς ὑπό γε τοιούτου ἀνθρώπου, πῶς αὐτίς ποτε ὠφεληθείη· ἢ πῶς ὁ
τοιοῦτος ὠφελήσειέ τινα, εἰ μὴ ὥσπερ ἵππον ἢ βοῦν κολάζοι τε ἅ-
μα καὶ σωφρονίζοι φροντίζοι τε τῶν δεόντων. ἀλλὰ σύ γε πόρρω ἥ-
κεις διαφθορᾶς. οὐκοῦν ἀναγκαῖον τομάς τε καὶ καύσεις καὶ φαρ-
μακείας ποιεῖσθαι. σὺ δὲ ὥσπερ τὰ παιδία πάππους τινὰς καὶ τίτ-
θας εἰσηγάγου. καί σοι φασὶ δέξαι τέκνον· ἔγχεαι ἔτι με φιλεῖς
μικρὸν ἔτι. μόνον τουτὶ πρόσφαγε. εἰ οὖν σοι ἅπαντες καὶ πᾶσαι
συνελθόντες κατηρῶντο, οὐκ ἂν συμφορώτερα τῇ νόσῳ ἐ-
ποίεις· ἀλλὰ τί, οὐ γὰρ μήποτε σὺ ἐθελήσεις τὰ θρία τῶν σύ-
κων ἐπιτρώγειν, ἀλλ' ὥσπερ πρόβατον οὐκ ἂν ἀποσταίης
τῶν ὡρίμων. οὐκ ἔστιν οὖν σοι οὔτε χαίρειν οὔ-
τε ἐρρῶσθαι ὦ φίλ-
τατε.

Τέλος τῶν Διογένους
ἐπιστολῶν.

ΕΠΙΣΤΟΛΑΙ ΚΡΑΤΗΤΟΣ ΙΠΠΑΡΧΙΑ ΤΗ ΓΥΝΑΙΚΙ ΑΥΤΟΥ.

Πάνυ ἧκε ταχέως. ἔτι δυνάσαι Διογένην καταλαβεῖν ζῶντα. ἐγγὺς γὰρ ἤδη ἐστὶ τῆς τοῦ βίου τελευτῆς. χθές γέ τοι παρὰ τοσοῦτον ἐξέπνευσεν. ἵνα καὶ ἀσπάσῃ αὐτὸν τὸ ἔσχατον ἄσπασμα. καὶ γνῷς ὅσον δύναται καὶ ἐν τοῖς φοβερωτάτοις φιλοσοφία.

Siquis in hoc mundo charus vel... Det, capiat, quaerat, plurima, pau...

Τοῖς ἑταίροις.

Η πάντας αἰτεῖτε τὰ ἀναγκαῖα. μηδὲ παρὰ πάντων τὰ διδόμενα δέχεσθε. οὐ γὰρ θεμιτὸν ἀρετὴν ὑπὸ κακῶν τρέφεσθαι. μόνους δὲ καὶ παρὰ μόνων τῶν μεμυημένων φιλοσοφίαν, καὶ ὑμῖν ἐξέσται αἰτεῖν τὰ ἴδια, καὶ μὴ δοκεῖν αἰτεῖν τὰ ἀλλότρια.

Τοῖς αὐτοῖς.

Ελέτω ὑμῖν τῆς ψυχῆς. τοῦ δὲ σώματος, ὅσον ἀνάγκη. τῶν δ' ἔξω μηδ' ὅσον. εὐδαιμονία γὰρ οὐχ ἡδονὴ δ' ἦν τῶν ἐκτὸς χρεία, ἀλλ' ἀρετὴ μετ' οὐδενὸς τῶν ἐκτὸς τελεία.

Ἑρμαΐσκῳ.

Ιθαιρετὸν ὁ πόνος, πόνει. ἐπεὶ φευκτόν, πόνει, ἵνα μὴ πονῇς. διὰ γὰρ τοῦ μὴ πονεῖν, οὐ φεύγεται πόνος. τοὐναντίον δὲ ἐναντίω, καὶ διώκεται.

Τοῖς ἑταίροις.

Αλὸν νόμος. ἀλλ' οὐ κρεῖττον φιλοσοφίας. ὁ μὲν γὰρ βιάζεται μὴ ἀδικεῖν. ἡ δὲ διδάσκει. ὅσῳ δὲ χεῖρόν ἐστιν ἀνάγκη τι ποιεῖν τοῦ ἑκουσίως, τοσούτῳ καὶ νόμος φιλοσοφίας. ὥστε διὰ τοῦτο φιλοσοφεῖτε καὶ μὴ πολιτεύεσθε. κρεῖττον γὰρ δι' οὗ διδάσκονται αὐτοὶ δικαιοπραγεῖν ἐπίστασθαι, ἢ δι' οὗ ἀναγκάζονται μὴ ἀδικεῖν.

Τοῖς αὐτοῖς

φ Ιλοσοφεῖτε πολλάκις ἢ ἀναπνεῖτε. αἱρετώτερον γὰρ τὸ εὖ ζῆν ὃ περὶ φιλοσοφία τοῦ ζῆν ὃ ποιεῖ ἀναπνοή. καὶ μὴ ὡς ἄλλοι. ἄλλως ἤρξατο μὲν ἀντισθένης. ἐτελείωσε δὲ διογένης. εἰ δὲ δύσκολον τὸ ὧδε φιλοσοφεῖν, ἀλλὰ συντομώτερον. πρὸς δὲ εὐδαιμονίαν ὡς ἔλεγε διογένης κἂν διὰ πυρὸς βαδιστέον.

Τοῖς αὐτοῖς.

ἀ Γάρξασθε ὅτι θέρμους καὶ ἰσχάδας καὶ ὕδωρ ἔχοντες καὶ ἐξωμίδας μεγαλείας πωλεῖτε καὶ πολλὰ γεωργεῖτε. ἢ προδίδοτε καὶ τυραννεῖτε, ἢ φονεύετε καὶ ὅσα ἄλλα τοιαῦτά ἐστι ποιεῖτε δέον ἠρεμεῖν. ἡμεῖς δὲ εἰρήνην ἄγομεν τὴν πᾶσαν. παντὸς κακοῦ ἐλεύθεροι γενόμενοι ὑπὸ τοῦ σινωπέως διογένους. καὶ ἔχοντες μηδὲν πάντα ἔχομεν. ὑμεῖς δὲ πάντα ἔχοντες, οὐδὲν ἔχετε διὰ φιλονεικίαν καὶ φθόνον καὶ φόβον καὶ κενοδοξίαν. Διογένει.

ἀ Πὸ μὲν δὴ τοῦ πλούτου ἤδη ἐλευθεριάζομεν. ἡ δὲ δόξα ἡμᾶς οὐδέπω ἔτι καὶ νῦν μεθίεται τῆς δουλείας. καίτοι νὴ τὸν ἡρακλέα ἡμῶν πάντα ποιούντων εἰς τὸ ἀφεθῆναι παρ' αὐτῆς. ἄλλως δὲ ἢ τῆς δὲ ἐμαυτὸν τῆς δεσποίνης λυτρώσομαι πλεύσας ἀθήναζε, φέρων σοι δωρεάν. εἰς κὴν ἐξελευθήμας ὁ παρὰ σοῦ λόγος ἐμαυτῷ τὸ κρεῖττον πάντων κτῆμα.

Μνασοῖ.

μ Η ἀπέχου τοῦ καλλίστου κόσμου. ἀλλὰ κόσμει σαυτὴν ἑκάστης ἡμέρας, ἵνα διαφέρουσα ᾖς. κάλλιστος δὲ κόσμος ἐστὶν, ὁ κάλλιστα κοσμῶν. κάλλιστα δὲ κοσμεῖ, ὁ κοσμιωτάτην ποιῶν. κοσμιωτάτην δὲ ποιεῖ, κοσμιότης. ἡ μοι δοκοῦσι καὶ ἡ πηνελόπη καὶ ἡ ἄλκηστις κεκοσμῆσθαι. καὶ ἔτι καὶ νῦν ἐπ' ἀρετῇ ὑμνεῖ-

σθαι

σθαι. καὶ τιμᾶσθαι. ἵνα οὖν καὶ σὺ τούτοις ἐνάμιλλος γένῃ, πειρῶ τού-των ἀντέχεσθαι τῶν περαινομένων.

Λύσιδ.

α Κήνοάς σε ὦ λύσι ἀπὸ τοῦ ἀγῶνος τοῦ ἐν ἐρετρίᾳ συνεχῶς μεθύσκεσθαι. εἰ δὲ ταῦτά ἐστιν ἀληθῆ, πάρεστί σοι μὴ καταφρονῆσαι ὧν ὅμηρος ὁ σοφὸς λέγει. φησὶ γάρ·

Οἶνος καὶ κένταυρον ἀγακλυτὸν ἀρυτίωνα.

Ὤλεσε καὶ κύκλωπα ὑπὲρ ἄνθρωπον καὶ τὸ μέγεθος καὶ τὴν ἰσχὺν φοροῦντα.

Εἰ οὖν καὶ τοὺς ἰσχυροτέρους καὶ μείζους ἡμῶν κακῶς διαθήσει, πῶς οἴει ἡμᾶς αὐτὸν διαθήσειν. οἶμαι μὲν γὰρ ἀθλίως. ὅπως οὖν μὴ γένηται μηδὲν δυσχερὲς ἀπ' αὐτοῦ, παραινῶ σοι μαθόντα εὐχρήστως αὐτῷ χρῆσθαι. ὡς ἄτοπον ἐστὶ τῷ μὲν πλήκτρῳ μὴ εἴκειν οἴεσθαι, ὅτι τοὺς χρωμένους αὐτῷ καλῶς οὐκ ὀξύτησι τῶν φρενῶν οὐδεὶς μανίαν ἐμβάλλει. τῷ δὲ οἴνῳ οἴεσθαι εἴκειν δεῖν καὶ χρῆσθαι αὐτῷ κάκιον, ἂν ἢ τῷ πλήκτρῳ ἀποβαίνει τοσοῦτον μεῖζον. καὶ τὴν μελέτην αὐτοῦ ποιητέον. πειρῶ δὴ τοῖς ἐγκρατέσι τῶν ἀνδρῶν ὁμιλῶν ἐγκρατῶς χρῆσθαι μανθάνειν. ὅπως αὖ τό τε δῶρον τοῦ θεοῦ μὴ ἀτιμάζοντί σοι γένηται, ἀλλὰ τιμῶντι ἡδοναὶ ἀμεταμέλητοι. καὶ ὠφέλειαί σοι ἀπ' αὐτοῦ ὦσιν ὅταν ἄλλως πρὸς μετ' ἐγκρατείας περαινόμενας εὐσχημόνως σέ καὶ δικαίως ποιεῖ βιοτεύειν, μηδὲν ἄσχημον μηδὲ φαῦλον ἐν τῷ βίῳ διαπραττόμενον, ἀλλὰ πάντα τὰ δίκαια λέγοντα καὶ πράττοντα. ὧν παρουσίᾳ ἄνθρωποι λέγονται τρισευδαίμονες γίνεσθαι. βιωτῶν αὐτοῖς ἀγαθῶν πληθυνόντων ἐν τῷ βίῳ. οἷς γὰρ τά τε περὶ τὴν ψυχὴν ἐγκρατῶς διάκειται, τά τε περὶ τὸ σῶμα ὑγιεινῶς, τά τε περὶ κτῆσιν αὐταρκῶς, πῶς οὐ τρισευδαίμονες εἶεν. ὅπως οὖν τούτων τῶν ἀγαθῶν ἀπολαύῃς, παραινῶ σοι μὴ ὀλιγωρεῖν τῶν ἐπεσταλμένων.

Τοῖς ἑταίροις.

ἀ Σκεῖτε ὀλίγων δεῖσθαι. τοῦτο γὰρ ἐγγυτάτω θεοῦ. τὸ δ' ἐναντίον μακροτάτω. οὕτως ὑμῖν ἔσται μέσοις γενομένοις θεοῦ καὶ ἀνάλογον θεῖον, τινὶ κρείττονι γένει. καὶ μὴ ὅτι ἀναλόγως τῷ χείρονι ὁμοίους γενέσθαι.

Ὠριγένει.

ὀ Υ ποιεῖ ἀγρὸς σπουδαίους οὐδ' ἄστυ φαύλους, ἀλλ' αἱ σὺν τοῖς ἀγαθοῖς καὶ κακοῖς διατριβαί. ὥστε εἰ βούλει ἀγαθοὺς καὶ μὴ κακοὺς γενέσθαι σοι τοὺς παῖδας, πέμπε μὴ κατ' ἀγρόν, ἀλλ' εἰς φιλοσόφου. ἵνα καὶ αὐτοὶ βαδίζοντες, τὰ καλὰ ἐμάθομεν. ἀσκητὸν γὰρ ἀρετή. καὶ οὐκ αὐτόματον ἐμβαίνει τῇ ψυχῇ, ὥσπερ κακία.

Εὐμόλπῳ.

ἀ Δοξος τὸ λῆμα Διογένειος, ἀλλ' ἀσφαλής. καὶ πλουσιώτερος ὁ ἐχόμενος αὐτῆς τῶν τὰ Καρχηδονίων φρονούντων. καὶ λιτὸς ὁ βίος, ἀλλ' ὑγιεινότερος τοῦ περσικοῦ. καὶ ἐπίπονος ἡ ἀγωγή, ἀλλ' ἐλευθεριωτέρα τῆς Σαρδαναπάλου. ὥστε εἰ κρείττων τῆς Καρχηδονίας στολῆς καὶ ἡ ὑγεία τοῦ λαμπροῦ βίου καὶ ἡ ἐλευθερία ἐπονειδίστου διατριβῆς, καὶ ἡ ταῦτα φιλοσοφία ποιοῦσα τῶν πάντων ἐστὶ κρείττων. ζῆ εἰ μὴ ἡ κατ' ἄλλους, ἀλλ' ἢ κατὰ Διογένην τὸν εὑρόμενον τὴν σύντομον ὁδὸν ἐπ' εὐδαιμονίαν.

Τοῖς νέοις.

ἐ Θίζετε ἑαυτοὺς ἐσθίειν μᾶζαν καὶ πίνειν ὕδωρ. ἰχθύων δὲ καὶ οἴνου μὴ γεύεσθαι. ταῦτα γὰρ τοὺς μὲν γέροντας ἀποθηλυνεῖ. ὥσπερ τὰ παρὰ τῆς Κίρκης φάρμακα. τοὺς δὲ νέους ἀποθηλύνει.

Τέλος.

ΕΠΙΣΤΟΛΑΙ ΑΝΑΧΑΡΣΙΔΟΣ ΑΘΗΝΑΙΟΙΣ.

Ἐλᾶτε ἐμὴν φωνὴν διότι οὐ τρανῶς ἑλληνικὰ γράμματα λέγει. ἀνάχαρσις παρ' ἀθηναίοις σολοικίζει. ἀθηναῖοι δὲ παρὰ σκύθαις. οὐ φωναῖς διήνεγκαν ἄνθρωποι ἀνθρώπων εἰς τὸ εἶναι ἀξιόλογοι, ἀλλὰ γνώμαις, ὥσπερ καὶ ἕλληνες ἑλλήνων. σπαρτιᾶται οὐδ' ἀττικίζειν, ἀλλ' ἔργοις λαμπροὶ καὶ δόκιμοι. οὐ ψέγουσι σκύθαι λόγον ὃς ἐμφανίζει τὰ δέοντα, οὐδ' ἐπαινοῦσιν ὃς ἂν μὴ ἐφικνῆται τοῦ δέοντος. πολλὰ δὲ ὑμεῖς οἰκονομεῖτε οὐ προσέχοντες φωνῇ ἄρθρα οὐκ ἐχούσῃ. εἰσάγεσθε ἰατροὺς αἰγυπτίους. κυβερνήταις χρῆσθε φοίνιξιν. ὠνεῖσθε ἐν ἀγορᾷ, οὐ διδόντες πλέον τῆς ἀξίας τοῖς ἑλληνιστὶ λαλοῦσιν. οὐδὲ ὀκνηρῶς λαμβάνετε παρὰ βαρβάρων ἐὰν πρὸς τρόπου πωλῶσι. βασιλεὺς περσῶν καὶ κείνων φίλοι μεγαλοφρονοῦντες ὅταν βούλωνται πρὸς ἑλλήνων πρέσβεις τῇ ἑλληνικῇ φωνῇ φθέγγεσθαι, ἀναγκάζονται σολοικίζειν. ὧν ὑμεῖς οὔτε βουλὰς οὔτε ἔργα καταμέμφεσθε. λόγος δὲ καλὸς οὐ γίνεται ὅταν βουλαὶ ἀγαθαὶ ὦσι. καὶ ἔργα καλὰ λόγοις παρακολουθῇ. σκύθαι δὲ κρίνουσι λόγον φαῦλον ὅταν διαλογισμοὶ φαῦλοι γίνωνται. πολλῶν καθυστερήσετε, ἂν δυσχεραίνητε φωναῖς βαρβάροις. καὶ μετὰ τοῦτο μὴ ἀποδεχόμενοι τὰ λεγόμενα. πολλοὺς γὰρ ποιήσετε ὀκνηροὺς εἰσηγεῖσθαι ὑμῖν τὰ συμφέροντα. διατί βαρβαρικὰ τιμᾶτε ὑφάσματα, φωνὴν δὲ βάρβαρον ἀδοκιμάζετε. αὐλούντων ᾀδόντων φωνὰς ζητεῖτε ἐμμελεῖς ἐπικρίνοντες ἐμ

μέρη τοιούτων ἐπιλαμβάνεσθε, εἰ μὴ ἀναπληρῶσι γράμμασιν ἑλληνικοῖς τὰ μέρη λεγόντων ἢ θεωρεῖτε αὐτὰ τὰ λεγόμενα. τὸ γὰρ τέλος τούτων εἰς ὄνησιν, καὶ βαρβάροις πειθόμενοι οὐκ ἐπιτρέψετε γυναιξὶ καὶ τέκνοις. καὶ προσέχουσιν ὑμῖν ἐὰν σολοικίζητε. κρεῖσσον γὰρ σολοικίζουσιν ἐπακολουθοῦντας σώζεσθαι, ἢ τρανῶς ἀττικίζουσιν ἐπακολουθοῦντας μέγα βλάπτεσθαι. ἀπαιδεύτων ταῦτά ἐστι ὦ ἀπειροκάλων ἄνδρες ἀθηναῖοι. σώφρων γὰρ οὐδεὶς ἂν διανοηθείη ταῦτα.

Σόλωνι.

Ἕλληνες σοφοὶ ἄνδρες οὐδέν τι σοφώτεροι βαρβάρων. τὸ γὰρ ἐπίστασθαι καλὸν εἰδέναι, οὐκ ἀφείλοντο οἱ θεοὶ βαρβάρων. πεῖραν δὲ ἔξεστι λαμβάνειν ἐξετάζοντας λόγιον, εἰ καταφρονοῦμεν. καὶ βασανίζειν εἰ συμφωνοῦμεν. λόγιον γὰρ πρὸς ἔργα εἰ ὅμοιοι ἐσμὲν τοῖς ἀγαθῶς ζῶσι. στολαὶ δὲ καὶ κόσμος σώματος μὴ γινέσθωσαν ἐμπόδιον ὀρθῆς κρίσεως. ἄλλοι γὰρ ἄλλως κατὰ νόμους πατέρων κεκοσμήκασι τὰ σώματα. σημεῖα δὲ ἀσυνεσίας τὰ αὐτὰ βαρβάροις καὶ ἕλλησιν· ὁμοίως δὲ συνέσεως. σὺ δὲ διότι ἀνάχαρσις ἐλθὼν ἐπὶ τὰς θύρας ἐβούλετό σοι ξένος γενέσθαι, ἀπηξίωσας. καὶ ἀποκρίνῃ ἐν οἰκείᾳ χώρᾳ μὴ δεῖν ξενίαν συνάπτειν. εἰ δέ τις σοι κύνα σπαρτιάτην ἐδωρεῖτο, οὐκ ἂν προσέτασσες ἐκείνῳ ἀνδρὶ κύνα τοῦτον εἰς σπάρτην ἀγαγόντα δοῦναί σοι. τί ἢ καὶ ἐσόμεθα ἕτεροι ἑτέροις ξένοι, ἐπειδὰν ἕκαστος τοῦτον τὸν λόγον λέγῃ. ἐμοὶ μὲν οὐ καλῶς ἔχειν ταῦτα δοκεῖ σόλων ἀθηναῖε σοφέ. καί με κελεύει θυμὸς πορεύεσθαι πάλιν ἐπὶ τὰς θύρας οὐκ ἀξιώσοντα ἃ καὶ πρότερον, ἀλλὰ πευσόμενον πῶς ἔχεις περὶ ἀποφήνω ὑπὲρ ξενίας.

Ιππάρχῳ.

ο Ινος πολὺς ἄκρατος ἀλλότριον τοῦ καλῶς τίθεσθαι τὰ καθήκοντα. συνέχει γὰρ φρένας ἐν αἷς ἱδρύνται ἀνθρώποις τὸ λογίζεσθαι. τὸν δὲ ὀρεγόμενον μεγάλων, ἐνδέχεται καλῶς πρᾶξαι ἃ ἐπιβάλλεται ἐὰν μὴ νήφοντα βίον καὶ μεριμνητικὸν ἐνστήσηται. ἀφεὶς οὖν κύβους καὶ μέθην, τρέπου πρὸς τὰ δι' ὧν ἄρξεις. κατὰ τρόπον δὲ ἐργασίας παρ' ἑαυτοῦ φίλους τε προσαίτας δὲ ποιῶν. εἰ δὲ πρὸς τῷ αἰσχρὸς εἶναι κινδυνεύσεις ἰδίῳ σώματι, τότε μνησθήσονταί σου φίλοι ἀνδρὸς σκύθου ἀναχάρσιδος.

Μηδόκῳ.

φ Θόνος τε ἡ οἴησις μεγάλα τεκμήρια φαύλης τῆς ψυχῆς. φθόνῳ μὲν γὰρ ἕπεται λύπη, εὐπραγίας φίλων καὶ πολιτῶν. οἰήσει δὲ ἐλπίδες κενῶν λόγων. σκύθαι οὐκ ἀποδέχονται τοιούτους ἄνδρας, ἀλλὰ χαίρουσί τε τοῖς εὖ πράττουσι καὶ ζητοῦσιν ὧν δὲ λοιπὸν αὐτοὺς τυχεῖν. μῖσος δὲ καὶ φθόνον καὶ πᾶν δύσκολον πάθος ὡς πολέμιον ἐκδιώκουσι καὶ παντὶ σθένει διατελοῦσιν.

Αννωνι.

Μοὶ μὲν περίβλημα χλαῖνα σκυθική. ὑπόδημα δέρμα ποδῶν. κοίτη δὲ πᾶσα γῆ. δεῖπνον τε ἄριστον, γάλα τε τυρὸς τε κρέας ὀπτόν. πιεῖν ὕδωρ. ὡς οὖν ἄγοντος μου σχολὴν ὧν οἱ πλεῖστοι ἕνεκεν ἀσχολοῦνται, παραγενοῦ πρός με εἴ τινά μου χρείαν ἔχεις. δῶρα δ' οἷς ἐντρυφᾶτε ἀντιδωροῦμαί σοι. ὑμεῖς δ' ὅσοι καρχηδονίων εἰς χάριν σὴν ἀνέθετε θεοῖς.

Υἱῷ βασιλέως

σ Οὶ μὲν αὐλοὶ καὶ βαλάντια. ἐμοὶ δὲ βέλη καὶ τόξα. διὸ εἰκότως σὺ μὲν δοῦλος ἐγὼ δὲ ἐλεύθερος. τε σοὶ μὲν πολλοὶ

πολέμιοι. ἐμοὶ δὲ οὐδείς. εἰ δὲ θέλεις, ῥίψας τὸ ἀργύρειον φέρειν τόξα καὶ φαρέτραν καὶ πολιτεύεσθαι μετὰ σκυθῶν, ὑπάρξει καὶ σοὶ ταὐτά.

Τηρεῖ.

ὁ Υ̓δεὶς ἄρχων ἀγαθὸς ἀπολαύει ἀρχομένων· οὐδὲ ποιμὴν ἀγαθὸς πρόβατα λυμαινόμενος. σοὶ δὲ πᾶσα μὲν χώρα ἔρημος ἀρχομένων καὶ κακῶς προστατευθεῖσα ὑπάρχοντων. πᾶς δὲ οἶκος ἰδιώτης εἰς τὸ πεινῆν συνέσταλται. ὥστε μὴ δύνασθαι τοῖς πράγμασι χρήσιμος εἶναι. φείδεσθαι δὲ ἄμεινόν σε ὧν ἂν ᾖς κύριος. οὐ μὴν γὰρ ἴδια κτήματα ἐπαύξεται τῇ βασιλείᾳ καὶ διαμένει. νῦν δὲ ἐκπονίζεις μὲν ἀνθρώπων εἰς πόλεμον, ἁρπάζεις δὲ χρημάτων οἷς διοικεῖς. οὐ στρατιώτας καὶ δικαίως θεωροῦντας ἐν σῶμα ἐὰν μὴ καταλείπῃς τροφὴν ἀρκοῦσαν μὲν ἐπίπονον καὶ ἐν ὄρεσιν ἐν ἐρήμοις πεφυκόσιν ἐν τούτοις οἰκήσουσι καὶ ἐργάσονται τὰ τῶν μελισσῶν.

Θρασυλόχῳ.

π Υων ψυχῇ καλὸν ζῶον μνημονεῦον εὐεργεσιῶν. φιλεῖ τὴν εὐεργετῶν οἰκίαν. διατηρῶν εὐνομίαν ἕως θανάτου. σὺ δὲ ὦ πολέμιε κοινὸς εὐεργεσιῶν δυνάμενος συλλογισμῷ ἐξισοῦσθαι ἀνθρώποις. ζητεῖ οὖν λόγος ἐμὸς τίνος ἂν γένοιο θυμοῦ δίκαιος ὅταν πρὸς τοὺς εὐεργέτας λέοντος ψυχὴν φορῇς. πειρῶ οὖν συνήθειαν ἐμὴν ἣν ἔχομεν πρὸς σὲ σώζειν. καὶ γὰρ ἐλπίδες καλαὶ ἀνδρὶ τοιούτῳ.

Κροίσῳ.

ὁ Ι ἐν Ἕλλησι ποιηταὶ λόγῳ κόσμον διανέμοντες κρόνου παισὶν ἀδελφοῖς λῆξιν, τῷ μὲν οὐρανοῦ τῷ δὲ, θαλάττης. τρί-

τῳ δὲ

τῷ δὲ ζόφου προσέθεσαν. τοῦτο μὲν ἰδιοπραγίας ἑλληνικῆς. κοινωνίαν δὲ οὐδεμίαν χρήματος ἐπιστάμενοι τὸ ἑαυτῶν κακὸν θεοῖς προσέρριψαν. γῆν δὲ ὅμως ἐξαίρετον καὶ οὐχὶ κοινὴν ἅπασιν ὑπελείποντο. φέρε τοῦτο τί ποτε φέρει τὸ νόημα φροντίζωμεν. πάντως ἐβούλοντο θεοὺς τιμὰς πρὸς ἀνθρώπων ἔχειν καὶ πάντας ἀγαθῶν δοτῆρας καὶ κακῶν ἀποτρόπους ὑπάρχειν. κοινὸν δὲ θεῶν κτῆμα τῆ κοινὸν καὶ ἀνθρώπων τὸ πάλαι ἦν. χρόνῳ δὲ παρηνόμησαν ἴδια ἐπονομάζοντες τεμένη θεοῖς, τὰ πάντων κοινά. θεοὶ δὲ ἀντὶ τούτων δῶρα πρέποντα ἀντεδωρήσαντο. ἔριν γὰρ καὶ ἡδονὴν καὶ μικροψυχίαν ἀνθρώποις. ἀπὸ τούτων μιγνυμένων τε καὶ διακρινομένων πάντα ἔφυ τὰ κακὰ τοῖς πᾶσι θνητοῖς. ἄροτοι. ἄποροι. μεταλλαγαί. πόλεμοι. καρπούς τε γὰρ ἐπεισενεγκόντες πολλαπλασίους ἀποφέρονται μικρῶν. τέχνας τε ποικίλοντες ὀλιγόβιον εὕρηνται τρυφὴν ἵνα τε τῆς.

ΕΠΙΣΤΟΛΑΙ ΕΥΡΙΠΙΔΟΥ

ΑΡΧΕΛΑΩι.

Τ

Ο μὲν ἀργύριον ἀνέπεμψα μέν σοι, πάλιν ὅπερ ἡμῖν Ἀμφίας ἐκόμιζεν. οὐ δόξαν κενὴν θηρώμενοι εἰ μή τε καὶ ἀχθεσθήσεσθαι μᾶλλον ἢ ἀποδέξασθαι ἡμᾶς δι᾽ αὐτὸ ἐνομίζομεν. τοὺς δ᾽ ἄλλους αὐτὸ τοῦτο δὴ καὶ μάλιστα συκοφαντεῖν ἐπιχειρήσειν ὡς ἐπίδειξιν οὖσαν τὸ πρᾶγμα. καὶ πρόσχημα μᾶλλον εἰς τοὺς πολλούς· οὐ μεγαλοφροσύνην οὐδεμίαν. ὥστε τούτοιν μὲν ἀμφοῖν ἕνεκα καὶ ἐδεξάμεθα. καλλίστων δὲ ἐπέστειλεν ἡμῖν ὅπως λάβοιμεν ἀπειλήσας ὀργιεῖσθαι μὴ λαβοῦσιν. ἄλλως τὸ μὲν αὔταρκες ἡμῖν τε καὶ τοῖς φίλοις παρόν. τὸ δ᾽ ὑπὸ σοῦ πεμφθὲν πλεῖον ἢ ὅσου ἡ κτῆσις ἥρμοζε. καὶ ἧς ἡμῖν ἡ φυλακὴ ῥαδία. περὶ τῶν πελλαίων νεανίσκων, καὶ πρότερον μὲν ἐπεστείλαμέν σοι δεόμενοι καὶ νῦν δεόμεθα σῶσαί τε αὐτοὺς καὶ ἀνεῖναι τῶν δεσμῶν. οὐδὲν γὰρ ἀδικεῖν ἐοίκασιν, ἢ οὐδὲν βλάψειν ἀφεθέντες ἔτι. μέτριον δὲ καὶ τὸ χαρίσασθαι δεομένοις ἡμῖν. καὶ τὸ ἐλεῆσαι δὲ τὸν πατέρα αὐτῶν γέροντα ὡς ἔστι πυνθάνεσθαι, τῶν εὐγενεστάτων ἐν πέλλῃ καὶ κατὰ τἄλλα δοκίμων. ὃς αὐτὸς ἐλθὼν ἀθήναζε ἐφ᾽ ἡμᾶς κατέφυγεν, ἐλπίσας δυναθῆ τι παρὰ σοί. καὶ ἐδεήθη ταῦτα ἐπιστεῖλαί σοι. ἀλλὰ μὴ φαυλότερος γένῃ περὶ ἡμᾶς ἢ ἐκεῖνος ὑπέλαβεν.

Σοφοκλεῖ.

ε Κομίζεται ἀθήναζε ὦ σοφόκλεις ἡ περὶ τὸν εἰς χῖον πλοῦν γενομένη σοι συμφορά· καὶ ἴσθι οὕτω διατεθεῖσαν τὴν πόλιν ἅπασαν, ὥστε μηδὲ τοὺς ἐχθροὺς ἧσσον ἀχθεσθῆναι τῶν φίλων. τῷ δὲ τοσούτου κακοῦ ἤκουσας περισώζεσθαί σε καὶ τὸ τῶν συνόντων σοι φίλων μηδὲ θεράποντα ἀποβαλεῖν μηδένα, οὐκ ἄλλο τι ἔγωγε ἢ θεοῦ πρόνοιαν γενέσθαι πείθομαι. ἡ μέν τοι περὶ τὰ δράματα συμφορὰ ἣν, τίς οὐχὶ κοινὴν ἁπάσης τῆς ἑλλάδος νομίσειεν ἄν, δεῖ νῦν μὲν, ἀλλὰ περιόντος γε σοῦ ῥᾳδίως ἐπανορθωθήσεται. σκόπει δ᾽ ὅπως ἀσφαλεστέραν ἢ ταχυτέραν ποιήσει τὴν ἐπάνοδον. καὶ ἤτοι ἄρα ἡ θάλασσα ἢ τὸ κρύος παραχρῆμα ἐνοχλήμενόν γε ἢ ὕστερον κακῶσαι δοκεῖ, ῥαΐσας τὸ σῶμα πρότερον ἢ σύγχει ἐπάνιθι. καὶ τὰ οἴκοι ἴσθι κατὰ νοῦν καὶ ὅσα ἐπέστειλας ἐπιτελοῦντα. ἄσπασαι χιονίδην τὲ καὶ λαπρέπτην καὶ εἰδέτωσαν ἡμᾶς ὡς ἥκιστα καὶ ἐπαινοῦ τοῖς χαιρομίας ὅτι σώζονται. αὐτιγένη τὸν ἰατρὸν εἴπερ ἔτι ἐν χίῳ καταλαμβάνεις καὶ μὴ ἀπῆρκέ πω εἰς ῥόδον, ἄσπασαι. καὶ ἴσθι ἀνδρῶν βέλτιστον ὄντα καὶ τοὺς κρατίνου υἱεῖς.

Ἀρχελάῳ.

α Φίκετο ἀθήναζε πρὸς ἡμᾶς ὁ πελλαῖος γέρων ἅμα τοῖς ἑαυτοῦ νεανίσκοις. ἐγένετο μὲν ἡ ὄψις ὦ βέλτιστε βασιλεῦ ἡδεῖα μὲν ἐμοὶ τῷ θεωμένῳ τε καὶ δι᾽ ὃν ταῦτα ἐγίνετο. καλὴ δὲ καὶ σοὶ ἀπόντι καὶ φέρουσα δόξαν πολλὴν καὶ ζῆλον παρὰ πᾶσι τοῖς τε ἐπιτηδείοις τοῖς ἐμοῖς, καὶ ἀθηναίων ὁπόσοι εἶδον. εἶδον δ᾽ ἢ πολλοί. καὶ οὐδεὶς ὅστις οὐκ ἠγάσθη τέ σου τῆς φιλανθρωπίας καὶ συνευξάντο σοι τὰ ἀγαθά. περιῄει γὰρ γέρων οὐ πολλαῖς πάνυ ἡμέραις πρότερον ἐνθάδε ῥυπῶν τε καὶ κόμην ἔχων ἐν οὕτω πάνυ

λει τῇ τινι ἐλπίδι πεπεισμένος τὴν σωτηρίαν τῶν παίδων. λαμ-
πρός τε ἀδελφῆς καὶ μετὰ δυοῖν παίδοιν νεανίαιν, θύοντες τοῖς θε
οῖς ἐμέ τε ὑμνῶν καὶ περιέπων ὅτι σώσαιμι αὐτῷ τοὺς υἱέας καὶ
τὴν πόλιν τὴν τῶν ἀθηναίων ὅτι τοιούτους πολίτας τρέφοι. ἐγὼ
δὲ πολλὰ μὲν καὶ ἕτερα εἰπεῖν ἔχω. οὐ βούλομαι δὲ ἐπιδεικνὺς ὅ-
σῳ πλείονα ἐκ τούτου σεαυτὸν ὤνησας ἢ ἄλλον τινὰ ἀνθρώπων,
δοκεῖν διὰ τοῦτο ἐλάττω σοι χάριν ἔχειν. ὁμολογῶ δὲ αὐτός τε δὴ
τὰ μέγιστα πεπονθέναι καὶ πειράσασθαι τοῦ καλοῦ τούτου ἔργου,
πολλὰ πάνυ καὶ μεγάλα παρασχεῖν σοι χαριστήρια. ὅτι οὔτε τὸν δεί
λαιον γέροντα ἐκεῖνον ὅτε ἠτύχει τῆς ἐφ' ἡμῖν, οὔτε ἡμᾶς τῆς ἐπὶ
σοὶ γενομένης ἔψευσας ἐλπίδος.

Τῷ αὐτῷ.

Αἱ τὰ περὶ τοὺς πελλαίους ὦ βέλτιστε ἀρχέλαε καὶ πολ
κ λὰ ἄλλα πεπολίτευταί σοι καλῶς. καὶ πρὸς ἐμὲ καὶ
πρὸς ἑτέρους ἐπιεικεῖς τε καὶ σπουδῆς ἀξίους πολλούς. καὶ οὐχ ἧσσον
αὐτὰ δὴ ἴσθι ὅσα πρὸς ἄλλους τινάς, ἢ ὅσα πρὸς ἡμᾶς ἰδία πέ-
πρακταί σοι καλῶς, ἐπιμελές μοι εἰδέναι οὐ φιλοπράγμονι ὄντι
ἀλλὰ χαίροντι ἐφ' οἷς δὴ δοκιμοῦνται πυνθάνομαί σε. ὧν χάριν σοι
οὐκ ἐλάττω ὑπὲρ αὐτῶν ἔχω. οὐ γὰρ ἀφ' ὧν αὐτὸς ἐπαθόντι ἰδία
δεῖν μᾶλλον ἥδεσθαι, ἢ ὅτι σε τοιοῦτον ὄντα ἔγνων, ἔγωγε νομίζω.
τοιοῦτο δὴ τοῦτό μοι περίεστιν ἀπὸ παντὸς ἔργου ὅτι ἂν εἰς ὅντινοῦν
τῶν ἐπιεικῶν πυνθάνωμαί σε καλῶς πεπολιτευμένον. καὶ μέ-
μνησο τούτων ὦ βέλτιστε ἀρχέλαε, ὅτι τὰ μὲν ἄλλα οὐδὲν πλέον

ἢ πολλοὺς πόνους καὶ πολλὰς φροντίδας ἔδωκέ σοι ὁ θεός. σοὶ δὲ ἔδωκεν ἀγαθὸν δύνασθαι εὖ ποιεῖν οὓς ἂν ἐθέλῃς. θέλειν δὲ δεῖ τοὺς ἀξίους. καὶ τὰ μὲν ἄλλα ἐπ' αὐτῷ τῷ βουλομένῳ ἐστὶν ἀφελέσθαι. σὲ δὲ οὐδὲ βουληθείς ποτε ἀφαιρήσεται τὸ πολλοὺς εὖ πεποιηκέναι. ὥστε εὖ ἴσθι ὅτι οὐδεμία μείζων ἀνδρὶ γενομένῳ ποτὲ ἐν δυνάμει μεταμέλεια καὶ πολυωδυνία γίνεται, ἢ ἐνδιδόντος τοῦ θεοῦ μηδένα ἔδρασεν ἀγαθὸν μηδὲν βουλομένῳ δὲ δρᾶν πέπαυται διδοὺς ὁ θεός. ἀλλ' οὔ σύ γε ἂν τοῦτο, πώποτε πάθοις. οὐδὲ ἀνιάσῃ ὅτι οἴχεται ὁ καιρὸς εἰς ἀνθρώπων εὐεργεσίαν ἀνεθεὶς φροῦδος ἤδη καὶ πέπαυται παρὼν ὁ θεός, ἀλλὰ καὶ πάρεστι μὲν ἀεὶ καὶ στήσεται κατόπιν ἀξίῳ γε ὄντι καὶ χρωμένῳ ταῖς ἑαυτοῦ χάρισι δεξιῶς. ἀλλὰ δῆτα καὶ ἐπίχαι πνέων, πάντως ἤδη καὶ πόλεις καὶ ἔθνη καὶ ἰδιῶται πολλοί. καὶ ᾔσθοντο τῆς σῆς δυνάμεως, οὐ σὺν κακῷ, καὶ ἔχουσιν ἀπόμοιραν τῆς σῆς εὐπραξίας. καὶ οἱ μὲν πόνοι παύσαιντ' ἂν ἐκστάντος σοῦ. καὶ τὸ κινδυνεύειν καὶ αἱ φροντίδες. τὸ δὲ συνειδὸς ὧν τε ἔπαθον τοῖς παθοῦσι καὶ σοὶ τῷ πεποιηκότι ἀεὶ μένει, οὐ μικρὸν οὔτε κτῆμα οὔτε ἀπόλαυσμα, ἀλλὰ ἀρκοῦν τοῦτο καὶ ἐν δυσπραγίαις ἡδονὰς παρέχειν. ταῦτα δὴ παρακελεύομαι πράσσειν τε ἀεὶ καὶ μὴ ἀποκάμνειν. ὥσπερ οὐδ' ἂν ἀποκάμοις ἂν οὐδέ ἐστί τις τούτου κόρος. τὰ δ' ἄλλα πράως ὁμοίως καὶ δεξιῶς χρῆσθαι τῇ παρούσῃ δυνάμει. καὶ γὰρ τοῦτο αὐτὸ οὐκ ἄλλον τινὰ ἀνθρώπων οὐδ' ὅστις τεθνήξεσθαι παραχρῆμα μέλλων, σοῦ κελεύοντος ἀφείθη, ἐκεῖνον μᾶλλον ἢ σεαυτὸν εὐφραίνει τὸ τοιοῦτον εἶναι τὸν τρόπον. ἔτι γε μὴν καὶ τὸ τοὺς ἀποιν τυχεῖν τιμῆς καὶ λόγου παρὰ τῶν ἑλλήνων ἀξίους

καὶ μάλιστα τοὺς κατὰ τέχνας σπουδάζομένους. καὶ πάλιν αὖ
μάλιστα τούτων ἁπάντων τοὺς ποιεῖν ἢ λέγειν τι κατὰ παι-
δείαν δυναμένους, μετακαλεῖσθαί σε πανταχόθεν καὶ χορηγίαις τῶν
ἐπιτηδείων ἀφθόνοις καὶ ταῖς ἄλλαις φιλοφροσύναις τιμελεῖν,
ὅπως ἀπαλλαγέντες τῶν ἄλλων φροντίδων ἐπιδιδῶσιν ἀεὶ διὰ
σὲ καὶ προΐωσιν ἐν ταῖς ἑαυτῶν ἕκαστοι τέχναις. καὶ τὸ τούτων ἅμα
πιμπλάναι τὸν οἶκον, ἀλλὰ μὴ κολάκων καὶ βωμολόχων ἀνθρώ
πων, καὶ τούτοις θεραπεύειν αὐτὸν οὐχ ὑπ' ἐκείνων θεραπεύεσθαι μᾶλ
λον ὁμολογοῦνται, ὥσπερ γὰρ συνθάνεσθαι πολλάκις ὅτι ἐπ' ἐκείνοις μᾶλ
λον ἐστι τὸ σὲ εἶναι ὁποῖος εἶ, καὶ τὸ τοιοῦτον ὄντα παρὰ τοῖς ἔπειτα
ἀνθρώποις λόγου τυχεῖν, ἢ ἐπὶ σοὶ τὸ ἐκείνους εὐτυχεῖν, ἐκείνοις
μὲν γε καὶ ὑπολείπωσιν αἱ παρὰ σοῦ δωρεαὶ καὶ πλοῦτον αὐτάρ
κη καὶ δόξαν εἶναι καὶ ἡδονὴν τὰς τέχνας, τίς οὐκ ἂν ἀγάσαιτο καὶ μα
καρίσειε τούτων ἁπάντων; καὶ μάλιστα ὅτι ὁμολογοῦσιν ἤδη καὶ ἴσα
σιν ἅπαντες εἰς τοῦτό σε ἥκοντα τῆς πρὸς τοὺς συνόντας σοι φιλαν-
θρωπίας, ὥστε τὴν μὲν ἰσχὺν καὶ πάνυ σοι συμβάλλεσθαι. τὸ δὲ ὄνο-
μα μηδὲν ἀντιπράσσειν τὸ τοῦ βασιλέως, εἰς τὸ στέργεσθαι ὑπὸ τῶν
φίλων.

Κηφισοφῶντι.

Ἀφικόμεθα εἰς μακεδονίαν ὦ βέλτιστε κηφισοφῶν.
τό, τε σῶμα οὐ μοχθηρῶς διατεθέντες καὶ ὡς οἷόν τε μά
λιστα ἦν ἐπιτηδείως κομιζόμενοι συντόμως, καὶ ἀπεδέξατο ἡμᾶς
ἀρχέλαος ὡς εἰκός τε ἦν, καὶ προσεδοκῶμεν ἡμεῖς οὐ δωρεαῖς μό
νον ὧν οὐδὲν ἐχρῄζομεν ἡμεῖς ἀλλὰ καὶ φιλοφροσύναις ὧν οὐδ' ἂν
εὔξαιτό τις μείζους παρὰ βασιλέων. καὶ κατελάβομεν κλίτωνα ἐρ
ρωμένον καὶ ἔστιν ἡμῖν σὺν ἐκείνῳ τὰ πολλά. καὶ ὅταν τύχῃ

σὺν ἀρ

σου ἀρχελάῳ ἀμέμπτος ἡ διαγωγὴ πρός τε τοῖς ἔργοις οὐδὲν κωλυόμεθα τοῖς τούτων ἤθεσι· ἀλλὰ πολὺς μὲν ἔγκειται ὁ Κλείτων πολὺς δὲ ὁ Ἀρχέλαος ἑκάστοτε φροντίζειν ἀεί τι καὶ ποιεῖν τῶν εἰωθότων ἀναγκάζοντες· ὥστε ἔμοιγε μισθὸν οὐκ ἀηδῆ μὲν οὖν οὐδὲ ἄπονον δοκεῖ ἀρχέλαος ἀναπράσσεσθαι. τῶν τε δωρεῶν ὧν ἔδωκέ μοι εὐθέως ἀφικομένῳ καὶ ὅτι ἑστία με λαμπρότερον ἢ ἐμοὶ φίλον ἦν ἑκάστης ἡμέρας· περὶ δὲ ὧν ἐπέστειλας ἡμῖν, σὺ μὲν εὖ ποιεῖς ἐπιστέλλων ἃ δοκεῖς ἡμῖν εἰδέναι διαφέρειν. ἴσθι μέντοι μηδὲν μᾶλλον ἡμῖν ὧν νῦν Ἀγάθων ἢ Μεσάτος λέγει μέλον, ἢ τῶν Ἀριστοφάνους φληναφημάτων οἶσθα ποτὲ μέλον· καὶ τούτοις γε κἂν ἀδικήσαις ἡμᾶς ἐς τὰ μάλιστα ἀποκρινάμενός ποτε καὶ ὅλως μὴ παυομένους τῆς ἀναγωγίας αὐτοὺς ὁρᾷς. ἣν μέντοι τις τῶν ἀξίων περὶ δ' εἰσπίδου λέγειν τι καὶ οὐκ εἶν αἰτιᾶται ἡμᾶς περὶ πρὸς ἀρχέλαον ὁ δεῖνα· ἃ μὲν τὸ πρόσθεν εἴπομεν περὶ τοῦ μηδὲν εἰς μακεδονίαν ἡμᾶς ἀποδημεῖν ἐπιστάμενος, ἃ δὲ μετὰ ταῦτα ἡμᾶς ἀπηνάγκασε βαδίσαι ἀγνοῶν, τοῦτον δὴ ἄξιον νόμιζε δηλοῦν αὐτῷ ἅπερ οἶσθα ὦ κηφισοφῶν· καὶ οὕτως πεπαύσεται ἀγνοῶν τὰς αἰτίας· καὶ ἅμα ὅπερ εἰκὸς ἐστὶ τὸν ἀγνοοῦντα πάσχειν, καταγνώσεται ἡμῶν ὡς φιλοχρημάτων γενομένων· οὐ γάρ που δὴ πορφύραν καὶ σκῆπτρον φορεῖν ἢ φρούρια λαβόντας ἐν τριβαλλοῖς ἡγεῖσθαι ὑπὸ χρυσοῦ καλοῦ μέρους ὀρεχθῆναι τις ἂν φήσειεν ἡμᾶς καὶ διὰ τοῦτο δὴ στείλασθαι τὴν πρὸς ἀρχέλαον ὁδόν. ἀλλὰ δηλονότι πλούτου ἕνεκα. εἶτα πῶς ἂν ὅτε νέοι τε καὶ ὅτε μέσοι τὴν ἡλικίαν ἦμεν. καὶ οὐ ἔτι ζώσης ἡμῖν τῆς μητρὸς ἧς ἕνεκα ἂν μόνης ἐβουλόμεθα πλουτεῖν ἢ ὅπερ ἄλλως ἐβουλόμεθα οὐχ ὅπως ἐδιώξαμεν, ἀλλὰ καὶ ἀπεωσάμεθα ἐγκείμε-

νον τὸν αὐτὸν ἢ τὸν πλοῦτον ἤδη τηλικοῖσδε οὖσιν, ἡμῖν ἱμερτὸν
εἶναι εἰκότως αὖτις νομίσειεν εἰ μὴ διὰ τοῦτο ἄρα πολλὰ λα-
βεῖν σὺν ἀδοξίᾳ τε τινὶ ἡμετέρᾳ καὶ οὐδὲ ἀπολαύσει ἔτι οὐδεμιᾷ ἐ-
πεθυμήσαμεν, ἵνα ἐν βαρβάροις ἀποθάνωμεν. καὶ ἵνα πλείονα
ἀρχελάῳ καταλίπωμεν χρήματα. ἔτι δὲ δὴ καὶ προσθείης ὅτι ἐπεὶ
δὴ τάχιστα ἀφικόμεθα εἰς μακεδονίαν ὀλίγαις ὕστερον ἡμέραις
τεσσαράκοντα τάλαντα ἀργυρίου διδόντος ἀρχελάου καὶ ἀνα-
γκάζοντος ὅτι οὐ λαμβάνοιμεν, αὐτέχομεν μὴ λαβεῖν. τῶν τε
ἄλλων δωρεῶν ὁπόσα ἢ Κλίτων ἔδωκεν ἡμῖν ἢ Ἀρχέλαος ἔπεισε
λαβεῖν, οὐκ ἔασθ' ὅτι ἐνθάδε ὑπολελείμμεθα. ἀλλ' οἴχονται αὐτὰ φέ-
ροντες, οἵπερ καὶ ταύτην τὴν ἐπιστολὴν φέρουσιν ὑμῖν τοῖς αὐτό-
θι ἑταίροις καὶ ἐπιτηδείοις νεμήσοντες ἅπαντα. τίς ἂν οὕτως εὑρε-
θείη ἔτι σκαιὸς καὶ βάσκανος τὸν τρόπον, ὅστις ἂν φιλοχρημα-
τίᾳ με θελχθέντα ταύτην ἀποδημῆσαι ὑπολάβοι τὴν ἀποδημίαν.
ἀλλὰ δήπου ἀλαζονείαν τινὰ, ἢ τοῦ δύνασθαί τι μέγα ἐπιθυμίαν ἐ-
ροῦσιν; ἀλλ' ἢ μὲν δύναμις ἡμῖν καὶ μένουσιν Ἀθήνησιν ἡ παρὰ Ἀρ-
χελάου καὶ πάλαι ἦν. ἄλλως τε ὁ Κλίτων οὐ τοσοῦτον ἐδύνατο μέ-
γα, τοῦ μὴ ἄλλον ὃν προῃρούμην ἐξ ἀρχῆς τρόπον βιοῦν ἐμὲ, μη-
δ' ὅπου μὴ ἐθέλοιμι ἀποθανεῖν. τελευταῖον δὲ καὶ παρέχειν λόγους
ἐσαεὶ τοῖς κακῶς βουλομένοις ἡμᾶς λέγειν. εἰ δὲ δὴ καὶ δυνά-
μεώς τινος ὠρεγόμεθα, τί ἄλλο ταύτῃ τῇ δυνάμει, ἢ πρῶτον μὲν εἰς
τὰ τῆς πόλεως ἔπειτα εἰς τὰ τῶν φίλων χρήσεσθαι ἐμέλλομεν. ἀλα-
ζονείας τε ἕνεκα πολὺ ἂν μᾶλλον ἐν ὄψει τῶν τε φίλων καὶ ἐχθίστων
τῶν ἐχθρῶν δύνασθαί τι ἐβουλόμεθα. καὶ μὴν ἡ μεταβολὴ ἐμὲ οὔτε εἰς
τὰ ἐπιτηδεύματα οὔτε εἰς ὑμᾶς τοὺς φίλους καὶ οὐχ ἧττον εἰς τοὺς
ἐχθροὺς σκοπῶν εὕροι τις ἂν, οἷς ἅπασιν ἐκεῖνε μέχρι τοῦ νῦν τοῖς

αὐτοῖς

αὐτοῖς κέχρημαι, πλὴν ἑνὸς ἀνδρὸς σοφοκλέους· πρὸς γὰρ δὴ τοῦτον μόνον ἴσασί με τάχα οὐχ ὁμοίως ἀεὶ τὴν γνώμην ἔχοντα. ὃν ἐγὼ ἐμίσησα μὲν οὐδέποτε. ἐθαύμασα δὲ ἀεί. ἔστερξα δὲ οὐχ ὁμοίως ἀεί. ἀλλὰ φιλοτιμότερον μέν τινα εἰδέναι ποτὲ δόξας ὑπεῖδον. βουληθέντα δὲ εὖ λύσασθαι τὸ μεῖκος, προθυμότατα ὑπεδεξάμην. καὶ ἀλλήλους μὲν ἐξ ὅτου συνέβη, στέργομέν τε καὶ στέρξομεν. τοὺς δ᾽ ἐμβάλλοντας ἡμῖν πολλάκις τὰς ὑπονοίας ἐῶσαι, εἴ τοι ἡμᾶς ἀπεχθάνεσθαι, τὸν ἕτερον θεραπεύοντες αὐτῇ πλεῖον ἔχωσι διαβεβλήμεθα. καὶ νῦν ὦ βέλτιστε κηφισοφῶν οἶδ᾽ ὅτι οὗτοι εἰσὶν οἱ τοὺς περὶ ἡμῶν λόγους ἐμβάλλοντες εἰς τοὺς ὄχλους. ἀλλ᾽ ὥσπερ ἀεὶ ἄπρακτοι αὐτῶν αἱ κακαὶ γλῶσσαι ἐγίνοντο καὶ γέλωτα δὲ αὐτῶν καὶ μῖσος, οὐδὲν πλέον, ὠφλίσκανον, καὶ νῦν ἴσθι ὅτι οὐκ ἄπρακτοι μόνον, ἀλλὰ καὶ ἐπὶ κακῷ σφίσιν ἔσονται. σὺ μέντοι εὖ ποιεῖς περὶ τούτων ἡμῖν γράφων, ἐπειδήπερ οἶδ᾽ ἡμῖν διαφέρειν. ἀλλ᾽ ὥσπερ εὖ ποιεῖς γράφων, οὕτως ἀδικεῖν φήσαιμ᾽ ἂν ἡμᾶς, ἀντιλέγοντα ὑπὲρ αὐτῶν τοῖς οὐκ ἀξίοις.

Τέλος τῶν Εὐριπίδου ἐπιστολῶν.

ΕΠΙΣΤΟΛΑΙ ΘΕΑΝΟΥΣ ΠΕΡΙ ΤΕΚΝΩΝ ΑΝΑΤΡΟΦΗΣ. ΘΕΑΝΩ ΕΥΒΟΥΛῌ ΧΑΙΡΕΙΝ.

Κούωσε τὰ παιδία τρυφερῶς ἄγειν. ἔστι δὲ ἀγα-
α θῆς μητρὸς οὐχ ἡ πρὸς ἡδονὴν ἐπιμέλεια τῶν παίδων, ἀλλ' ἡ πρὸς τὸ σῶφρον ἀγωγή. βλέπε οὖν μὴ οὐ φιλούσης, ἀλλὰ κολακευούσης ἔργον ποιῇς. συντρεφομένη γὰρ ἡδονὴ παισὶν, ἀκολάστους ποιεῖ. τί γὰρ ἥδιον νέοις συνήθους ἡδονῆς. χρὴ οὖν ὦ φίλη τὴν τροφὴν τῶν παίδων, μὴ διαστροφὴν ἔχειν. ἡ δὲ διαστροφὴ τῆς φύσεώς ἐστιν, ὅταν φιλήδονοι μὲν ταῖς ψυχαῖς ἡδυπαθεῖς δὲ τοῖς σώμασι γίνωνται, καὶ τοῖς μὲν, φυγοπόνοι, τοῖς δὲ, μαλακώτεροι. δεῖ δὲ πρὸς τὰ φοβερὰ γυμνάζειν τὰ τρεφόμενα καὶ λυπηθῆναι καὶ πονῆσαι δέῃ ἵνα μὴ τῶν παθῶν ἦ δοῦλα τούτων καὶ περὶ τὰς ἡδονὰς λίχνα καὶ περὶ τοὺς πόνους ὀκνηρὰ, ἀλλ' ἵνα τὰ καλὰ πρὸ πάντων τιμῶσιν. ὧν μὲν ἀποχόμενοι, τοῖς δὲ ἐμμένοντες. οὐδὲ πλησμονικὰ μὲν ταῖς τροφαῖς πολυτελῆ δὲ ταῖς ἡδοναῖς. ἀκόλαστα δὲ ταῖς ἀνέδην παιδιαῖς αὐτὰ ποιεῖν καὶ πᾶν μὲν λέγειν πᾶν δὲ ἐπιτηδεύειν ἐᾶσαι. ἔτι δὲ φοβουμένην μὲν ἢν κλαίῃ. φιλοτιμουμένην δὲ ἵνα γελᾷ καὶ τὴν τροφὸν παίῃ καὶ σὲ κακῶς εἴπῃ γελῶσαν. ἐν τῷ μὲν θέρους ψῦχος, τῷ δὲ χειμῶνος καῦμα περιέχουσαν. ἐν πολλῇ χλιδῇ, ὧν οἱ πενιχροὶ παῖδες οὐδενὸς πειρῶνται ἐκτρέφονται μὲν ῥᾷον, αὔξονται δὲ οὐχ ἧττον. διάκεινται δὲ πολὺ κρεῖττον. σὺ δὲ ὥσπερ σαρδαναπάλλου γένει τιθηνῇ τὰ τέκνα, τὴν τῶν ἀρρένων φύσιν θρύπτουσα ταῖς ἡδοναῖς. τί γὰρ ἂν ποιήσειέ τις παιδίον ὃ ἂν μὴ τάχιον φάγῃ, κλάει. καὶ ἐσθίῃ, τὰ τερπνὰ τῶν ὄψων ζητεῖ. καὶ καῦμα, παρίεται, καὶ ψῦχος πτωματίζει, καὶ ἐπιτιμᾷ τις, ἀντιμάχεται.

χεται· καὶ μὴ πρὸς ἡδονὴν ὑπηρετῇ, λυπεῖται· καὶ μὴ μασᾶται δυσκολαίνει· καὶ κακοχολεῖ πρὸς ἡδονὴν καὶ βατταλίζεται περισπώμενον· ἐπιμελῶς δὲ ὦ φίλη εἰδυῖα ὅτι τὰ σπαταλῶντα τῶν παίδων ὅταν ἀκμάσῃ πρὸς ἄνδρας, ἀνδράποδα γίνεται, τὰς τοιαύτας ἡδονὰς ἀφαίρει τε τὴν τροφὴν αὐστηρὰν μὴ τρυφερὰν οὕτω ποιοῦσα καὶ ἐῶσα καὶ λιμὸν καὶ δίψος ἀνέχειν ἔτι καὶ ψύχος καὶ θάλπος καὶ αἰδῶ τὴν ἀπὸ τῶν συνηλίκων ἢ τῶν ἐπιστατῶν. οὕτω γὰρ εὐγενικὰ εἶναι συμβαίνει τὰ κατὰ ψυχὴν ἀνατεινόμενα ἢ ἐπιτεινόμενα. οἱ γὰρ πόνοι φίλη προϋφαί τινες εἰσὶ τοῖς παισὶν εἰς τελειωθησομένης ἀρετῆς, ὧν ἐμβαφέντες ἀποχρώντως τὴν τῆς ἀρετῆς βαφὴν οἰκειότερον φέρουσι. βλέπε οὖν φίλη μὴ καθάπερ τῶν ἀμπέλων αἱ κακοτροφούμεναι τὸν καρπὸν ἐλλείπουσι καὶ ὑπὸ τῆς τρυφῆς οἱ παῖδες ὕβρεως καὶ πολλῆς ἀχρειότητος κακίαν γυρήσωσι.

Πρὸς τὴν ζηλοτυποῦσαν παραμυθητική. Θεανὼ Νικοστράτῃ χαίρειν.

Ἤκουον τὴν τοῦ ἀνδρός σου παράνοιαν ὅτι τὴν ἑταίραν ἔχει· σὺ δὲ ὅτι ζηλοτυπεῖς αὐτόν· ἐγὼ δὲ ὦ φίλη πολλοὺς ἔγνωκα τῆς αὐτῆς νόσου. θηρεύονται γὰρ ὡς ἔοικεν ὑπὸ τῶν γυναικῶν τούτων καὶ κατέχονται καὶ οὐκ ἔχουσι νοῦν· σὺ δὲ ἄθυμος εἶ καὶ νύκτα καὶ μεθημέραν καὶ ἀδημονεῖς καὶ μηχανᾷ τι κατ᾽ αὐτοῦ. μὴ σύ γε ὦ φίλη. γαμετῆς γὰρ ἀρετή ἐστιν οὐχ ἡ παρατήρησις τἀνδρὸς, ἀλλ᾽ ἡ συμπεριφορά. συμπεριφορὰ δέ ἐστι τὸ φέρειν ἄγνοιαν. εἰ δὲ ἑταίρᾳ μὲν πρὸς ἡδονὴν ὁμιλεῖ. γαμετῇ δὲ πρὸς τὸ συμφέρον. συμφέρον δὲ κακοῖς κακὰ μὴ μίσγειν. μηδὲ παρανοίᾳ παράνοιαν ἐπάγειν. ἔνια δὲ ἁμαρτήματα φίλη ἐλεγχόμενα μὲν ἐπὶ πλέον ἐρεθίζεται, σιωπώμενα δὲ παύεται μᾶλλον· ὡς τὸ πῦρ ἡσυχίᾳ

φασὶ σβέννυσθαι· ἐὰν δὲ βουλόμενος σε λεληθέναι δοκεῖν ἐλέγχουσα ἀ-
φαιρήσῃς τὸ παρακάλυμμα τοῦ πάθους, καὶ φανερῶς ἁμαρτήσε-
ται. σὺ δὲ τὴν φιλίαν ἢ ζῆν τοῦ ἀνδρὸς οὐκ ἐν τῇ καλοκαγαθίᾳ·
τοῦτο γὰρ ἡ χάρις τῆς κοινωνίας. νόμιζε οὖν πρὸς μὲν τὴν ἑταίραν
ῥαθυμήσοντα πορεύεσθαι ἐκεῖνον. σοὶ δὲ συμβιώσοντα παρεῖναι καὶ
σὲ μὲν φιλεῖν κατὰ γνώμην. ἐκείνην δὲ κατὰ πάθος. βραχὺς δὲ ὁ
τούτου καιρός. ἅμα γάρ ποτε ἔχει καὶ κόρον. καὶ παύεται τα-
χὺ καὶ παύεται. ὀλιγοχρόνιος γὰρ ὁ καιρός ἐστι πρὸς ἑταίραν ἀν-
δρὶ μὴ σφόδρα κακῷ. τί γάρ ἐστι ματαιότερον ἐπιθυμίας ἀπολαυ-
ούσης ἀδίκου. διὸ καὶ μειῶν τὸν βίον καὶ διαβάλλων τὸ εὔσχημον
αἰσθανθήσεταί ποτε. οὐδεὶς γὰρ ἐπιμένει φρονῶν αὐθαιρέτῳ βλά-
βῃ. καλούμενος οὖν ὑπὸ τῶν πρὸς σὲ δικαίων καὶ τὰς περὶ τὸν βί-
ον ἐλαττώσεις ὁρῶν, αἰσθήσεταί ποτέ σου. καὶ τὴν ἀπὸ τῆς κα-
τὰ γνώσεως ὕβριν οὐ φέρων, ταχὺ μεταγνώσεται. σὺ δὲ φίλῃ ζῆ-
θι οὐχ ἑταίρας ἀποκρινομένη. τῇ μὲν εὐταξίᾳ πρὸς τὸν ἄνδρα
διαφέρουσα. τῇ δὲ ἐπιμελείᾳ πρὸς τὸν οἶκον. τῇ δὲ συναλλαγῇ
περὶ τὰς χρωμένας. τῇ δὲ φιλοστοργίᾳ περὶ τὰ τέκνα. οὐ ζηλο-
τυπητέον οὖν σοι πρὸς ἐκείνην. πρὸς γὰρ τὰς ἐναρέτους ἐκτείνειν
τὸν ζῆλον καλόν. ἑαυτὴν δὲ παρεκτέον ἐπιτηδείαν ταῖς διαλλα-
γαῖς. τὰ γὰρ καλὰ ἤθη καὶ παρ' ἐχθροῖς εὔνοιαν φέρει φίλη. καὶ
μόνης καλοκαγαθίας ἔργον ἐστὶν ἡ τιμή. ταύτῃ γὰρ δύναται τὸν ἄνδρα
ἐξουσίαν καθύπερ ἔχειν γυναικὶ καὶ τιμᾶσθαι πλέον ἢ θεραπεύειν
τὸν ἐχθρόν. καταιδούμενος οὖν ὑπὸ σοῦ, μᾶλλον αἰσχυνθήσεται. τάχιον δὲ
διαναγαγεῖν θελήσει. προσπαθέστερον δὲ φιλοστοργήσει συνεγνωκὼς
τὴν ἀδικίαν τὴν εἰς σέ, καὶ κατανοῶν τε τὴν προσοχὴν ἐπὶ τοῦ βίου καὶ πεῖραν
τῆς στοργῆς λαμβάνων τῆς πρὸς αὐτόν. ὥσπερ γὰρ αἱ κακοπάθειαι τοῦ σώ-

ματος

ματος ἡδείας τὰς ἀναπαύσεις ποιοῦσιν, οὕτως αἱ διαφοραὶ τῶν φίλων οἰκειοτέρας τὰς διαλλαγὰς φέρουσι. σὺ δὲ καὶ τὰ βουλεύματα τοῦ πάθους ἀντίθες. νοσοῦντος γὰρ ἐκείνου, σὲ παρακαλῶ νοσεῖν ταῖς λύπαις· καὶ ἁμαρτάνοντος περὶ τὸ εὔσχημον, καὶ σὲ περὶ τὸ κόσμιον ἁμαρτάνειν· καταβλάπτοντος τὸν βίον, καὶ σὲ καταβλάπτειν τὸ συμφέρον. ἀφ᾽ ὧν ἐπαύρῃ τὸν συντετάχθαι δόξεις. κολαζομένη ἐκεῖνον καὶ σεαυτὴν κολάζειν. εἰ δὲ ἀφεμένη προδώσῃ, ἑτέρου ἄρα πειραθήσῃ ἀνδρὸς τοῦ προτέρου ἀπαλλαγεῖσα· κἂν ἐκεῖνος ἁμαρτάνῃ τὰ ὅμοια, πάλιν ἄλλου. οὐ φορητὴ γὰρ νέαις χηρεία, ἢ μόνη μενεῖς ἀπ᾽ ἀνδρὸς οἷον περ ἄζυξ; ἀλλὰ ἀμελήσεις τοῦ οἴκου καὶ καταφθερεῖς τὸν ἄνδρα; ἐπωδύνου ἄρα βίου συνδιαιρήσῃ τὴν βλάβην. ἀλλ᾽ ἀμυνῇ τὴν ἑταίραν; περιστήσεταί σε φυλαττομένη. κἂν ἀμύνῃ, μάχιμος ἐστὶν οὐκ ἐρυθριῶσα γυνή. ἀλλὰ καλὸν ὁσημέραι μάχεσθαι πρὸς τὸν ἄνδρα; καὶ τί πλέον; αἱ γὰρ μάχαι καὶ λοιδορίαι τὴν μὲν ἀκολασίαν οὐ παύουσι, τὴν δὲ διαφορὰν ταῖς προκοπαῖς αὔξουσι. τί δὲ βουλεύσῃ τι κατ᾽ ἐκείνους μὴ φίλη. ζηλοτυπίας; κρατεῖν ἡ τραγῳδία ἐδίδαξε δραμάτων ἔχουσα σύνταξιν ἐν οἷς παρηνόμησε Μήδεια. ἀλλ᾽ ὥσπερ τῆς νόσου τῶν ὀφθαλμῶν ἀπέχειν δεῖ τὰς χεῖρας, οὕτω καὶ σὺ τοῦ πάθους χώριζε τὴν προσποίησιν. διακαρτεροῦσα γὰρ, θᾶττον τὸ πάθος σβέσεις.

Θεανὼ Καλλιστοῖ περὶ θεραπαινῶν προστασίας ὑποθετική.

τ Αἷς νεωτέραις ὑμῖν ἡ μὲν ἐξουσία παρὰ τοῦ νόμου δέδοται τῶν οἰκετῶν ἄρχειν ἅμα τῷ γήμασθαι. ἡ δὲ διδασκαλία παρὰ τῶν πρεσβυτέρων ἀπαντᾶν ὀφείλει περὶ τῆς οἰκονομίας ἀεὶ παραινούντων. καλὸν γὰρ ἔχει πρότερον μανθάνειν ἃ μὴ γινώσκεται, καὶ τὴν συμβουλὴν οἰκειοτάτην τῶν πρεσβυτέρων ἡγεῖσθαι· τέχνις

γὰρ παρθενοτροφεῖσθαι δεῖ νέαν τυχεῖν. ἀρχὴ δέ ἐστιν οἴκου πρὸ τῇ γυναιξὶν ἀρχὴ θεραπαινῶν. ἔστι δὲ ὦ φίλη μέγιστον ἐπὶ δουλείᾳ εὔνοια. αὕτη γὰρ οὐ συναγοράζεται τοῖς σώμασιν ἡ κτῆσις, ἀλλ᾽ ἐξ ὕστερον γεννῶσιν αὐτὴν οἱ συνετοὶ δεσπόται. δικαία δὲ χρῆσις αἰτία τούτου, ἵνα μήτε διὰ τὸν κόπον κάμνωσι, μήτε ἀδυνατῶσι διὰ τὴν ἔνδειαν. εἰσὶ γὰρ ἄνθρωποι τῇ φύσει. ἔνιαι δὲ κέρδος τὸ ἀκερδέστατον ἡγοῦνται τὴν τῶν θεραπαινῶν κακουχίαν. βαροῦσαι μὲν τοῖς ἔργοις. ὑποστελλόμεναι δὲ τῶν ἐπιτηδείων. εἶτα ὀβολιαῖα κέρδη περιποιούμεναι, μεγάλοις ζημιοῦνται τιμήμασι δυσνοίαις καὶ ἐπιβουλαῖς κακίσταις. σοὶ δὲ πρόχειρον ἔστω τὸ μέτρημα τῶν σιτίων πρὸς τὸν ἀριθμὸν τῆς ἐριουργίας τοῖς ἐφ᾽ ἡμέραν πόνοις. καὶ πρὸς μὲν τὴν δίαιταν, οὕτως. πρὸς δὲ τὰς ἀταξίας, τὸ σοὶ πρέπον, οὐ τὸ ἐκείναις συμφέρον ἐξυπηρετητέον. τιμᾶν μὲν γὰρ δεῖ θεραπαίνας τὸ κατ᾽ ἀξίαν. τὸ μὲν γὰρ ὠμὸν οὐκ οἴσει τῷ θυμῷ χάριν. τὸ δὲ μισοπόνηρον οὐχ ἧττον ὁ λογισμὸς βραβεύσει. ἐὰν δὲ ἡ ὑπερβολὴ τῆς κακίας τῶν θεραπαινῶν ἀνίκητος ᾖ, ἐξοριστέον μετὰ πράσεως. τὸ γὰρ ἀλλότριον τῆς χρείας, ἀλλοτριούσθω καὶ τῆς κυρίας. ἔστω δέ σοι γνώμη τοι δὲ πρόεδρος. καθ᾽ ἣν γνώσῃ τὸ μὲν ἀληθὲς τῆς ἁμαρτίας, πρὸς τὸ τῆς καταγνώσεως δίκαιον. τὸ δὲ τῶν ἡμαρτημένων μέγεθος, πρὸς τὸ κατ᾽ ἀξίαν τῆς κολάσεως. δεσποτικὴ δὲ καὶ ἡ γνώμη χάρις ἐφ᾽ ἡμαρτημένης ζημίας ἀπαλλάττουσα. οὕτω δὲ τὸ πρέπον ἐπὶ τῷ οἰκείῳ τρόπου διαφυλάξει. ἔνιαι γὰρ ὦ φίλη ὑπ᾽ ὠμότητος καὶ μαστίζουσι τὰ τῶν θεραπαινῶν σώματα θηριούμεναι διὰ ζῆλον ἢ θυμόν. οἷον ὑπομνήματα γράφουσαι τὴν ὑπερβολὴν τῆς πικρίας. αἱ μὲν γὰρ ἀνηλώθησαν χρόνῳ διαπονούμεναι, αἱ δὲ, φυγῇ τὴν σωτηρίαν ἐποιήσαντο. τινὲς δὲ ἐπαύσαντο τοῦ ζῆν

αὐτο

χειρὶ θανάτῳ μεταστῆσαι. καὶ λοιπὸν ἡ τῆς δεσποίνης μόνωσις ὀδυρομένης τὴν οἰκείαν ἀβουλίαν, ἔρημον μετάνοιαν ἔχει. ἀλλ᾽ ὦ φίλη, ἴσθι μιμουμένη τὰ ὄργανα ἃ φωνεῖ μᾶλλον ἀνειμένα. ἐκρήγνυται δὲ μᾶλλον ἐπιτεινόμενα. καὶ γὰρ ἐπὶ τῶν θεραπαινῶν ταυτόν. ἡ μὲν ἄγαν ἄνεσις διαφωνίαν ἐμποιοῦσα τῆς πειθαρχίας, ἡ δὲ ἐπίτασις τῆς ἀνάγκης, διάλυσιν τῆς φύσεως. καὶ ἐπὶ τούτου δεῖ νοεῖν. μέτρον δ᾽ ἐπὶ πᾶσιν ἄριστον.

Μέλισσα Κλαρέτᾳ χαίρειν.

Αὐτομάτως ἐμοὶ φαίνῃ πλέονα τῶν καλῶν ἔχειν. τὸ
ά γὰρ ἐσπουδασμένως ἐθέλεν τι ἀκοῦσαι περὶ γυναικὸς εὐκοσμίας, καλὰν ἐλπίδα δίδοι, ὅτι μέλλεις πολιοῦσθαι κατ᾽ ἀρετάν. χρὴ ὦν τὰν σώφρονα καὶ ἐλευθέραν τῷ κατὰ νόμον ἀνδρὶ ποτῆμεν ἀσυχίᾳ κεκαλλωπισμέναν, ἀλλὰ μὴ πολυτελῶς. ἦμεν δὲ τᾷ ἐσθᾶτι λευχείμονα καὶ καθάρειον καὶ ἀφελῆ, ἀλλὰ μὴ πολυτελῆ καὶ περισσάν. παραιτητέον γὰρ αὐτᾷ τὰν διαυγῆ καὶ διαπόρφυρον. καὶ τὰ χρυσόπαστα τῶν ἐνδυμάτων. ταῖς ἑταίραις γὰρ ταῦτα χρήσιμα ποτὶ τὰν τῶν πλειόνων θήραν. τᾶς δὲ ποθ᾽ ἕνα τὸν ἴδιον εὐαρεσούσας γυναικὸς, κόσμος ὁ τρόπος πέλει καὶ οὐχ αἱ στολαί. εὔμορφον γὰρ τὰν ἐλευθέραν ἀδέεσθαι τῷ αὐτᾶς ἀνδρὶ ἀλλ᾽ οὐ τοῖς πλησίον. ἔχοις δ᾽ ἂν ἐπὶ τᾶς ὄψιος ἐρύθημα μὲν σαμεῖον αἰδοῦς ἀντὶ φύκεος. καλοκαγαθίαν δὲ καὶ κοσμιότητα καὶ σωφροσύναν ἀντὶ χρυσῶ καὶ σμαράγδω. οὐ γὰρ ἐς τὰν τᾶς ἐσθᾶτος πολυτέλειαν, φιλοκαλεῖν δεῖ τὰν γλιχομέναν τᾶς σωφροσύνας, ἀλλ᾽ ἐς τὰν οἰκονομίαν τῶ οἴκου. ἀρέσκειν δὲ τῷ αὐτᾶς ἀνδρὶ ἐπιτελέας ποιεῦσαν τὰς ἐκείνω θελήσιας. αἱ γὰρ τῶ ἀνδρὸς θελήσιες, νόμος ὀφείλει ἄγραφος εἶναι κοσμίᾳ γυναικὶ ποθ᾽ ὃν

χρὴ βιῶν αὐτάν· νομίζειν γὰρ προῖκα τετιμημένα ἅμα αὐτᾷ κάλλισταν καὶ μεγίσταν τὰν εὐταξίαν. πιστεύειν γὰρ χρὴ τᾶς ψυχᾶς κάλλει τε καὶ πλούτῳ μᾶλλον ἢ τῷ τᾶς ὄψιος καὶ τῶν χρημάτων. τὰ μὲν γὰρ φθόνος καὶ νοῦσος παραιρέεται. τὰ δὲ, μέχρι θανάτω πάρεντι ἐντεταγμένα.

Μυῖα Φυλλίδι χαίρειν.

Ευομένα τοι ματρὶ παίδων, τάδε παραινέω· τιθήναν μὲν ἐκλέξασθαι, τὰν ἐπιτηδειοτάταν καὶ καθάρειον. ἔτι δὲ καὶ αἰδήμονα καὶ μὴ ὕπνῳ προσοιμεισμέναν, μηδὲ μὰν μέθᾳ. ἁ τοιάδε γὰρ ἂν κρίνοιτο κράτιστα πρὸς τὸ ἐκτρέφειν ἐλευθέρως παῖδας. ἐάν γε δὴ γάλα τρόφιμον ἔχῃ καὶ μὴ τοῖς πρὸς ἄνδρα κοίταις εὐνικατος πέλῃ. μεγάλα γὰρ μοῖρις ἐν τῷ δὲ καὶ πρώτα· καὶ προικαταρκτικωτέρα ἐς ὅλαν τὰν βιοτὰν πέλει ἐν τᾷ τρεφοίσᾳ πρὸς τῷ καλοῦ τραφῆμεν. ποιησεῖ γὰρ πάντα καλὰ ἐν τῷ ποτεοικότι καιρῷ. τὸν τιτθὸν τε καὶ μαζὸν καὶ τροφὰν δόμεν, μὴ κατὰ τὸ ἐπελθὸν, ἀλλὰ μετά τινος προνοίας. οὕτω γὰρ ἐς ὑγίειαν ἄξει τὸ βρέφος. μὴ ὅτε αὐτὰ θέλει καθεύδειν νικῆται, ἀλλ' ὅποταν τὸ νεογνὸν ἀναπαύσιος ἔρον ἔχει· οὐ μικρὰν γὰρ ὄνασιν τῷ παιδὶ προσοίσει. ἔστω δὲ μὴτ' ὀργίλα τιθηνὰ μήτε πρόγλωσσος μήτε ἐν ταῖς τῶν σιτίων λήψεσιν ἀδιάφορος ἀλλὰ τεταγμένα καὶ σώφρων· δυνατῶν δὲ ὄντων μὴ βάρβαρος, ἀλλὰ ἑλληνίς. ἄριστον ἐὰν καὶ τοῦ γάλακτος χρηστῶς πιμπλάμενον τὸ νεογνὸν, οὕτως ἐς ὕπνον τρέπηται. ἀδεῖα γὰρ νέοις ἄνεσις καὶ εὐκατέργαστος ἁ τοιάδε σίτησις. αἰ δὲ καὶ ἑτέραν δόμεν χρὴ, ἁπλουστάταν. οἴνω δὲ τὸ παράπαν ἀπέχεσθαι τὰν δύναμιν ἰσχυρὰν ἔχειν ἢ κατ' ὀλίγον ἀνάμιγον μετὰ τᾶς δόμεν τᾷ κράσει δ' ἑσπέραν γαλακτώδεος. τὰ δὲ λουτρὰ

μὴ ποιεῖν συνεχῆ ἀγρεῖν τῶν ἀσινίων καὶ δύναται τὰν κρᾶσιν, ἀμείνω. κατ' αὐτὰ δὲ καὶ ἀὴρ ἐπιτάδειος θάλπεσι καὶ ῥίγεσι ἔχων τὰν συμμετρίαν· καὶ οἴκησις δὲ μήτε ἄγαν περιπνεομένα μήτε ἄγαν κατάστενος. οὐ μὰν ἀλλὰ καὶ ὕδωρ μήτε ἀπόσκληρον μήτε ἀπαράγωγον· καὶ στρῶμα δὲ οὐ τραχεῖα, ἀλλὰ προσπίπτουσα τῷ χρωτὶ ἐναρμόσως· ἐν πᾶσι δὲ τούτοις τὸ οἰκεῖον ἁ φύσις ἐπιποθεῖ, ἀλλ' οὐ τὸ πολυτελές. ταῦτα μὲν οὖν ἐπὶ τοῦ παρόντος οὐκ ἀχρεῖον ὑπογράψαι τὰς ἐλπίδας ἐκτροφὰς ἢ κατὰ τὸν ὑφαγούμενον γινομένας. θεοῦ δὲ συλλαμβάνοντος ὑπὲρ τᾶς ἀγωγᾶς τῶ παιδὸς αὖθις, τὰς

ἐνδεχομένας καὶ ποτεοι-

κείας κομιοῦμες

ὑπομνά-

σεις.

πολλάκις, τὸ σπανίως

Τέλος.

ΑΛΚΙΦΡΟΝΟΣ ΕΠΙΣΤΟΛΑΙ ΑΛΙΕΥΤΙΚΑΙ. ΚΑΙ ΕΤΑΙΡΙΚΑΙ ΕΥΔΙΟΣ ΦΙΛΟΣΚΑΦΩ.

χ Ρηστὴν ἡμῖν ἡ θάλαττα σήμερον εἶναι τὴν γαλήνην ἐστόρεσεν. ὡς γὰρ τρίτην ταύτην εἶχεν ὁ χειμὼν ἡμέραν, καὶ λάβρως κατὰ τοῦ πελάγους ἐπέπνεον ἐκ τῶν ἀκρωτηρίων οἱ βορεῖς, καὶ ἐπεφρίκει μὲν ὁ πόντος μελαινόμενος, τοῦ ὕδατος δὲ ἀφρὸς ἐξηνθήκει, πανταχοῦ τῆς θαλάσσης ἐπ᾽ ἀλλήλων ἐπικλωμένων τῶν κυμάτων, τὰ μὲν γὰρ ταῖς πέτραις προσηράσσετο, τὰ δὲ ἔσω ἀνοιδοῦντα ἐρρήγνυτο, ἀργία παντελὴς ἦν. καὶ τὰ ἐπὶ ταῖς ἠιόσι καταλαβόντες καλύβια ὀλίγα ξυλισάμενοι κομμάτια, ὅσα οἱ ναυπηγοὶ πρῴην ἐκ τῶν δρυῶν ἃς ἐξέτεμον, ἀπέλιπον, ἐκ τούτων πῦρ ἀνάψαντες τὸ πικρὸν τοῦ κρυμοῦ παρεμυθούμεθα. τετάρτη δὲ αὕτη ἐπιλαβοῦσα ἡμᾶς ἀλκυονὶς ὡς οἶμαι ἡμέρα, ἔστι γὰρ τοῦτο τῷ καθαρῷ τῆς αἰθρίας τεκμαίρεσθαι, πλοῦτον ἀθρόον ἀγαθῶν ἔδειξεν. ὡς δ᾽ ὤφθη μὲν ὁ ἥλιος, πρώτη δ᾽ ἀκτὶς εἰς τὸ πέλαγος ἀπέστιλβε, τὸ πρῴην νεολκηθὲν σκαφίδιον, σπουδῇ κατεσύραμεν. εἶτ᾽ ἐνθέμενοι τὰ δίκτυα ἔργου εἰχόμεθα. μικρὸν δὲ ἄπωθεν τῆς ἀκτῆς χαλάσαντες, φεῦ τῆς εὐτυχίας ὅσον ἰχθύων ἐξειλκύσαμεν. μικροῦ καὶ τοὺς φελλοὺς ἐδέησε κατασῦραι ὕφαλον τὸ δίκτυον ἐξογκούμενον. εὐθὺς οὖν ὀψῶναι πλησίον, καὶ τὰς ἔλας ἐπωμίους ἀνελόμενοι. καὶ τὰς ἑκατέρωθεν σπυρίδας ἐξαρτήσαντες, καὶ ὑπὲρ αὐτῶν καταβαλόντες ἀργύριον, ἄστυδε ἐκ Φαλήρων ἀπήεσαν. πᾶσι δὲ τούτοις ἠρκέσαμεν ἡμεῖς. καὶ πρὸς τούτοις ἀπηνεγκάμεθα γαμεταῖς καὶ παιδίοις ὄγκον οὐκ ὀλίγον ἔχειν τῶν λεπτομερῶν ἰχθύων. οὐκ εἰς μίαν ἀλλ᾽ εἰ χειμὼν ἐπιλάβοιτο, καὶ εἰς πλείους ἡμέρας ἐμφορῆσαι.

Γαλῆνος Κύρτωνι.

Ἄτην ἡμῖν πάντα πονεῖται ὦ κύρτων· δι' ἡμέρας μὲν ὑπὸ τῆς αἴγλης φλεγομένοις· νύκτωρ δὲ ὑπὸ λαμπάσι τὸν βυθὸν ἀποξύουσι· καὶ τὸ λεγόμενον δὴ τοῦτο εἰς δαναΐδων τοὺς ἀμφορέας ἐκχέομεν πίθους· οὕτως ἄπρακτα καὶ ἀνήνυτα μοχθοῦμεν. ἡμῖν μὲν γὰρ οὐδὲ ἀκαλύφης ἐστὶν ἢ πελωρίδος ἐμπλῆσαι τὴν γαστέρα· ὁ δεσπότης δὲ συλλέγει καὶ τοὺς ἰχθύας καὶ τὰ κέρματα· οὐκ ἀπόχρη δὲ αὐτῷ τοσαῦτα ἔχειν πορίμων, ὁ δὲ διερευνᾶται καὶ τὸ σκαφίδιον συνεχῶς· καὶ πρώην ὅτε κατὰ μουνυχίας ἔπεμψα μὲν αὐτῷ κομιοῦντα τὸ ὤνιον ἕρμωνα τουτονὶ τὸν μειρακίσκον, σπόγγους ἡμῖν ἐπέταττε καὶ τὰ ἐκ τῆς θαλάσσης ἔρια ἃ φύεται ἐπιεικῶς ἐν εὐρυνόμης εἰς λῆμνον. ὡς δὲ μὲν ὅπω ταῦτα προσαπῄτει ὁ ἕρμων· ἀφεὶς τὸ φορτίον αὐτοῖς ἰχθύσιν, ἀφεὶς δὲ καὶ ἡμᾶς αὐτῷ τῷ σκάφει ᾤχετο ἐπὶ λέσβου, κωπήρης ῥοθίοις τισὶ βαλαντιουργοῖς ἀναμιχθείς· καὶ ὁ μὲν δεσπότης οἰκέτην· ἡμεῖς δὲ συνεργὸν ἀγαθὸν ἐπενθήσαμεν.

μ

Γλαῦκος γαλατίᾳ.

Ῥηστὸν ἡ γῆ καὶ ἡ βῶλος ἀκίνδυνον. οὐ μάτην που ἀνησιδώραν ταύτην ὀνομάζουσιν ἀθηναῖοι ἀνιεῖσαν δῶρα δι' ὧν ἔστι ζῆν καὶ σώζεσθαι. χαλεπὸν ἡ θάλαττα καὶ ἡ ναυτιλία ῥιψοκίνδυνον. ὀρθῶς ἐγὼ τοῦτο κεῖνο πειραθεὶς διδασκαλίᾳ μαθών. πότε γὰρ ὄψον ἀποδόσθαι βουληθεὶς ἤκουσα ἑνὸς τῶν ἐν τῇ ποικίλῃ διατριβόντων ἀνυποδήτων τε ἐνεροχρώτων, στιχίδιον ἀποφθεγγομένου τὴν ἄνοιαν τῶν πλεόντων ἐπισίφοντες, ἔλεγε γὰρ ἄρα τοῦτό τινος εἶναι σοφοῦ τὰ μετέωρα· ἣν ὅσον ἀπομνημονεύσαντα οὐχ ὅλον εἰπεῖν ὧδε εἰρημένον. ὀλίγον δὲ διὰ ξύλον ἀΐδα ἐρύκει. τί οὖν ὦ γύναι οὐ σωφρονοῦμεν καὶ ὀψέ τοι καὶ—

χ

ρῶ, φεύγομεν τὴν πρὸς τὸν θάνατον γειτνίασιν. ταῦτα ἐπὶ πολλοῖς ζῶντες. οἷς ἐστι μηδὲν μέγα παρέχειν διὰ χρημάτων ἔχομεν, τὰ δεξόμενα καὶ χαιρούμεθα, τὸ τὰς τρικυμίας καὶ τοὺς ἐκ βυθοῦ κινδύνους ἀγνοῆσαι. γεωργίᾳ δὲ συντραφῆναι, καὶ τὸν ἀσφαλῆ καὶ ἀδεᾶ βίον ἀσπάσασθαι.

Κύμωθος τριτωνίδι.

σον ἡ θάλαττα τῆς γῆς διαλλάττει, τοσοῦτον καὶ οἱ ταύ-
ὅ της ἡμεῖς ἐργάται τῶν κατὰ πόλεις ἢ κώμας οἰκοῦν-
των διαφέρομεν. οἱ μὲν γὰρ ἢ μένοντες εἴσω πυλῶν τὰ δημοτικὰ διαπράττονται, ἢ γεωργίᾳ προσέχοντες τὴν ἐκ τῆς βώλου πρὸς διατροφὴν ἀναμένουσιν ἐπικαρπίαν. ἡμῖν δὲ οἷς βίος ἐν ὕδατι, θάνατος ἡ γῆ καθάπερ τοῖς ἰχθύσιν ἥκιστα δυναμένοις ἀναπνεῖν τὸν ἀέρα. τί δὴ οὖν παθοῦσα ὦ γύναι τὴν ἀκτὴν ἀπολιποῦσα καὶ τὰ νήματα τοῦ λίνου, ἄστυδε θαμίζεις, ὠσχοφόρια καὶ λήναια ταῖς πλουσίαις ἀθηναίων συνεορτάζουσα. οὐκ ἔστι τοῦτο σωφρονεῖν οὐδὲ ἀγαθὰ διανοεῖσθαι. οὐχ οὕτω δέ σε ὁ πατὴρ ἐκ τῆς αἰγίνης, οὗ τεχθῆναί σε καὶ τραφῆναι συνέβη, μνεῖσθαι ὑπ' ἐμοὶ γάμῳ παρέδωκεν. εἰ τὴν πόλιν ἀσπάζῃ, χαῖρε. καὶ ἄπιθι εἰς τὸν ἄνδρα. εἰ τὰ ἐκ θαλάττης ἀγαπᾷς, ἐπάνιθι τὸ λῷον ἑλομένη. λήθη δέ σοι ἔστω μακρὰ τῶν κατ' ἄστυ τούτων ἀπατηλῶν θεαμάτων.

Ναυβάτης ῥοθίῳ.

Ιει μόνος πλουτεῖν ὅτι τοὺς παρ' ἐμοὶ θηρεύοντας δε-
ὄ λεάζων ἄγεις ὡς σεαυτὸν περιουσίᾳ μισθωμάτων καὶ εἰ-
κότως. σοὶ μὲν γὰρ ὁ βόλος ἤνεγκε πρῴην χρυσοῦ κόμματα δαρεικοῦ τῆς ἐπὶ σαλαμῖνι ναυμαχίας ἴσως λείψανα κατὰ δύσιν οἶμαι νεὼς περσικῆς αὐτοῖς ἀνδράσι καὶ αὐτοῖς χρήμασιν, ὅτε ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων θεμιστοκλῆς ὁ τοῦ νεοκλέους

ἤρατο

ἤρα γὰρ τὸ μέγα καὶ τὸ μήδων χρύσιον. ἐγὼ δὲ ἀγαπῶ τὴν τῶν ἀναγκαίων εὐπορίαν, ἐκ τῆς καθημερινῆς ἐργασίας τῶν χειρῶν ποριζόμενος. ἀλλ' εἰ πλουτεῖς, σὺ δικαίως πλούτει. γινέσθω δέ σοι ὁ πλοῦτος, μὴ κακίας ἀλλὰ καλοκαγαθίας ὑπηρέτης.

Πανόπη εὐθυβούλῳ.

Γάγου με ὦ εὐθύβουλε οὐκ ἀπερριμμένην γυναῖκα οὐδὲ
ἡ μίαν τῶν ἀσήμων, ἀλλ' ἐξ ἀγαθοῦ μὲν πατρὸς ἀγαθῆς δὲ μητρὸς γεγονυῖαν. σωσθένης ὁ στειριεὺς ἦν μοι πατὴρ, καὶ δημοφύλη μήτηρ, οἵ με ἐγγυητὴν ἐπίκληρον ἐπὶ παίδων ἀρότῳ γνησίων συνῆψάν σοι γάμῳ. σὺ δὲ ῥᾴδιος ὢν τὼ ὀφθαλμὼ καὶ πρὸς πᾶσαν ἡδονὴν ἀφροδισίων κεχυμένος, ἀτιμάσας ἐμὲ καὶ τὰ κοινὰ παιδία γαλήνης καὶ θαλασσίωνος ἐρᾷς τῆς ἑρμιονίτιδος μετοίκου, ἣν ἐπὶ κακῷ τῶν ἐρώντων ὁ πειραιεὺς ἐδέξατο. κωμάζουσι γὰρ πρὸς αὐτὴν ἡ πρόσθαλασσία νεολαία. καὶ ἄλλος ἄλλο δῶρον ἀποφέρει. ἡ δὲ, εἰσδέχεται καὶ ἀναλοῖ χαρύβδεως δίκην. σὺ δὲ ὑπερβαίνων τὰς ἁλιευτικὰς δωροφορίας, μαινίδας μὲν ἢ τρίγλας οὔτε φέρεις οὔτε θέλεις διδόναι. ἀλλ' ὡς ἀφηλικέστερος καὶ γυναικὶ πάλαι συνὼν καὶ παιδίων οὐ μάλα νηπίων πατὴρ, παραγκωνίσασθαι τοὺς ἀντεραστὰς βουλόμενος κεκρυφάλους μιλησίους, καὶ σικελικὸν ἱμάτιον καὶ ἐπὶ τούτοις χρυσίον εἰσπέμπεις. ἢ οὖν πέπαυσο τῆς ἀσερωχίας καὶ τοῦ λάγνος εἶναι καὶ θηλυμανὴς ἀπόσχου, ἢ ἴσθι με παρὰ τὸν πατέρα οἰχησομένην. ὃς οὐδ' ἐμὲ περιόψεται. καὶ σὲ γράψεται παρὰ τοῖς δικασταῖς κακώσεως. Θάλασσος ποντίῳ.

Γέμψά σοι ψῆτταν καὶ σανδάλιον καὶ κεστρέα καὶ κήρυκας
ἐ πέντε καὶ τριάκοντα. σὺ δέ μοι τῶν ἐρετμῶν δύο πέμψον ἐπειδὴ τὰ μὰ κατέαγ. ἀντίδοσις γὰρ, ἡ παρὰ φίλων εἰς φίλους. ὁ γὰρ προχείρως καὶ θαρσαλέως αἰτῶν, εὔδηλος

ἐστὶν ὡς ἅπαντα κοινὰ τὰ πρὸς τοὺς φίλους καὶ τὰ τῶν φίλων ἔχειν ἡγούμενος.

Εὐκόλυμβος Γλαύκῃ.

α Αἱ τῶν γνωμῶν ἀμφίβολοι, τὴν παρὰ τῶν συνόντων κρίσιν ἐκδέχονται. κἀγὼ γοῦν τὰ πολλὰ τοῖς ἑταίροις διαλαλήσας οὐδὲ γὰρ οὐδὲν πρὸς σὲ ἐθάρρουν ὦ γύναι, νῦν διαγορεύω καὶ δέομαι τὸ λῷον εὑρημένην συμβουλεῦσαι. ἄκουε δὲ ὡς ἔχει καὶ πρὸς ὅ,τι σε δεῖ τὴν γνώμην διενεγκεῖν. τὰ ἡμέτερα ὡς οἶσθα παντελῶς ἐστὶν ἄπορα καὶ βίος κομιδῆ στενός. τρέφει γὰρ οὐδὲν ἡ θάλαττα. ὁ λέμβος οὖν ὃν ὁρᾷς ὁ κωπήρης τοῖς πολλοῖς ἐρέταις κατηρτυμένος κωρύκιον τὸ σκάφος. λῃσταὶ δὲ θαλάσσης τὸ ἐν αὐτῇ σύστημα. οὗτοί με κοινωνὸν ἐθέλουσι λαβεῖν τοῦ τολμήματος πόρους ἐκ πόρων εὐμεγέθεις ὑπισχνούμενοι. πρὸς μὲν οὖν τὸν χρυσὸν ὃν ἐπαγγέλλονται τὴν ἐσθῆτα κέχηνα. ἀνδροφόνος δὲ οὐχ ὑπομένω γενέσθαι, οὐδὲ μιᾶναι λύθρῳ τὰς χεῖρας ἃς ἡ θάλαττα ἐκ παιδὸς εἰς δεῦρο καθαρὰς ἀδικημάτων ἐφύλαξε. μένειν δὲ πενίᾳ συζῶντα χαλεπὸν καὶ οὐ φορητόν. τούτων σὺ τὴν αἵρεσιν ταλάντευσον. ὅπου γὰρ ἂν ῥέψῃς ὦ γύναι, ἅπαξ ἐκεῖσε ἀκολουθήσω. ἀποκόπτειν γὰρ εἴωθε γνώμην ἡ τῶν φίλων συμβουλὴ ἀμφίβολον.

Αἰγιαλεὺς Στρουθίωνι.

β Ἀλλ' ἐς μακαρίαν ὡς ἐναντίας ἡμῖν. τὸ κατὰ τὴν παροιμίαν ἐπὶ τὰ Μανδροβούλου χωρεῖ τὰ πράγματα. τὸ μὲν γὰρ ἐπὶ λεπτῶν κερμάτων ἀποδίδοσθαι καὶ ὠνεῖσθαι τὰ ἐπιτήδεια, λιμηρὰν φέρει τὴν παραμυθίαν. ὥρα οὖν γε συμπράττοντα ἡμῖν ὦ Στρουθίων τῶν πορίμων ἐξ ὧν ἂν ἡ θάλαττα πορίζῃ παραμυθίαν ἐκδέχεσθαι. βούλομαι δὲ πρὸς ἕνα ἢ δεύ-

τερον

περὶ τουτωνὶ τῶν λακκοπλούτων διὰ σοῦ προξένου ἢ πρὸς ἐρασι-
κλέα τὸν φρεάρριον ἢ πρὸς φιλόστρατον τὸν χολαργέα οἰκείως ἔχειν
ὡς αὐτὸς ἐπὶ τῶν φρυνέων κομίζειν αὐτοῖς τοὺς ἰχθύας. πάντως δὲ
πρὸς τῇ καταβολῇ τἀργυρείου ἔσαι παρ' αὐτῷ τις παραμυθία διο-
νυσίων ἢ ἀπατουρείων τελουμένων. καὶ ἄλλως ἐκ τῆς πικρᾶς τῶν
ἀγορανόμων ἐξελεῖται ἡμᾶς χειρός. οἳ καθ' ἑκάστην ἐπὶ τῷ σφε-
τέρῳ κέρδει κορδαίνειν, εἰς τοὺς ἀπράγμονας ἐμφοροῦσιν ὕβρεις.
πολλοῦ δὲ δύνασθαι τοὺς παρασίτους ἡμᾶς παρὰ τοῖς νέοις ἢ πλου-
σίοις οὐ λόγος, ἀλλ' ἔργον ἔδειξεν.

Κέφαλος ποντίῳ.

Ἡ μὲν θάλαττα νῦν ὡς ὁρᾷς φρίκη κατέχει. καὶ τὸν οὐ-
τ ρανὸν ὑποβέβηκεν ἀχλύς. ἢ πάντα πανταχόθεν συν-
νέφελα. καὶ οἱ ἄνεμοι πρὸς ἀλλήλους ἀρασσόμενοι ὅ-
σον οὔπω κυκήσειν τὸ πέλαγος ἐπαγγέλλονται. ἀλλὰ καὶ οἱ δελ-
φῖνες ἀνασκιρτῶντες καὶ τῆς θαλάττης ἀνοιδουμένης λείως ἐ-
φαλλόμενοι χειμῶνα καὶ τάραχον ἐπιόντα μηνύουσι. ταύρου δέ
φασιν ἐπιτολὴν κατ' οὐρανὸν οἱ τὰ μετέωρα δεινοὶ τανῦν ἔσεσθαι.
πολλάκις οὖν σώζονται ὑπ' ἀσφαλείας οἱ προθυμούμενοι φυλά-
ξασθαι τὸν κίνδυνον. εἰσὶ δ' οἱ παριέντες ἑαυτοὺς ἅπαξ τῷ πελά-
γει ὑπ' ἀμηχανίας τῇ τύχῃ τοὺς οἴακας ἐπιτρέψαντες φέρεσθαι.
ὅθεν ἀκούομεν τοὺς μὲν κατὰ τὸ μαλέου ἀκρωτήριον. τοὺς δὲ
κατὰ τὸν σικελικὸν πορθμόν, ἄλλους δὲ εἰς τὸ λυκιακὸν πέλα-
γος ῥύμῃ φερομένους ἐποκέλλειν ἢ καταδύεσθαι. ἔστι δὲ οὐδὲν τού-
των πρὸς χειμῶνα ἢ κίνδυνον ὁ καφηρεὺς ἐπιεικέστερος. ἀναμεί-
ναντες οὖν ἀπολῆξαι τὸ κλυδώνιον ἢ καθαρὰν αἰθρίαν γενέσθαι
ἀέρει, νοστήσομεν ἄχρι τοῦ αὐτοῦ τοῦ καφηρέως τῶν ἀκτῶν. ἵνα εἴ που
τι τῶν ἐκ ναυαγίου ἀποπτυσθὲν εὑρεθείη σῶμα, τοῦτο περιστείλαντες

ταφῇ καλύψωμεν. οὐ γὰρ ἀμισθὶ τὸ εὖ ποιεῖν κἂν μὴ παραχρῆ
μα τῆς εὐεργεσίας ἡ ἀντίδοσις φαίνηται. τρέφει δὲ οὐδὲν ἧττον
τοὺς αὐτοὺς πρὸς τοῖς ἐλπιζομένοις ἀγαθοῖς. καὶ διαχεῖ τὴν καρδίαν
τὸ συνειδός. καὶ μάλισθ᾽ ὅταν εἰς τοὺς ὁμοφύλους οὐκ ἔχοντας τὴν
εὐποιΐαν καταβάλλωνται.

Θυνναῖος Σκοπέλῳ.

Ἀνήκοας ἀκουσμάτων βαρυτάτων ὦ σκόπελε. ὅτι
α ἀθηναῖοι διανοοῦνται πέμπειν εἰς τὴν ὑπερορίαν ναυ
μαχεῖν ἐθέλοντες. καὶ ἤδη μὲν ἡ πάραλος καὶ ἡ σαλαμι
νία αἱ μάλιστα ταχυναυτοῦσαι πρόδρομοι λύουσι τῶν ἠιόνων τὰ
πρυμνήσια, τοὺς μαστῆρας οἳ μέλλουσιν ἐπαγγέλλειν παροῦσι καὶ
ὅτε δεῖ ἀπιέναι πολεμήσοντας ἐνθέμεναι. χρεία τοῖς λοιπαῖς ναυ
σὶ τὸ στρατιωτικὸν τάγμα δεχομέναις ἐρετῶν πλειόνων καὶ οὐχ ἥκι
στα ἐμπείρων ἀνέμοις καὶ κύμασιν ἀπομάχεσθαι. τί οὖν ὦ βέλτιστε
δρῶμεν, φεύγομεν ἢ μένομεν. ἀνδρολογοῦσι δὲ ἐκ πειραιῶς καὶ φα
ληρόθεν καὶ σουνίου καὶ μέχρι τῶν ἐν τῷ γεραιστῷ προσοίκων ὁρίων
τοὺς τῆς θαλάττης ἐργάτας. πῶς δὲ καὶ ἡμεῖς εἰ μὴ δὲ τὴν ἀγορὰν
εἰδότες ὑπομένειν μὲν παρατάττεσθαι, καὶ ὁπλομάχοις ἀνδράσιν
ὑπηρετεῖσθαι. δυοῖν δὲ ὄντοιν χαλεποῖν τοῦ τε φεύγειν ἐπὶ τέκνοις
καὶ γυναιξὶ, τοῦ τε μέλλειν ξίφεσιν ὁμοῦ καὶ θαλάττῃ παραδιδόναι
τὸ σῶμα, τοῦ μὲν ἔργου ὡς ἀλυσιτελοῦς, τὸ φεύγειν ἐφάνη λυσιτελέ
στερον.

Ναυσίβιος Πρυμναίῳ.

Γνόσου ὅσον ἐστὶ τρυφερὰ καὶ ἁβρόβια τῶν ἀθήνῃσι πλου
η σίων τὰ μειράκια. ἔναγχος δὲ Πάμφιλος μετὰ τῶν
συνηλικιωτῶν μισθουμένου τὸ σκαφίδιον ὡς ἂν ἔχοι
γαληνιῶντος τοῦ πελάγους περιπλεῖν ἅμα καὶ συμμετέχειν ἡμῖν
τῆς

τῆς ἄγρας τῶν ἰχθύων· ἔστιν ὧν ἡλίκα αὐτοῖς ἐκ τῆς θαλάττης ἀπο είργεται ξυμφήματα. οὐ γὰρ ἀνεχόμενος τοῦ ξύλου τῆς ἁλιάδος ἔς τε τάπητων τινῶν ξενικῶν καὶ ἐφεστρίδων κατακλινεὶς, οὐ γὰρ οἷός τε ἔφασκεν εἶναι καθεύδειν ὡς οἱ λοιποὶ ὑπὸ τῶν καταστρωμάτων, τὴν στα μίδα οἶμαι νομίζων λίθου τραχυτέραν, ἤτει παρ᾽ ἡμῶν σκιὰν αὐ τῷ μηχανήσασθαι, τὴν τοῦ ἱστίου σινδόνα ὑπερπετάσαντας ὡς οὐδα μῶς οἷός τε ὢν φέρειν τὰς ἡλιακὰς ἀκτῖνας. ἡμῖν δὲ οὐ μόνον τοῖς ταύτην πιστευμένοις τὴν ἐργασίαν, ἀλλὰ καὶ πᾶσιν ἁπλῶς ὅ σοις μὴ περιουσία πλούτου πρόσεστι σπουδάζεται, ἐστὶν οὐ δυναμένοις τῇ εἵλῃ θέρεσθαι. ἐν ἴσῳ γὰρ ἡ ῥυμὸς καὶ θάλαττα. φερομένων δὲ ἅμα οὐ μόνος οὐδὲ μετὰ μόνων τῶν ἑταίρων ὁ Πάμφιλος, ἀλ λὰ καὶ γυναίων αὐτῷ περιττῶν τὴν ὥραν, πλῆθος συνείπετο μου σουργοὶ πᾶσαι. ἡ μὲν γὰρ ἐκαλεῖτο Κρουμάτιον καὶ ἦν αὐλητρίς. ἡ δὲ, ἐρατὼ, καὶ ψαλτήριον μετεχειρίζετο. ἄλλη δὲ εὐεπής. αὕτη δὲ κύμβαλα ἐπεκρότει. ἐγένετο οὖν μοι μουσικῆς ἡ ἄκατος πλέα καὶ ἦν ᾠδικὸν τὸ πέλαγος καὶ πᾶν θυμηδίας ἀνάπλεων. πλὴν ἐμέ γε ταῦτα οὐκ ἔτερπεν. οὐδὲ γὰρ οὐκ ὀλίγοι τῶν ὁμοβίων καὶ μάλιστα ὁ πικρὸς Λαυκίας Τελχῖνος ἦν μοι βασκαίνων βαρύτε ρος. ἐπεὶ δὲ τὸν μισθὸν πολὺν κατεβάλετο, ταργύριόν με διέχει καὶ νῦν ἐκείνου τοὺς ἐπιθαλαττίους ἀγαπῶ κώμους. καὶ τοιοῦτον δεύτερον ἐπιστῆναί μοι ποθῶ δαπανηρὸν καὶ πολυτελῆ νεανίσκον.

Αὐχένιος ἁρμενίῳ.

ε Ἰ μὲν ὅτι δύνασαι συμπράττειν, ἃ δεῖ ταλέγειν πρὸς με οὐ πρὸς ἑ τέρους ἐκπυστα ποιῶν τὰ ἐμά. εἰ δὲ μηδὲν οἷός τε ὠφελεῖν, γενοῦ μοι τανῦν Ἀρεοπαγίτου στεγανώτερος. ἔγημα ὅτι πεπτάμασι

διηγήσομαι, ἔρως μὲ οὐκ ἐᾷ παρεμπεσὼν ὑπὸ τοῦ λογισμοῦ κυβερνᾶσθαι, ἀλλὰ τὸ νῆφον ἐν ἐμοὶ, συνεχῶς ὑπὸ τοῦ πάθους βυθίζεται. πόθεν γάρ ποτε εἰς ἁλιέα δύστηνον ἀγαπητῶς τὴν ἀναγκαίαν ἐκπορίζοντα διατροφὴν ἔρως ἐνέσκηψε, καὶ ἐντακεὶς οὐκ ἀνίησιν, ἀλλ' ὥσπερ τοῖς πλουσίοις καὶ ἐρωτικοῖς νεανίσκοις φλέγομαι. καὶ ὁ ποτὲ γελῶν τοὺς ἐκ τρυφῆς πάθει δουλεύοντας, ὅλος εἰμὶ τοῦ πάθους, γαμησείω νῦν καὶ τὸν ὑμέναιον ἐκφαντάζομαι τὴν παῖδα τῆς Τερψιχόρης. ἔστι δὲ ἡ παῖς ἧς ἐρῶ, τῶν μετοίκων θυγάτριον τῶν ἐξ Ἑρμιόνης οὐκ οἶδ' ὅπως εἰς Πειραιᾶ φθαρέντων. ἄλλην μὲν οὖν δοῦναι προῖκα οὐκ ἔχω. ἐμαυτὸν δὲ δείξας οἷός εἰμι θαλαττουργὸς, εἰ μὴ μαίνοιτο ὁ ταύτης πατὴρ, οἶμαι παρέξειν ἐπιτήδειον νυμφίον.

Ἐγκύμων ἁλικτύπῳ.

π Ρώην ἰδὼν ἐπὶ τῆς ἠιόνος τῆς ἐν Σουνίῳ παλαιὸν καὶ τετρυχωμένον δίκτυον, ὅτου εἴη, καὶ τίνα τρόπον οὐκ ἐξογκούμενον ἀποχυθὲν, ἤδη δὲ καὶ ὑπὸ χρόνου παλαιότητος διερρωγὸς ἀπέκειτο. οἱ δὲ, ἔφασαν σὸν κτῆμα γεγενῆσθαι πρὸ τούτων τεττάρων ἐτῶν. ἐν ὑφάλῳ προσομιλῆσαν πέτρᾳ, κατὰ μέσον ἀποσχισθῆναι τῶν πλεγμάτων. σοῦ δὲ ἐξ ἐκείνου μήτε ἀκέσασθαι μήτε ἀνελέσθαι βουληθέντος μέχρι, μηδενὸς τῶν περιοικούντων ὡς ἀλλοτρίου θιγεῖν ἐπιχειρήσαντος. ἐγένετο οὖν οὐκ ἐνοίκων μόνον, ἀλλὰ καὶ σοῦ τοῦ κεκτημένου λοιπὸν ἀλλότριον. αὐτῷ οὖν σοι τὸ τῇ φθορᾷ τῷ χρόνῳ μὴ σόν. σὺ δὲ ὁ παντελῶς ἀπολέσας προσοίνημας, ἥκιστα ζημιούμενος, ἔρημος ἔσο πρὸς τὴν δόσιν.

Ἁλικτύπος ἐγκύμονι.

Δ Υσμενὴς καὶ βάσκανος ὁ τῶν γειτόνων ὀφθαλμός. φησὶν ἡ παροιμία. τίς γάρ σοι τῶν ἐμῶν φροντίς. τί δὲ τὸ

παρ' ἐμοῦ

παρ' ἐμοῦ ῥαθυμίας ἠξιωμένον, κτῆμα σὸν εἶναι νομίζεις. εἶργε τοὺς χεῖρας, μᾶλλον δὲ τὰς ἀπλήστους ἐπιθυμίας. μὴ δέ σε ἡ τῶν ἀλλοτρίων ὄρεξις ἀδίκους αἰτεῖν χάριτας ἐκβιαζέσθω.

Εγκύμων Αλικτύπω.

ο Υκ ἤτησά σε ἃ ἔχεις, ἀλλ' ἃ μὴ ἔχεις. ἐπεὶ δὲ οὐ βούλει ἃ μὴ ἔχεις ἕτερον ἔχειν, ἔχε ἃ μὴ ἔχεις.

Ευσάγηνος Λιμενάρχῳ.

ο Υκ ἐς κόρακας φθαρήσεται ὁ σκοπιουργὸς ὁ λέσβιος. φρίκην σκιερὰν κατὰ μέρος τὴν θάλατταν ἀνεβόησεν ὡς πλήθους ὅλου προσιόντος θύννων ἢ πηλαμίδων. καὶ ἡμεῖς πειθέντες τῇ σαγήνῃ μονονουχὶ τὸν κόλπον ὅλον περιελάβομεν. εἶτα ἠνιώμεθα καὶ τὸ βάρος μεῖζον ἦν ἢ κατὰ φορτίον ἰχθύων. ἐλπίδι οὖν καὶ τῶν πλησίον τινὰς ἐκαλοῦμεν μεριστὰς ἀποφαίνειν ἐπαγγελλόμενοι εἰ συλλάβοιντο ἡμῖν καὶ συμπονήσαιεν. τέλος μόγις πολλῷ δείλης ὀψίας δυμεγέθη κάμηλον ἐξειλκύσαμεν μυδῶσαν ἤδη καὶ σκώληξιν ἐπιβρύουσαν. τοιαῦτα θηράσας, οὐχ ἵνα ἐπιγελάσῃς ἐδήλωσα, ἀλλ' ἵνα μάθῃς οἵαις τόσαις μηχαναῖς ἡ τύχη με τὸν ἀτυχῆ καταγωνίζεται.

Εὔπλοος Θαλασσέρωτι.

υ Περμαζᾷς ἢ μέμηνας. ἀκούω γάρ σε λοιδόρου γυναικὸς ἐρᾶν. καὶ ὡς ἐκείνης φθειρόμενον, πᾶσαν τὴν ἐφήμερον ἄγραν κατατίθεσθαι. ἀπήγγελλε γάρ μοι τοῦτο γειτόνων ὁ βέλτιστος σωσίας. ἔστι δὲ τῶν ἐπιεικῶς τὴν ἀλήθειαν τιμώντων, καὶ οὐκ ἄν ποτε ἐκεῖνος εἰς ψευδηγορίαν ὤλισθησεν. οὗτος ἐκεῖνος σωσίας ὁ τὸν χρηστὸν καὶ ἡδὺν γάρον ἕψων ἐκ τῶν λεπτοτέρων ἰχθύων οὓς ἐγκολπίζεται τῇ σαγήνῃ. πόθεν οὖν εἰπέ μοι μουσικῆς σοι

διάτονον καὶ χρωματικὸν καὶ ἐναρμόνιον μέλος ἐστὶν ὡς αὐτὸς ἔφασκεν ἀπαγγέλλων. ἐμοῦ γὰρ τῇ ὥρᾳ τῆς παιδίσκης ἠράσθης σὺ τοῖς κρούμασι. πέπαυσο εἰς ταῦτα δαπανώμενος. μήσε ἀντὶ τῆς θαλάττης ἡ γῆ ναυηγὸν ἀποφήνῃ ψιλώσασα τῶν χρημάτων, καὶ γένηταί σοι τὸ τῆς ψαλτρίας κατὰ πρόσωπον ὁ καλυδώνιος κόλπος ἢ τὸ τυρρηνικὸν πέλαγος οὐκ ἔχοντί σοι κρατεῖν ἐπικαλεῖσθαι, ὃ δεύτερον ἐφορμᾷ.

Θαλασσέρως εὐπλόῳ.

Ἢ ἄλλως ποιεῖς τὴν πρός με συνθεσίαν ὦ εὔπλοε. ἐγὼ
τ γὰρ οὐκ ἂν ἀποσταίην τῆς αὐτοῦ θεοῦ μυσταγωγοῦντι πυρφόρῳ καὶ τοξοφόρῳ πειθόμενος, καὶ ἄλλως ἡμῖν τὸ ἐρᾶν συγγενές. τῆς θαλαττίας θεοῦ τεκούσης τοῦτο τὸ παιδίον. ἡμέτερος οὖν πρὸς μητρὸς ὁ ἔρως. καὶ ὑπὸ τούτου βληθεὶς τὴν καρδίαν, ἔχω πρὸς θαλάττῃ τὴν ὁρμὴν πανόπην νομίζων ἢ γαλατείαν ταῖς καλλιστευούσαις τῶν νηρηίδων συνεῖναι.

Θερμολέπυρος φιλήμονι.

Χέτλια πεπόνθαμεν. τοῖς γὰρ ἄλλοις οὖθαρ καὶ μή-
σ τραι καὶ ἡ παρὰ δρόσου προσεοικὸς διὰ τὴν ἐκ τῆς ποιότητος λεπτότητα παρέχεται. ἡμῖν δὲ ἔτνος ἦν τὸ βρῶμα. τοῖς μὲν χαλυβώνιον ἔπινον. ἐκ τροπῆς δὲ ἡμεῖς τὴν ὀξίνην. ἀλλ᾽ ὦ μοιραῖοι θεοὶ καὶ μοιραγέται δαίμονες. δοίητε παρὰ τροπὴν τῆς ἀδίκου ταύτης τύχης, καὶ μὴ τοὺς μέν, διηνεκεῖ φυλάττετε εὐτυχίᾳ. τοὺς δέ, τῷ λοιμῷ συνοικίζετε. ἡ γὰρ φορὰ τῆς εἱμαρμένης τὰ τοιαῦτα κατηνάγκασεν. ἄδικα πάσχομεν πρὸς αὐτῆς οἱ λεπτῇ καὶ στενῇ κεχρημένοι τύχῃ.

Κνωποσοφράστης Ἰσχολίμῳ.

Νεμιαίους ἐλπίδας ἔχον ἐπὶ τῷ μειρακίῳ κελεύει
α τῷ ·ὤμῳ ἢ αὐτὸν ἢ τεθνάναι ἢ αὐτῷ τὸν πατέρα χύσιν
ἐργάσασθαι τῆς οὐσίας πολλῶν· καὶ ἀδηφαγοῦντα γὰρ καὶ
θηλυπαθοῦντα μετὰ τῶν ἡμῶν μετά τε τῶν ἑταίρων ὅσοι κατὰ τὴν
ὥραν πρωτεύουσιν ἐξαντλοῦντα ἢ τὸ πᾶν ἢ τὸ πολὺ τῆς οὐσίας. ὁ
δὲ, ἐπειδὴ κείνων αὐτῷ ὁ γεννήσας ἐγένετο, σιτεῖται μὲν ὅτε τῆς
ἡμέρας ἅπαξ, καὶ τοῦτο τῆς ὥρας ἡλίου λοιπὸν ἀμφὶ δύ-
σιν ἔχοντος. σιτεῖται δὲ οὐδὲν τῶν πολυτελῶν, ἀλλ' ἄρτον τὸν ἐξ
ἀγορᾶς καὶ ὄψον εἴποτε λιμοβρίας ἡμέραν ἐπιτελοίη δρυπετεῖς
ἢ φαυλίας. διαμαρτὼν οὖν τῆς θαυμαστῆς ταύτης ἐλπίδος οὐκ οἶ
δ' ὅτι καὶ δράσαιμι. εἰ γὰρ ὁ τρέφων δεῖται τοῦ θρέψαντος, τί ἂν
εἴη ὁ τρέφεσθαι ὀφείλων. λιμῷ τοίνυν συνεῖναι διπλοῦν τὸ βάρος.

Ἔῤῥωσο.

Εὔβουλος γαμέλλῳ.

Ἀρέκειτο μὲν ἡμῖν ὦ γάλλων ὅσον σικελιώτου πλα-
π κοῦς ἐπώνυμος. ἐγὼ δὲ καὶ τῇ θέᾳ μόνον πρὸς τὰς κα
ταπόσεις ἐντρεπιζόμενος ηὐφραινόμην. μέλλη-
σιν δὲ ἦν πολλὴ περιστεφόντων τραγημάτων τὰ πέμματα. ἦν δὲ
ὁ καρπὸς τῆς πιστάκης καὶ βάλανοι φοινίκων καὶ κάρυα τῶν ἐλύ
τρων ἐξῃρημένα. ἐγὼ δὲ πρὸς ταῦτα ἕκαστα ἐχθρὰ βλέπων ἀνέ-
μενον ἐπαφήσειν ἐμαυτὸν ἐγχανὼν τῷ πλακοῦντι. οἱ δὲ καὶ τὸ
ἐνζαρεῖν ἐπὶ μήκιστον ἐξέτεινον. κύλικος συνεχὲς περισοβουμένης
διαπίβας ἢ μελισμὸς ἐνεποίουν. τέλος ὥσπερ ἐκ συνθήματος τὴν
ἐμὴν ἀναρτῶντες ἐπιθυμίαν, ὁ μέντις καρφὸς λαβὼν ἐξεκά
θαιρε τὰ ἐνιζάνοντα τῶν βρωμάτων τοῖς ὀδοῦσιν ἰνώδη. ὑπτιάσας

(ἑαυτὸν οἷος ἦν

ὕπνῳ κατέχεσθαι μᾶλλον ἢ τῆς τραπέζης φροντίζειν. εἶτα ἄλλος ἄλλῳ διελέγετο καὶ πάντα μᾶλλον ἐπράττετο, ἢ ὁ ἡδὺς ἐκεῖνος καὶ ποθητὸς ἡμῖν πλακοῦς εἰς ἀπόλαυσιν ἤρχετο. τέλος οἷα εἰκὸς οἱ θεοὶ κατοικτείραντες τὸ κατάξηρον τῆς ἐμῆς ἐπιθυμίας, μόλις ποτὲ ἱμειρόμενόν με τοῦ πλακοῦντος ἀπογεύσασθαι παρεσκεύασαν. ταῦτά σοι γράφω οὐ τοσοῦτον ἐπὶ τοῖς ἡδέσιν ἡσθεὶς, ὅσον ἐπὶ τῇ παρολκῇ τῆς βραδυτῆτος ἐκτακείς.

Πλατύλαιμος Ἐρεβινθολέοντι.

Ὑπώποτε ἐγὼ κατὰ τὴν ἀττικὴν ὑπέμεινα τοιοῦτον χειμῶνα. οὐ γὰρ μόνον ἐκ παραλλήλων φυσῶντες μᾶλλον δὲ φύρδην φερόμενοι κατεκτύπουν ἡμῶν οἱ ἄνεμοι, ἀλλ' ἤδη καὶ χιὼν πυκνὴ καὶ ἐπάλληλος φερομένη, πρῶτον μὲν τὸ ἔδαφος ἐκάλυπτεν. ἔπειτα οὐκ ἐπιπολῆς, ἀλλ' εἰς ὕψος ἤρετο τῆς νιφάδος χῶμα πάμπολυ, ὡς ἀγαπητὸν εἶναι τὸ θύριον ἀνοίξαντα τῆς οἰκίας τὸν στενωπὸν ἰδεῖν. ἐμοὶ δ' οὔτε ξύλον οὔτε ἄσβολος παρῆν. πῶς γὰρ ἢ πόθεν. ὁ κρυμὸς δὲ εἰσεδύετο μέχρι μυελῶν αὐτῶν καὶ ὀστέων. ἐβουλευσάμην οὖν ὀδυσσειον βούλευμα δραμεῖν εἰς τοὺς θόλους ἢ τὰς καμίνους τῶν βαλανείων. ἀλλ' οὐδὲ ἐκεῖσε συνεχώρουν οἱ τῶν ὁμοτέχνων περὶ ταῦτα κυλινδούμενοι. καὶ γὰρ αὐτοὺς ἡ παραπλησία θεὸς ἠνώχλει πενία. ὡς οὖν ᾐσθόμην οὐκ εἶναί μοι εἰς ταῦτα εἰσιτητὸν, δραμὼν ἐπὶ τὸ Θρασύλλου βαλανεῖον ἰδιωτικῆς οἰκίας, εὗρον τοῦτο κενόν. καὶ καταβαλὼν ὀβολοὺς δύο καὶ τὸν βαλανέα τούτοις ἵλεων καταστήσας, ἐθερόμην ἄχρις οὗ τὸν νιφετὸν μὲν πηγυλὶς διεδέξατο, ὑφ' ἧς τοῦ κρύους τοῦ μεταξὺ διαρροῦ παγέντος πρὸς ἀλλήλους ἐδέδεντο οἱ λίθοι. μετὰ δὲ τὸ ἀποβράσαι τὸν δριμὺν, προσηνὴς ὁ ἥλιος ἐλευθέραν μοι τὴν πρόοδον καὶ περιπάτους ἀνειμένως ἀπέφηνεν.

Ἀμνίων Φιλομόσχῳ.

α Πέφρευν ἡμῶν ἡ χάλαζα βιαίως ἐμπεσοῦσα τὰ λήϊα. καὶ λιμοῦ φάρμακον οὐδέν. ὠνεῖσθαι ἡμῖν ἐπακτοὺς πυροὺς οὐχ οἷόν τε διὰ σπάνιν κερμάτων. ἔστι δέ σοι ὡς ἀκούω τῆς περυσινῆς εὐετηρίας λείψανα. δάνεισον οὖν μοι μεδίμνους εἴκοσιν ὡς ἂν ἔχοιμι σώζεσθαι αὐτός τε ἡ γυνὴ καὶ τὰ παιδία. καρπῶν δὲ εὐφορίας γενομένης, ἐκτίσομεν αὐτὸ τὸ μέτρον καὶ λώϊον ἐάν τις εὐθηνία γένηται. μὴ δὲ περιίδῃς ἀγαθοὺς γείτονας εἰς στενὸν τοῦ καιροῦ φερομένους.

Εὔστολος Ἐλατίωνι.

ο Ὑδεύμε τῆς γῆς ἀμειβομένης τῶν πόνων ἄξιον, ἔγνων ἐμαυτὸν ἐπιδοῦναι θαλάττῃ καὶ κύμασι. ζῆν μὲν γὰρ καὶ τεθνάναι μεμοίραται ἡμῖν. καὶ οὐκ ἔστι τὸ χρεὼς φυγεῖν κἂν ἐν οἰκίσκῳ τις καθείρξας αὐτὸν τηρῇ. ἐνεργὸς γὰρ ἡ ἡμέρα ἐκείνη καὶ τὸ πεπρωμένον ἄφυκτον. ὥστε τὸ ζῆν οὐ χωρίοις τούτων ταλαντεύεται. ἀλλ' ὑπὸ τῇ τύχῃ βραβεύεται ἤδη γάρ τινες μὲν ἐπὶ γῆς ὠκύμοροι, ἐπὶ θαλάττης δὲ μακρόβιοι κατεβίωσαν. ὥστε εἰδὼς ταῦθ' οὕτως ἔχειν, ἐπὶ ναυτιλίαν βαδιοῦμαι καὶ ἀνέμοις ὁμιλήσω καὶ κύμασι. κρεῖττον γὰρ ἐπανήκειν ἐκ Βοσπόρου καὶ Προποντίδος νεόπλουτον, ἢ καθήμενον ἐπὶ ταῖς τῆς Ἀττικῆς ἐσχατιαῖς λιμῶδές τε αὐχμηρὸν ἐρυγγάνειν.

Ἀγελαρχίδης Πυθολάῳ.

μ Ἔγα ὦ φίλε καλὸν οἱ κατὰ τὴν πόλιν τοκογλύφοι. ἐγὼ γὰρ οὐκ οἶδα τί παθὼν, δέον παρὰ σὲ ἢ παρά τινα ἄλλον τῶν κατ' ἀγρὸν γειτόνων ἐλθεῖν, ἐπεὶ κατέστην ἐν χρείᾳ χρημάτων βουλόμενος ἐπὶ Κολωνῷ πρίασθαι χωρίον ἐξηγήσαντός μέ τινος τῶν ἀστικῶν ἐπὶ τὰς Μαρτίου θύρας ἀφι-

κόμην. εἶτα καταλαμβάνω πρεσβύτην ὀφθῆναι ξηρὸν συνεσπακότα τὰς ὀφρῦς χάρτην δὲ ἀρχαϊκά τινα, σαπρὸν δὲ τῷ χρόνῳ ὑπὸ κόρεων καὶ σητῶν ἡμίβρωτον διὰ χειρὸς ἔχοντα. εὐθὺς μὲν οὖν μόλις με προσεῖπε ζημίαν, ἡγούμενος τὴν προσηγορίαν. εἶτα τοῦ προξένου φήσαντος ὡς δεοίμην χρημάτων, πόσων ἤρετο ταλάντων. ἐμοῦ δὲ θαυμάσαντος τὴν ὑπερβολὴν, διέπτυεν εὐθὺς καὶ δῆλος ἦν δυσχεραίνων. ὅμως ἐδίδου καὶ ἀπῄτει γραμματεῖον. καὶ ἐπὶ τῶν ἀρχαίων τόκον βαρὺν καὶ τὴν οὐσίαν ὑποθέσει μηνὸς εἰσέτι μοι. μέγα τι κακὸν εἰσὶν οἱ περὶ τὰς ψήφους καὶ τῶν δακτύλων τὰς κάμψεις εἱλινδούμενοι. μή μοι γένοιτο ἀγροίκων ἔφοροι δαίμονες, μὴ λύκον ἔτι μὴ δανειστὴν ἰδεῖν.

Ἀνίκητος Φοιβιανῇ.

Φ

Εὔγεις με ὦ φοιβιανὴ φλέγεις· καὶ ταῦτα ἀρτίως ὅλον τὸν ἀγρὸν ἀπενηνεγμένη. τί γὰρ οὐ τῶν ἐμῶν λαβοῦσα ἔχεις. οὐ σῦκα οὐ τυρὸν ἐκ ταλάρων, οὐκ ἀλεκτορίδων ζεῦγος οὐ τὰ λοιπὰ τρυφήματα πάντα ἐστὶ σοι δὲ ἐμῆς οὕτως ὅλον με αὐτὴ κατὰ τὴν παροιμίαν ἀνατρέψασα δουλεύειν ἀπηνάγκασας. σὺ δὲ οὐδεμίαν ὥραν ἔχεις ἐμοῦ διακαῶς φλεγομένου. ἀλλὰ χαῖρε καὶ ἄπιθι. ἐγὼ δὲ οἴσω βαρέως μὲν, οἴσω δὲ ὅμως τὴν ἀτιμίαν.

Φοιβιανὴ ἀνικήτῳ.

ὠ

Δίνουσά με ἀρτίως ἧκεν ὡς ἑαυτὴν ἡ τοῦ γείτονος μετέπεμψε γυνή. καὶ δῆτα ἤκειν ἀραμένη τὰ πρὸς τὴν τέχνην. σὺ δὲ ἐξαπιναίως ἀναστὰς ἐπειρῶ τὴν δέρην ἀνακλάσας κῦσαι. οὐ παύσῃ τρίκουρον καὶ τάλαντον γερόντιον πειρῶν τὰς ἀφηλικίας αὐθούσας ἡμᾶς ὥστις ἄρτι μειράζειν ἀρχόμενος.

μενος; οὐχὶ τῶν κατ᾽ ἀγρὸν πόνων ἀφεῖσαι, ἀργὸς τῶν αἰδοίων ποιησάμενος. οὐχὶ τοῦ πιτανείου καὶ τῆς ἐσχάρας ὡς ἀδυνάτος ὢν ἀξιῶσαι; πῶς οὖν τὸ κάρον βλέπεις βλέμμα καὶ ἀναπνέεις. πέπαυσο κέκροταφ᾽ ἄθλιε καὶ τρέπου κατὰ σεαυτὸν ὦ πρέσβυ.

Γλυκέρα Βακχίδι.

Μένανδρος ἡμῶν ἐπὶ τὴν τῶν Ἰσθμίων θέαν εἰς τὴν Κόρινθον ἐλθεῖν βεβούληται. ἐμοὶ μὲν οὐ κατὰ νοῦν. οἶσθα γὰρ οἷόν ἐστιν ἐραστοῦ τοιούτου καὶ βραχὺν ὑστερῆσαι χρόνον. ἀποτρέπειν δὲ οὐκ ἐνῆν μὴ πολλάκις ἀποδημεῖν εἰωθότα. οὔτε ὅπως αὐτὸν παρεγγυήσω, μέλλοντα ἐπιδημήσειν ἔχω. οὔτε ὅπως μὴ βουλόμενον αὐτὸν σπουδασθῆναι ἀπὸ σοῦ κἀμοί τινα φέρει φιλοτιμίαν, τοῦτο λογίζομαι. οἶδα γὰρ τὴν οὖσαν ἡμῖν ἑταιρείαν πρὸς ἀλλήλας. δέδοικα δὲ ὦ φιλτάτη οὐ σὲ τοσοῦτον. χρηστοτέρῳ σοὶ ἤθει κέχρησαι τοῦ βίου ὅσον αὐτὸν ἐκεῖνον. ἐρωτικὸς γάρ ἐστι δαιμονίως καὶ Βακχίδος οὐδ᾽ ἂν τῶν σκυθρωποτάτων τις ἀπόσχοιτο. τὸ μὲν γὰρ δοκεῖν αὐτὸν οὐκ ἔλαττον τοῦ σοὶ ἐντυχεῖν ἢ τῶν Ἰσθμίων ἕνεκεν τὴν ἀποδημίαν πεποιῆσθαι, οὐ πάνυ πείθομαι. ἴσως αἰτιάσῃ με τῆς ὑποψίας. συγγίνωσκε δὲ ταῖς ἑταιρικαῖς ὦ φιλτάτη ζηλοτυπίαις. ἐγὼ δ᾽ οὐ παρὰ μικρὸν ἡγοῦμαι Μενάνδρου διαμαρτεῖν ἐραστοῦ. ἄλλως τε κἄν μοι κνισμός τις πρὸς αὐτὸν ἢ διαφορὰ γένηται, δεήσει με ἐπὶ τῆς σκηνῆς ὑπὸ Χρέμητός τινος ἢ Διφίλου πικρῶς λοιδορεῖσθαι. ἐὰν δὲ ἐπανέλθῃ μοι οἷος ᾤχετο, πολλήν σοι εἴσομαι χάριν.

Ἔρρωσο.

Βακχὶς ὑπερείδῃ.

π ᾶσαί σοι ἴσμεν αἱ ἑταῖραι χάριν· καὶ ἑκάστη γ' ἡμῶν οὐχ ἧττον ἢ Φρύνη. ὁ μὲν γὰρ ἀγὼν μόνος Φρύνης. ὃν ὁ παμπόνηρος εὐθείας ἐπανείλετο· ὁ δὲ κίνδυνος ἁπασῶν. εἰ γὰρ αἰτοῦσαι παρὰ τῶν ἐραστῶν ἀργύριον, οὐ τυγχάνομεν ἢ τοῖς διδοῦσιν ἐντυγχάνουσαι ἀσεβείας κριθησόμεθα, πεπαῦσθαι κρεῖττον ἡμῖν τοῦ βίου καὶ μηκέτι ἔχειν πράγματα μήτε τοῖς ὁμιλοῦσι παρέχειν· νῦν δ' οὐκ ἔτι τὸ ἑταιρεῖν αἰτιασόμεθα ὅτι πονηρὸς εὐθείας ἐραστὴς εὑρέθη. ἀλλ' ὅτι ἐπιεικὴς ὑπερείδης ζηλώσομεν· πολλὰ τοίνυν ἀγαθὰ γένοιτό σοι τῆς φιλανθρωπίας· καὶ γὰρ ἑταίραν χρηστὴν σεαυτῷ περιεσώσω· καὶ ἡμᾶς ἀμειψομένας σε ἀντ' ἐκείνης παρεσκεύασας. εἰ δὲ δὴ καὶ τὸν λόγον γράψαις τὸν ὑπὲρ τῆς Φρύνης, τότε ἂν ὡς ἀληθῶς χρυσοῦν αἱ ἑταῖραί σε στήσαιμεν ὅπη ποτὲ βούλει τῆς ἑλλάδος.

Βακχὶς Φρύνῃ.

ο ὐ τοσοῦτόν σοι τοῦ κινδύνου συνηχθέσθην φιλτάτη ὅσον ὅτι πονηροῦ μὲν ἀπηλλάγης ἐραστοῦ, χρηστὸν δὲ εὗρες ὑπερείδην, συνήσθην. τὴν γὰρ δίκην σοι καὶ πρὸς τὴν εὐτυχίαν γεγονέναι νομίζω· διαβόητον γάρ σε οὐκ ἐν ταῖς ἀθήναις μόνον, ἀλλὰ καὶ ἐν τῇ ἑλλάδι ἁπάσῃ ὁ ἀγὼν ἐκεῖνος πεποίηκεν· εὐθείας μὲν γὰρ ἱκανὴν τιμωρίαν δώσει τῆς σῆς ὁμιλίας στερούμενος· ὑπὸ γὰρ ὀργῆς μοι δοκεῖ κινηθεὶς διὰ τὴν ἔμφυτον ἀμαθίαν ὑπεράρας τὸ μέτρον τῆς ἐρωτικῆς ζηλοτυπίας. καὶ νῦν ἐκεῖνον ἐρῶντα μᾶλλον εὖ ἴσθι ἢ ὑπερείδην. ὁ μὲν γὰρ διὰ τὴν τῆς συνηγορίας χάριν δῆλός ἐστι σπουδάζεσθαι βουλόμενος καὶ ἐρώμενον ἑαυτὸν ποιῶν· ὁ δὲ, τῷ ἀποτεύγματι τῆς δίκης παρώξυνται. προσδέχου δὴ πάλιν

διαύλου δεήσεις καὶ λιτανείας καὶ πολλοῦ χρυσίου. μὴ δὴ καταδυσωπήσῃς ἡμῶν ὦ φιλτάτη τὸν ἑταιρῶν. μηδὲ Ὑπερείδην κακῶς δόξαι βεβουλεῦσθαι ποιήσῃς, τὰς δυστυχεῖς ἱκεσίας προσιεμένη. μηδὲ τοῖς λέγουσί σοι ὅτι εἰ μὴ τὸν χιτωνίσκον περιρρηξαμένη τὰ μαστάρια τοῖς δικασταῖς ἐπέδειξας, οὐδὲν ὁ ῥήτωρ ὠφέλει, πείθου. καὶ γὰρ αὐτὸ τοῦθ᾽ ἵνα ἐν καιρῷ γένηταί σοι ἡ ἐκείνου παρέσχε συνηγορία.

Βακχὶς Μυρρίνῃ.

Η δὲ κρείττονος εἴη σοι τυχεῖν ἐραστοῦ δέσποινα ἀφρο-
μ δίτη, ἀλλ᾽ οὗ τυχοῦσα νῦν περιέπεις συγκαταβιώῃ. τάλαινα γυνὴ τῆς ἀνοίας. ἥτις τῷ τοιούτῳ κάλλει πεπίστευκας. Φρύνην γὰρ στέρξει δηλονότι Μυρρίνην, ὑπερείδων. ἀλλ᾽ ἔοικε κνίσαι τὸν ὑπερείδην βεβουλῆσθαι ὡς ἐλάττον σοι νῦν προσέχοντα. κἀκεῖνος ἑταίραν ἔχει ἀξίαν ἑαυτοῦ, καὶ σὺ ἐραστὴν σοὶ πρέποντα. αἴτησόν τι παρ᾽ αὐτοῦ καὶ ὄψει σεαυτὴν ἢ τὰ νεώρια ἐμπεπρηκυῖαν ἢ τοὺς νόμους καταλύουσαν. ἴσθι γοῦν ὅτι παρὰ πάσαις ἡμῖν ταῖς τὴν φιλανθρωποτέραν ἀφροδίτην προτιμώσαις μεμίσησαι.

Θαῒς Θετταλῇ.

Υκ ἂν πρὸ τοῦ ᾤθην ἐκ τοσαύτης συνηθείας ἔσεσθαί μοι τι-
ὁ νὰ πρὸς Εὐξίππην διαφοράν. ἦ τὰ μὲν ἄλλα ἐν οἷς αὐτῇ χρησίμη γέγονα ὑπὸ τὸν ἀπὸ τῆς σάμου κατάπλουν, οὐκ ὀνειδίζω. ἀλλὰ Παμφίλου, γινώσκεις τοῦτο καὶ σὺ ὅσον ἡμῖν διδόντος ἀργύριον ὅτι ταύτῃ ποτὲ ἐντυγχάνειν ἐδόκει τὸ μειράκιον οὐ προσίεμην. ἀλλὰ καλῶς ἡμᾶς ἀντὶ τούτων ἠμείψατο τῇ κάκιστα ἀπολουμένῃ μεγάρᾳ χαρίζεσθαι θέλουσα. πρὸς ἐκείνην δ᾽ ἦν τις παλαιά μοι διὰ στράτωνα ὑπόνοια. ἀλλὰ ταύτην μὲν οὐδὲν ᾤμην κινεῖν παράλογον κακῶς λεγουσάν με. Ἁλῴων δ᾽ ἦν. καὶ ἐπὶ τὴν παννυχίδα πᾶσαι ὥσπερ ἦν εἰκὸς παρ᾽ ἡμῖν. ἐθαύμαζον ἢ τῆς Εὐξίππης.

τὸ μὲν γὰρ πρῶτον κιχλίζουσα μετ' ἐκείνης καὶ μωκωμένη, τὴν δυσμένειαν ἐνεδείκνυτο· εἶτα φανερῶς τὰ ᾄσματα ᾖδεν εἰς τὸν οὐκ ἔθ' ἡμῖν προσέχοντα ἐραστήν. κἀπὶ τούτοις μὲν ἧττον ἤλγουν. ἀπαναισχυντήσασα δὲ εἰς τὸ φῦκός με καὶ τὸν παιδέρωτα ἔσκωπτεν. ἐδόκει δέ μοι πάνυ καλῶς πράττειν ὡς μηδὲ κάτοπτρον κεκτῆσθαι. εἰ γὰρ οἶδεν ἑαυτῆς χρῶμα σανδαράχης ἔχουσαν, οὐκ ἂν ἡμᾶς εἰς ἀμορφίαν ἐβλασφήμει. ἐμοὶ μὲν οὖν βραχὺ μέλει περὶ τούτων. ἀρέσκειν γὰρ τοῖς ἐρασταῖς οὐχὶ Μεγάρᾳ καὶ Δεξίππῃ βούλομαι ταῖς πιθήκοις. δεδήλωκα δέ σοι ἵνα μή μέ τι μέμψῃ. ἀμυνοῦμαι γὰρ αὐτὰς οὐκ ἐν σκώμμασιν οὐδ' ἐν βλασφημίαις, ἀλλ' ἐν οἷς μάλιστα ἀνιάσονται. προσκυνῶ δὲ τὴν νέμεσιν.

Θαῒς Εὐθυδήμῳ.

ε ξ οὗ φιλοσοφεῖν ἐπενόησας σεμνός τις ἐγένου καὶ τὰς ὀφρῦς ὑπὲρ τοὺς κροτάφους ἐπῆρας. εἶτα σχῆμα ἔχων καὶ βυβλίδιον μετὰ χεῖρας εἰς τὴν ἀκαδημίαν σοβεῖς. τὴν δὲ ἡμετέραν οἰκίαν ὡς οὐδὲ ἰδὼν πρότερον παρέρχῃ. ἐμάνης Εὐθύδημε, οὐκ οἶδας οἷός ἐστιν ὁ σοφιστὴς οὗτος ὁ ἐσκυθρωπακὼς καὶ τοὺς θαυμαστοὺς τούτους διεξιὼν πρὸς ὑμᾶς λόγους. ἀλλ' ἐμοὶ μὲν πράγματα, πόσον ἐστὶν οἴει χρόνον, ἐξ οὗ παρέχει βουλόμενος ἐντυχεῖν. προσφθείρεται δὲ Ἑρπυλλίδι τῇ Μεγάρας ἄβρᾳ. τότε μὲν οὖν αὐτὸν οὐ προσιέμην. σὲ γὰρ περιβαλοῦσα κοιμᾶσθαι μᾶλλον ἐβουλόμην, ἢ τὸ παρὰ πάντων σοφιστῶν χρυσίον. ἐπεὶ δέ σε ἀποτρέπειν ἔοικε τῆς μεθ' ἡμῶν συνηθείας, ὑποδέξομαι αὐτόν. καὶ εἰ βούλει τὸν διδάσκαλον τουτονὶ τὸν μισογύναιον ἐπιδείξω σοι νυκτὸς οὐκ ἀρκούμενον ταῖς συνήθεσιν ἡδοναῖς. λῆρος ταῦτά εἰσι καὶ τῦφος καὶ ἐργολάβεια μειρακίων ὦ ἀνόητε. οἴει δὲ διαφέρ

ρειν ἑταίρας σοφιστήν; τοσοῦτον ἴσως ὅσον οὐ διὰ τῶν αὐτῶν ἑκάτεροι πείθειν. ἐπεὶ ἕν γε ἀμφοτέροις τέλος πρόσκειται τὸ λαβεῖν. πόσῳ δὲ ἀμείνους ἡμεῖς καὶ εὐσεβέστεραι. οὐ λέγομεν θεοὺς οὐκ εἶναι. ἀλλὰ πιστεύομεν ὀμνύουσι τοῖς ἐρασταῖς ὅτι φιλοῦσιν ἡμᾶς. οὐδ᾽ ἀξιοῦμεν ἀδελφαῖς καὶ μητράσι μίγνυσθαι τοὺς ἄνδρας, ἀλλ᾽ οὐδὲ γυναιξὶν ἀλλοτρίαις, εἰ μὴ ὅτι τὰς νεφέλας ὁπόθεν εἰσὶ, καὶ τὰς ἀτόμους ὁποῖαι, ἀγνοοῦμεν. διὰ τοῦτο ἥττους δοκοῦμέν σοι τῶν σοφιστῶν. καὶ αὐτὴ παρὰ τούτοις ἐσχόλακα καὶ πολλοῖς διείλεγμαι. ὁ δὲ εἰς ἑταίρας ὁμιλῶν τυραννίδας ὀνειροπολεῖ καὶ στασιάζει τὰ κοινά. ἀλλὰ σπάσας τὸν ἑωθινὸν καὶ μεθυσθεὶς εἰς ὥραν τρίτην ἢ τετάρτην ἠρεμεῖ. παιδεύομεν δὲ οὐ χεῖρον ἡμεῖς τοὺς νέους. ἐπεὶ σύγκρινον εἰ βούλει Ἀσπασίαν τὴν ἑταίραν καὶ σωκράτην τὸν σοφιστὴν καὶ πότερος ἄμεινον αὐτῶν ἐπαίδευσεν ἄνδρας λόγισαι. τῆς μὲν γὰρ ὄψει μαθητὴν περικλέα. τοῦ δὲ, κριτίαν. κατάβαλλε τὴν μωρίαν ταύτην καὶ ἀηδίαν. ὁ ἐμὸς ἔρως εὐθύδημε οὐ πρέπει σκυθρωποῖς εἶναι τοιούτοις ὄμμασι. καὶ πρὸς τὴν ἐρωμένην ἧκε τὴν ἑαυτοῦ οἷος ἐπανελθὼν ἀπὸ λυκίου πολλάκις τὸν ἱδρῶτα ἀποψώμενος. ἵνα μικρὰ κραιπαλήσαντες ἐπιδειξώμεθα ἀλλήλοις τὸ καλὸν τέλος τῆς ἡδονῆς. καὶ σοὶ νῦν μάλιστά γε φανοῦμαι σοφή. οὐ μακρὸν δίδωσιν ὁ δαίμων χρόνον τοῦ ζῆν. μὴ λάθῃς τοῦτον εἰς αἰνίγματα καὶ λήρους ἀναλώσας. Ἔρρωσο.

Σιμαλίων πετάλῃ.

[ε] Ι μὲν ἡδονήν σοί τινα φέρειν ἢ φιλοτιμίαν πρός τινας τῶν διαλεγομένων οἴει, τὸ πολλάκις ἡμᾶς ἐπὶ τὰς θύρας φοιτᾶν καὶ τοῖς πεμπομένοις πρὸς τοὺς εὐτυχεστέρους ἡμῶν θεραπαινιδίοις ἀποδύρεσθαι, οὐκ ἀλόγως ἡμῖν ἐντρυφᾷς

ἴσθι μέντοι, καίτοι πιθανὸν οἶδα πρᾶγμα ἀσύμφορον ἐμαυτῷ, οὕτω με διακείμενον ὡς ὀλίγοι τῶν ἐντυγχανόντων σοι νῦν ἀμεληθέντες ἂν διατεθεῖεν. καίτοι γε ᾤμην τὸν ἄκρατον ἔσεσθαί μοι κατηγόρημα ὃν παρ' Εὐφρονίῳ τρίτην ἑσπέραν πλεῖστόν τινα ἐφορησάμην ὡς δὴ τὰς παρὰ τὴν νύκτα φροντίδας διωσόμενος. τὸ δὲ ἄρα ἐναντίως ἔχειν· ἀνερρίπισε γάρ μου τὴν ἐπιθυμίαν, ὥστε κλαίοντά με καὶ βρυχώμενον, ἐλεεῖσθαι μὲν παρὰ τοῖς ἐπιεικεστέροις. γέλωτα δὲ τοῖς ἄλλοις παρέχειν. μικρὰ δὲ ἔπεστί μοι παραψυχὴ καὶ μαραινόμενον ἤδη παραμύθιον. ὅ μοι ὑπὸ τὴν λυπρὰν τοῦ συμποσίου μέμψιν προσέρριψας ἀπὸ αὐτῶν περισπάσασα τῶν πλοκάμων. ὡς δὴ πᾶσι τοῖς ὑφ' ἡμῶν πεμφθεῖσιν ἀχθομένη. εἰ δή σοι ταῦτα ἡδονὴν φέρει, ἀπόλαυε τῆς ἡμετέρας μερίμνης. καὶ εἴ σοι φίλον διηγοῦ τοῖς νῦν μὲν μακαριωτέροις ἡμῶν, εἰς μακρὰν δ' ἢ αὖ ὡς παρ' ἡμεῖς ἔχωσιν ἀνιασομένοις. εὔχου μέντοι μηδέν σοι νεμεσῆσαι ταύτης τῆς ὑπεροψίας τὴν Ἀφροδίτην. ἕτερος ἂν λοιδορούμενος ἔγραφε καὶ ἀπειλῶν. ἀλλ' ἐγὼ δεόμενος καὶ ἀντιβολῶν. ἐρῶ γάρ, ὦ Πετάλη, κακῶς. φοβοῦμαι δὲ μὴ κάκιον ἔχων μιμήσωμαί τινα τῶν περὶ τὰς ἐρωτικὰς μέμψεις ἀτυχεστέρων.

Πετάλη Σιμαλίωνι.

ἠ Βουλόμην μὲν ὑπὸ δακρύων ἑταίρας τρέφεσθαι οἰκίαν. λαμπρῶς γὰρ ἂν ἔπραττον ἀφθόνων τούτων ἀπολαύουσα παρὰ σοῦ. νῦν δὲ δεῖ χρυσίου ἡμῖν. ἱματίων. κόσμου. θεραπαινιδίων. ἡ τοῦ βίου διοίκησις ἅπασα ἐντεῦθεν. οὐκ ἔστιν ἐν Μυρρινοῦντι πατρῷον ἐμοὶ κτημάτιον, οὐδ' ἐν τοῖς ἀργυρείοις ἐμοὶ μέταλλον, ἀλλὰ μισθωμάτια καὶ αἱ δυστυχεῖς αὗται καὶ κατεστεναγμέναι τῶν ἀνοήτων ἐραστῶν χάριτες. σοὶ δὲ ἐνιαυτὸν ἐν-

τυγχάνουσα

τυγχάνουσα ἀδημονῶ· καὶ αὖ χηρὰν μὲν ἔχω τὴν κεφαλὴν μη-
δὲ ἰδοῦσα τὸν χρόνον τοῦτον μύρον· τὰ δὲ ἀρχαῖα καὶ τρίχινα προ-
βαλλομένη ταραντινίδια αἰσχύνομαι τὰς φίλας. οὕτως ἀγα-
θόν τί μοι γένοιτο. εἶτα σὺ μέσοι παρακαθημένη πόθεν ζήσεις;
ἀλλὰ δακρύεις; πεπαύσῃ μετὰ μικρόν. ἐγὼ δ' αὖ μή τις ὁ διδοὺς
ᾖ, πεινήσω τὸ καλόν. θαυμάζω δέ σου καὶ τὰ δάκρυα ὡς ἔστιν ἀπί-
θανα. δέσποινα ἀφροδίτη. φιλεῖς ἄνθρωπε φῂς, καὶ βούλει σοι τὴν
ἐρωμένην διαλέγεσθαι· ζῆν γὰρ χωρὶς ἐκείνης μὴ δύνασθαι. τί οὖν
οὐ ποτήρια ἐστὶν ἐπὶ τῆς οἰκίας ὑμῖν, μὴ χρυσία τῆς μητρός, μὴ
δάνεια τοῦ πατρὸς κομιούμενος· μακαρία φιλῶτις, τοῖς εὐμε-
νεστέροις ὄμμασιν εἶδον ἐκείνην αἱ χάριτες, οἷον ἐραστὴν ἔχει μενε-
κλείδην, ὃς καθ' ἡμέραν δίδωσί τι· ἄμεινον γὰρ ἢ κλάειν· ἐγὼ δὲ ἡ τά-
λαινα θρηνωδὸν οὐκ ἐραστὴν ἔχω· στεφάνια μοι καὶ ῥόδα ὡς τῷ ἀώρῳ
τάφῳ πέμπει· καὶ κλάειν δι' ὅλης φησὶ τῆς νυκτός. ἐὰν φέρῃς τι, ἧ-
κε μὴ κλαίων, εἰ δὲ μή, σεαυτὸν οὐχ ἡμᾶς ἀνιάσεις.

Μυῤῥίνη Νικίππῃ.

Οὐ προσέχει μοι τὸν νοῦν ὁ δίφιλος, ἀλλ' ἅπας ἐπὶ τὴν
ἀκάθαρτον θετταλὴν νένευκε, καὶ μέχρι μὲν τῶν ἀδωνί-
ων καὶ ἐπὶ κῶμόν ποτε πρὸς ἡμᾶς καὶ κοιμησόμενος ἐφοίτα· ἤδη μέν-
τοι ὡς αὐτὸς ἀκκιζόμενος καὶ ἐρώμενον ἑαυτὸν ποιῶν καὶ τά γε πλεῖ-
στα ὑπὸ τοῦ ἕλικος, ὁπότε μεθυσθείη, ὁδηγούμενος· ἐκεῖνος γὰρ τῆς ἑρ-
πυλλίδος ἐρῶν τὴν παρ' ἡμῖν ἠγάπα σχολήν· νῦν μέντοι δῆλός ἐστι
μηδὲ ὅλως ἡμῖν ἐντευξόμενος· τέτταρας γὰρ ἑξῆς ἡμέρας ἐν
τῷ λυσίδος κήπῳ μετὰ θετταλῆς καὶ τοῦ κάκιστ' ἀπολουμένου στρογ-
γυλίωνος, ὃς ταύτην αὐτῷ προὐμνηστεύσατο τὴν ἐρωμένην ἐμοί
τι προσκρούσας, κραιπαλᾷ. γραμματίδια μὲν οὖν καὶ θεραπαι-

νίδων διαφθείρομαι καὶ ὅσα τοιαῦτα μάτην διήμυσαι καὶ οὐδὲν ἐξ αὐτῶν ὄφελος. δοκεῖ δέ μοι μᾶλλον ὑπὸ τούτων τετυφῶσθαι καὶ ὑπερεντρυφᾶν ἡμῖν. λοιπὸν οὖν ἀποκλείειν κἂν ἔλθῃ ποτὲ πρὸς ἡμᾶς κοιμηθησόμενος εἰ δὴ κνίσαι ποτὲ ἐκείνην βουληθείη διασώσασθαι. εἴωθε γὰρ ἡ βαρύτης τῷ ἀμελεῖσθαι καταβάλλεσθαι. ἐὰν δὲ μὴ δ' οὕτως ἀνύοιμεν, θερμοτέρου τινὸς ἡμῖν ὥσπερ τοῖς σφόδρα κάμνουσι φαρμάκου δεῖ. δεινὸν γὰρ οὐ τοῦτο μόνον εἰ τῶν παρ' αὐτοῦ μισθωμάτων στερησόμεθα, ἀλλ' εἰ Θεττάλῃ γέλωτα παρέξομεν. ἔστι σοι πειραθὲν ὡς φὴς πολλάκις ἐφ' ἡλικίας φίλτρον, τοιούτου τινὸς βοηθήματος δεόμεθα, ὃ τὸν πολὺν αὐτοῦ τῦφον ἀλλοιώσῃ καὶ τὴν κραιπάλην ἐκκορήσειεν. ἐπικηρυκευσόμεθα δὴ αὐτῷ καὶ δακρυσόμεθα πιθανῶς καὶ τὴν νέμεσιν δεῖν αὐτὸν ὁρᾶν εἰ οὕτως ἐμὲ περιόψεται ἐρῶσαν αὐτοῦ, καὶ τοιαῦτα ἄλλα ἐροῦμεν καὶ πλασόμεθα. ἥξει γὰρ ὡς ἐλεῶν δήπου με καιομένην ἐπ' αὐτῷ. μεμνῆσθαι γὰρ τοῦ παρελθόντος χρόνου καὶ τῆς συνηθείας ἔχειν καλῶς ἐρεῖ, φυσῶν ἑαυτὸν ὁ λάσταυρος. συλλήψεται δ' ἡμῖν καὶ ὁ Ἕλιξ. ἐπ' ἐκεῖνον γὰρ ἡ Ἑρπυλλὶς ἀποδύσεται. ἀλλ' ἀμφιβάλλειν εἴωθε τὰ φίλτρα καὶ ἀποσκήπτειν εἰς ὄλεθρον. βραχύ μοι μέλει. δεῖ γὰρ αὐτὸν ἢ ἐμοὶ ζῆν ἢ τεθνάναι Θεττάλῃ.

Μενεκλείδης Εὐθυκλεῖ.

Οἴχεται Βακχὶς ἡ καλὴ Εὐθύκλεις φίλτατε οἴχεται. πολλά τέ μοι καταλιποῦσα δάκρυα καὶ ἔρωτος ὅσον ἥδιστον τὸ τέλος οὐ πονηροῦ μὴν μνήμην. οὐ γὰρ ἐπιλήσομαί ποτε Βακχίδος.

χίδος· οὐ χρυσοῦς ἔσται χρόνος· ὅσην συμπάθειαν ἐνεδείξατο· ἀπολο-
γίαν ἐκείνην καλὴν οὐκ αὐτῆς ἁμαρτάνει τοῦ τῶν ἑταιρῶν βίου.
καὶ εἰ συνελθοῦσαι ἅπασαι πανταχόθεν εἰκόνα τινὰ αὐτῆς ἐν ἀ-
φροδίτης ἢ χαρίτων θεῖεν, δεξιὸν αὐταί μοι ποιήσαι δοκοῦσι. τὸ γὰρ
θρυλλούμενον ὑπὸ πάντων, ὡς πονηραί, ὡς ἄπιστοι, ὡς πρὸς τὸ λυ-
σιτελὲς βλέπουσαι μόνον, ὡς ἀεὶ τοῦ διδόντος, ὡς τινος γὰρ οὐκ αἴ-
τιαι κακοῦ τοῖς ἐντυγχάνουσι, διαβολὴν ἐπέδειξεν ἀφ' αὑτῆς
ἄδικον. οὕτω πρὸς τὴν κοινὴν βλασφημίαν τῷ ἤθει παρετάξα-
το. οἶσθα τὸν μῆδον ἐκεῖνον τὸν ἀπὸ τῆς συρίας δεῦρο καταίραν-
τα μεθ' ὅσης θεραπείας καὶ παρασκευῆς ἐσόβει. εὐνούχους ὑπι-
σχνούμενος καὶ θεραπαίνας καὶ κόσμον τινὰ βαρβαρικόν. ὅμως
ἥκοντα αὐτὸν οὐ προσίετο· ἀλλ' ὑπὸ τοῦ μὲν ἠγάπα κοιμωμένη χλα-
νίσκιον τὸ λιτὸν τοῦτο καὶ δημοτικόν. καὶ τοῖς παρ' ἡμῶν ὀλίγοις
αὐτῇ πεμπομένοις ἐπανέχουσα, τὰς σατραπικὰς ἐκείνας καὶ πο-
λυχρύσους δωρεὰς διωθεῖτο. τί δὲ τὸν αἰγύπτιον ἔμπορον ὡς ἀπε-
σκοράκισεν ὅσον ἀργυρίου προτείνοντα. οὐδὲν ἐκείνης ἄμεινον
εὖ οἶδ' ὅτι γένοιτ' ἄν. ὡς χρηστὸν ἦθος οὐκ εἰς εὐδαίμονα βίου προ-
αίρεσιν δαίμων τις ὑπήνεγκεν. εἶτα τοίνυν ἡμᾶς ἀπολιποῦσα καὶ
κείσεται λοιπὸν μόνη ἡ βακχὶς ὡς ἄδικον ὦ φίλαι μοῖραι. ἔδει
γοῦν αὐτῇ συγκατακεῖσθαί με καὶ νῦν ὥσπερ τότε. ἀλλ' ἐγὼ μὲν πε-
ρίειμι καὶ τροφῆς ψαύω, καὶ διαλέξομαι τοῖς ἑταίροις. ἡ δ',
οὐκ ἔτι με φαιδροῖς τοῖς ὄμμασιν ὄψεται μειδιῶσα. οὐδ' ἵλεως ε-
ὐμενὴς διανυκτερεύσει τοῖς ἡδίστοις ἐκείνοις κολάσμασιν. ἀρτί-
ως μὲν οἷον ἐφθέγγετο, οἷον ἔβλεπεν. ὅσαι ταῖς ὁμιλίαις αὐτῆς σει-
ρῆνες ἐνίδρυντο. ὡς δὲ ἡδύ τι καὶ ἀκήρατον ἀπὸ τῶν φιλημάτων νέκταρ
(ἔσταζεν

ἐπ' ἄκροις μοι δοκεῖ τοῖς χείλεσιν αὐτῆς ἐγκαθίσειν ἡ πειθώ. ἅπαν
τα ἐκείνη γε τὸν κεστὸν ὑπεζώσατο. ὅλαις ταῖς χάρισι τὴν ἀφροδίτην
δεξιωσαμένη. ἔῤῥει τὰ παρὰ τὰς πόσεις μινυρίσματα. καὶ ἡ τοῖς
ἐλεφαντίνοις δακτύλοις κρουομένη λύρα ἔῤῥει. κεῖται δὲ ἡ πά-
σαις μέλλουσα χαρίεσθαι κωφὴ λίθος. καὶ σποδιά. καὶ μεγάρα μὲν ἡ
ἱππόπορνος ζῇ οὕτω θεαγένη συλήσασα ἀνηλεῶς, ὡς ἐκ πάνυ λαμ
πρᾶς οὐσίας τὸν ἄθλιον χλαμύδιον ἁρπάσαντα καὶ πέλτην οἴχεσθαι
στρατευσόμενον. βακχὶς δὲ ἡ τὸν ἐραστὴν φιλοῦσα ἀπέθανε. ῥᾴων
γέγονα πρὸς σὲ ἀποδυράμενος εὐθύκλεις φίλτατε. ἡδὺ γάρ μοι
τὶ δοκεῖ περὶ ἐκείνης καὶ λαλεῖν καὶ γράφειν. οὐδὲν γὰρ ἢ τὸ μεμνῆ
σθαι καταλέλειπται. Ἔῤῥωσο.

Μεγάρα βακχίδι.

σ Οἱ μόνῃ ἐραστὴς γέγονεν ὃν φιλεῖς οὕτως ὥστε τὸ μηδὲ ἀ
κριβῶς αὐτοῦ διαζευχθῆναι δύνασθαι. τῆς ἀηδίας δέσποινα
ἀφροδίτη κληθεῖσα ὑπὸ γλυκέρας εἰς τοσοῦτον χρόνον. ἀπὸ τῶν διο
νυσίων γὰρ ἡμῖν ἀπήγγελεν, οὐχ ἥκεις εἰ μὴ δι' ἐκείνην. οὐδὲ τὰς
φίλας ἰδεῖν γυναῖκας ἀνασχομένη. σώφρων γέγονας σὺ καὶ φιλεῖς
τὸν ἐραστήν. μακαρία τῆς εὐφημίας. ἡμεῖς δὲ αἱ πόρναι καὶ ἀκόλα
στοι. ὑπῆρξε καὶ φίλωνι συνκίνη βακτηρία. ὀργίζομαι γὰρ νὴ τὴν με
γάλην θεόν. πᾶσαι γὰρ ἦμεν θεττάλη. μυῤῥίνη. χρυσίον. εὐξίππη.
ὅπου γε φιλομένη καίτοι γεγαμημένη προσφάτως καὶ ζηλοτυπου
μένη τὸν καλὸν ἀποκοιμίσασα τὸν ἄνδρα, ὀψὲ μὲν, ὅμως δὲ παρῆν.
σὺ δὲ ἡμῖν μόνη τὸν ἄδωνιν περιέψυχες, μή ποτε καταλειφθέντα αὐ
τὸν ὑπὸ σοῦ τῆς ἀφροδίτης, ἡ περσεφόνη παραλάβῃ. οἷον ἡμῶν
ἐγένετο συμπόσιον, τί γὰρ οὐχ ἅψομαί σου τῆς καρδίας, ὅσων
χαρίτων πλῆρες. ᾠδαί. σκώμματα. πότος εἰς ἀλεκτρυόνων ᾠ
δάς.

δύο· μύρα· στέφανοι· τραγήματα· ὑποσκίοις τισὶ δάφναις ἦν ἡ κατάκλισις. ἓν μόνον ἡμῖν ἔλειπε, οὐ τὰ δ᾽ ἄλλα, οὐ πολλάκις ἐκραιπαλήσαμεν· οὕτω δὲ ἡδέως, ὀλιγάκις. τὸ γοῦν πλείστην ἡμῖν παρασχοῦσαν τέρψιν, δεινή τις φιλονεικία κατέσχε Θρυαλλίδα καὶ μυρρίνην ὑπὲρ τῆς πυγῆς· ποτέρα κρείττω καὶ ἁπαλωτέραν ἐπιδείξει· καὶ πρώτη μυρρίνη τὸ ζώνιον λύσασα, βόμβυξ δ᾽ ἦν τὸ χιτώνιον δι᾽ αὐτοῦ τρέμουσαν οἷόν τι μελίπηκτον γάλα τὴν ὀσφῦν ἀνεσάλευσεν ὑποβλέπουσα εἰς τοὐπίσω πρὸς τὰ κινήματα τῆς πυγῆς. ἠρέμα δ᾽ οἷον ἐνεργοῦσά τι ἐρωτικὸν ὑπεστέναξεν· ὥστε ἐμὲ νὴ τὴν ἀφροδίτην καταπλαγῆναι. οὐ μὴν ἀπεῖπέ γε ἡ θρυαλλίς, ἀλλὰ τῇ ἀκολασίᾳ παρευδοκίμησεν αὐτήν. οὐ γὰρ διὰ παραπετασμάτων ἐγώ φησιν ἀγωνίσομαι· οὐδὲ ἀκκιζομένη, ἀλλ᾽ οἷον ἐν γυμνικῷ· καὶ γὰρ οὐ φιλεῖ προφάσεις ἀγών. ἀπεδύσατο τὸ χιτώνιον· καὶ μικρὸν ὑποσιμώσασα τὴν ὀσφῦν, ἰδοὺ σκόπει τὸ χρῶμα φησὶν ὡς ἀκριβὲς μυρρίνη· ὡς ἀκήρατον· ὡς καθαρόν. τὰ πορφυρᾶ τῶν ἰσχίων ταυτί· τὴν ἐπὶ τοὺς μηροὺς ἔγκλισιν· τὸ μήτε ὑπέρογκον αὐτῶν μήτε ἄσαρκον· τοὺς γελασίνους ἐπ᾽ ἄκρων· ἀλλ᾽ οὐ τρέμει νὴ δία· ἀλλ᾽ ὑπομειδιῶσα ὥσπερ ἡ μυρρίνη· καὶ τοσοῦτον παλμὸν ἐξειργάσατο τῆς πυγῆς καὶ ἅπασαν αὐτὴν ὑπὲρ τὴν ὀσφῦν τῇ δὲ καὶ τῇ δὲ ὥσπερ ῥέουσαν περιεδίνησεν, ὥστε ἀνακροτῆσαι πάσας, καὶ νίκην ἀποφήνασθαι τῆς θρυαλλίδος. ἐγίνοντο δὲ καὶ περὶ ἄλλων συγκρίσεις καὶ περὶ μαστείων ἀγῶνες. τῆς μὲν γὰρ φιλουμένης γαστρὶ ἀντεξετασθῆναι οὐδεμία ἐθάρσησεν· ἄτοκος γὰρ ἦν καὶ σφριγῶσα. καταπαννυχίσασαι γοῦν καὶ τοὺς ἐραστὰς κακῶς

εὐποροῦσαι καὶ ἄλλων ἐπιτυχεῖν δεξάμεναι, ἀεὶ γὰρ ἡδίων ἡ πρόσφα-
τος ἀφροδίτη, ᾠχόμεθα ἔξοινοι. πολλὰ δὲ κατὰ τὴν ὁδὸν κραιπα-
λήσασαι, ἐπεκωμάσαμεν δεξιμάχῳ κατὰ τὸν χρυσοῦν στενωπόν.
ὡς ἐπὶ τὴν ἄστυον κατιοῦσι πλησίον τῆς μενέφρονος οἰκίας. ἐ-
ρᾷ γὰρ αὐτοῦ θαῒς κακῶς. καὶ νὴ δία εἰκότως. ἔναγχος γὰρ
πλουσίου κεκληρονόμηκε πατέρα τὸ μειράκιον. νῦν μὲν οὖν συγγνώ-
μην ἔχομέν σοι τῆς ὑπεροψίας. τοῖς ἀλώοις δὲ ἐν κολλυτῷ ἑστιώ-
μεθα παρὰ τῷ θετάλης ἐραστῇ. τὸν γὰρ τῆς ἀφροδίτης ἐρώμε-
νον, ἡ θετάλη στέλλει. ὅπως δ᾽ ἥξεις φέρουσα κήπιον καὶ κοράλλιον
καὶ τὸν ἄδωνιν ὃν νῦν περιψύχεις. μετὰ γὰρ τῶν ἐραστῶν κραιπα-
λήσομεν.

Ἔρρωσο.

Φιλουμένη κρίτωνι.

τ Ι πολλὰ γράφων ἀνιᾶς σεαυτόν. πεντήκοντά σοι χρυσῶν
δεῖ καὶ γραμμάτων οὐδέν. εἰ μὲν οὖν φιλεῖς, δός. εἰ δὲ φι-
λαργυρεῖς, μὴ ἐνόχλει.

Ἔρρωσο.

ΑΡΧΗ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΜΗΜΑΤΟΣ.

Λάμια Δημητρίῳ.

Υ ταύτης τῆς παρρησίας αἴτιος ὢν βασιλεὺς, ἐῶν τε ἐπι-
σ τρέψας καὶ ἑταίρᾳ γράφειν σοι. καὶ οὐχ ἡγησάμενος
δεινὸν ἐντυγχάνειν τοῖς ἐμοῖς γράμμασιν ὅλῃ μοι
ἐντυγχάνων. ἐγὼ δέσποτα δημήτριε ὅταν μὲν ἔξωθεν θεά-

σωμαι

σωμαι καὶ ἀκούσω μετὰ τῶν δορυφόρων καὶ τῶν στρατοπέ-
δων καὶ τῶν πρέσβεων καὶ τῶν διαδημάτων, νὴ τὴν ἀφροδί-
την πέφρικα καὶ δέδοικα καὶ ταράττομαι καὶ ἀποστρέφομαι ὡς
τὸν ἥλιον μὴ ἐπικαῶ τὰ ὄμματα. καὶ τότε μοι ὄντως ὁ πολιορκη
τὴς εἶναι δοκεῖς δημήτριος. οἷον δὲ καὶ βλέπεις τότε ὡς μικρὸν καὶ
πολεμικὸν καὶ ἀπιστῶ ἐμαυτῇ καὶ λέγω. λάμια. σὺ μετὰ τούτου κα
θεύδεις; σὺ διὰ νυκτὸς ὅλης αὐτὸν καταυλεῖς; σοὶ νῦν οὗτος ἐπέσταλ
κε; σοὶ γναθαίναν τὴν ἑταίραν συγκρίνει. καὶ ἠλογημένη σιωπῶ καὶ
εὐχομένη θεάσασθαι παρ' ἑαυτῇ. καὶ ὅταν ἔλθῃς προσκυνῶ σε.
καὶ ὅταν περιπλακεὶς μέγα φιλῇς, πάλιν πρὸς ἐμαυτὴν τἀναν
τία λέγω. οὗτός ἐστιν ὁ πολιορκητής; οὗτός ἐστιν ὁ ἐν τοῖς στρατοπέδοις;
τοῦτον φοβεῖται μακεδονία; τοῦτον ἡ ἑλλάς; τοῦτον ἡ θρᾴκη; νὴ τὴν
ἀφροδίτην σήμερον αὐτὸν τοῖς αὐλοῖς ἐκπολιορκήσω, καὶ ὄψομαι
τί με διαθήσει. μένου εἰς τρίτην. παρ' ἐμοὶ γὰρ δειπνήσεις δέομαι.
τὰ ἀφροδίσια ποιῶ ταῦτα κατ' ἔτος. καὶ ἀγῶνα ἔχω εἰ τὰ πρότερα
τοῖς ὑστέροις νικᾷ. ὑποδέξομαι δή σε ἐπαφροδίτως καὶ ὡς ἔνι μά
λιστα πιθανῶς, ἄν μοι περιουσιῶσαι γένηται ὑπὸ σοῦ, μηδὲν ἀνά
ξιον τῶν σῶν ἀγαθῶν ἀπ' ἐκείνης τῆς ἱερᾶς νυκτὸς ἔτι πεποίηκα
καίτοι σοῦ τε ἐπιτρέποντος ὅπως ἂν βούλωμαι χρῆσθαι τῷ ἐμῷ
σώματι. ἀλλὰ κέχρημαι καλῶς καὶ ἀμίκτως πρὸς ἑτέρους. οὐ
ποιήσω τὸ ἑταιρικόν. οὐδὲ ψεύσομαι δέσποτα ὡς ἄλλαι ποιοῦσιν.
ἐμοὶ γὰρ ἀπ' ἐκείνου μὰ τὴν ἄρτεμιν οὐδὲ προσέβλεψαν ἔτι πολλοί.
οὐδ' ἐπείρασαν αἰδούμενοί σου τὰς πολιορκίας. ὀξύς ἐστιν ἔρως
ὦ βασιλεῦ καὶ ἐλθεῖν καὶ ἀναπτῆναι. ἐλπίσας πέτεται. καὶ ἀπελπίσας

ταχὺ τῇ φορᾷ ῥυεῖν ἔωθεν ἀπαυνωθείς· διὸ καὶ μέγα τῶν ἑταιρουσῶν ἐστι σόφισμα ἀεὶ τὸ πικρὸν τῆς ἀπολαύσεως ὑπερτιθεμένας ταῖς ἐλπίσι διακρατεῖν τοὺς ἐραστάς· πρὸς ὑμᾶς δὲ οὐδὲ ὑπερτίθεσθαι ἔξεστιν. ὥστε φόβον εἶναι κόρου. λοιπὸν ἡμᾶς δεῖ τὰ μὲν, ποιεῖν. τὰ δὲ, μαλακίζεσθαι. τὰ δὲ, δειπνοποιεῖν. τὰ δὲ, κοσμεῖν σοι τὸν οἶκον. τὰς δὲ, ὁπωσοῦν ἄλλως ταχὺ μαραινομένας μεσολαβούσας χρήσεις, ἵνα μᾶλλον ἐξάπτωνται τοῖς διαστήμασιν εὐαλούστεραι αὐτῶν αἱ ψυχαὶ φοβουμένων μὴ ἄλλο πάλιν γένηται τῆς ἐν τῷ παρόντι τύχης κώλυμα. ταῦτα δὲ πρὸς μὲν ἑταίρους τάχα ἂν ἐδυνάμην βασιλεῦ φυλάττεσθαι καὶ τεχνιτεύειν· πρὸς δὲ σὲ ὃς οὕτως ἤδη ἔχεις ἐπ᾽ ἐμοὶ ὡς ἐπιδεικνύναι με καὶ ἀγάλλεσθαι πρὸς τὰς ἄλλας ἑταίρας, ὅτι πασῶν ἐγὼ πρωτεύω, μὰ τὰς φίλας μούσας οὐκ ἂν ὑπομείναιμι πλάττεσθαι. οὐχ οὕτως εἰμὶ λιθίνη. ὥστε ἀφεῖσα πάντα καὶ τὴν ψυχὴν ἐμαυτῆς εἰς ἀρέσκειαν, ὀλίγου ἡγήσομαι δαπανῆσαι. εὖ οἶδα γὰρ ὅτι οὐ μόνον ἐν τῇ θηριπίδου οἰκίᾳ. ἐν ᾗ μέλλω σοι τὸ τῶν ἀφροδισίων εὐτρεπίζειν δεῖπνον, ἔσται διαβόητος ἡ παρασκευή, ἀλλὰ καὶ ἐν ὅλῃ τῇ ἀθηναίων πόλει νὴ τὴν ἄρτεμιν καὶ ἐν τῇ ἑλλάδι. μάλιστα οἱ μισητοὶ λακεδαιμόνιοι, ἵνα δοκῶσιν ἄνδρες εἶναι οἱ ἐν ἐφέσῳ ἀλώπεκες, οὐ παύσονται τοῖς ταϋγέτοις ὄρεσι καὶ ταῖς ἐρημίαις ἑαυτῶν, διαβάλλοντες ἡμῶν τὰ δεῖπνα. καταλυκουργίζοντες τῆς σῆς ἀνθρωποπαθείας. ἀλλ᾽ αὐτοὶ μὲν χαιρόντων δέσποτα. σὺ δὲ ἐμοὶ μέμνησο φυλάξαι τὴν ἡμέραν τοῦ δείπνου καὶ τὴν ὥραν ἣν ἂν ἕλῃ. ἀρίστη γὰρ ἣν κούλει.

Ἔρρωσο.

Λεόντιος Λαμία.

ὀ

Υδὲν δυσαρεστότερον ὡς ἔοικεν ἐστὶ πάλιν μειρακευομένου πρεσβύτου. οἷά με ἐπίκουρος οὗτος διοικεῖ πάντα λοιδορῶν. πάντα ὑποπτεύων. ἐπιστολὰς ἀδιαλύτους μοι γράφων. ἐκδιώκων ἐκ τοῦ κήπου. μὰ τὴν ἀφροδίτην εἰ ἄδωνις ἦν ἤδη ἐγγὺς ὀγδοήκοντα γεγονὼς ἔτη, οὐκ ἂν αὐτοῦ ἠνεσχόμην φθειριῶντος καὶ φιλονοσοῦντος καὶ καταπεπιλημένου εὖ μάλα πόκοις ἀντὶ πίλων. μέχρι τίνος ὑπομενεῖ τις τὸν φιλόσοφον τοῦτον. ἐχέτω τὰς περὶ φύσεως αὐτοῦ κυρίας δόξας. καὶ τοὺς διεστραμμένους κανόνας. ἐμὲ δὲ ἐφέτω τὴν μουσικῶς κυρίαν ἐμαυτῆς ἀστομάχητον καὶ ἀνύβριστον. ὄντως ἐπιπολιορκεῖ τὴν ἔχω τοιοῦτον, οὐχ οἷον σὺ λάμια δημήτριον. μὴ γὰρ ἐστὶ σωφρονίσαι διὰ τὸν ἄνθρωπον τοῦτον. καὶ σωκρατίζειν καὶ στωμύλλεσθαι θέλει καὶ εἰρωνεύεσθαι. καὶ ἀλκιβιάδην τινὰ ἢ πυθοκλέα νομίζει καὶ ξανθίππην ἐμὲ οἴεται ποιήσειν. καὶ πέρας, ἀναστᾶσα ὁποιποτε γῆν πρὸ γῆς φεύξομαι μᾶλλον, ἢ τὰς ἐπιστολὰς αὐτοῦ τὰς διαστάσεις ἀνέξομαι. ὃ δὲ πάντων δεινότατον ἤδη καὶ ἀφορητότατον ἐτόλμησεν, ὑπὲρ οὗ καὶ γνώμην βουλομένη λαβεῖν, τί μοι ποιητέον, ἐπέσταλκά σοι. τίμαρχον τὸν καλὸν οἶσθα τὸν κηφισιάθεν. οὐκ ἀρνοῦμαι πρὸς τὸν νεανίσκον οὐκ οἰκείως ἔχειν ἐκ πολλοῦ. πρὸς σὲ μοι τἀληθῆ λέγειν εἰκὸς λάμια. καὶ τὴν πρώτην ἀφροδίτην ἔμαθον παρ' αὐτοῦ χαρίεν. οὗτος γάρ με διεπαρθένευσεν ἐκ γειτόνων οἰκοῦσαν. ἐξ ἐκείνου τοῦ χρόνου πάντα μοι τἀγαθὰ πέμπων οὐ διαλέλοιπεν. ἐσθῆτα. χρυσία. θεραπαίνας. θεράποντας ἰνδοὺς. ἰνδάς. τὰ ἄλλα σιωπῶ. ἀλ

λὰ τὰ μικρότατα προσλαμβάνειν τὰς ὥρας ἵνα μηδεὶς φθάσῃ με ἐνδυσάμενος. τοιοῦτον νῦν ἐραστὴν ἀπόκλεισόν φησι καὶ μὴ προσίτωσαν, ποίοις δοκεῖς, αὐτὸν ἀποκαλῶν ὀνόμασιν, οὔτε ὡς ἀττικὸς οὔτε ὡς φιλόσοφος ἐκ καππαδοκίας πρῶτος τὴν ἑλλάδα ἥκων. ἐγὼ δὲ εἰ καὶ ὅλη γένοιτο ἡ ἀθηναίων πόλις ἐπικούρων, μὰ τὴν ἄρτεμιν ἐξιζυγοστατήσω πάντας αὐτοὺς πρὸς τὸν τιμάρχου βραχίονα· μᾶλλον δὲ οὐδὲ πρὸς τὸν δάκτυλον. τί σοι λέγω λάμια; οὐκ ἀληθῆ ταῦτα; οὐ δίκαια φημί; καὶ μὴ δή, δέομαί σου πρὸς τῆς ἀφροδίτης, μή σοι ταῦτα ὑπελθέτω. ἀλλὰ φιλόσοφος ἀλλ' ἐπιφανής. ἀλλὰ πολλοῖς φίλοις κέχρηται; λαβέτω ὅσα ἔχω. διδασκέτω δὲ ἄλλους. ἐμὲ δὲ οὐδὲν θάλπει τί δόξα. ἀλλ' ὃν θέλω δὸς τίμαρχον δάματερ. ἀλλὰ καὶ δι' ἐμὲ πάντα ἠνάγκασται ὁ νεανίσκος καταλιπὼν τὸ λύκειον καὶ τὴν ἑαυτοῦ νεότητα καὶ τοὺς συνεφήβους καὶ τὴν ἑταιρείαν, μετ' αὐτοῦ ζῆν καὶ κολακεύειν αὐτὸν καὶ καθυμνεῖν τὰς ὑπηνέμους αὐτοῦ δόξας. ὁ δ' ἀτρεὺς οὗτος ἔξελθε φησὶν ἐκ τῆς ἐμῆς μοναρχίας καὶ μὴ πρόσιθι λεοντίῳ, ὡς οὐ δικαιότερον ἐκείνου ἐρῶντος, σὺ μὲν οὖν μὴ πρόσιθι τῇ ἐμῇ. ὁ μὲν, νεανίσκος ὢν, ἀνέχεται τὸν ἕτερον ἀντεραστὴν γέροντα· ὁ δέ, τὸν δικαιότερον οὐχ ὑπομένει. τί ποιήσω πρὸς τῶν θεῶν ἱκετεύω σε λάμια. νὴ τὰ μυστήρια. νὴ τὴν τούτων τῶν κακῶν ἀπαλλαγὴν ὡς ἐνθυμηθεῖσα τὸν τιμάρχου τὸν χωρισμόν, ἄρτι ἀπέψυγμαι καὶ ἱδρῶ. καὶ τὰ ἄκρα καὶ ἡ καρδία μου ἀνέστραπται. δέομαί σου δέξαι με πρὸς σεαυτὴν ἡμέρας ὀλίγας. καὶ ποιήσω τοῦτον αἰσθάνεσθαι πηλίκων ἀπήλαυεν ἀγαθῶν, ἔχων ἐν τῇ οἰκίᾳ με. οὐκ ἐπιφέρει τὸν κόρον οὗ οἶδα. πρεσβεύτας ἐν-

θὺς πρὸς ἡμᾶς διαπέμψεται Μητρόδωρον ἢ Ἕρμαρχον ἢ Πολύαι-
νον. πολλάκις οἷς με Λάμια πρὸς αὐτὸν ἰδίᾳ παραγγελομένην εἰ-
πεῖν. τί ποιεῖς Ἐπίκουρε. οὐκ οἶσθα ὅτι διακωμῳδεῖ σε Τιμοκρά-
της ὁ Μητροδώρου ἐπὶ τούτοις ἐν ταῖς ἐκκλησίαις ἐν τοῖς θεά-
τροις παρὰ τοῖς ἄλλοις σοφισταῖς; ἀλλὰ τί ἐστιν αὐτῷ ποιῆσαι; ἀ-
ναίσχυντός ἐστι τὸ ἐρᾶν· καὶ ἐγὼ ἔσομαι τοίνυν ὁμοίως αὐτῷ ἀναί-
σχυντος, καὶ οὐκ ἀφήσω τὸν ἐμὸν Τίμαρχον.

Ἔρρωσο.

Μένανδρος Γλυκέρᾳ.

Γὼ μὰ τὰς ἐλευσινίας θεάς, μὰ τὰ μυστήρια αὐτῶν ἅ
ε σοι καὶ ἐναντίον ἐκείνων ὤμοσα πολλάκις Γλυκέρα
μόνος μόνῃ, ὡς οὐδὲν ἐπαίρω τὰ ἐμά. οὐδὲ βουλόμε-
νος σοι χωρίζεσθαι, ταῦτα καὶ λέγω καὶ γράφω. τί γὰρ ἐμοὶ χω-
ρίς σου γένοιτ' ἂν ἥδιον. τί δὲ ἐπαρθῆναι μεῖζον τῆς σῆς φιλίας
δυναίμην. εἰ καὶ τὸ ἔσχατον ἡμῶν γῆρας διὰ τοὺς σοὺς τρόπους καὶ
ἤθη, νεότης ἀεὶ φανεῖταί μοι. καὶ συννεάσαιμεν ἀλλήλοις καὶ συγγη-
ράσαιμεν καὶ νὴ τοὺς θεοὺς συναποθάνοιμεν. ἵνα μηδετέρῳ ἡμῶν ἐν
ᾅδου συγκαταβαίη τις ζῆλος. ἢ τινῶν ἄλλων ὁσωθεὶς πειράσεται ἀ-
γαθῶν. μὴ δὲ γένοιτό μοι πειραθῆναι σοῦ μὴ ἐχούσης. τί γὰρ ἂν
ἔτι καταλείποιτο ἀγαθόν. ἃ δὲ νῦν ἤπειξέ με ἐν Πειραιεῖ μαλα-
κιζόμενον, οἶσθα γάρ μου τὰς συνήθεις ἀσθενείας ἃς οἱ μὴ φιλοῦν-
τες μετροφὰς καὶ σαλακωνίας καλεῖν εἰώθασιν, ἐπιστεῖλαί σοι ἐν
ἄστει μενούσῃ διὰ τὰ ἁλῶα τῆς θεοῦ, τοῦτ' ἐστιν. ἐδεξάμην ἀ-
πὸ Πτολεμαίου τοῦ βασιλέως αἰγύπτου γράμματα. ἐν οἷς δεῖ-
ταί μου πάσας δεήσεις, καὶ προτρέπεται βασιλικῶς ὑπισχνούμενος τὸ δὴ λεγό-

μένου τοῦτο τὰ τῆς γῆς ἀγαθὰ ἐμὲ καὶ φιλήμονα. καὶ γὰρ ἐκείνῳ
γράμματα κεκομίσθαι φασί. καὶ αὐτὸς δὲ ὁ φιλήμων ἐπέστει-
λέ μοι τὰ ἴδια δηλῶν ἐλαφρότερα δ' ὡς οὐ μενάνδρῳ γεγραμ-
μένα ἧττον λαμπρά. ἀλλ' ὄψεται καὶ βουλεύσεται τὰ ἴδια οὗτος.
ἐγὼ δὲ οὐ περιμενῶ βουλάς. ἀλλὰ σύ μοι γλυκέρα καὶ γνώμη καὶ ἀ-
ρεοπαγῖτις βουλὴ καὶ ἡλιαία, ἅπαντα νὴ τὴν ἀθηνᾶν ἀεὶ γέγο-
νας, καὶ νῦν ἔσῃ. τὰς μὲν οὖν ἐπιστολὰς τοῦ βασιλέως σοι διέπεμ-
ψα μὲν. ἵνα μὴ κόπτω σε δὶς καὶ τοῖς ἐμοῖς καὶ τοῖς ἐκείνου γράμ-
μασιν ἐντυγχάνουσαν. ἃ δὲ ἐπιστέλλειν αὐτῷ ἔγνων, καὶ βούλο-
μαί σε εἰδέναι. πλεῖν μὲν, καὶ εἰς αἴγυπτον ἀπιέναι μακρὰν οὕτω
καὶ ἀπῳκισμένην βασιλείαν οὖσαν, μὰ τοὺς δώδεκα θεοὺς οὐδὲ
ἐνθυμοῦμαι. ἀλλ' οὐδ' εἰ ἐν αἰγίνῃ ταύτῃ τῇ πλησίον ἔκειτο αἴγυ-
πτος, οὐδ' οὕτως ἔνυψα ἂν ἔχειν ἀφεὶς τὴν ἐμὴν βασιλείαν τῆς σῆς φι-
λίας, μόνος ἐν τοσούτῳ ὄχλῳ αἰγυπτίων χωρὶς γλυκέρας ἐρημίαν
πολυάνθρωπον ὁρᾶν. ἥδιον γὰρ καὶ ἀκινδυνότερον τὰς σὰς θεραπεύω μᾶλ-
λον ἀγκάλας, ἢ τὰς ἁπάντων τῶν σατραπῶν καὶ βασιλέων. ἐπι-
κίνδυνον μὲν γὰρ τὸ ἀνελεύθερον. δυσκαταφρόνητον δὲ τὸ κολακευόμενον,
ἄπιστον δὲ τὸ εὐτυχούμενον. ἐγὼ δὲ καὶ τὰς ἡρακλείους καὶ τὰ
καρχήσια καὶ τὰς χρυσίδας καὶ πάντα τὰ ἐν ταῖς αὐλαῖς ἐπίφθονα
παρὰ τούτοις ἀγαθὰ φυόμενα, τῶν κατ' ἔτος χοῶν καὶ τῶν ἐν τοῖς θεάτροις
ληναίων καὶ τῆς χθιζῆς ὁμολογίας καὶ τῶν τοῦ λυκείου γυμνασίων, καὶ
τῆς ἱερᾶς ἀκαδημίας, οὐκ ἀλλάττομαι μὰ τὸν διόνυσον καὶ τοὺς
βακχικοὺς αὐτοῦ κισσοὺς, οἷς στεφανωθῆναι μᾶλλον ἢ τοῖς πτολε-
μαίου βούλομαι διαδήμασιν, ὁρώσης καὶ καθημένης ἐν τῷ θεάτρῳ

γλυκέρας

γλυκέρας. ποῦ γὰρ ἐν αἰγύπτῳ ὄψομαι ἐκκλησίαν καὶ ψῆφον ἀναδιδομένην. ποῦ δὲ δημοκρατικὸν ὄχλον οὕτως ἐλευθεριάζοντα. ποῦ δὲ θεσμοθέτας ἐν ταῖς ἱεραῖς κώμαις κεκισσωμένους. ποῖον περισχοίνισμα. ποίαν αἵρεσιν. ποίους χύτρους. κεραμικόν. ἀγοράν. δικαστήρια. τὴν στεφανοῦσαν σαλαμῖνα. τὴν ψυτταλίαν. τὴν μαραθῶνα ὅλην. ἐν ταῖς ἀθήναις τὴν ἑλλάδα ὅλην. τὴν ἰωνίαν. τὰς κυκλάδας πάσας. ἀφεὶς ταῦτα καὶ γλυκέραν μετ' αὐτῶν εἰς αἴγυπτον διέλθω; χρυσὸν λαβεῖν καὶ ἄργυρον καὶ πλοῦτον; ᾧ μετὰ τίνος χρήσομαι; μετὰ γλυκέρας τοσοῦτον διαπεθαλασσευμένης. οὐ πενία δέ μοι ἔσται χωρὶς αὐτῆς ταῦτα; ἐὰν δὲ ἀκούσω τοὺς σεμνοὺς ἔρωτας εἰς ἄλλον αὐτὴν μετατεθεικέναι, οὐ σποδός μοι πάντες οἱ θησαυροὶ γενήσονται καὶ ἀποθνήσκων τὰς μὲν λύπας ἐμαυτῷ συναποίσω, τὰ δὲ χρήματα τοῖς ἰσχύουσιν ἀδικεῖν ἐν μέσῳ κείσεται; ἢ μέγα τὸ συμβιοῦν πτολεμαίῳ καὶ σατράπαις καὶ τοιούτοις ψόφοις. ὧν οὔτε τὸ φιλικὸν βέβαιον, οὔτε τὸ διεχθρεῦον ἀκίνδυνον. ἐὰν δὲ ὀργισθῇ τί μοι γλυκέρα, ἅπαξ αὐτὴν ἁρπάξας κατεφίλησα. ἂν ἐπιοργίζηται, μᾶλλον αὐτὴν ἐβιασάμην. κἂν βαρυθύμως ἔχῃ, δεδάκρυκα. πρὸς ταῦθ' οὐκέτ' ἐθυμήνασα τὰς ἐμὰς λύπας δεῖται λοιπὸν οὔτε στρατιώτας ἔχουσα οὔτε δορυφόρους οὔτε φύλακας. ἐγὼ γὰρ αὐτῆς εἰμὶ πάντα. ἢ μέγα καὶ θαυμαστὸν ἰδεῖν τὸν καλὸν νεῖλον. οὐ μέγα δὲ καὶ τὸν εὐφράτην ἰδεῖν; οὐ μέγα καὶ τὸν ἴστρον οὕτω μεγάλον. καὶ ὁ θερμώδων. ὁ τίγρης. ὁ ἅλυς. ὁ ῥῆνος. εἰ μέλλω πάντας τοὺς ποταμοὺς ὁρᾶν, καταβαπτισθήσεταί μοι τὸ ζῆν, μὴ βλέπων γλυκέραν. ὁ δὲ νεῖλος οὗτος καίπερ ὢν καλός, ἀλλ' ἀποτεθηρίωται. καὶ οὐκ ἔστιν οὔτε προσελ

θεῶν αὐτοῦ ταῖς δίναις ἐλλογωμένου τοσούτοις κακοῖς. ἐμοὶ γένοιτο βασιλεῦ πτολεμαῖε τὸν ἀττικὸν αἰεὶ στέφεσθαι κισσόν. ἐμοὶ γένοιτο χώματος καὶ τάφου πατρῴου τυχεῖν, καὶ τὸν ἐπ' ἐσχάρας ὑμνῆσαι κατ' ἔτος διόνυσον. τὰς μυστηριώτιδας ἄγειν τελετάς. δραματουργεῖν τι καινὸν ταῖς ἐτησίοις θυμέλαις δρᾶμα γελῶντα ἢ χαίροντα καὶ ἀγωνιῶντα καὶ φοβούμενον καὶ νικῶντα. Φιλήμων δὲ οὕτω χαιρέτω καὶ τὰ ἐμὰ ἀγαθὰ, γινόμενος ἐν αἰγύπτῳ. οὐκ ἔχει φιλήμων γλυκέραν τινά. οὐδὲ ἄξιος ἦν ἴσως τοῦ τοιούτου ἀγαθοῦ. σὺ δὲ ἐκ τῶν ἁλώων δέομαι γλυκέριον εὐθὺς πετομένη πρὸς ἡμᾶς ἐπὶ τῆς ἀστράβης φέρου. μακροτέραν ἑορτὴν οὐδέποτε ἔγνων. οὐδὲ ἀκαιροτέραν. δήμητερ ἵλεως γενοῦ.

Γλυκέρα Μενάνδρῳ.

ὡ Σ διεπέμψω μοι τοῦ βασιλέως τὰς ἐπιστολὰς, εὐθὺς ἀνέγνων. μὰ τὴν καλλιγένειαν ἐν ᾗ νῦν εἰμι κατέχαιρον μένανδρε ἐκπαθὴς ὑπὸ ἡδονῆς γινομένη. καὶ τὰς παρούσας οὐκ ἐλάνθανον. ἦν δὲ ἥ τε μήτηρ μου καὶ ἡ ἑτέρα ἀδελφὴ εὐφίειον, καὶ τῶν φίλων ἣν οἶσθα καὶ παρὰ σοὶ ἐδείπνησε πολλάκις καὶ ἐπῄνεσας αὐτῆς τὸν ἐπιχώριον ἀττικισμόν. ἀλλ' ὡς φοβούμενος αὐτὴν ἐπαινεῖν, ὅτε καὶ μειδιάσασα θερμότερόν σε κατεφίλησα. οὐ μέμνησαι Μένανδρε; θεασάμεναι δέ με παρὰ τὸ εἰωθὸς ἐν τῷ προσώπῳ καὶ τοῖς ὀφθαλμοῖς χαίρουσαν, ὦ γλυκέριον ἤροντο. τί σοι τηλικοῦτον γέγονεν ἀγαθόν. ὅτι καὶ ψυχῇ καὶ σώματι καὶ πᾶσιν ἀλλοιοτέρα νῦν ἡμῖν πέφηνας. καὶ τὸ σῶμα γεγάνωσαι καὶ διαλάμπεις ἐπιχαρτόν τι καὶ εὔκταιον. κἀγὼ μέ-

νανδρον

νανδρον ἔφην τὸν ἐμὸν ὁ αἰγύπτου βασιλεὺς πτολεμαῖος ἐπὶ τῇ ἡμίσει τῆς βασιλείας τρόπον τινὰ μεταπέμπεται, μείζονι τῇ φωνῇ φθεγξαμένη καὶ σφοδροτέρᾳ, ὅπως πᾶσαι ἀκούσωσιν αἱ παροῦσαι. καὶ ταῦτα ἔλεγον ἐγὼ διατινάσσουσα καὶ σοβοῦσα ταῖς χερσὶν ἐμαυτῆς τὴν ἐπιστολὴν σὺν τῇ βασιλικῇ σφραγῖδι. χαίροις οὖν ἀπολελειμμένη ἔφρασας τοῦτο, οὐκ ἦν μένανδρε. ἀλλὰ τοῦτο μὲν οὐδενὶ τρόπῳ μὰ τὰς θεὰς οὐδ' εἰ βοῦς μοι τὸ λεγόμενον φθέγξαιτο, πεισθείην ἄν, ὅτι βουλήσεταί με ποτὲ ἢ δυνήσεται μένανδρος ἀπολιπὼν ἐν ἀθήναις γλυκέραν τὴν ἑαυτοῦ, μόνος ἐν αἰγύπτῳ βασιλεύειν μετὰ πάντων τῶν ἀγαθῶν. ἀλλὰ καὶ τοῦτό γε δῆλος ἐκ τῶν ἐπιστολῶν ὧν ἀνέγνων, δῆλος ἦν ὁ βασιλεὺς τὰ μάλα πεπυσμένος ὡς ἔοικε περὶ σοῦ καὶ ἀτρέμα δι' ὑπονοιῶν αἰγυπτίοις θέλων ἀττικισμοῖς σε διατωθάζειν. χαίρω διὰ τοῦτο. ὅτι πεπλεύκασι καὶ εἰς αἴγυπτον πρὸς αὐτὸν οἱ ἡμέτεροι ἔρωτες, καὶ πείθεται πάντως δὲ ὧν ἤκουσεν ἀδύνατα σπουδάζειν, ἐπιθυμῶν ἀθήνας πρὸς αὐτὸν διαβῆναι. τί γὰρ ἀθῆναι χωρὶς μενάνδρου. τί δὲ μένανδρος χωρὶς γλυκέρας ἥτις αὐτῷ καὶ τὰ προσωπεῖα διασκευάζω καὶ τὰς ἐσθῆτας ἐνδύω καὶ τοῖς προσκηνίοις ἕστηκα, τοὺς δακτύλους ἐμαυτῆς πιέζουσα ἕως ἂν κροταλίσῃ τὸ θέατρον. καὶ τρέμουσα τότε νὴ τὴν ἄρτεμιν ἀναψύχω καὶ περιβάλλουσά σε τὴν ἱερὰν τῶν δραμάτων ἐκείνην κεφαλὴν ἐναγκαλίζομαι. ἀλλ' ὅτι ταῖς φίλαις τότε χαίρειν ἔφην, τοῦτ' ἦν μένανδρε ὅτι οὐκ ἄρα γλυκέρα μόνον, ἀλλὰ καὶ βασιλεῖς ὑπερθάλασσοι ἐρῶσί σου. καὶ διαπόντιοι φῆμαι τὰς σὰς ἀρετὰς καταγγέλκασι. αἴγυπτος καὶ νεῖλος καὶ

(πρωτέως

τὰ ἀκρωτήρια τὰ καὶ φαίνει σκοπιὰς πάντα μετέωρα νῦν ὅσι, βου
λόμενα ἰδεῖν μένανδρον καὶ ἀκοῦσαι φιλαργύρων καὶ ἐρώντων καὶ
δεισιδαιμόνων καὶ ἀπίστων καὶ πατέρων καὶ υἱῶν καὶ θεραπόντων, καὶ
παντὸς ἐνσκηνοβατουμένου ὧν ἀκούσονται μέν, οὐκ ὄψονται δὲ μέ
νανδρον εἰ μὴ ἐν ἄστει παρὰ γλυκέρᾳ γένοιντο. καὶ τὴν ἐμὴν εὐδαι-
μονίαν ἴδοιεν τὸν πάντη διὰ τὸ κλέος αὐτοῦ μένανδρον καὶ νύ-
κτωρ καὶ μεθ' ἡμέραν ἐμοὶ περικείμενον. οὐ μὴν ἀλλ' εἴγε ἄρα πό-
θος αἱρεῖ σέ τις τῶν ἐκεῖ ἀγαθῶν, καὶ εἰ μηδενὸς ἄλλου τῆς γε αἰ-
γύπτου, χρήματος μεγάλου καὶ τῶν αὐτόθι πυραμίδων καὶ τῶν
περιηχούντων ἀγαλμάτων καὶ τοῦ περιβοήτου λαβυρίνθου
καὶ τῶν ἄλλων ὅσα ἀπὸ χρόνου ἢ τέχνης παρ' αὐτοῖς τίμια, δέομαί σου
μένανδρε μὴ ποιήσῃ με πρόφασιν. μὴ δέ με ἀθηναῖοι διὰ ταῦτα μι
σησάτωσαν ἤδη τοὺς μεδίμνους ἀριθμοῦντες οὓς ὁ βασιλεὺς αὐ-
τοῖς πέμψει διὰ σέ. ἀλλ' ἄπιθι πᾶσι θεοῖς. ἀγαθῇ τύχῃ δεξιοῖς πνεύ
μασι διὶ οὐρίῳ. ἐγὼ γάρ σε οὐκ ἀπολείψω. μὴ τοῦτο δόξῃς με λέ
γειν, οὐδ' αὐτὴ δύναμαι κἂν θέλω. ἀλλὰ παρεῖσα τὴν μητέρα καὶ
τὰς ἀδελφὰς αὐτῆς ἔσομαι συμπλέουσά σοι καὶ σφόδρα τῶν εὐθα
λάσσων γεγένημαι εὖ οἶδα. καὶ ἐκκλωμένης κώπης ναυτίας ἐγὼ
θεραπεύσω. θάλψω σου τὸ ἀσθενοῦν τῶν πλαγκτῶν. ἄξω δέ σε ἄ-
τερ μύθων ἀριάδνης εἰς αἴγυπτον οὐ διόνυσον ἀλλὰ διονύσου θερά
ποντα καὶ προφήτην. οὐδὲ ἐν νάξῳ καὶ ἐρημίαις ναυτικαῖς ἀπολει
φθήσομαι τὰς σὰς ἀπιστίας κλαίουσα καὶ ποτνιωμένη. χαιρέτω-
σαν οἱ θησεῖς ἐκεῖνοι καὶ τὰ ἀμαθῆ τῶν πρεσβυτέρων ἀμπλακή
ματα. ἡμῖν δὲ βέβαια πάντα καὶ τὸ ἄστυ. καὶ ὁ πειραιεύς. καὶ ἡ αἴ-
γυπτος. οὐδὲν χωρίον ἡμῶν τοὺς ἔρωτας οὐχὶ δέξεται πλήρεις κἂν
πέτραν οἰκῶμεν, εὖ οἶδα ἀφροδίσιον αὐτὴν τὸ εὔνουν ποιήσει. πέ

πεισμαι

πείσομαι μήτε χρημάτων σε μήτε περιουσίας μήτε πλούτου τοῦ
καθάπαξ ἐπιθυμεῖν, ἐν ἐμοὶ καὶ τοῖς δράμασι τὴν εὐδαιμονίαν
κατατιθέμενον. ἀλλ' οἱ συγγενεῖς ἀλλ' ἡ πατρίς, ἀλλ' οἱ φίλοι,
σχεδὸν οἶδα πάντῃ πάντες πολλῶν δέονται. πλουτεῖν ἐθέλουσι
καὶ χρηματίζεσθαι. σὺ μὲν οὐδέποτε περὶ οὐδενὸς αἰτιάσῃ με οὔτε
μικροῦ οὔτε μεγάλου, τοῦτο εὖ οἶδα, πάλαι μὲν ἡττημένος ἐμοῦ
πόθῳ καὶ ἔρωτι. νῦν δὲ ἤδη καὶ κρίσιν προστιθεικὼς αὐτοῖς. οἷς μᾶλ
λον περιέχομαι μένανδρε φοβουμένη τῆς ἐμπαθοῦς φιλίας τὸ
ὀλιγοχρόνιον. ἔστι γὰρ ὡς βίαιος ἡ ἐμπαθὴς φιλία, οὕτω καὶ εὐ-
διάλυτος. οἷς δὲ παραβέβληνται καὶ βουλαί, ἀρραγέστερον ἐν τού
τοις ἤδη τὸ ἔργον οὔτε ἀμιγὲς ἡδοναῖς τε καὶ διὰ τὸ πλῆθος, οὔτε
περιδεές. λύσεις δὲ τὴν γνώμην ὥς με πολλάκις περὶ τούτων αὐ
τὸς νουθετῶν διδάσκεις. ἀλλ' εἰ καὶ σὺ μήτε τί μέμψῃ μηδὲ αἰτιά
σῃ, δέδοικα τοὺς ἀττικοὺς σφῆκας οἵτινες ἄρξονται πάντῃ με
περιβομβεῖν ἀξιοῦσαν ὡς αὐτὸν ἀφῃρημένης τῆς ἀθηναίων πόλεως
τὸν πλοῦτον. ὥστε δέομαί σου μένανδρε ἐπίσχες, μηδέπω τῷ βα
σιλεῖ μηδὲν ἀντεπιστείλῃς. ἔτι βούλευσαι. περιμένων ἕως κοινῇ γι
νώμεθα καὶ μετὰ τῶν φίλων καὶ Θεοφράστου καὶ Ἐπικούρου. τά
χα γὰρ ἀλλοιότερα κἀκείνοις καὶ σοὶ φανεῖται ταῦτα. μᾶλλον
δὲ καὶ θυσώμεθα καὶ ἴδωμεν τί λέγει τὰ ἱερά, εἴτε λῷον εἰς αἴγυ-
πτον ἡμᾶς ἀπιέναι εἴτε μένειν. καὶ χρηστηριασθῶμεν εἰς δελφοὺς
πέμψαντες. πάτριος ἡμῶν ἐστὶν ὁ θεός. ἀπολογίαν ἕξομεν καὶ πορευό
μενοι καὶ μένοντες πρὸς ἀμφότερα τοὺς θεούς. μᾶλλον δὲ ἐγὼ τοῦ
το ποιήσω. καὶ γὰρ ἔχω τινὰ νεωστὶ γυναῖκα ἀπὸ Φρυγίας ἥκου-
σαν εὖ μάλα τούτων ἔμπειρον. γαστρομαντεύεσθαι δεινὴν τῇ τε
σπαρτῶν διατάσει νύκτωρ καὶ τῇ τῶν θεῶν δείξει, ἣν οὐδὲ λέγου

σι

ὅτι πιστεύειν, ἀλλ᾽ ἰδεῖν ὥς φασι. διαπέμψομαι πρὸς αὐτήν. καὶ δεῖ ὡς ἔφη καὶ καθάρσιόν τινα δεῖ προτελέσαι τὴν γυναῖκα καὶ παρασκευάσαι τινὰ ζῷα ἱερεῦσαι. καὶ λιβανωτὸν ἄρρενα καὶ στύρακα μακρὸν καὶ πέμματα σελήνης, καὶ ἄγρια φύλλα τῶν ἀνθρώπων. οἶμαι δὲ καὶ σὲ φθήσεσθαι πειραιόθεν ἐλθεῖν. ἢ δήλωσόν μοι σαφῶς μέχρι τίνος οὐ δύνασαι γλυκέραν ἰδεῖν· ἵν᾽ ἐγὼ μὲν κατατρέχω πρὸς σέ. τὴν δὲ φρυγίαν ταύτην ἑτοιμάσωμαι ἤδη καὶ ἃ μελετᾷς πειράζειν ἀπὸ σαυτοῦ μὰ τὸν πειραιᾶ καὶ τὸ ἀγρίδιον καὶ τὴν μουνυχίαν, καὶ κατ᾽ ὀλίγον ὅπως ἐκπέσωσι τῆς ψυχῆς. οὐ δύναμαι πάντα ποιεῖν μὰ τοὺς θεούς. σὺ δ᾽ οὐ δύνασαι διαπεπολεμημένος ὅλως ἤδη μοι. κἂν οἱ βασιλεῖς ἐπιστείλωσι πάντες, ἐγὼ πάντων εἰμὶ παρὰ σοὶ βασιλικωτέρα καὶ εὐσεβεῖ σοι κέχρημαι ἐραστῇ καὶ ὅρκων ἱερομνήμονι. ὥστε πειρῶ μᾶλλον ἐμὴ φιλότης θᾶσσον εἰς ἄστυ παραγενέσθαι, ὅπως ἐὰν μεταβουλεύσαιο τῆς πρὸς βασιλέα ἀφίξεως, ἔχῃς εὐτρεπισμένα τὰ δράματα, ἐξ αὐτῶν ἃ μάλιστα ὀνῆσαι δύναιτο πτολεμαῖον καὶ τὸν αὐτοῦ διόνυσον, οὐ δημοκρατικὸν ὡς οἶσθα. εἴτε θαΐδας εἴτε μισούμενον εἴτε θρασυλέοντα εἴτε ἐπιτρέποντας, εἴτε ῥαπιζομένην εἴτε σικύωμ

ἀλλ᾽ ὅτι καὶ ἐγὼ θρασεῖα καὶ τολμηρά τις εἰμὶ τὰ μενάνδρου διακρίνειν ἰδιῶτις οὖσα. ἀλλὰ σοφὸν ἔχω σου τὸν ἔρωτα καὶ ταῦτ᾽ εἰδέναι δύναμαι. σὺ γάρ με ἐδίδαξας εὐφυᾶ γυναῖκα ταχέως παρ᾽ ἐρώντων μανθάνειν, ἀλλ᾽ οἰκονομοῦσιν ἔρωτες σπεύδοντες. αἰδούμεθα τὴν ἄρτεμιν ἀνάξιοι ὑμῶν εἶναι μὴ θᾶττον μανθάνουσαι. πάντως δέομαι μένανδρε κἀκεῖνο παρασκευάσασθαι τὸ δρᾶμα, ἐν ᾧ με γέγραφας· ἵνα κἂν μὴ παραγένωμαι σὺν σοὶ, δι᾽ ἄλλου πλεύσω πρὸς πτολεμαῖον,

καὶ

καὶ μᾶλλον αἰσθήσεται ὁ βασιλεὺς ὅσον ἰσχύει καὶ παρὰ σοὶ γεγραμμένους φέρειν ἑαυτοῦ τοὺς ἔρωτας, ἀφεὶς ἐν ἄστει τοὺς ἀληθινούς· ἀλλ' οὐδὲ τούτους ἀφήσεις οὐδ' ἰδεῖν. κυβερνᾶν ἢ πρωρατεύειν ἕως δεῦρο παραγένῃ πρὸς ἡμᾶς πειραιόθεν μυηθήσομαι. ἵνα σε ταῖς ἐμαῖς

χερσὶν ἀκύμονα ναυστολήσω πλέουσαν εἰ τοῦτο ἄμεινον εἶ-

ναι φαίνοιτο· φανείη δὲ ὦ θεοὶ πάντες ὃ κοινῇ λυσι-

τελὲς ἢ ὡς μαντεύσαιτο ἡ Φρυγία τὰ

συμφέροντα κρεῖσσον τῆς

Θεοφορήτου

σου κό-

ρης.

Ἔρρωσο.

ΕΠΙΣΤΟΛΑΙ ΦΙΛΟΣΤΡΑΤΟΥ

ΑΣΠΑΣΙΑι.

Ὸν ἐπιστολικὸν χαρακτῆρα τοῦ λόγου μετὰ τοὺς παλαιοὺς, ἄριστά μοι διεσκέφθαι δοκοῦσι φιλοσόφων μὲν ὁ τυανεὺς καὶ δίων. στρατηγῶν δὲ βροῦτος ἢ ὅτῳ βροῦτος ἐς τὸ ἐπιστέλλειν ἐχρῆτο. βασιλέων δὲ ὁ θεσπέσιος μάρκος. ἐν οἷς αὐτὸς ἐπέστελλε. πρὸς γὰρ τῷ κεκριμένῳ τοῦ λόγου, καὶ τὸ ἑδραῖον τοῦ ἤθους ἐντετύπωται τοῖς γράμμασι. ῥητόρων δὲ ἄριστα μὲν ἡρώδης ὁ ἀθηναῖος ἐπέστελλεν. ὑπεραττικίζων δὲ καὶ ὑπερλαλῶν, ἐκπίπτει πολλαχοῦ τοῦ πρέποντος ἐπιστολῇ χαρακτῆρος. δεῖ γὰρ φαίνεσθαι τὴν τῶν ἐπιστολῶν ἰδέαν, ἀττικωτέραν μὲν συνηθείας. συνηθεστέραν δὲ ἀττικίσεως. καὶ συγκεῖσθαι μὲν πολιτικῶς, τοῦ δὲ ἁβροῦ μὴ ἀπᾴδειν. ἐχέτω καὶ τὸ εὔσχημον ἐν τῷ μὴ ἐσχηματίσθαι. εἰ γὰρ σχηματιοῦμεν, φιλοτιμεῖσθαι δόξομεν. φιλοτιμία δὲ ἐν ἐπιστολῇ μειρακιῶδες. κύκλον δὲ ἀποτορνεύειν, ἐν μὲν ταῖς βραχυτέραις τῶν ἐπιστολῶν, συγχωρῶ. ἵνα τούτῳ γοῦν ἡ βραχυλογία ὡραΐζοιτο ἐς ἄλλην ἠχὼ πᾶσα στενὴ οὖσα. τῶν δὲ ἐς μῆκος προηγμένων ἐπιστολῶν, ἐξαιρεῖν χρὴ κύκλους. ἀγωνιστικώτερον γὰρ ἢ κατ' ἐπιστολὴν τοῦτο. πλὴν εἰ μή πω ἐπὶ τελευτῆς τῶν ἐπεσταλμένων, ἢ ξυλλαβεῖν δέοι τὰ προειρημένα, ἢ ξυγκλεῖσαι τὸ ἐπὶ πᾶσι νόημα. σαφήνεια δὲ, ἀγαθὴ μὲν ἡγεμὼν ἅπαντος λόγου. μάλιστα δὲ ἐπιστολῆς. καὶ γὰρ διδόντες καὶ δεόμενοι καὶ ξυγχωροῦντες καὶ μὴ, καὶ καθαπτόμενοι καὶ ἀπολογούμενοι καὶ ἐρῶντες, ῥᾷον πείσομεν ἢν σαφῶς ἑρμηνεύσωμεν. Σαφῶς δὲ

ἑρμηνεύσομεν καὶ ἔξω εὐτελείας, τὴν τῶν ποιηθέντων τὰ μὲν κοινὰ καινῶς, τὰ δὲ καινὰ κοινῶς φράζωμεν. Βερενίκῃ.

ἡ Πυρσαίνουσα μίλτῳ τὰ χείλη καὶ τὴν παρειὰν γράφουσα, κώλυμα φιλημάτων· κατηγορεῖ δὲ καὶ γῆρας τοῦ προσώπου. ὑφοῦ πελιδνὸν μὲν τὸ στόμα. ἐρυθρὴ δὲ ἡ παρειὰ ἔξωρος. ἴσχε δὴ χρωματοποιΐαν καὶ μηδὲν ἐπιποίει τῷ κάλλει. μὴ καὶ γραψωμαί σε γήρως ἐπὶ τῇ τοῦ προσώπου γραφῇ.

Ἀθηνοδώρῳ.

ὁ Ι ὀφθαλμοὶ ξύμβουλοι τοῦ ἐρᾶν. σὺ δὲ ἀκοὴν ἀκούσας, ἐρᾶς Ἰωνικοῦ μειρακίου οἰκῶν Κόρινθον. τουτὶ δὲ μανικὸν φαίνεται τοῖς οὔπω εἰδόσιν ὅτινος ὁρᾷ. Ἐπικτήτῳ.

ἐ Ι Κρότῳ ἀνοήτῳ χαίρεις, καὶ τοὺς πελάτας ἐπειδὰν παριόντες ἡμᾶς κροτῶσιν, ἡγοῦ δή μου τὸ σοῦ τῷ σωφρονέστερον τοῦ Ἀθηναίων, ὅσῳ μηδὲ αἰτοῦσι μηδὲν ὑπὲρ τοῦ κροτεῖν.

Ἀριστοβούλῳ.

τ Ο δὲ ἐρῶντα καρτερεῖν, σωφρονέστερον τοῦ μηδὲ ἐρασθῆναι. καὶ γὰρ δὴ καὶ τοὺς πολεμικοὺς ἄνδρας οὐχ οἱ μὴ τρωθέντες, ἀλλ' οἱ νικῶντες ἐν θαύμασιν. Ἀθηναΐδι.

τ Ο μὲν μὴ ἐρῶντι χαρίζεσθαι, Λυσίου δόξα· τὸ δὲ ἐρῶντι δοκεῖ Πλάτωνι. σὺ δὲ καὶ ἐρῶντι καὶ μὴ ἐρῶντι. τοῦτο δὲ σοφὸς μὲν οὐδεὶς, Λαῒς δὲ οἶμαι ἐποίει. Ἐπικτήτῳ.

φ Ο βοῦ δή μου παρ' ὧν πολλὰ δύνασαι. Χαρίτωνι.

μ Ἐμνήσεσθαι τῶν σῶν λόγων οἴει τοὺς Ἕλληνας ἐπειδὰν τελευτήσῃς. οἱ δὲ μηδὲν ὄντες ὁπότε εἰσί, τίνες ἂν εἶεν ὁπότε οὐκ εἰσί. Νέστορι.

ἕ Πέπομφά σοι σῦκα ἠρινά. θαυμάζοις δ' ἂν αὐτῶν ἢ τὸ ἤδη ἢ τὸ ἔτι.

τ Ἀς ἀπυρήνους ῥόας ἐρυθρὰς κηπεύουσιν, οἰνοχοούσας νᾶμα πότιμον, ὥσπερ τῶν βοτρύων οἱ εὖ πράττοντες. δέκα σοι τούτων ζυγήσας ἔπεμψα. χρῶ δὲ αὐταῖς, σιτούμενος μὲν ὡς οἴνῳ, μεθύων δὲ ὡς σίτῳ.

Φιλήμονι.

τ Οὐ γράφω σοι Διοκλέα, εἰ μὲν ἤδη γνώσεις, ἐπαινεῖς δήπου. εἰ δὲ ἀγνοεῖς, ἐν τοῖς ἐπαινουμένοις γράφε. καὶ ζήλου περὶ αὐτὸν οἷον εἰκὸς ἢ τὸν πεπεισμένον ἢ τὸν μὴ ἀπιστοῦντα.

Μειρακίῳ.

κ Αἰ σὺ πονηρὸς οὕτως, ὡς μηδένα ἄλλον ἐλεεῖν. κἀγὼ δυστυχὴς οὕτως ὡς μηδὲ παρὰ ἄλλου λαβεῖν. καὶ πάνυ χαίρω τῇ κακοπραγίᾳ βουλόμενος μὴ παύσασθαι διαμαρτάνων, ἵνα παύσῃ μὴ δὲ σὺ τῆς ἐπὶ τοῦ μιαροῦ τοῦ τρόπου κακοδοξίας. τὸ μὲν γὰρ ἐμὸν, μιᾶς ἔργον ἡδονῆς. τὸ δὲ σὸν, κοινὴν εἰς διαβολὴν τῶν παρὰ πάντων αἰτίας.

Ἰουλίᾳ σεβαστῇ.

ο Ὑ δὲ ὁ θεσπέσιος Πλάτων, τοῖς σοφισταῖς ἐβάσκηνε καὶ σφόδρα ἐνίοις δοκεῖ τοῦτο. ἀλλὰ φιλοτίμως μὲν πρὸς αὐτοὺς εἶχεν ἐπειδὴ διεφοίτων θέλγοντες μικράς τε καὶ μείζους πόλεις, τὸν Ὀρφέως καὶ Θαμύρου τρόπον. τοῦ δὲ βασκαίνειν ἀπεῖχε τοσοῦτον, ὅσον φιλοτιμία φθόνου. φθόνος μὲν γὰρ τρέφει τὰς μοχθηρὰς φύσεις. φιλοτιμία δὲ τὰς λαμπρὰς ἐγείρει. καὶ βασκαίνει μέν τις τὰ μὴ ἑαυτῷ ἐφικτά. ἃ δὲ ἄμεινον ἢ μὴ χεῖρον διαθήσεται, φιλοτιμεῖται πρὸς ταῦτα. ὁ γοῦν Πλάτων καὶ εἰς τὰς ἰδέας τῶν σοφιστῶν ἵεται. ὥστε οὔτε τῷ Γοργίᾳ παρείκει τὸ ἑαυτοῦ ἄμεινον γοργιάζειν, πολλά τε κατὰ τὴν Ἱππίου καὶ Πρωταγόρου ἠχὼ φθέγγεται. ζηλωταὶ δὲ ἐγένοντο ἄλλοι μὲν ἄλλων. καὶ γὰρ δὴ καὶ ὁ τοῦ

γοῦ ἄλλου φιλοτιμεῖται πρὸς τὸν τοῦ προδίκου ἡρακλέα. ὁ πότε ὁ πρόδικος τὴν κακίαν καὶ τὴν ἀρετὴν ἄγει παρὰ τὸν ἡρακλέα, καλούσας αὐτὸν ἐς βίου αἵρεσιν. γοργίου δὲ θαυμασταὶ ἦσαν μὲν ἄριστοί τε καὶ πλεῖστοι· πρῶτον μὲν οἱ κατὰ θετταλίαν ἕλληνες, παρ' οἷς τὸ ῥητορεύειν γοργιάζειν ἐπωνυμίαν ἔσχεν. εἶτα τὸ ξύμπαν ἑλληνικόν, ἐν οἷς ὀλυμπιάσι διελέχθη κατὰ τῶν βαρβάρων ἀπὸ τῆς τοῦ νεὼ βαλβῖδος. λέγεται δὲ καὶ ἀσπασία, ἡ μιλησία τὴν τοῦ περικλέους γλῶτταν, κατὰ τὸν γοργίαν θῆξαι. κριτίας δὲ καὶ θουκυδίδης οὐκ ἀγνοοῦνται τὸ μεγαλόγνωμον καὶ τὴν ὀφρὺν παρ' αὐτοῦ κεκτημένοι. μεταποιοῦντες δὲ αὐτὸ εἰς τὸ οἰκεῖον, ὁ μὲν ὑπ' εὐγλωττίας, ὁ δ' αὖ ὑπὸ ῥώμης. καὶ αἰσχίνης δὲ ὁ ἀπὸ τοῦ σωκράτους ὑπὲρ οὗ πρώην ἐσπούδαζες ὡς οὐκ ἀφανῶς τοὺς διαλόγους κολάζοντος, οὐκ ὤκνει γοργιάζειν ἐν τῷ περὶ τῆς θαργηλίας λόγῳ. φησὶ γάρ που ὧδε. θαργηλία ἐλθοῦσα εἰς θετταλίαν, ξυνῆν ἀντιόχῳ θετταλῷ βασιλεύοντι, πάντων θετταλῶν. αἱ δὲ ἀποστάσεις τε προσβολαὶ τῶν λόγων γοργίου ἐπεχωρίαζον πολλαχοῦ μέν, μάλιστα δὲ ἐν τῷ τῶν ἐποποιῶν κύκλῳ. πεῖθε δὴ καὶ σὺ ὦ βασίλεια τὸν θαρσαλεώτερον τοῦ ἑλληνικοῦ πλούταρχον μὴ ἄχθεσθαι τοῖς σοφισταῖς. μηδὲ εἰς διαβολὰς καθίστασθαι τοῦ γοργίου. εἰ δὲ οὐ πείθεις, σὺ μὲν οἵα σου σοφία καὶ μῆτις, οἶσθα τί χρὴ ὄνομα θέσθαι τῷ τοιῷδε. ἐγὼ δ' ἐπείπερ ἔχων, οὐκ ἔχω.

Μειρακίῳ.

Οἱ ἐρωτικοὶ τῶν ποιητῶν ἀγαθὴ ἀκρόασις τοῖς ἐξώροις. ἀγείρουσι γὰρ αὐτοὺς ἐς ἔννοιαν τοῦ ἐρᾶν, ὡς πρὸς ἀνηβηκότας. μὴ δὴ νόμιζε σεαυτὸν ὑπερήμερον τῆς τούτων ἀκροάσεως. ἡ γὰρ ξυνουσία τῶν τοιῶνδε ποιητῶν, ἢ οὐκ ἐπιλήσει σε ἀφροδισίων ἢ ἀναμνήσει.

ὁ Ι τελούμενοι τῇ ῥέᾳ μαίνονται πληγέντες τὰ ὦτα κτύποις ὀργάνων. ἀλλ᾽ ἐκεῖ μὲν, κυμβάλων καὶ αὐλοῦ ἔργα. σὲ δὲ οὕτως ἐκπλήττουσιν ἀθηναῖοι κρότοις, ὡς ἐκλανθάνεσθαι τίς εἶ καὶ τίνων γέγονας.

Κλεοφῶντι καὶ Γαΐῳ.

ὑ Πὲρ ὧν ἐπέσταλται, τὰ μὲν ἤδη γέγονε. τὰ δὲ αὐτίκα ἔσται. ἐγὼ γὰρ λήμνιος ὢν, πατρίδα ἐμαυτοῦ καὶ τὴν ἴμβρον νομίζω. συνάπτω τῇ εὐνοίᾳ καὶ τὰς νήσους ἀλλήλαις. καὶ ἐμαυτὸν ἀμφοτέραις.

Αἱρετιανῷ.

τ Ο ποιητικὸν ἔθνος πολλοὶ καὶ πλείους ἢ οἱ τῶν μελιττῶν ἑσμοί. βόσκουσι δὲ τοὺς μὲν, λειμῶνες. τοὺς δὲ, οἰκίαι τῶν πλουσίων. αὐθεστιῶσί τε οἱ μὲν κηρίοις. οἱ δὲ ὀψοποιΐᾳ λαμπρᾷ. εἰσὶ δὲ τῶν ποιητῶν οἱ καὶ πράγμασιν ἑστιῶντες. τούτους δὲ ἡγούμεθα τοὺς τῶν ἐρωτικῶν ποιητάς. ὧν εἷς καὶ Κέλσος οὗτος ᾠδαῖς παραδεδωκὼς τὸν ἑαυτοῦ βίον ὥσπερ οἱ χρηστοὶ τέττιγες. ὡς δ᾽ ἂν μὴ δρόσῳ, ἀλλὰ σιτίοις τραφείη, πεπίστευκά σοι μελήσειν.

Ἀντωνίνῳ.

ὁ Ι πελαργοὶ τὰς πεπορθημένας πόλεις οὐκ ἐσπέτονται κακῶν πεπαυμένων ἠχὼ φεύγοντες. σὺ δὲ οἰκίαν οἰκεῖς; ἣν αὐτὸς ἐπόρθησας. καὶ θεοῖς τοῖς ἐν αὐτῇ θύεις ὥσπερ οἰκοῦσιν, ἢ οὖσι μὲν, ἐκλελησμένοις δὲ ὅτι τὰ ἐκείνων ἔχεις.

Μεγακλίῳ.

Αἶρε κἂν μὴ θέλῃς. χαῖρε κἂν μὴ γράφῃς. ἄλλοις καλέ.
χ ἐμοὶ δὲ ὑπερήφανε. οὐκ ἦσθα συγκείμενος ἐξ ἀέρος καὶ τῶν ὅσα τούτοις κίρναται. ἀλλὰ ἐξ ἀδάμαντος καὶ πέτρας καὶ στυγός. ταχέως σε θεασαίμην γλυφῶντα καὶ παρὰ ἀλλοτρίαις

θύραις

θύραις κειμένου. καὶ ἔρως καὶ νέμεσις ὀξεῖς θεοὶ καὶ στρεφόμενοι.

Γυναικί.

Δανάη χρυσὸν ἐλάμβανεν. ἡ λήδα ὄρνιθας. ἡ εὐρώπη
ἡ τοὺς ἐξ ἀγέλης. ἡ ἀντιόπη ὅσα ὄρεα. ἡ ἀμυμώνη τὰ ἐν
θαλάττῃ. οἱ δὲ ποιηταὶ τὰ δῶρα μύθους ἐποίησαν παραλύοντες τὴν ἀλήθειαν ψυχαγωγίᾳ ψευσμάτων. λάβε λάβε καὶ σύ, τὸν ἀκκισμὸν ἀφελοῦσα τοῦ σώφρονος. ἵνα κἀγὼ ζεὺς γένωμαι καὶ ποσειδῶν διδοὺς μὲν, ἃ θέλεις. ἃ δὲ θέλω, λαμβάνων.

Τῇ αὐτῇ.

Μῶμος τῶν μὲν ἄλλων οὐδὲν ἔφη τῆς ἀφροδίτης αἰ-
ὁ τιάσασθαι. τί γὰρ ἂν καὶ ἐμέμψατο. ἓν δὲ μόνον δυσχε-
ραίνων ἔφη ὅτι τρύζοι αὐτῆς τὸ ὑπόδημα καὶ λίαν ἦν λάλον. καὶ τῷ ψόφῳ ὀχληρόν. εἰ δὲ ἀνυπόδητος ἐβάδιζεν ὥσπερ ἀνέσχεν ἐκ τῆς θαλάττης, οὐκ ἂν ποτε ἐνεποίει σκωμμάτων οὐδὲ κωμῳδίας ὁ ἀλιτήριος. καί μοι δοκεῖ μηδὲ, μοιχευομένη διὰ τοῦτο μόνον λαθεῖν. ὅτι πάντα ὁ ἥφαιστος ἔσυρε τὰ κεκρυμμένα τοῦ σανδαλίου διαβάλλοντος. ταῦτα μὲν ἡμῖν ὁ μῦθος. σὺ δὲ καὶ τῆς ἀφροδίτης ἔοικας βουλεύεσθαι ἄμεινον χρωμένη τοῖς ποσὶν ὡς ἐτάχθης καὶ φεύγουσα τοῦ μώμου τὰ ἐγκλήματα. ὦ ἄδετοι πόδες. ὦ κάλλος ἐλεύθερον. ὦ τρισευδαίμων ἐγὼ καὶ μακάριος ἐὰν πατήσητέ με.

Μειρακίῳ ἀνυποδήτῳ.

Μαλακώτερον διετέθης ὑπὸ τοῦ σανδαλίου θλιβεῖσα
μ ὡς πέπεισμαι. δάκνειν γὰρ δοκεῖν σάρκας ἁπαλὰς αἱ
τῶν δερμάτων καινότητες. διὰ τοῦτο ὁ ἀσκληπιός, τὰ μὲν ἐκ πολέμου καὶ θήρας τραύματα, ἰᾶτο ῥᾳδίως. ταῦτα δὲ εἴα

διὰ τὸ ἑκούσιον ἀνοίας μᾶλλον ἢ ἐπηρείας δαίμονος γιγνόμενα. τί οὖν ὦ καλὸν ἀνυπόδητος βαδίζεις; τί τῇ γῇ φθονεῖς. λαυτία καὶ σανδάλια καὶ κρηπῖδες καὶ πέδιλα, νοσούντων εἰσφορήματα ἢ γερόντων. τὸν γοῦν Φιλοκτήτην ἐν τούτοις γράφουσι τοῖς ἐρύμασιν ὡς χωλὸν καὶ νοσοῦντα. τὸν δὲ ἐκ Σινώπης φιλόσοφον καὶ τὸν θηβαῖον Κράτητα καὶ τὸν Αἴαντα καὶ τὸν Ἀχιλλέα ἀνυποδήτους καὶ τὸν Ἰάσονα δὲ ἡμισεί-ας. λέγεται γὰρ ὡς τὸν Ἄναυρον διαβαίνοντος αὐτοῦ τὸν ποταμόν, ἐνεσχέθη κρηπὶς τῷ ῥεύματι εἰς ἀντίληψιν τῆς ἰλύος γιγνομένης. καὶ ὁ Ἰάσων οὕτως ἠλευθέρωτο τῶν ποδῶν τὸν ἕτερον. τύχῃ τὸ δὲ ον διδαχθείς, οὐ γνώμῃ ἑλόμενος. καὶ ἄπιθι καλῶς σεσυλημένος μηδὲν ἔστω μεταξὺ τῆς γῆς καὶ τοῦ ποδός. μὴ φοβηθῇς. δέξεταί τὴν βάσιν ἡ κόνις ὡς πόα. καὶ τὸ ἴχνος προσκυνήσομεν πάντες. ὦ ῥυθμοὶ ποδῶν φιλτάτων. ὦ καινὰ ἄνθη. ὦ γῆς φυτά. ὦ φίλημα ἐρρωμένον.

Γυναικὶ καπηλίδι.

Αὐτά με αἴρει τὰ σά. καὶ ὁ λινοῦς χιτὼν ὡς ὁ τῆς Ἴσιδος
π καὶ τὸ καπηλεῖον ὡς Ἀφροδίσιον. καὶ τὰ ἐκπώματα ὡς
Ἥρας ὄμματα. καὶ ὁ οἶνος ὡς ἄνθος. καὶ τῶν τριῶν δακτύλων αἱ συνθέσεις, ἐφ' ὧν ὀχεῖται τὸ ποτήριον. ὥσπερ καὶ τῶν φύλλων τῶν ἐν τοῖς ῥόδοις ἐκ κολπεί. κἀγὼ μὲν, φοβοῦμαι μὴ πέσῃ. τὸ δέ, ἕστηκεν ὀχυρῶς ὡς γνώμων ἐρηρεισμένον. καὶ τοῖς δακτύλοις συμπέφυκεν. εἰ δὲ καὶ ἀποπίοις ποτέ, πᾶν τὸ καταλειπόμενον γίνεται θερμότερον τῷ ἄσθματι. ἥδιον ἢ καὶ τοῦ νέκταρος. κάτεισι γοῦν ἐπὶ τὴν φάρυγγα ἀκολύτοις ὁδοῖς. ὥσπερ τὸ σὸν οἴνῳ κεκραμένον ἀλλὰ φιλήμασιν.

Τῇ αὐτῇ.

Ξ ύελου μὲν τὰ ἐκπώματα· αἱ δὲ σαὶ χεῖρες, ἄργυρον

ε αὐτὰ ποιοῦσι καὶ χρυσόν· ὡς καὶ τούτοις τὸ βλέπειν ὑγρῶς παρὰ τῶν σῶν ὀμμάτων εἶναι· ἀλλὰ τοῖς μὲν ἄψυχον καὶ ἀκίνητον τὸ δέος καθάπερ τῶν ὑέλων τοῖς ἑστηκόσι· τὰ δὲ ἐν τοῖς προσώποις ἐκπώματα, τῇ τε ἁπαλῇ ὑγρότητι εὐφραίνειν ἔοικε καὶ τῇ συνέσει τῶν φιλημάτων. ὥστε ἐκεῖνα μὲν κατάθου καὶ χαίρειν ἔα· τά τε ἄλλα, καὶ διὰ τὸν ἐν αὐτοῖς σφαλερὸν τῆς ὕλης φόβον· ἐμοὶ δὲ μόνοις πρόπινε τοῖς ὄμμασιν· ὧν καὶ ὁ Ζεὺς γευσάμενος, καλὸν οἰνοχόον παρεστήσατο. εἰ δὲ βούλει, τὸν μὲν οἶνον μὴ παράλυε· μόνου δὲ ἐμβάλλουσα ὕδατος, καὶ τοῖς χείλεσι προσφέρουσα, πλήρου φιλημάτων τὸ ἔκπωμα· καὶ δίδου τοῖς δεομένοις. ἔστι γὰρ οὐδεὶς ἀνέραστος οὕτως, ὡς ποθεῖν ἔτι τὴν διονύσου χάριν μετὰ τὰς ἀφροδίτης ἀμπέλους.

Τῇ αὐτῇ.

Α μὲν ὄμματά σου διαυγέστερα τῶν ἐκπωμάτων· ὡς

τ δύνασθαι δι' αὐτῶν καὶ τὴν ψυχὴν ἰδεῖν. τὸ δὲ τῶν παρειῶν ἐρύθημα, εὔχροιαν ὑπὲρ αὐτὸν τὸν οἶνον. τὸ δὲ λινοῦν τουτὶ χιτώνιον ἀντιλάμπει ταῖς παρειαῖς. τὰ δὲ χείλη βέβαπται τῷ τῶν ῥόδων αἵματι. καί μοι δοκεῖς τὸ ὕδωρ φέρειν ὡς ἀπὸ πηγῶν τῶν ὀμμάτων, διὰ τοῦτο εἶναι νυμφῶν μία. πόσους ἱστᾷς ἐπειγομένους· πόσους κατέχεις παράγοντας· πόσους φθεγξαμένη, καλεῖς· ἐγὼ πρῶτος ἐπειδὰν ἴδω σε διψῶ· καὶ ἵσταμαι μὴ θέλων.

Μειρακίῳ.

ὁ Υ δὲ ὁ τοῦ μενάνδρου πολέμων καλὸν μειράκιον περιέκειρεν. ἀλλ' αἰχμαλώτου μὲν ἐρωμένης κατετόλμησεν ὀργισθείς. ἣν οὐδὲ αὐτὸς ἀποκείρας ἠνέσχετο. κλαίει γοῦν καταπεσών. ἐμετανόησεν ἐπὶ τῷ φόνῳ τῶν τριχῶν. ἐφήβου δὲ ἄρα ἐφείσατο καὶ τὸ δρᾶμα. σὺ δὲ οὐκ οἶδα τί παθὼν, σεαυτοῦ πεπολέμηκας ὦ ἀνδροφόνε τῆς κεφαλῆς. τί ἔδει μαχαιρῶν ἐπὶ τὰς τρίχας. τί δὲ ἑκουσίων καὶ πολλῶν τραυμάτων. οἷον θέρος ἐξέκοψας. οὐδὲ οἱ ποιηταί σε ἐπαίδευσαν τοὺς εὐφόρβους καὶ τοὺς μενελάους εἰσάγοντες κομῶντας καὶ ὅλον τὸ τῶν ἀχαιῶν στρατόπεδον; καὶ ἔτις αὐτοῖς καλὸς ποταμῶν, κομᾷ. ὡς γὰρ χρυσὸς ἀνάθημα καὶ ἄργυρος, οὕτω καὶ τρίχες κομῶσαι. οἱ μὲν βάρβαροι, ὅπλοις. οἱ ἕλληνες, κρανέσιν. οἱ ὀφθαλμοὶ βλεφάροις. αἱ δὲ νῆες, ἱστίοις. ἡ δὲ γῆ ὄρεσι. τὰ δὲ ὄρη νάπαις. ἡ δὲ θάλασσα νήσοις. οἱ δὲ ταῦροι, κέρασιν. οἱ δὲ ποταμοὶ, τέμπεσιν. αἱ πόλεις, τείχεσιν. φοβερώτερος καὶ λέων, ὁ λάσιος. καὶ ἵππος ὁ ἤδη τῇ χαίτῃ πεπιστευκώς. καὶ ἀλεκτρυὼν μαχιμώτερος, ὁ τὰ κάλλαια ἐγηγερκώς. τιμῶσι δὲ οἱ σοφοὶ καὶ τῶν ἀστέρων τοὺς κομήτας. καὶ τῶν ἱερέων τοὺς ἀνέτους ταῖς κόμαις. καὶ τῶν θεῶν ἄλλον ἄλλως. τὸν ποσειδῶνα, ὡς κυανοχαίτην. τὸν ἀπόλλω ὡς ἀκερσεκόμην. τὸν πᾶνα, ὡς δασύν. τὴν ἶσιν ὡς λυσίκομον. τὸν διόνυσον, ὡς μετὰ τῶν τριχῶν καὶ τοῦ κιττοῦ κομῶντα. ἀφροδίτη δὲ οὐδὲ πενθοῦσα ἀπεκείρατο.

Ἔρρωσο.

Ἐρωτικαὶ Μειρακίῳ.

ὁ Ι λακεδαιμόνιοι, φοινικοβαφεῖς ἐνεδύοντο θώρακας ἢ ἵνα ἐκπλήττωσι τοὺς πολεμίους, διὰ τὸ φοβερὸν τῆς χροιᾶς, ἢ ἵνα ἀσυνοῶσι τὸ αἷμα τῇ κοινωνίᾳ τῆς βαφῆς. ὑμᾶς δὲ δεῖ τοὺς καλούς, μόνοις ῥόδοις ὁπλίζεσθαι. καὶ ταύτην λαμβάνειν παρὰ τῶν ἐραστῶν τὴν πανοπλίαν. ὑάκινθος μὲν οὖν λευκῷ μειρακίῳ, πρέπει δὲ νάρκισσος μέλανι. ῥόδον δέ, πᾶσιν. ὡς καὶ μειράκιον παλαιόν, καὶ ἄνθος. καὶ φάρμακον καὶ μύρον. ταῦτα Ἀγχίσην ἔπεισε. ταῦτα ἄρη ἀπέλυσε. ταῦτα ἀδώνιν ἐλθεῖν ὑπέμνησεν. αὗται ἦρος κόμαι. ταῦτα γῆς ἀστραπαί. ταῦτα ἔρωτος αἱ λαμπάδες.

Γυναικί.

ε Ι κἀμὲ φεύγεις, ἀλλ' ὑπόδεξαι κἂν τὰ ῥόδα αὐτέ μου. καί σου δέομαι μὴ στεφανοῦσθαι μόνον, ἀλλὰ καὶ κοιμηθῆναι ἐπ' αὐτῶν. καὶ γὰρ ῥόδων ἰδεῖν μὲν καλά. οἷαν τὸ πῦρ ἔχει τὴν ἀκμήν. ἅψασθαι δὲ μαλακά, καὶ πάσης στρωμνῆς ἁπαλώτερα. ὑπὲρ τὸν βαβυλώνιον κόκκον καὶ τὴν τυρίαν πορφύραν. καὶ γὰρ εἰ σπουδαῖα ἐκεῖνα, ἀλλ' οὐ πνεῖ καλόν. ἐνετειλάμην αὐτοῖς καὶ τὴν δειρήν σου φιλῆσαι καὶ τοῖς μαστοῖς ἐπελθεῖν, καὶ ἀνθρίσασθαι ἂν ἀφῇς. καὶ οἶδα ὅτι ἀκούσεται. ὦ μακάρια οἵαν γυναῖκα περιβάλλειν μέλλετε. ἀλλὰ δεήθητε αὐτῆς ὑπὲρ ἐμοῦ καὶ πρεσβεύσατε καὶ πείσατε. ἐὰν δὲ παρακούσῃ, κατακαύσατε.

Μειρακίῳ.

τ Α ῥόδα ὥσπερ πτεροῖς τοῖς φύλλοις ἐπειγόμενα, ἐλθεῖν παρὰ σὲ σπουδὴν ἐποιήσατο. ὑπόδεξαι αὐτὰ εὐμενῶς, ὡς ἀδώνιδος ὑπομνήματα, ἢ ὡς ἀφροδίτης βαφήν, ἢ ὡς γῆς ὄμματα. ἀθλητῇ μὲν οὖν, κότινος πρέπει. βασιλεῖ μεγάλῳ ὀρθὴ τιάρα·

καὶ στρατιώτῃ, λόφος. καλῷ δὲ μειρακίῳ ῥόδα. καὶ διὰ συγγένειαν
τῆς εὐωδίας. καὶ διὰ τὸ οἰκεῖον τῆς χροιᾶς. Γυναικί.
π Ἔπεμψά σοι στέφανον ῥόδων. οὐ σὲ τιμῶν ἢ τοῦτο μὲν γάρ. ἀλλ' αὐ
τοῖς τι χαριζόμενος τοῖς ῥόδοις ἵνα μὴ μαρανθῇ. Μειρακίῳ.
ξ Υ πεποίηκας καὶ στρωμνῇ, χρησάμενος τοῖς ῥόδοις. ἡ
γὰρ πρὸς τὰ πεμφθέντα ἡδονὴ σημεῖον μέγα τῆς πρὸς
τὸν πέμψαντα τιμῆς. ὥστε κἀγώ σου δι' αὐτῶν ἡψάμην, ἢ γὰρ
ἐστὶν ἐρωτικὰ καὶ πανοῦργα. καὶ κάλλει χρῆσθαι εἰδότα. δέδοικα δὲ
μὴ οὐδ' ἡσυχίαν ἤγαγεν. ἀλλ' ἠνώχλει σοι καθεύδοντι ὡς πρὸ τῆς δανάης ὁ
χρυσός. εἰ δὲ βούλει τι φίλῳ χαρίζεσθαι, τὰ λείψανα αὐτῶν ἀντίπεμ
ψον. μηκέτι πνέοντα ῥόδων μόνον ἀλλὰ καὶ σοῦ. Γυναικί.
κ Αἱ παρὰ Διὶ ὅτε ἐκοιμᾶτο ἐν τῇ ἴδῃ τῷ ὄρει, αὐτὴ ἡ γῆ ἀνῆκε
λωτὸν ἢ ὑάκινθον ἢ κρόκον. ῥόδα δὲ οὐ παρῆν. πότερον ὡς
μόνης ἀφροδίτης κτήματα, παρ' ἧς καὶ ταῦτα ἔδει τὴν ἥραν δα
νείσασθαι, καθάπερ καὶ τὸν κεστὸν ἐδανείσατο, ἢ ὡς οὐκ ἂν κοιμηθέν
τος τοῦ διὸς εἰ καὶ ταῦτα παρῆν, οἱ δὲ ἐδέοντο καθεύδειν τὸν δία.
ὅταν δὲ πνέῃ ῥόδα, ἀνάγκη πᾶσαν δίκην καὶ ἀνθρώποις καὶ θεοῖς ἀ
γρυπνεῖν ἡδέως. ἡ γὰρ εὐωδία διεγείρει πᾶσαν ἡσυχίαν ἐξοικίσαι. ταῦτα
μὲν οὖν ἀφείσθω ὁμήρῳ καὶ τῇ τῶν ποιητῶν ἐξουσίᾳ. σὺ δὲ ἀγροι
κῶς ἐποίησας μόνη κοιμηθεῖσα ἐν ῥόδοις. καὶ σωφρονήσασα σὺ οὐ
σώφροσιν. ἢ γὰρ τῶν ἐραστῶν ἐχρῆν μοι παρεῖναί τινα, ἢ ἐμὲ τὸν διὰ
πολλὴν εἰ μὴ ἐνεθυμήθης ὦ καλὴ τὸν στέφανον τοῖς στέρνοις προσαγα
γοῦσα καιρὸν μοιχῷ συμπλακῆναι. Μειρακίῳ.
τ Ι ποθοῦντα τὰ ῥόδα, πρὶν μὲν παρὰ σοὶ γενέσθαι, καλὰ ἦν
ῥόδα, οὐ γὰρ ἂν αὐτὰ οὐδὲ ἔπεμψα εἰ μή τι ἀξιόκτητον εἶχεν. ἐλ
θόντα δέ, εὐθὺς ἐμαράνθη καὶ ἀπέπνευσε, τὸ μὲν σαφές, οὐκ οἶδα
διὰ

τῆς αἰτίας· οὐ γάρ μοι τί εἰπεῖν ἢ θέλουσιν ὡς δεῖ κάσου ῥᾴδιον, οὐκ ἦν ἐγγὺς πρὸς δοκιμούμενα. οὐδὲ ἠνέσχετο, τῆς πρὸς σὲ ἁμίλλης. ἀλλὰ μοῦ τε ἔθιγεν δευτέρου χρωτὸς, καὶ ἀπώλετο. οὕτω καὶ λύχνος ἀποσβέννυται πυρὸς ἡττηθεὶς μείζονος. καὶ ἄστρα δὲ ὅταν ἀντιβλέπειν ἡλίῳ μὴ δύνηται. Γυναικί.

ὄ Ντως τὰ ῥόδα ἔρωτος φυτά. καὶ γὰρ νέα ὡς ἐκεῖνος. καὶ ὑγρὰ ὡς αὐτὸς ὁ ἔρως. καὶ χρυσοκομοῦσιν ἄμφω. καὶ τἄλλα αὐτοῖς ὅμοια. τὰ ῥόδα τὴν ἄκανθαν ἀντὶ βελῶν ἔχει. τὸ πυρὸν ἀντὶ δᾳδῶν. τοῖς φύλλοις ἐπτέρωται. χρόνον δὲ οὔτε ἔρως, οὔτε ῥόδα οἶδεν. ἐχθρὸς γὰρ ὁ θεὸς καὶ τῇ κάλλους ὀπώρᾳ καὶ τῇ ῥόδων ἐπιδημίᾳ. εἶδον ἐν ῥώμῃ τοὺς ἀνθοφόρους τρέχοντας. καὶ τῷ τάχει μαρτυρουμένους τὸ ἄπιστον τῆς ἀκμῆς. ὁ γὰρ δρόμος διδασκαλία χρήσεως. εἰ δὲ μελλήσαις, ἀπελήλυθε. μαραίνεται καὶ γυνὴ μετὰ ῥόδων ἂν βραδύνῃ. μὴ μέλλε ὦ καλὴ συμπαίζωμεν. στεφανωσώμεθα τοῖς ῥόδοις. συνδράμωμεν. Μειρακίῳ.

ἔ Στιν ἔαρ καὶ κάλλος ῥόδων. ὁ δὲ μὴ χρησάμενος τοῖς παροῦσιν ἀνόητος. ἐν οὐ μέλλουσι μέλλων. καὶ βραδύνων ἐπαπιοῦσι. φθονερὸς γὰρ ὁ χρόνος καὶ τὴν ἄνθους ὥραν ἀφανίζει καὶ τὴν κάλλους ἀκμὴν ἀπάγει. μηδὲν μέλλε ὦ φθεγγόμενον ῥόδον ἀλλ' ἕως ἔξεστι καὶ ζῇς, μετάδος ἡμῖν ὧν ἔχεις. Γυναικί.

ἐ Πυθόμην ὡς τὰ ῥόδα ἐλθόντα παρὰ σὲ, ὅσα χρέος ἀπέβαλεν. ἐγώ τε γὰρ ἐνετειλάμην αὐτοῖς, καὶ ὡς ἐκπιόντα ἀκράτου χρωτὸς τῆς σῆς δρόσου, κατέχον τὴν ψυχὴν ἀξιοῦσαν καὶ δυσαναχετοῦσαν. καλῶς ἐποιήσατε ὦ ῥόδα ἀναβιώσαντα. ἢ δέομαι, μείνατε ἕως τ' ἂν ἔλθω. μαθεῖν γὰρ ἔγνωκα ἔτι πρὸς ἀλλήλων εἰλήφατε εἰς διωδίαν αὐτὴ καὶ ὑμεῖς εἰς χρόνον.

Μειρακίῳ.

α Ιτιᾷ με ὅτι σοι ῥόδα οὐκ ἔπεμψα. ἐγὼ δὲ οὔτε ὡς ὀλίγωρος τοῦτο ἐποίησα, οὔτε ὡς ἀνέραστος αὐτός. ἀλλ' ἐσκόπουν ὅτι ξανθὸς ὢν καὶ ῥόδοις ἰδίοις ἐστεφανωμένος, ἀλλοτρίων ἀνθῶν οὐ δέῃ. οὐδὲ γὰρ ὅμηρος τῷ ξανθῷ μελεάγρῳ στέφανον περιέθηκεν. ἐπεὶ τοῦτο ἂν ἦν, ἄλλο πῦρ ἐπὶ πυρὶ καὶ δαλὸς ἐπ' ἐκείνῳ διπλοῦς. ἀλλ' οὐδὲ τῷ ἀχιλλεῖ. οὐδὲ τῷ μενελάῳ οὐδ' ὅσοι ἄλλοι παρ' αὐτῷ κομῶσι. φθονερὸν δὲ φύσεως ἄνθος καὶ ὠκύμορον. καὶ παύσασθαι ταχύ. λέγεται δ' αὐτοῦ πρώτην γένεσιν ἐκ λυπηροτάτης ἀρξασθαι προφάσεως. ἡ γὰρ ἄκανθα τῶν ῥόδων παρελθοῦσαν τὴν ἀφροδίτην ἔκνισεν ὡς κύπριοι καὶ φοίνικες λέγουσιν. αἵματος μὴ στεφανώμεθα. φύγωμεν ἄνθος ὃ μηδ' ἀφροδίτης φείδεται. Γυναικί.

ο Υσά τις ξανθὴ, ῥόδα ζητεῖς. καὶ μὴν φύσεως οὕτως ἔχεις ὡς ἐκεῖνα. τί οὖν μεταλαμβάνεις ἀνθῶν μετὰ μικρὸν οὐκ ὄντων. τί δὲ τὴν κεφαλὴν στεφανοῖς πυρί. ἐμοὶ δὲ δοκεῖ καὶ τῆς κολχίδος ὁ ὅρμος, ὃν τῇ γλαύκῃ ἔπεμψε, ῥόδα ἦν πεφαρμαγμένα. ἃ διὰ τοῦτο ἐκκαύθη λαβοῦσα. εἴτε δὲ τερπνὰ τὰ ῥόδα, μὴ προυδοκιμείτω τὰς καλάς. εἴτε εὐώδη, μὴ ἀντιπνείτω. εἴτε ὠκύμορα, μὴ φοβείτω. ἐμοὶ μὲν, οὐδενὶ ἄγῳ δοκεῖ προσεοικέναι φύλλα ῥόδων λυθέντων, ἢ πίπτουσιν. οἱ πολλοί τε τῶν σφόδρα ἐρωτικῶν, αὐτοῖς μᾶλλον ἄχθονται λυθεῖσιν ἢ χαίρουσιν ἐπιτειχισμένοις ἐπὶ τὴν προουσίαν τῆς ἡδονῆς αὐτῶν. ὁ μέλλων φόβος νικᾷ. ἡ δὲ σὴ κεφαλὴ, λειμὼν πολὺς αὐτὴ φέρων, ἃ μήτε θέρους ἄπεισι, καὶ χειμῶνος μέσου φαίνεται. καὶ βρεξαμένων, οὐ λύεται. εἰ δὲ ἐπιτρέψεις μοι κἂν ἕνα βόστρυχον ἐκτεμεῖν, εἰ γὰρ ἀπέλθοιμι οὕτω πνέων, ἔσῃ χαριζομένη ῥόδα μαρανθῆναι μὴ δυνάμενα.

ὦ Σ δύσερί σοι καὶ φιλόνεικον τὸ κάλλος· ἀμελούμενον μᾶλλον αὐθεῖ. καθάπερ τῶν φυτῶν ὅσα τῇ φύσει θαῤῥοῦντα, τῆς τῶν γεωργῶν ὀλιγωρείας οὐ χρήζονται. οὐχ ἵππον ἀναβαίνεις. οὐκ εἰς παλαίστραν ἀπαντᾷς. οὐχ ἡλίῳ δίδως σεαυτόν. αὖθις δὲ καὶ βαφὴ τοῖς καλοῖς. ἀλλ' αὐχμηρὸς πειρᾶσαι καὶ σεαυτῷ μαχόμενος, ἐξηπάτησαι. καλὸς εἶ κἂν μὴ θέλῃς. καὶ πάντας ἕλκεις διὰ λίαν ἀμελούμενος. ὥσπερ οἱ βότρυες καὶ τὰ μῆλα, καὶ ἔτι ἄλλο αὐτόματον καλόν. ὁ μὲν γὰρ καλλωπισμός, ἑταιρικόν. καὶ πάνυ δεῖ δυσχεραίνειν τὴν φαρμακομένην εὐμορφίαν ὡς πανουργίας ἐγγύς. τὸ δὲ ἀκέραιον καὶ ἄκακον κἀνεπιβούλευτον, μόνων ἴδιον τῶν αὐτὸ δεξαμένων τὸ κάλλος. οὕτως ὁ ἀπόλλων ποιμένων ἥρα. καὶ ἀφροδίτη βουκόλων, καὶ ῥέα ἀγροίκων. καὶ δήμητηρ τῶν τὰ ἄστη οὐκ εἰδότων. ὅτι πᾶν ἀληθέστερον τοῦ δεδουλωμένου τὸ φύσει παρόν. οὐδεὶς οὐδὲ ἀστέρας οἶδε κοσμουμένους. οὐδὲ λέοντας. οὐδὲ ὄρνιθας. ὁ δ' ἵππους καλλωπίζων χρυσῷ ἢ ἐλέφαντι ἢ ταινίαις, λανθάνει λυμαινόμενος τοῦ ζῴου τὸ γαῦρον. καὶ τέχνῃ παραδιδοὺς τὸ ἄσημα ἐπανορθοῦσθαι τῆς φύσεως τὰ λείποντα.

Γυναικί.

ἡ Καλλωπιζομένη γυνὴ θεραπεύει τὸ ἐλλιπές. φοβουμένη φωραθῆναι ὃ οὐκ ἔχει. ἡ φύσει καλή, οὐδενὸς δεῖται τῶν ἐπικτήτων. ὡς προσαρκοῦσα αὐτῇ πρὸς πᾶν τὸ ὁλόκληρον. ὀφθαλμῶν δὲ ὑπογραφαὶ καὶ κομῶν προσθέσεις. καὶ ζωγραφίαι παρειῶν, καὶ χειλέων βαφαί, καὶ ἔτι κομμωτικῆς φάρμακον, καὶ ἔτι ἐκ φυκίου δόλερον ἄνθος, ἐπανόρθωσις τοῦ ἐνδέους εὑρέθη. τὸ δὲ ἀκόσμητον, ἀληθῶς καλόν. ὥστε εἰ μάλιστα πεπίστευκας σεαυτῇ καὶ τεθάῤῥηκας, διὰ τοῦτό σε μᾶλλον ἀγαπῶ. μὴ-

τύριον τὸ ἀπράγμον ἡγούμενος τῆς ἐν εὐμορφίᾳ πίστεως. οὐ γὰρ κομμῶσι τὰ πρόσωπα. οὐδὲ ἐν ταῖς κηρίναις τετάξαι γυναιξίν. ἀλλ᾽ ἐν ταῖς ἀδόλως καλαῖς. οἷαι καὶ αἱ πρότεραι ἦσαν. ὧν χρυσὸς ἦρα καὶ βοῦς καὶ ὕδωρ καὶ ὄρνιθες καὶ δράκοντες. τὸ δὲ φυκίον καὶ ὁ κηρὸς καὶ τὸ παραντεινὸν καὶ οἱ ἐπικάρπιοι ὄφεις καὶ αἱ χρυσαῖ πέδαι, θαΐδος καὶ ἀρισταγόρας καὶ λαΐδος φάρμακα. Μειρακίῳ.

π Ὅθεν εἶ μειράκιον εἰπέ. ὅθ᾽ οὕτως ἀτέχνως ἔχεις πρὸς ἔρωτα. ἐκ σπάρτης ἐρεῖς, οὐκ εἶδες οὖν ὑάκινθον οὐδὲ ἐστεφανῶσω τοῦ τραύματος; ἀλλ᾽ ἐκ θετταλίας, οὐκ ἐδίδαξεν οὖν σε οὐδὲ ὁ φθιώτης ἀχιλλεύς, ἀλλὰ ἀθήνηθεν, τὸν ἁρμόδιον οὖν καὶ τὸν ἀριστογείτονα οὐ παρῆλθες, ἀλλὰ ἀπ᾽ ἰωνίας. καὶ τί τῆς γῆς ἐκείνης ἁβρότερον. ὅπου βράγχοι καὶ κλάριοι ἀπόλλωνος καλοί. ἀλλ᾽ ἐκ κρήτης, ὅπου πλεῖστος ὁ ἔρως ὁ τὰς ἑκατὸν πόλεις περιπολέων. σκύθης μοι δοκεῖς καὶ βάρβαρος. ἀπ᾽ ἐκείνου τοῦ βωμοῦ καὶ τῶν ἀξένων θυμάτων. ἔξεστιν οὖν σοι τὸν πάτριον τιμῆσαι νόμον. εἰ σώζειν οὐ θέλεις, λάβε τὸ ξίφος. οὐ παραιτοῦμαι. μὴ φοβηθῇς. ἐπιθυμῶ καὶ τραύματος. Γυναικί.

ε Ι λάκαινα ἦσθα ὦ καλή, τῆς ἑλένης ἂν ἐμνημόνευσας καὶ τῆς νέας. εἰ κορινθία, τῶν λαΐδος κώμων. εἰ βοιωτία, τῶν ἀλκμήνης γάμων. εἰ τῶν δ᾽ ἐξ ἤλιδος, οὐκ ἤκουσας τὸν πέλοπος δρόμον, οὐκ ἐζήλωσας τὴν ἐκ θεάτρου γαμηθεῖσαν. οὐκ ἐθαύμασας τὸν ἀλφειόν. οὐκ ἔπιες τοῦ νυμφίου. ἡ δὲ τυρώ, τῷ ἐνιπεῖ ἐπενήξατο. καὶ ἀγροικοῦντι ἐπὶ θάλατταν συνήγαγεν. σὺ δ᾽ ἀγαθὴ καὶ μεγάλων ἐραστῶν ἀξία. δοκεῖς δέ μοι μηδὲ θετταλή τις εἶναι. πάντως γὰρ καὶ σὺ ἔρωτι ἔθυες. μηδὲ ἀττική. τὰς γὰρ παννυχίδας καὶ τὰς ἑορτὰς καὶ τὰ μενάνδρου δράματα, οὐκ ἄν ποτε ἠγνόησας. ἀλλ᾽ εἶ καὶ βάρβαρος εἶ καὶ μία τῶν ἀπὸ θερμώδοντος παρθένων, ἀλλ᾽ οὖν

καὶ ταύτας λόγους νεανίσκοις συμπλέκεσθαι. ἢ τί ἦν ἐκ καλοῦ πῶς· ἀλλὰ μὴ θρᾷττα ἢ σιδωνία· καὶ μὴν ἢ τούτων ἔρως ἤ γάρ ἢ μὲν, τῷ μίμῳ συνεπλάκη. ἡ δὲ τῷ βοιωτῷ. ἔοικα δὲ ῥηκέναι σε εἰ μὴ κακός εἰμι καὶ φαῦλος φυσιογνωμονεῖν. δεινά ὅσοι περὶ τὴν χεῖρ' ἐκείνην λῆμμα φονικόν. ἀλλὰ κἀκείνων τίς τῶν ἀνδροφόνων παρθένων, νεανίσκου φιλοῦντος ἐφείσατο. οὐχὶ κτείνουσι. τὸ δακρύω πληροῦσι τὸ δρᾶμα. ἵνα μὴ ψαύσῃς καὶ ξίφους. Γυναικί.

ε Ἰσοφρονεῖς, διὰ τί ἐμοὶ μόνῳ ἐγχαρίζῃ, διὰ τί μὴ καὶ μοί.

Μειρακίῳ.

ο Τί πένης εἰμὶ ἀτιμότερός σοι δοκῶ, ἢ μὴν καὶ αὐτὸς ὁ ἔρως γυμνός ἐστι. καὶ αἱ χάριτες καὶ οἱ ἀστέρες. ὁρῶ δὲ ἐγὼ καὶ τὸν ἡρακλέα ἐν ταῖς γραφαῖς, δορὰν θηρίου περιβεβλημένον. καὶ τὰ πολλὰ χαμαὶ καθεύδοντα. τὸν δὲ ἀπόλλωνα, καὶ ψιλῷ σώματι ἢ σκιρτῶντα ἢ τρέχοντα ἢ τοξεύοντα. οἱ δὲ περσῶν βασιλεῖς, τρυφῶσι καὶ μετέωροι κάθηνται. τῷ πολλῷ χρυσίῳ προβαλλόμενοι τὸ σεμνόν. τοιγαροῦν ἔπασχον κακῶς ὑπὸ τῶν πενήτων ἑλλήνων νικώμενοι. καὶ πτωχὸς ὁ σωκράτης, ἀλλ' οὐ περιέχειν αὐτοῦ τὸν τρίβωνα ὁ πλούσιος ἀλκιβιάδης. πενία δὲ οὐκ ἔστιν ἔγκλημα. ὅτε τὴν ἑκάστου αἰτίαν ἡ τύχη ἀπολύεται τῇ πρὸς ἀλλήλους κοινωνίᾳ. ἅπασι δὲ πρὸς τὸ θέατρον. πενήτων ὁ δῆμος. ἅπασι δὲ πρὸς τὰ δικαστήρια. πένητες κάθηνται. ἅπασι δ' ἐπὶ τὰς μάχας. οἱ μὲν πολυτελεῖς καὶ χρυσοῖ τοῖς ὅπλοις, λείπουσι τὰς τάξεις. ἡμεῖς δὲ ἀριστεύομεν. ἐν αὐτοῖς τε τοῖς πρὸς τοὺς καλοὺς ὑμᾶς, σκέψαι τὸ μεθόδιον. ὑβρίζει τὸν πεισθέντα ὁ πλούσιος ὡς ἐωνημένον. πένης οἶδε χάριν ὡς ἐλεούμενος. ἐκεῖνος σεμνύνεται τῷ θηράματι. ὁ πένης σιωπᾷ. πάλιν ὁ λαμπρός, τὸ πεπραγμένον εἰς ἐξουσίαν ἀναφέρει τῆς οἰκείας

δυνάμεως. ὁ πένης εἰς τὴν τοῦ δόντος φιλανθρωπίαν. ὁ πλούσι-
ος ἄγγελλον πέμπει κόλακα καὶ παράσιτον καὶ μάγειρον. καὶ
τοὺς ἐκ τῆς τραπέζης. ὁ πένης, ἑαυτὸν ὡς μὴ δὲ ἐν τούτῳ τὴν τι-
μὴν ἀπεῖναι τῆς αὐτουργίας. ὁ πλούσιος δοὺς, εὐθέως ἐλέγχεται.
τὸ γὰρ πρᾶγμα, κατάφωρον γίνεται διὰ πλήθει τῶν συνεγνωκό-
των. ὡς μὴ δὲ τοὺς γείτονας μὴ δὲ τοὺς παριόντας ὁ διαπόρους
ἀγνοῆσαι τὸ δρᾶμα. ὁ πένητι χρησάμενος φίλῳ, λανθάνει. οὔτε γὰρ
ὄγκος τῇ δεήσει πρόσεστι καὶ τὴν τῶν ἔξωθεν καταβόησιν ἐκτρε-
πόμενος καὶ τὸ τῶν δυνατωτέρων αὐτοῦ γίνεσθαι τινὰς ἀντεραστὰς
ὡς ὄντος ῥᾴστου τοῦ πράγματος, οὐχ ὁμολογεῖ τὴν εὐτυχίαν. ἀλ
λὰ ἀποκρύπτεται. πένης δὲ ἅπαξ ἐρῶντι τις δύναται παραμεῖναι νο
σοῦντι. τίς συναγρυπνῆσαι. τίς συνεξελθεῖν εἰς τὸ στρατόπεδον. τίς
αὐτὸν προτάξαι πεμπομένου βέλους. τίς ὑπὲρ σοῦ πεσεῖν. ἐν τού
τοις πᾶσι πλουτῶ.

Γυναικί.

ε Ι μὲν δὴ χρημάτων, πένης εἰμί. εἰ δὲ φιλίας καὶ χρηστοῦ
τρόπου, πλουτῶ. ἔστι δὲ οὐχ οὕτως ἐμοὶ δεινὸν τὸ μὴ ἔ-
χειν, ὡς σοὶ πρὸς αἴσχιστον τὸ, μισθοῦ φιλεῖν. ἑταίρας γὰρ ἔργον προ
σίεσθαι, τοὺς τὰς σαρίσας ἔχοντας καὶ τὰς σπάθας ὡς ἑτοίμως
διδόντας. γυναικὸς δὲ ἐλευθέρας, πρὸς τὸ βέλτιστον ἀεὶ βλέπειν.
καὶ τὸ μὴ χρηστὸν ἐν εὐμοίρᾳ τίθεσθαι. πρόσταξον ὡς ἔοικε γῆ, πείθομαι.
πλεῖν κέλευσον ἐμβαίνω. πληγὰς ὑπομεῖναι, καρτερῶ. ῥίψαι τὴν
ψυχὴν, οὐκ ὀκνῶ. δραμεῖν διὰ πυρὸς, οὐκ ἀναίνομαι. τίς ταῦ-
τα πλούσιος ποιεῖ.

Μειρακίῳ.

ε Ι ξένος ὢν ἐρῶ σου, μὴ θαυμάσῃς. καὶ ἔστιν ὀφθαλμοὺς ξενίας
ἁλῶναι. καὶ γὰρ κάλλος αὐτοῦ ὁμοῖ καὶ πῦρ ἀνάπτει. καὶ διὰ τὸ μὲν, λάμ
ψαι. τὸ δὲ εὐθὺς ἔσεσθαι. διακείσεως δὲ οὐδὲν ὅτε ὦσιν, ὅτε ὄμμασιν.
ἀγαθοὶ δὲ καὶ ξένοις καὶ πολίταις οἱ τῆς ψυχῆς ἄγγελοι. ὁ μὲν ὁ βράγχος

ἔφυγε τὸν ἀπόλλωνα ὡς ξένον. οὐδὲ ὁ ὕλλας τὸν ἡρακλέα. οὐ χό
λικύμνιος τὸν ῥαδάμανθυν. οὐδὲ ὁ πάτροκλος τὸν ἀχιλλέα. οὐδὲ
ὁ χρύσιππος τὸν λαΐου. ἤρα καὶ σμέρδιος πολυκράτης ὁ σάμιος.
καὶ τοῦ πέρσου μειρακίου ὁ ἀγησίλαος. οὐκ οἶδα τοῦ μειρακίου τὸ
ὄνομα. ξένοι καὶ οἱ ὄμβροι τῆς γῆς. καὶ οἱ ποταμοὶ τῆς θαλάσσης. καὶ
ὁ ἀσκληπιὸς ἀθηναίων. καὶ ὁ ζεὺς ἡμῶν. ὁ νεῖλος αἰγυπτίων. καὶ ὁ
ἥλιος πάντων. ξένη καὶ ἡ ψυχὴ τοῦ σώματος. καὶ ἡ ἀηδὼν, τοῦ ἀέ
ρος. καὶ ἡ χελιδὼν, τῆς οἰκίας. καὶ ὁ γανυμήδης τοῦ οὐρανοῦ. καὶ ἡ
ἀλκυὼν, τῆς πέτρας. καὶ ὁ ἐλέφας, ῥωμαίων. καὶ ὁ ὄρνις ὁ φοῖνιξ τῶν
ἰνδῶν. οὗτος μὲν ὁ ξένος καὶ βραδύς. τὸν δὲ πελαργὸν οἱ πρῶτοι θε
ασάμενοι, καὶ προσκυνοῦσι. ξένα καὶ τὰ γράμματα. ἐκ φοινίκης
γὰρ ἦλθε. καὶ σειρήνων νύμφαι. καὶ ἡ μάγων θεολογία. οἷς πᾶσιν ἥδι
ον χρώμεθα, ἢ τοῖς ἐγχωρίοις. ὅτι τῶν μὲν, σπάνιον τὸ ἐπίκτη
τον. τῶν δὲ ὀλίγωρον τὸ οἰκεῖον. ἀμείνων καὶ ἐραστὴς, ὁ ξένος. ὅσῳ καὶ
ἀνύποπτος τῇ ἀγνωσίᾳ. καὶ πρὸς τὸ λαθεῖν ἀφανέστερος. εἰ δὲ δέῃ παρα
μένοντος, ἐγγραψόμεθά σε. καὶ ζεὺς γένους φράτριος. καὶ ἀπόλ-
λων πατρῷος. ἡ δὲ φυλὴ, τοῦ ἔρωτος.

Γυναικί.

τ Ην καλὴν ἀπὸ τοῦ τρόπου, ἀφ' ὧν ἐραστῶν ποιεῖσθαι τὸν
κατάλογον. οὐκ ἀπὸ τοῦ γένους. καὶ γὰρ ξένος, ἐπιεικὴς δύνα
ται γενέσθαι. καὶ πολίτης κακός. ὅσῳ καὶ τοῦ φρονεῖν ἐστὶ ὕστερος ἐστίν.
ὁ μὲν οὖν ἐγχώριος, οὐδὲν διαφέρει λίθων καὶ παντὸς τοῦ μένον
τος. ὧν τὸ ἑδραῖον ἀνάγκη πρόσεστιν. ὁ δὲ ξένος, ἔοικε τοῖς ὀξυτά
τοις θεοῖς. ἡλίῳ καὶ ἀνέμοις. καὶ ἄστροις. καὶ ἔρωτι. ὑφ' ὧν κἀγὼ πτη
νὸς γενόμενος, δεῦρο ἐλήλυθα, κινηθεὶς προφάσει κρείσσονι. μή
μου τὴν ἱκεσίαν ὑπερίδῃς. οὐ δὲ γὰρ τὸν πέλοπα ἱπποδάμεια ἠτί
μησε ξένον ὄντα καὶ βάρβαρον. οὐδὲ ἡ ἑλένη τὸν δι' αὐτὴν πάρον-

ται. οὐδὲ Φυλλὶς τὸν ἐκ τῆς θαλάττης, οὐδὲ ἀνδρομέδα τὸν πρὸς αὐτὴν καταπτάντα. ἤδεσαν δὲ ὡς παρὰ μὲν τῶν ἐγχωρίων, μίαν πόλιν λαμβάνουσι. παρὰ δὲ τῶν ξένων πολλάς. εἰ δὲ δοκεῖ, φέρε ἐπισυνθήκαις γινέσθω τὸ πρᾶγμα. ἢ ἐνταῦθα ἀμφότεροι μένωμεν, ἢ μετὰ ἀλλήλων ἐκεῖσε ἀπέλθωμεν. οὐδὲ χρὴ τοῦτο. γνῶθι οὖν ὡς γίνεται μὲν ἰχθὺς ξένος, οὐκ ἀνέχεται. χαίρει δὲ μεταβολαῖς τῆς γῆς οὔσης μιᾶς. τί δὲ ἄγουσι πατρίδες ἢ μέτρα διαλλάττειν νομοθετῶν, ὅροις καὶ πύλαις διαγραφόντων τὰ οἰκεῖα. ἵνα ταῖς εὐνοίαις ξενοχωρῶμεθα ὑπερβαίνειν οἰκνοῦντες τὸ πινάκιον τῆς χωροφιλίας. καὶ μὴν κἀγὼ τοι ἔρωτος ξένος. καὶ σὺ τοι κάλλους. οὐ γὰρ ἡμεῖς πρὸς ταῦτα ἀπήλθομεν. ἀλλ' αὐτὰ πρὸς ἡμᾶς κατῆλθε. καὶ τὴν παρουσίαν αὐτῶν δεδέγμεθα ἡδέως. ὡς τὴν τῶν ἄστρων οἱ πλέοντες. εἰ δέ μοι τὸ, ξένῳ εἶναι μὴ γίνεται πρὸς τὸν ἔρωτα ἐμποδὼν, μὴ δὲ σοὶ κώλυμα ἔστω πρὸς τὸ συνιέναι τῶν ἐρώντων. ταχύ γ' ἂν φυγάδα εἶλε νυμφίον. ὥσπερ ἄδραστος τὸν πολυνείκην καὶ τὸν τυδέα. οὓς γαμβροὺς ἐποιήσατο ἐπὶ τῆς βασιλείας ἔκτισιν. εἴ τις ἀποκλείει καὶ ξένον πυρὸς ἐναῦσαι θέλοντα, ἄγε τὸ καόμενον σβέσαι. μὴ λακώνιζε ὦ γύναι. μὴ δὲ μιμοῦ τὸν λυκοῦργον. ξενηλασίαν ἔρως οὐκ ἔχει.

Μειρακίῳ.

π Ὁσάκις σοι τοὺς ὀφθαλμοὺς ἀνέῳξα ἵνα ἀπέλθῃς ὥσπερ οἱ τὰ δίκτυα ἀναπτύσσοντες τοῖς θηρίοις εἰς ἐξουσίαν τοῦ φυγεῖν. καὶ σὺ μένεις ἑδραῖος κατὰ τοὺς δεινοὺς ἐποίκους. οἳ χώραν ἅπαξ ἀλλοτρίαν καταλαβόντες, οὐκ ἔτι δέχονται τὴν ἀνάστασιν. καὶ δὴ πάλιν ὥσπερ εἴωθα ἐπαίρω τὰ βλέφαρα. ἀπόπτηθι ἤδη ποτὲ καὶ τὴν πολιορκίαν λῦσον. καὶ γενοῦ ξένος ἄλλων ὀμμάτων. οὐκ ἀκούεις, ὅτι καὶ μᾶλλον ἔχει τοι πρόσω καὶ μέχρι

τῆς ψυ

τῆς ψυχῆς, καὶ τίς ὁ καινὸς ἐμπρησμός. κινδυνεύω αὐτῶν ὕδωρ κομίζειν δὲ οὐδείς. ὅτι τὸ σβεστήριον εἰς ταύτην τὴν φλόγα, ἀπόρρητόν τον· εἴτε ἐκ πηγῆς κομίζοι τις εἴτε ἐκ ποταμοῦ λαμβάνοι. καὶ γὰρ αὐτὸ ὑπὸ ἔρωτος τὸ ὕδωρ καίεται.

Γυναικί.

Τί τὸ καινὸν ἀνδρολήψιον τοῦτο. τίς ἡ τυραννίς. ἕλκεις με ἀπὸ τῶν ὀμμάτων, καὶ σύρεις μὴ θέλοντα ὥσπερ τοὺς πλέοντας ἡ χάρυβδις ἀνερρόφα. ἦσαν ἄρα καὶ ἔρωτος πέτραι καὶ ὀφθαλμῶν πνεύματα, οἷς τις ἅπαξ ἐνσχεθεὶς, καταδύεται. τοῦτο μὲν οὖν οὐκ εἶχεν οὐδὲ ἡ χάρυβδις, ἐμπρόθεσμον ἐκεῖνο τὸ ναυάγιον. καὶ μικρόν τις ἀναμείνας, σωτηρίας εὐπορεῖ, δένδρον εὑρὼν ἐν πελάγει μέσῳ. ὁ δὲ εἰς ταύτην ἅπαξ τὴν θάλασσαν καταρρυεὶς, οὐκ ἐπεξέρχεται.

Μειρακίῳ.

Οὓς ὄρνις αἱ καλιαὶ δέχονται. τοὺς ἰχθύας αἱ πέτραι. τὰ ὄμματα τοὺς καλούς. κἀκείνων μὲν, πλάναι μεθισταμένων καὶ μετοικούντων ἄλλοτε ἐπ᾽ ἄλλους τόπους. ἄγουσι γὰρ αὐτοὺς ὡς ἄγουσιν οἱ καιροί. κάλλος δὲ ἅπαξ ἐπὶ ὀφθαλμοὺς ῥυὲν, οὐκέτι ἄπεισιν ἐκ τοῦ τοῦ καταγωγίου. οὕτως κἀγώ σε ὑποδεξάμενος καὶ φέρω πανταχοῦ τοῖς τῶν ὀμμάτων δικτύοις. κἄν τε ἐμπρός τις ἐλθὼν τι μαίνειν μοι δοκῆς κἂν καθῆσθαι πείθων τοὺς λίθους. κἄν τε ἐπὶ θάλατταν, ἀνάγει σε ἡ θάλαττα, ὥσπερ τὴν ἀφροδίτην ὁ βυθός. κἄν τε ἐπὶ λειμῶνα, αὐτῶν τῶν ἀνθῶν ἐξέχεις. καίτοι, οὐδὲν τοιοῦτον ἐκεῖ φυέν. καὶ γὰρ εἰ καλὰ καὶ χαρίεντα ἄγως, ἀλλὰ μιᾶς ἡμέρας. καὶ μὴν ποταμοῦ πλησίον γινόμενος, τὸν μὲν οὐκ οἶδα ὅπως ἠφάνισται σὲ δὲ ῥεῖν αὐτὸ ἐκεῖνο νομίζω καλὸν καὶ μέγα καὶ πολὺ μεῖζον τῆς θαλάττης. ἀποιδὼν δὲ εἰς οὐρανὸν, τὸν μὲν ἥλιον ἡγοῦμαι πεπτωκέναι,

καὶ κάτω ποῦ βαδίζειν. αὐτὸ ἐκείνου γὰρ φαίνειν ὃν ἐγὼ βούλομαι. εἰ γὰρ γένοιτο νύξ, δύο βλέπω μόνους ἀστέρας τὸν ἕσπερον καὶ σέ. Γυναικί.

π Ὅθεν μου τὴν ψυχὴν κατέλαβες; ἢ δῆλον ὅτι ἀπὸ τῶν ὀμμάτων. ἀφ᾽ ὧν γὰρ τὰ ἐρύμνα οἱ βασιλεῖς καὶ τὰ ὑψηλὰ οἱ θεοὶ καταλαμβάνουσιν, οὕτω καὶ ὁ ἔρως τὴν τῶν ὀφθαλμῶν ἀκρόπολιν οὐ ξύλοις οὐδὲ πλίνθοις ἀλλὰ μόνοις βλεφάροις τειχίσας, ἢ συνέχει κατὰ μικρὸν τὴν ψυχὴν εἰσδύεται. ταχέως μὲν ὡς πτηνός. ἐλεύθερος δὲ ὡς γυμνός. ἄμαχος γὰρ ὡς τοξότης. τὰ γὰρ ὄμματα ἐπεὶ πρῶτα συνίησι κάλλους, διὰ τοῦτο μάλιστα καὶ κάεται. θεοῦ τινὸς οἶμαι θελήσαντος αὐτοῖς τὴν αὐτὴν ὁδὸν καὶ τῆς εἰς τὸ βλέπειν ἡδονῆς εἶναι καὶ τῆς εἰς τὸ λυπεῖσθαι προφάσεως. τί γὰρ ὦ κακοὶ δᾳδοῦχοι ἔρωτος καὶ τῆς σωμάτων ὥρας πειθήνιοι μάρτυρες, πρῶτοι μὲν ἡμῖν τὸ κάλλος ἐπυρσεύσατε πρῶτοι δὲ μεμυῆσθαι τὴν ψυχὴν ἐδιδάξατε τῆς ἔξωθεν ἐπιρροῆς. πρῶτοι δὲ ἐβιάσασθε τὸν ἥλιον καταλιποῦσι, πῦρ ἀλλότριον ἐπαινεῖν. τοιγαροῦν ἀγρυπνεῖτε καὶ κάεσθε καὶ λογίζεσθε ἀπαλλαγὴν ὧν εἵλεσθε εὑρεῖν μὴ δυνάμενοι. μακαρίων ὦ θεοὶ τῶν ἐκ γενετῆς τυφλῶν ἐφ᾽ οὓς ἔρως ὁδὸν οὐκ ἔχει. Μειρακίῳ.

α Πέπλανταί σοι τὰ ὄμματα, πῶς σοι εἴπω, ὡς οἱ πολιορκούμενοι τὰς πύλας. καὶ σὺ τὴν φρουρὰν λαθὼν, ἔνδον εἶ. λέγε τίς σε εἰσήγαγεν εἰ μή τι τὰ ὄμματα, ἐρωτικὸν γὰρ κατὰ τῆς ψυχῆς γενόμενον. ἥ γε πάλαι μὲν, μόνα ἐνεθυμεῖτο ἃ ἤθελε καὶ περὶ τὰ κάλλιστα ἐσπουδάκει φιλοσοφοῦσα. καὶ νῦν αὐτῆς ὁ ἔρως τὰ οὐρανοῦ νῶτα ὁρᾶν. καὶ περὶ τῆς κατὰ ταῦτα ὄντως οὐσίας πολυπραγμονεῖν. καὶ τίνες αἱ τοῦ παντὸς περίοδοι καὶ τίς ἡ ταῦτα ἄγουσα ἀνάγκη. τὸ σπέρμα ἐδόκει χαριέστατον. ἡλίῳ συνδραμεῖν καὶ

σελήνῃ. συγκινδυνεύεται μὲν ἀπιούσῃ· συνηβῆναι δὲ πληρουμένῃ· τῷ τε ἄλλῳ χορῷ τῶν ἀστέρων συμπλανηθῆναι· καὶ μηδὲν ἄβατον μηδὲ ἀθέατόν τι καταλιπεῖν τῶν ὑπὲρ γῆν μυστηρίων. ἀφ' οὗ δὲ ἀνθρωπίνῳ πλησιάσασα ἔρωτι ἑάλω κάλλους ὄμμασι, πάντων ἀμελήσασα ἐκείνων, περὶ ἓν τοῦτο ἐσπούδακε. καὶ ὅσον αὖ τῆς ἔξω μορφῆς ἀπέστη, τοσοῦτον ἔνδον συντίθησι. καὶ μνήμῃ ταμιεύεται. τὸ δ' εἴσω παρελθὸν, φῶς μὲν ἐστὶν ἐν ἡμέρᾳ. νύκτωρ δὲ ὄναρ γίνεται.

Γυναικί.

Τὰ μὲν σὰ ὄμματα, φιλῶ· τὰ δὲ ἐμαυτοῦ, μισῶ. τοῖς μὲν γὰρ σύνεσιν πολλὴν συνέγνωκα. τοῖς δὲ, ἄδικον περιεργίαν. ἀναίσχυντα ἐστίν. ἀλλὰ καὶ κρύπτειν οὐδὲν δυνάμενα ὧν ἑώρακεν ἅπαξ. οὐκ ἀφίστηκε γοῦν μου τῇ ψυχῇ λέγοντα. οὐκ εἶδες τὴν εὔκομον, τὴν εὐπρόσωπον; ἧκε. ἀνάβηθι. ἀλλὰ καὶ γράψον καὶ κλαῦσον καὶ δεήθητι. ἡ δὲ, οὐ μάλα πείθεται. πείθεται δὲ παρακούειν μὴ δυναμένη λίχνων δορυφόρων. καὶ γὰρ μὴ βουλομένην, σύροντες ἔξω καὶ βιάζονται φρονεῖν, ὅσα αὐτοὶ προλαβόντες ἐπῄνεσαν. ἀμέλει πρὶν ἔρωτα εἰς γῆν καταπτῆναι, μόνον τὸν ἥλιον ἠπίστατο ἡ ψυχὴ καλόν. καὶ τοῦτο αὐτῇ τὸ θέαμα καὶ θαῦμα ἦν. γευσαμένη δὲ ὥρας ἀνθρωπίνης, ἐκ μὲν τῆς σπουδῆς ἐκείνης κατέπεσεν. εἰς δὲ θητείαν ὑπήχθη πικράν. ἧς ἔργα θυραυλίαι καὶ χαμαικοιτίαι καὶ ἡ πρὸς θάλπος καὶ χειμῶνα ἀντίταξις καὶ ἡ μὴ ἀνάειρη ἐῶσα. πρὸς τὸν ἀντεραστὴν μάχη. τούτων δὲ ἓν πάντων σὺ τὸ φάρμακον. ἔργον ἐφημέρου ποιήματα ἀθάνατα, καὶ βραχείας σώματος ἡδονῆς, μνήμην ἀντιλαβοῦσα ἀγήρω. ἃ μὲν γὰρ δώσεις, κοινὰ καὶ ῥᾴδια τοῦ θήλεος παντός. ἃ δὲ κτήσῃ ἀντὶ τούτων, οὔτ' ἂν εἴποιμι. ὅσα εὔνοια. καὶ μνήμη καὶ εὐχαὶ ἀφ' ὧν καὶ μήτηρ καὶ πατὴρ τιμᾶται.

Μειρακίῳ.

εθ Ἀγαμέμνων ὅτε μὲν ὀργῆς ἐκράτει, καλὸς ἦν καὶ οὐ χεῖρον θεῷ ἀλλὰ πολλοῖς ὅμοιος. ὄμματα καὶ κεφαλὴν ἴκελος Διὶ τερπικεραύνῳ. Ἄρεϊ δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι. ὅτε δὲ ἐνεχειμόνει τῇ γλυκύτητι τοῦ θυμοῦ, καὶ πρὸς τοὺς ἑταίρους ἠγρίωτο, ἔλαφος καὶ κυνῶν ἐνομίζετο. καὶ τὰ τοῦ Διὸς ὄμματα οὐδαμοῦ. σῦς μὲν γὰρ ὀργίζεται καὶ κύνες καὶ ὄφεις καὶ λύκοι καὶ ὅσα ἄλλα οὐ χρῆται λογισμῷ θηρία. καλὸς δὲ αὐτὸς καὶ μὴ γελάσας μόνον λυπεῖ. μήτοιγε καὶ σκυθρωπότερος ἑαυτοῦ γινόμενος. οὐ πρέπει δὲ οὐδὲ ἡλίῳ τοῦ προσώπου νεφέλην προβάλλεσθαι. τίς ἡ κατήφεια αὕτη. τίς ἡ νύξ. τί τὸ συννὸν σκότος τοῦτο. μειδίασον. κατάστηθι. ἀπόδος ἡμῖν τὴν τῶν ὀμμάτων ἡμέραν.

Γυναικί.

ἐ Χθές σε ὀργιζομένην κατέλαβον καὶ ἔδοξα ἄλλην βλέπειν. τοῦτου δὲ αἴτιον, ἡ τοῦ θυμοῦ ἔκστασις, ἀκριβῶς σοι συγχέασα τὴν τοῦ προσώπου χάριν. νῦν δὴ μεταποίει σεαυτήν. μὴ δὲ ἄγριον βλέπε. οὐδὲ τὴν ἀφροδίτην καλὴν ὅταν ὀργίζηται ἢ δακρύῃ. οὐδὲ τὴν ἥραν βοῶπιν ὅταν χαλεπαίνῃ τῷ Διί. οὐδὲ τὴν θάλατταν ὅταν ταράττηται. ἡ δὲ ἀθηνᾶ καὶ τοὺς αὐλοὺς ἔρριψεν. ὡς τὸ πρόσωπον αὐτῆς συγχέοντας. ἤδη καὶ τὰς ἐρινῦς εὐμενίδας καλοῦμεν ὡς τὸ σκυθρωπὸν ἀρνουμένας. καὶ ταῖς ἀκάνθαις τῶν ῥόδων χαίρομεν ὅτι ἐξ ἀγρίου θάμνου καὶ λυπεῖν καὶ κεντεῖν εἰδότος γελῶσιν ἐν τοῖς ῥόδοις. ἄνθος δ' ἐστὶ καὶ γυναικὸς ἡ τοῦ προσώπου γαλήνη. μὴ τραχεῖα γίνου μηδὲ φοβερά. μηδὲ ἀποστεφάνου τὸ κάλλος. μὴ δὲ ἀφαιροῦ ῥόδων σεαυτὴν ἃ τοῖς καλοῖς ὑμῖν ἐν τοῖς ὄμμασι φύεται. εἰ δὲ ἀπιστεῖς οἷς λέγω, τὸ κάτοπτρον λαβοῦσα, ἴδε σου τὸ πρόσωπον ἠλλαγμένον. οὐ γάρ τι ἐπεστράφης. ἢ γὰρ ἐμίσησας ἢ ἐφοβήθης ἢ οὐκ ἐσυνώθησας. ἢ μετενόησας.

Μειρακίῳ.

π Ἐπεισαι μὲν ὡς εἶ καλὸς· τοῦ δ᾽ ἔργου τὴν αἰσχύνην ὀκνεῖς. εἰς τὰ πράγματα ἀποδιδράσκεις. ἀφ᾽ οὗ τις φίλος γίνεται. οὐκ ἐντεῦθεν ἐπληρώθη καλῶν τὰ ὁμήρου ἔπη, τὸν νιρέα τὸν ἀχιλλέα εἰς τροίαν ἄγοντος; οὐκ ἐντεῦθεν ἁρμοδίου καὶ ἀριστογείτονος ὅσοι φίλοι καὶ μέχρι τῶν ξιφῶν; ὁ δὲ ἀπόλλων οὐκ ἀδμήτῳ καὶ βραγχῷ ἐθήτευσεν; ὁ δὲ ζεὺς οὐ τὸν γανυμήδην ἥρπασεν ᾧ χαίρει καὶ πρὸ τοῦ νέκταρος; μόνοι γὰρ ὑμεῖς οἱ καλοὶ καὶ τὸν οὐρανὸν οἰκεῖτε ὡς πόλιν. μὴ φθονήσῃς ἐραστοῦ σεαυτῷ δοῦναι μὲν ἀθανασίαν οὐκ ἔχοντος· τὴν δὲ αὐτοῦ ψυχὴν ἔχοντος. εἰ δὲ ἀπιστεῖς, ἕτοιμος ἀποθνήσκειν, ἂν ἐπιτάττῃς τοῦτο μοι. εἰ δὲ βλέπω τὸν βρόχον ἀπάνθρωπε οὐ καθαιρήσεις;

Γυναικί.

κ Ἐλπίζεις μοι μὴ βλέπειν, κἀγὼ σοὶ μὴ βλέπεσθαι. τίς τοῦτο κελεύει νομοθέτης. τίς δὲ ἐκείνῳ. εἰ δὲ μηδέτερον κεκώλυται, μήτε σεαυτὴν ἀφαιροῦ τῆς εἰς ἐπίδειξιν εὐδοκιμήσεως, μήτε ἐμὲ τῆς εἰς τέρψιν ἐξουσίας. οὐδὲ πηγὴ λέγει μὴ πίῃς· οὐδὲ ὀπώρα μὴ λάβῃς. οὐδὲ λειμὼν μὴ προσέλθῃς. ἕπου γοῦν καὶ σὺ τοῖς νόμοις. καὶ διψῶντα παῦσαι ὁ δυσπόρον ὂν τὸ σὸν ἄστρον ἀπώλεσεν.

Γυναικὶ ὑπάνδρῳ.

τ Ὁ μὲν ἔρως ἐν αὐτῷ τῷ ἀνδρὸς αὐτῷ τῷ μοιχοῦ γίνεται· τὸ δὲ κινδύνῳ σφαλερώτερον, τῇ χάριτι μεῖζον. οὐ γὰρ οὕτως τὸ φανερὸν εὐφραίνει τῆς ἐξουσίας, ὡς τὸ ἀπόρρητον τῆς ἡδονῆς. πᾶν δὲ τερπνότερον τὸ κεκλεμμένον. οὕτω καὶ ποσειδῶν ὑπῆλθε πορφυρῷ κύματι· καὶ ζεὺς χρυσῷ ὕδατι καὶ βοῒ καὶ δράκοντι καὶ ἄλλοις προκαλύμμασιν. ἀφ᾽ ὧν διόνυσος καὶ ἀπόλλων καὶ ἡρακλῆς οἱ ἐκ μοιχῶν θεοί. λέγει δὲ ὅμηρος καὶ τὴν ἥραν ἰδεῖν αὐτὸν τότε ἡδέως, ὅτε αὐτῇ συνῄει λάθρα. τὴν γὰρ ἀνδρὸς ἐξουσίαν μετέθηκεν εἰς κλοπὴν μοιχοῦ.

ὁ Καλὸς ἂν μὲν ᾖ θηριώδης, πῦρ ἐστιν· ἂν δὲ ἥμερος, φῶς. μὴ κάε οὖν ἀλλὰ σῶζε. καὶ τὸν ἐλέου βωμὸν ἐν τῇ ψυχῇ ἔχε. αὐτίκα λαβὼν βέβαιον φίλον ὠκυμόρου δωρεᾶς. καὶ φθάσας τὸν χρόνον ὃς μόνος καταλύει τοὺς καλοὺς ὥσπερ οἱ δημοτικοὶ τοὺς τυράννους. ὡς δέδοικά γε, ὃ φρονῶν εἰρήσεται, μὴ μέλλοντός σου καὶ βραδύνοντος, τὰ γένεια ἐπέλθῃ· καὶ τὴν τοῦ προσώπου συσκιάσωσι χάριν· ὥσπερ εἴωθε τὸν ἥλιον κρύπτειν ἡ νεφῶν συνδρομή. τί δέδοικα ἅπερ ἔστιν ἤδη βλέπειν; ἕρπει μὲν ὁ ἴουλος. αἱ δὲ παρειαὶ χνοάζουσι. τὸ δὲ πρόσωπον ὅλον ἀνθεῖ. φεῦ μέλλοντες ἐγηράσαμεν. σὺ μὲν θᾶττον εἰκάσαι μὴ θελήσας. ἐγὼ δὲ ὀκνήσας δεηθῆναι. πρὶν οὖν σου τὸ ἔαρ ἀπελθεῖν ὅλον καὶ χειμῶνα ἐπιστῆναι, δὸς αὐτὸ πρὸς ἔρωτος. πρὸς τούτων τῶν γενείων ἃ δεῖ με αὔριον ὀμνύναι.

Γυναικί.

ὁ Μοιχὸς καὶ πείσας, σφαλερώτατον ἀνάλωμα· καὶ ὀδυνηρὸν μὴ τυγχάνων. τῆς μὲν γὰρ εὐπραγίας κίνδυνος ὁ νόμος. τῆς δὲ λύπης μισθὸς ὁ ἔρως. φοβεῖσθαι δὲ ἄμεινον τυχόντα ὧν βούλεταί τις, ἢ ἀνιᾶσθαι ἀμελούμενον.

Μειρακίῳ.

Πανῶ σε αὖτις σοφιζόμενον περὶ χρόνῳ καὶ περικόπτοντα τὰ γένεια· ὃ γὰρ ἀπῆλθε φύσει, τοῦτο μὲν τέχνῃ· ἡ δ' ἐστὶν ἡ τῶν ἀπολλυμένων ἀνάκλησις. ὥστε ἐμοὶ συμβουλεύοντι πείθου. τῇ μὲν κεφαλῇ, κόμα. καὶ μελέτω σοι τῶν βοστρύχων. ὡς τοὺς μὲν ταῖς παρειαῖς συγκαταβαίνειν ἠρέμα. καὶ ταῦτά σου τὰ γένειά τις ἀφαιρήσεται ῥᾳδίως ὅτε βούλεται. τοὺς δὲ, τοῖς ὤμοις ἐπικαθῆσθαι καθάπερ φησὶν Ὅμηρος τοὺς Εὐβοεῖς ὄπιθεν κομόωντας. κεφαλὴ γὰρ ἀνθοῦσα ἡδίων πολὺ τοῦ τῆς Ἀθηνᾶς φύλλου. ἐπεί γε δεῖ καὶ ταύτην τὴν ἀκρόπολιν μὴ ψιλὴν ὁρᾶσθαι μηδὲ ἀκόσμητον. τὰ δὲ γένειά σοι ψι-

ἔστω δὲ μηδεὶς ἐνοχλείτω τῷ φωτὶ τούτῳ μήτε νεφέλη μήτε ἀχλύς. ὡς γὰρ οὐχ ἡδὺ θέαμα κεκαλλωπισμένα ὄμματα, οὕτως οὐδὲ γέρα καλοῦ κομῶντα. εἴτε οὖν φαρμάκοις εἴτε μαχαίραις λεπταῖς εἴτε ἄκροις δακτύλοις, εἴτε ῥύμμασι πόαις, εἴτε ἄλλῃ τινὶ μηχανῇ πρᾶττε σεαυτῷ τὸ κάλλος μακρότερον. οὕτως γὰρ ἔσῃ μιμούμενος τοὺς ἀγήρω θεούς.

Γυναικί.

ε Χθὲς συγκλείσασα τὰ βλέφαρα ὅσον ἡσυχῇ σκαρδαμύξαι πολὺν ἡγούμην τὸν χρόνον. ἀμέλει τοῖς ὀφθαλμοῖς ὡς ἀνεράστοις ἐνεκάλουν. τί δὴ αὐτῆς ἐπελάθεσθε. τί δὲ τὴν φρουρὰν ἐξελίπετε. ποῦ δέ ἐστι. τί γέγονε καὶ τοῦτο αὐτὸ μηνύσατε. νομίσας δὲ ἀκοῦσαι, ἀπῆλθον ἔνθα σε ὄψεσθαι ᾤμην. καὶ τοῦτο ἐκεῖνο ἐζήτουν ὡς ἡρπασμένην. τί οὖν μέλλω ποιεῖν ἐὰν ἐξελάσῃς εἰς ἀγρὸν ὥσπερ ἔστι καὶ πολλῶν ἡμερῶν τὰς ἐν ἄστει διατριβὰς καταλίπῃς. ἡγοῦμαι ἀναγκαῖον σαφῶς ἀπολωλέναι μηδὲν ἔχοντα ἡδὺ μήτε ἀκούειν ἔτι μήτε ὁρᾶν. ἐγὼ μὲν γὰρ ἐκθειάσαι νομίζω καὶ τὴν πόλιν ἀξιούσῃ καὶ αὐτοὺς τοὺς ἐν ἄστει θεοὺς ἑλκομένους ὑπὸ σῆς θέας. τί γὰρ ἐνταῦθα μόνοι ποιοῦσιν. εἰ δὲ κἀκεῖνοι κατὰ χώραν μένουσιν, ἀλλ᾽ ἔγωγε οὐκ ἀπολειφθήσομαι τοῦ ἔρωτος ἐφόλκιον. εἰ δὲ καὶ σκάπτειν δέοι, λήψομαι τὴν δίκελλαν. εἴτε κλᾶν, θεραπεύσω τὰς ἀμπέλους. εἴτε ἐπάγειν λαχάνοις ὕδωρ, ὁδοποιήσω τὸν δρόμον. τίς γὰρ οὕτω τυφλὸς ποταμὸς ὡς σὴν γῆν μὴ γεωργεῖν. ἓν ἐξόμνυμαι τῶν ἐν ἀγροῖς εἰθισμένων. ἀμέλγειν γάλα. μόνων ἡδέως τῶν σῶν μαστῶν ἅπτομαι.

Τί μοι τὰ γένεια ὦ παῖ δεικνύεις; οὐ πάνυ καλῶς ἀλλ' ἀρχή· τὸ μὲν γὰρ ὀξὺ τῆς ὥρας παρελήλυθεν ὅσον ἔτι πιθανὸν καὶ ἄπιστον, καὶ καθάπερ πυρὸς ὁρμὴ σβέννυται· τὸ δὲ ἑδραῖον καὶ βέβαιον μένει. χρόνος δὲ οὐκ ἐλέγχει τοὺς ἀληθῶς καλούς, ἀλλὰ δεικνύει καὶ μαρτυρεῖ μᾶλλον αὐτοῖς ἢ φθονεῖ. τὸν γοῦν ὑπηνήτην καὶ Ὅμηρος λέγει χαριέστατον. τί κωλύει, εἰ δῶς κάλλος καὶ βλέπειν καὶ ποιεῖν; οὐκ αὖ δέ ποτε τοῦτο ἀπεφαίνετο, εἰ μὴ πρῶτος αὐτὸς ἐρωμένου ἥψατο γενείου καὶ κατεφίλησε. πρὶν μὲν γὰρ ἀνθεῖν, οὐδὲν ἀπεῖχον γυναικὸς αἱ σαὶ παρειαὶ οὖσαι ἁπαλαὶ καὶ διαυγεῖς· ὅτε δὲ ἤδη χνοάζεις, ἀνδρικώτερος εἶ σεαυτοῦ, καὶ τελεώτερος. ἀλλὰ τί; ἤθελον μηδὲν εὐνούχου διαφέρειν οἷς τὰ γένεια ἄκαρπα καὶ σκληρὰ καὶ λιθίνοις ὅμοια, αἰσχύνονται γοῦν οἱ ἀλιτήριοι ταύτῃ τῇ τομῇ μᾶλλον ἢ ἐκείνῃ· τὴν μὲν ἀπόρρητον νομίζοντες· τὴν δὲ, σαφέστατον ἔλεγχον τῆς ὄψεως.

*

ΘΕΟΦΥΛΑΚΤΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ ΤΟΥ ΣΙΜΟΚΑΤΟΥ ΕΠΙΣΤΟΛΑΙ ΗΘΙΚΑΙ ΑΓΡΟΙΚΙΚΑΙ ΕΤΑΙΡΙΚΑΙ.

Ηθ. Κριτίας. Πλωτίνῳ.

Τέττιξ ὁ μουσικὸς ἦρος φανέντος τῆς μελῳδίας ἀπάρχεται· ᾠδικώτερος δὲ τοῖς ᾄσμασι καὶ τὴν φύσιν λαλίστερος ὥρᾳ μεσημβρίας συνωρίζεται ἀκτίνων ὥσπερ τῶν ἡλιακῶν μεθυσκόμενος. τερετίζει γοῦν ὁ μελῳδὸς βῆμα τὸ δένδρον ποιούμενος· θέατρον τὸν ἀγρόν· καὶ τοῖς ὁδίταις τὴν μουσικὴν ἐπιδείκνυται. ᾆσαι νῦν καὶ ἡμεῖς τὰς σὰς ἀρετὰς ἐπειγόμεθα. ἐν θάλπουσι γάρ πως καὶ ζωπυροῦσι πρὸς ἐγκώμιον τὰ ὑμέτερα. πάλαι γὰρ νεκρωθέντας ἡμᾶς τῷ ῥυπώδει βίῳ, ἐν τῇ σῶν γραμμάτων πρὸς ἀρετὴν ἐψυχώσας. οὕτω γνώριμον ὁ Κριτίας Πλωτῖνος. ἢ σώματος ἐκτὸς φιλοσοφεῖ ὁ ἐπὶ γῆς. ἢ φιλοσοφία σωματωθεῖσα μετ' ἀνθρώπων ὡς ἄνθρωπος ἀναστρέφεται.

Αγρ. Δόρκων. Μόσχωνι.

Ταξίαρχος τῶν προβάτων ὁ θαυμαστός μοι κριὸς ἀπόλωλε· καὶ ποιμαντικῆς ἡγεμονίας χηρεύει τὰ θρέμματα. κακόν τι πεπόνθαμεν μέγιστον. καίτοι μοι δοκῶ χαλεπαίνειν τὸν Πᾶνα. οὐ γὰρ ταῖς σίμβλων αὐτὸν ἀπαρχαῖς ἐτιμήσαμεν. διὸ πρὸς ἄστυ χωρῶ τὸν ὄργιλον πρὸς

βουλόμενος. καὶ τοῖς πολίταις τὴν ἀπήνειαν διηγήσομαι. φή-
σασι, διὰ μελιττοῦται ὁ πᾶν τὸ ποιμνίον μου τὸν ἡγεμόνος
διώλεσεν.

ΕΤ. Θεανὼ Εὐκλείδῃ.

Φυσικὸς σοι κόσμος προῴχηκε, καὶ ῥυτίδων ἐπὶ σοὶ ἡ εὐ-
ὁ πρέπεια. σὺ δὲ χαράττειν ὑπὸ χειρὸς τὴν ἀλήθειαν ὑπὸ
πλάστῳ κόσμῳ τοὺς ἐραστὰς ἐκφαυλίζουσα. πειθάρ-
χει χρόνῳ γραίδιον. οὐ γὰρ εὐπρεπεῖς οἱ λειμῶνες ἐν μετοπώρῳ
τοῖς ἄνθεσι. μέμνησο καὶ θανάτου. τούτῳ γὰρ ἐγγειτνιάσασα καὶ σω-
φροσύνην ἐξ ἀνάγκης ἀσκεῖν ὑποτίθεται. τὸ γῆρας γὰρ ἀδικεῖς καὶ
νεότητα. τὴν μὲν γὰρ ἐπαγγελλομένη διέψευσαι. τὸ δὲ κεκτη-
μένην ἐνόθευσας.

ΗΘ. Εὐαγόρας Ἀντιπάτρῳ.

Ῥοῦς ὁ δημιουργὸς καὶ τῷ θαλαττίῳ διετάξατο κλύ-
ὅ δωνι. ὅ τε τοῖς αἰγιαλοῖς τὸ πελάγιον κεχαλίνωται ῥεῖ-
θρον. καὶ ψάμμος τις ὑπὸ μικρᾷ ἠπείρῳ τῇ θαλάσσῃ
μεθαίχμιον. οὐ γὰρ ἀδικεῖν ἡ θάλασσα τὴν γείτονα γῆν συγκεχώρηται.
παλινδρομεῖ δὲ πρὸς ἑαυτὸ τὸ ῥεῖθρον μαινόμενον. μεγάλην ἀ-
πειλῆσαν τῇ χέρσῳ τὴν ἔφοδον. ὅρους τοιγαροῦν ὦ Ἀντίπατρε τῷ
σῷ νομοθέτει θυμῷ, ὑπηρέτιν χεῖρα τῆς ὀργῆς μὴ ποιούμενος. τὸ
μὲν οὖν συμφιλοσοφεῖν ταῖς χερσὶ καὶ τὴν γλῶτταν, ἐντελοῦς ἀ-
ρετῆς ὅρος ἀκρότατος. εἰ δὲ μὴ ταύτης κρατεῖν οἷός τε εἶ,

ὕβρεσι

ὕβρεσι τὸν θυμὸν ψυχαγωγεῖ. ἐοικυῖαν ὑλακτοῦσιν ἐοικέναι βεβούλησθαι. οὕτω γοῦν καὶ χαλεπαίνουσα θάλαττα, ἀφροῦ περαιτέρω καὶ σάλου τὰ τῆς ὀργῆς οὐκ ἐνδείκνυται.

Αγρ. Αἴσχρος. Πλάτωνι.

κ Ακὰς γείτονας ὦ φίλος τοὺς γραῦς κεκτήμεθα. πόλεμον ἀθάνατον τὸν περὶ τὸ ἥδιον ὄρον ἔχουσιν οὔτε γὰρ τοῖς πατράσι τοῖς ἡμετέροις ἐπαύσαντο. οὔτε τοῖς μετ' ἐκείνους ἡμῖν τὸν πόλεμον διελύσαντο. καίτοι ἀπαρχαῖς τοῦ θερισμοῦ, πολλάκις αὐτοὺς ἐτιμήσαμεν. ἀλλὰ καὶ μοῖραν τοῦ γλεύκους τινὰ ὡς πρὸς ὀργάδα θεῶν τοῖς ἀχαρίστοις δεδώκαμεν. ἀλλ' οὐκ αἰδέσιμα τὰ δῶρα παρ' ἐκείνοις ὡς ἔοικε. τοιγαροῦν ἅπαντες τὴν ἐντεῦθεν ἀπαίρομεν. πέτρας γὰρ ἡμῖν γεωργεῖν συμφορώτερον, ἢ πεδία καὶ γηλόφους οἰκεῖν, χαλεποὺς κεκτημένοις τοὺς γείτονας.

Ετ. Ερατὼ Τερψιθέᾳ.

τ Ον χρυσοῦν Καλλικράτην εἰκόνα σοι γεγραφέναι φασί. τὴν δὲ γραφικὴν οὐ Τερψιθέαν οἶμαι δηλοῦν, ἀλλὰ τὴν λαικαίναν Ἑλένην. ναὶ μὰ τοὺς ἀψευδεῖς Παρρασίου πίνακας. τοιγαροῦν κατὰ τῆς τέχνης καὶ τὴν φύσιν ἠδίκηκας. τὴν μὲν συνθεῖσα σὺ τὴν δὲ, σοφισαμένη. ψεύσασθαι γὰρ τὴν Παρρασίου τέχνην ἠνάγκασας. καὶ τὰ μὴ προσόντα σοι διαποικίλλουσα τοῖς πίναξιν, ὡς περὶ τὰ τῆς φύσεως καλλωπίζουσα σφάλματα. καὶ πολλὴν ἐκείνης τὴν ἀτεχνίαν δεικνύουσα. ἐγὼ δὲ καὶ τοῦ γραφέως ἐπαινέτις εἰμί.

οὐ γὰρ τῆς ἀπὸ ἀμορφίας εἶναι ζωγράφος ἠνέχετο. καὶ τῆς φύσεως τὴν σοφίαν τεθαύμακα, κακίστης ψυχῆς σώματος εὐπρεπείᾳ μὴ προσδήσασαν.

Ηθ. Σωσίπατρος Τερπάνδρῳ.

Ὅμως οὐδὲ τοῖς ἵπποις ὥς γέ μοι δοκεῖ, καὶ μάλα σοφός,
μ ἐπαινῶ γὰρ ἐγὼ τὸ περὶ ταύτας λίαν φιλόστοργον. ἀλλὰ τίς ὁ νόμος αὐτοῖς. τὴν ὑπομάζιον ἵππον ὅταν ἐν δέει τῆς θρεψαμένης θεάσοιντο, καὶ πόρρω που τὴν τεκοῦσαν οἷα συμβαίνει τὴν τοῦ γεννήματος, δρῶσί τι γεννικόν. οὐ γὰρ τῆς ἑαυτῶν ἐπιλανθάνονται φύσεως. καὶ περιθάλπουσι τὸ μινωθὲν κατ' οὐδὲν δυσχεραίνουσαι, ὥσπερ ἔγγονα συνεχῆ τε καὶ συνήσια. καὶ φύσις μὲν τούτοις οὕτω φρονεῖν. οὐ γὰρ Σόλωνος ἠνάγκασε νόμος. μετοχετεύσω τὸν λόγον πρὸς σέ. τὸν ἀδελφιδοῦν ὑπερορᾷς θύραν ἐκ θύρας ἀμείβοντα. ἀθλιώτατον τριβώνιον ἀμπεχόμενον. τῶν ἀλόγων ὄντως ἀλογώτερόν σοι τὸ φρόνημα. κύνας ἀλλοτρίους σιτίζεις. οὕτω γὰρ τοὺς περὶ σὲ κόλακας εἰπεῖν οἰκειότερον. εὐνούστατοι γὰρ εἶναί σοι δόξουσι μέχρις ὅτου τοῖς σοῖς ἐπεντρυφῶσιν ὦ δείλαιος. ὑλακτήσουσι δὲ πάντως καὶ σέ, ἔτι τῆς κραιπάλης τὸ ἔναγχος ἐρευγόμενοι. κολάκων γὰρ φύσις καὶ μνημονικὸν πρὸς κακίαν, καὶ τῶν ἀγαθῶν εὐεπίληστον. ὀψέ ποτε τὸν ἀδελφιδοῦν περίθαλπε Τέρπανδρε. εἰ δὲ μή, τὴν πρόνοιαν ἀκαταγώνιστον ἕξεις πολέμιον τοῖς δακρύοις τῆς φύσεως τὴν ἑαυτῆς ἀκονήσασαν μάχαιραν.

Αγ.

Ἀγρ. Δάφνων. Μύρωνι.

Ἔχει τινὸς ὑποκοιλαίνεσθαι τὸ πεδίον. καὶ τὸ καταμβρῆ-
μ σαν ὕδωρ ὑπερροφήσεις ὦ δείλαιος. ἦ τάχα μοι ἐλλι-
μώττειν τοὺς παῖδας διὰ τὸ κάταυχμον μηχανᾶ.
τὸ σὸν μὲν γὰρ περιλιμνάζεται πεδίον· τὸ δ᾽ ἡμέτερον καὶ φύ-
σιν ἠγνόησεν ὕδατος. ἐρωτάθωσαν πρὸς θεῶν αἱ νεφέλαι, εἰ μό-
νῳ τῷ Δάφνωνι ἀφιᾶσι τὸ ὕδωρ. ἀνὴρ ὑπόφθονος μέγα κακόν. εἰ
δὲ καὶ τὸ γείτων εἶναι κεκλήρωται, ἀπαραίτητον τὸ δυστύχημα,
καὶ θανάτῳ μόγις παυσόμενον.

Ἑτ. Εὐίππη Δεξικράτει.

Νάτῃ φθίνοντος ἀνθεστηριῶνος ἐπανήκειν πρὸς ἡμᾶς
ε̄ ἐπηγγέλλω. καὶ διέψευσαι τὰς συνθήκας Δεξίκρα-
τες. ἐμοὶ δὲ καὶ ἀπηθηλώθησαν αἱ φρένες ὑπὸ τοῦ ἔρω-
τι. καὶ δαλοῦ δίκην τὸ περιστέρνιον ἐκπεφλόγισται. ἀπεκόττα-
βιζον δὲ καθημέραν τὰ δάκρυα. καὶ τὴν σὴν ὠνειροπόλουν ἐ-
πάνοδον. ὁ δὲ τῶν θυρῶν ψόφος, ἀεί μοι φαντασίαν τῆς σῆς πα-
ρουσίας ἐγγύετο. σὺ δὲ Δεξίκρατες μετοχετεύεις ἐφ᾽ ἕτερα τὸν
ἔρωτα. καί σοι τὸ ξένον ἀεὶ τιμιώτερον. τῷ γὰρ ταχίστῳ κόρῳ
αἱ τῶν ῥαθύμων ψυχαὶ δουλαγωγεῖσθαι εἰώθασιν. ἄπιστόν τι
χρῆμα πόθος καὶ ἔρωτος. βληθήσῃ καὶ αὐτός ποτε. τῶν γὰρ
ἀδικουμένων αἱ συμφοραὶ ἐπὶ τοὺς ἀδικήσαντας μετα-
βαίνουσιν.

Ἰὰν ἀγνοῶ σ' ἀκήκοα σε τὴν πενίαν ὀδύρεσθαι καὶ κα
λ κίζειν τὸν πλοῦτον ὡς οὔτε παρὰ τοῖς ἀνθρώποις ἀνώ-
μαλον, τοῖς μὲν, ἐφικτὴν, τοῖς δὲ δυσέφικτον τὴν ἑαυ
τοῦ παρεχόμενον κτῆσιν· ὥσπερ βασκαίνουσαν ἐν τούτῳ τοῖς
ἀνθρώποις τὴν φύσιν. εἰ γὰρ ἡλίου λαμπηδόνος τοῖς ἀνθρώποις
ἐξ ἴσης καὶ πυρὸς ἀφθονία τοῖς ὅλοις ἐστὶ προχειροτάτη, καὶ πο-
ταμῶν ῥεῖθρα χειμάρρων τε καὶ ἀενάων ἅπασιν ἐστὶν εὐπόριστα,
τί δήποτε ἔφης τὸν χρυσὸν ἡ φύσις οὕτως ἀπηκριβωμένον τοῖς ἀν-
θρώποις διέθετο· καὶ φιλόνεικον δῶρον τοῖς ὑπὲρ σελήνην ἀπένειμε.
δι' οὗ μέγιστα κακὰ τοῖς ἀνθρώποις φοιτῶσιν· ἐγὼ δὲ πλατὺν γέ
λωτα τῶν σῶν κατεχέω δογμάτων· αὐτὸν γὰρ τὸν τῆς φύσεως
ἔπαινον ὑπόθεσιν ψόγου πεποίησαι. ταυτὸν πέπονθας τῇ γλαυ
κί. ἀβλεψίας γὰρ αἴτιον ἐκείνῃ δοκεῖ τὰς περιφανεῖς ἡλίου ἐκ
λάμψεις. λυσιτελῶς λιμώττει χρυσοῦ τὸ ἀνθρώπειον γένος σωσί/
παζε. ἐντεῦθεν γὰρ καὶ τέχναι τῷ βίῳ εἰσηνέχθησαν καὶ πόλεις ᾠκίσθη
σαν· καὶ συναλλαγμάτων ὑμάρξα. εἰ δὲ δεῖ συλλήβδην εἰπεῖν, πά
σης εὐκοσμίας ἐστέρητο ἂν τὸ περίγειον ἐν διαίτημα, εἰ μὴ χρυσὸς
τοὺς ἀνθρώπους ἀλλήλων ἐνδεεῖς ἐπεκτήνατο. οὐ γὰρ ἂν πλωτὴρ
ἐναυτίλλετο· οὐχ ὁδοιπόρος ἐνεπορεύετο· οὐκ ἀροτῆρα βοῦν οἱ γεωρ
γοῦντες ἐκέκτηντο· οὐ βασιλικῆς ἡγεμονίας ἐπρεσβεύετο σκῆ-
πτρα· οὐκ ἀρχαῖς τε προσφόροις τὸ ὑπήκοον ἐκεκόσμητο· οὐ στρα
τηγὸς ἐδημαγώγει τὸ στράτευμα. εἰ δὲ τὸν ἀπόρρητον λόγον θέλεις
μαθεῖν, ἀρετῆς καὶ κακίας ὁ χρυσὸς τὰς ἡνίας πεπίστευται· καὶ βα
σανίζει τὴν ἔφεσιν ψυχῆς δι' αὐτοῦ. τῷ κελτικῷ ποταμῷ ἐστὶν ἐ-
φάμιλλος.

φάμιλλος· νόθος γὰρ ἀρετῆς καὶ κακίας ἔλεγχός ἐστιν ἀληθέστατος.

Ἀγρ. Καλλίσταχος. Κυπαρισσίωνι.

τ Ων ἀκάρπων καὶ ἀνημέρων δένδρων τὴν φύσιν ὁ Σιμιχίδας χθές που ἐνέπρησε· τοιαύτην γὰρ τὴν καταδίκην τοῖς ἀτελεσφορήτοις ἐψηφίσατο δένδροις. ἡ δὲ τοῦ παμφάγου πυρὸς φύσις τὴν ὁρμὴν ἔχειν ἀκόλαστον, καὶ τοῦ ἀγροῦ γείτονος ἄφνω τὸ χωρίον ἀπώλεσεν. ὁ δέ, τὴν διφθέραν ἀφεὶς καὶ τὴν δίκελλαν, πρὸς ἄστυ χωρεῖ ῥήτορα ληψόμενος σύμμαχον· καὶ περὶ Σιμιχίδα δικαστήριον συγκεκρότηται. τοῦτο κἀγὼ Κυπαρισσίων κατὰ σοῦ σκευωρήσομαι, εἰ μὴ τοὺς σοὺς μελίττας προστάξειας τῶν ἐμῶν λειμώνων ἀπέχεσθαι, καὶ μαθήσῃ ἀλλοτρίοις ἔργοις μὴ ἐπικτῆσθαι πρόσοδον ἄδικον.

Ετ. Μελπομένη. Πραξιμίλλῃ.

ε Πὶ τὸ λευκόχροον τὰς διατριβὰς ἡ αὐλητρὶς Χρυσογόνη πεποίηται· τάχα που καὶ τέρπειν οἴεται τοὺς ἐμοὺς ἐραστάς· καὶ φησὶν ἡμᾶς τὸ κερνίδιον ἄγαν δυσαναχετεῖν ἐπὶ τῷ πράγματι. ἐγὼ δ᾽ οὐ περὶ πολλοῦ πεποίημαι τὸ πραττόμενον. τοὺς γὰρ ἐραστὰς ὁποῖοι ὄντες τυγχάνουσι πρὸς ἡμᾶς, τὰ δὲ Χρυσογόνης βασανίσειεν ἤθη. ἀλλὰ γενοῦ μοι πρὸς θεῶν ἀψευδοῦς ἀποκρίσεως σαφέστατος ἄγγελος. καὶ τῇ Λακαίνῃ φράσον· μεγίστας σοι χάριτας τούτου γε ἕνεκα Χρυσογόνῃ ὀφείλομεν. τῇ σῇ γὰρ ἀμορφίᾳ σεμνότερα δειχθήσεται τὰ ἡμέτερα· ἐπεὶ καὶ

πολλοῖς μὴ φανερὸς ἢ κόραξ τ' εὐπρεπέσι καὶ τὸ λοιπὸν ἠθήσει ὄρνισιν.

Ηθ. Αρίστων Νικίᾳ.

Φιλομαθέστατον ζῷον φασὶ τὸν ἐλέφαντα· καὶ ἀνθρωπεί
ων διδαγμάτων μάθησιν ὑποδέξασθαι. οὐ γὰρ ὁ τοῦ σώμα
τος ὄγκος θαυμαστὸς περὶ αὐτῷ, ὅσον ὁ περὶ παιδείαν κόσμος
τετίμηται· καὶ ταῦτα μὲν παῖδες περιθρυλλοῦσιν Ἰνδῶν. ἐγὼ δὲ τοῦ
Νικίου τεθαύμακα τοῦ ἀλόγων ζῴων ἔχοντος τὸν λογισμὸν ἀλογώ
τερον. ὑπάρχων γὰρ παῖς ἀνδρὸς σοφιστοῦ, τὰ πατρῷα ἐκλελά-
κτικας· περὶ δὲ κύβους καὶ παλαίστρας τὴν τοῦ βίου σχολὴν κα
ταμάλωσας· καὶ γέγονας πέρας δυσγενείας τῶν γενῶν. εἰ τοίνυν παῖς
ἀκοῦσαι Ἑρμαγόρου ἐθέλεις, ὅτε ποτὲ πρὸς τὸν ἐκείνου βίον ἐπάνη
κε ἀγαθὸν καὶ εἰς γῆρας σοφία τε καὶ φρόνησις παρῆν· καθὰ δοκεῖ
τῷ Πλάτωνι. εἰ δὲ τῶν πάλαι κακῶν δυσαναχαίτιστος μεθίστασθαι
ἐπεὶ δὲ σαυτὸν Ἑρμαγόρου κηρύττεις, τυμβωρύχος ἴσθι τοῦ πατρῴου
τάφου γενόμενος· τῇ σῇ γὰρ κακίᾳ τὰς ἐκείνου ἀρετὰς καθυβρίζεις.

Αγ. Μυρωνίδης, Δαμάλλῳ.

Ὁ κίμμιον ἀπανόσας ἐλυμήνατο παῖς, τὸν κισσύβιον
ἀεὶ πληρώσας τοῦ γάλακτος· ὑπὲρ τὰς πλατάνους ὁ
λωποδύτης χωρεῖ· καὶ στιβάδα ποιήσας, ἀμβρίμως ἀ
ναπέπτωκε· καὶ τὸν ἁβροδίαιτον βίον ἀσπάζεται. εἶτα τὴν σύ-
ειτα κομισάμενος, ὡς περὶ τὸ δεῖπνιον ᾠδὴν τὴν εὐθυμίαν προ
βάλλεται· καὶ τοὺς ἀγροικικοὺς παραχαράττει θεσμούς. τὰ δὲ θρέμ

ματα

ματαια τῇδε κἀκεῖσε διέσπαρται· καὶ πρὸς ἔφοδον οὐδ' ἔστιν εὐάλωτα. ναὶ δὴ καὶ τοὺς ὄντας εὐώνως διαπιπράσκει ὁ δείλαιος· καὶ μυρωνίδην ἀδικῶν οὐκ αἰσχύνεται. εἰσίων χθὲς τὸν Τρυγίαν λαμπρῶς. ἰσχάδες γὰρ ἦν μοι καὶ ἀχράδες τὰ ὄψα. ὁ δὲ θεσπέσιος οὗτος νεανίας τῶν ἰσχάδων τὰ πλεῖστα ἐκβέβρωκε. καὶ τὰς ἀχράδας οὐκ οἶδ' ὅπως ἐξερρόφησεν. ὁ δὲ Τρυγίας ἐκεχήνει· καὶ μοῖράν τινα ᾔτει μετὰ κόρου κομίζεσθαι οἴκαδε. ἀπίτω μοι λοιπὸν τῶν ἀγρῶν ὁ Κλεινίας. τῶν γὰρ πόρρω κακῶν αἱρετώτερόν ἐστιν ἀνέχεσθαι, ἢ πολέμιον οἴκοι τρέφειν κρυπτόμενον.

Ετ. Ἀταλάντη. Κορίννῃ.

ε Ν τῇ παλαίστρᾳ τὸν Αὐγείαν τεθέαμαι Κόριννα. τὴν δὲ θέαν οὔτε λόγος ἐκφράσειεν, οὔτε ζωγράφου χεῖρες μιμήσαιντο. ἦν γὰρ ὁ νεανίας, εὐσθενής· ὄρθιος τὸ περιστέρνιον λάσιος. οἱ δὲ ὀφθαλμοὶ δορκάδος αὐτῷ. τὸ δὲ βλέμμα οὔτε θυμῷ φοινισσόμενον, οὔτε μαλακώτερον τῇ ὑγρότητι. ἀλλ' ἀνδρεῖον καὶ πρᾶον ὁμοῦ. ἡ δὲ χροιὰ τοῦ σώματος, οὔτε πρὸς τὸ θηλυπρεπὲς ἐκλευκαίνετο, οὔτε πρὸς τὸ μελάντερον κατεσκίαστο. ἡ δὲ θρὶξ ἠρέμα πως ἐπεκύμαινε τῇ οὐλότητι. τῇ κυανίζουσα μὲν ὥρᾳ γαλήνης τὴν θάλατταν εἰκονίζετο. ὅτε δὲ τὴν γείτονα χέρσον ἀπαλῷ περιπτύεται ῥεέθρῳ, τὸ μανιῶδες τοῦ κλύδωνος καὶ βάρβαρον πραΰνασα. αἱ δὲ παρειαὶ οὔτε κατέρυθροι· γυναικῶδες γάρ. οὔτε πάλιν ὠχρότητι τὴν ἀπρέπειαν ἐπεσύναζον. ἡ δὲ ῥίν, λίαν σεμνῶς ἐτετόρνευτο. καὶ πολλὴν τοῦ δημιουργοῦ φύσεως τὴν ἐπιστήμην ἀπήλεγχε. τὸ δὲ ἔλαιον ὑποχεόμενον ἡλιοειδῶς περιήστραπτε.

καὶ ταῖς μαρμαρυγαῖς τῶν ἐκλαμπόντων, τὴν παλαίστραν ἀκτίνων δίκην ἠγλάιζε. πέπονθα κατὰ τὴν ψυχήν. καὶ δριμυτέρας τῆς ἀλγηδόνος αἰσθάνομαι. ἐρωτικὸν γὰρ διηγήσασθαι πάθος τὸ γυναικεῖον φῦλον αἰσχύνεται.

Ηθ. Γοργίας. Ἀριστείδῃ.

Ἀγχόμενος γίνομαι. ἐστραγγαλόμενος αὐτίκα. καὶ συναν-
Δ τῶν τοῖς δανεισταῖς κατὰ πλῆθος ἢ τῷ φόβῳ. ὥσπερ θηρί-
οις τισὶ φοβεροῖς ἐντυγχάνειν δοκῶν. καὶ περισκοπεῖς τὰς τριόδους καὶ πρὸς τὰς στοὰς ἀφορᾷς, τοὺς δανειστὰς θεραπεύειν γλιχόμενος. ὥσπερ οἱ ναυτιλλόμενοι ἐν μεγάλῳ τῷ κλύδωνι λιμένος τυγχάνειν ὀρέγονται. ἀλλὰ τὸ κακῷ τὸ κακὸν ὠθεῖν νέμεσις. δανειζόμενος γὰρ παρ' ἄλλων, ἄλλοις ἀποδιδοὺς τὸ ὄφλημα. ταὐτό τι ποιῶν τοῖς διὰ φόβον θανάτου κατακρημνίζουσιν ἑαυτούς. ἐπεὶ δὲ τὸ δανείζεσθαι πολυσχιδὲς τοῖς ἀνθρώποις ἐστὶ κακόν. τὸ γὰρ μυθικῆς ὕδρας τοῖς αὐτομάτοις γεννήμασιν ἐστὶ χαλεπώτερον. κἂν τοῖς καθ' ὕπνον φαντασίαις εὐλαβοῦ τὸ δανείζεσθαι. οὕτω γὰρ ἐλευθέρως τὰς ἡλιακὰς ἀκτῖνας προσβλέψεις. τὸ γὰρ ὑπὲρ γῆν ἀέρα λίαν προσηνῶς ἀναπνεύσειας.

Αγ. Λόφων. Πεδιάδῃ.

μ Ἤικοιτο ὥρας ὁ Λεύκιππος. κακὸν γὰρ ἡμῖν ἔτρεφε τὸ χω-
ρίου θηρίον περὶ τὸν ὅρον τοῦ λοφιδίου. ἐμοὶ Σωστράτῳ συνεκεκρότητο δικαστήριον. ὁ δὲ Λεύκιππος ὅλας τὰς φρένας διέφθαρτο

διέφθαρτο. ὁ χρυσοῦν τὸ δικαστήριον θεάσασθαι ὀρέγεται. τοιοῦτον φιλόχρυσον πάθος κατεῖχε τὸν δύστηνον. τοῦτο καὶ συστρατευσαμένους, χρυσῷ τὴν νίκην ὠνήσατο. ὁ τὸν λοιμὸν τοῖς δώροις τοῦ Ἀπόλλωνος ἐπέβυσεν. ἡ παρθένος δὲ νῦν διέφθαρται. ὁ χρυσὸς τοῖς ἀνθρώποις τὸ νικᾶν πωλεῖται. ἡ γὰρ ἰσόρροπος κρίσις ἀπόλωλε. δῶρα γὰρ μᾶλλον ἢ τὸ δίκαιον ἀξιόπιστα.

Ετ. Ἐρωτύλος, Ὑψιπύλῃ.

Ῥόδοι καὶ φοίνικες ἔρωτι φυσικῷ. καὶ τοῦ θήλεος τὸ ἄρρεν ἐφίεται. καὶ περικυρτοῦται ὁ ἄρρην τῷ ἔρωτι. καὶ τῇ κόμῃ τὴν ἐρωμένην προσπλέκεται. εἰ δὲ καὶ πόρρω τὸ θῆλυ τοῦ ἄρρενος ἐστι, ψῆνας ἐκ τῆς θηλείας ἀράμενοι, τῷ ἄρρενι περιάπτουσι καὶ σοφίσματι ψυχαγωγοῦσι τὸν τοιοῦτον ἔρωτα. εἰ τοίνυν ἐπεμνήσθην θᾶττον οὐχ οἷά τε εἶ πρὸς ἡμᾶς, παρηγόρει μοι διὰ ζωγράφου τὸν ἔρωτα. καὶ πίναξ εἰ ἡ γραφὴ φαντασίας τῆς σῆς παρεχέτω μοι θέαν. ἱκανὴ γὰρ καὶ δόκησις τοὺς ἄγαν ἐρῶντας σοφίσασθαι.

Ηθ. Διογένης. Χρύσῃ.

Λούτου σε ταμίαν, οὐ δεσπότην χρημάτων εἶναί φημι. τοιαύτην γὰρ τὴν καταδίκην οἱ σοὶ κατὰ σοῦ προήνεγκαν τρόποι. ἀγαθοῦ γὰρ μετέχειν τινὸς τοὺς ἀνοσίους οὐ θέμις ψυχάς. κατόρυττε τοίνυν τὴν γῆν καὶ τὸν χρυσὸν περιφρούρει τρισάθλιε. οὐ γὰρ σὸς ἀλλὰ παρὰ σοὶ ὁ πλοῦτος εἶναι

πεπίστευται. τὸν Φρύγα γὰρ Μίδου τὴν κακίαν ζηλώσας, λιμώττειν πλουτεῖς, βρόχοις ὥσπερ, χρυσοῖς ἀπαγχόμενος.

Ἀγρ. Χλοάζων. Μήκωνι.

ᾶ Χράδας χθὲς μήκων πέπομφα τῇ ποθουμένῃ. ἡ δὲ τὴν κρόκην ἀπέρριψε. καὶ τῆς ἱστουργίας εὐθὺς ἐξανίσταται. καὶ λαβοῦσα τὰ δῶρα τοῖς χοίροις διένειμε. καὶ τὸν πρέσβιν ὡς ἀπαίσιον ἄγγελον ἀπεπέμψατο. ἐγὼ δὲ κλάω. φοβερὸς γὰρ ἔρως ἡμᾶς ἀδικεῖ, ἀπρεποῦς κόρης βιαζόμενος. τυφλώττουσι τύχη καὶ ἔρωτες. οἱ μὲν τὰς ἀλγηδόνας, ἡ δὲ τὴν εὐδαιμονίαν εἰκῇ καὶ ὡς ἔτυχε παρεχομένη.

Ἑτ. Περδίκκα Ῥοδόπῃ.

ᾆ Ἄδεις ἀμούσως καὶ λυπεῖς, οὐ τέρπεις τοὺς ἐραστάς. τραγῳδίαν γὰρ ἀναμιγνύεις οὐ θελκτήριον ᾠδὴν τοῖς ἀκούουσι. καὶ δακρύουσιν οἱ ἐρασταὶ ἀνιώμενοι. σώφρονας γὰρ αὐτοὺς ἀντὶ λαγνευόντων τὰ σὰ δὴ διάσκοισιν ᾄσματα. ὁ γὰρ ἐπιτάφιον τὴν μελῳδίαν πεποίηκας. φεῖσαι γοῦν πρὸς θεῶν ἀνιωμένων ἡμῶν. οὐ γὰρ αὐλητρὶς ἀλλὰ θρηνήτρια τοῖς θεαταῖς εἶναι δοκεῖς. καὶ κηρῷ τὰ ὦτα πάντες ἐμφράζοιμεν, εἰ μελῳδίαν ἀσκήσειας. σειρήνων γὰρ ἢ μουσῶν ὀδυρομένων ἀκούσαιμεν.

Ἠθ. Ἀντισθένης Περικλεῖ.

ὁ Φιλίππου παῖς Ἀλέξανδρος ἐπὶ ταῖς εὐτυχίαις οὐδαμῶς ἐπετύφωτο. ἀλλ᾽ ἐφιλοσόφει τὰ τῆς τύχης φυσήματα

τοῖς μεγίσταις εὐφημίαις οὐκ εἰωθὼς δελεάζεσθαι. διά τοι τοῦτο ἐν τῇ τοῦ πολέμου ῥοπῇ θεασάμενος πεπτωκότα Δαρεῖον, τὴν χλαμύδα τὴν ἐχθρὸν περιέσκεπεν ἀρετῆς καὶ τύχης ἐνδεικνύμενος εὐγνώμονα. ἐντεῦθεν ἐλοιδόρει τὸν Ἀλέξανδρον τὸ ὑπήκοον, καὶ ἔγκλημα τῷ βασιλεῖ ἡ εὐσέβεια. ὁ μὲν οὖν Ἀλέξανδρος ἅτε δὴ φιλόσοφος ὤν, ἐδεδοίκει τὸ τῆς τύχης ὡς ἔοικεν ἄδηλον. διὸ καὶ πλείστων αὐτῷ ἀπελθέντων ὑφ' ἓν εὐτυχημάτων, ἔφη, ὦ Ζεῦ, μῖξόν τι τοῖς ἀγαθοῖς καὶ δυστύχημα. οὕτως εὐλαβεῖτο τὰς εἰς ἄκρον εὐεξίας ἐμφρονέστατα ὁ Ἀλέξανδρος. εἰ μὲν οὖν γειτνιῶσαν τοῖς τρόποις τὴν φύσιν ἠγνόησας, μετ' οὐ πολὺ τὴν πεῖραν ὄψει διδάσκαλον. καὶ τῆς γνώσεως ἕξεις πρεσβύτερα τὰ μαθήματα. εἰ δὲ τυφλώττεις ἑκών, χαλεπωτέρας τῆς ποινῆς τεύξῃ, πλημμελημάτων ἢ γνώσεως εἰσπραττόμενος δίκας.

Ἀγρ. Αἰσχύλου. Μίλωνι.

τ Ου ἀγροῦ τοι κωρεὺς ἐκκάθαιρε. τὰς ἐμὰς γὰρ ἐλυμήνω μελίττας. μὴ πάρεχε πρὸς θεῶν πράγματα ἀνδρὶ γεωργῷ. οὐδὲν κηφήνων ἡμῖν διενήνοχας. τί δήποτε χαλεπαίνεις ἀλόγως τῷ γείτονι. εἰ μὴ τῆς κακίας ἀποσταίης παμπόνηρε, τὴν σὴν ἀκολασίαν τοῖς ἐμοῖς ἐγγράψαι μιθύροις τοῖς στίχοισι τὴν ἀδικίαν ἐνδείξαιμι, ἵνα σε πάντες ὥσπερ τι κακὸν δυσπέντητον ἀποφυλάξαιντο.

Ερ. Τελέσιλλα. Λαΐδι.

ὑ Υπὲρ φλέβας χρυσοῦ μεταλλουργοὶ ἀνιχνεύοντες οὔτε

φρεωρύχοι ποτὲ δὴ τῆς ἐρεβοδιφῶντες ἀπορρήτου, ὀφθαλμοὺς δι' αὐτῶν ἀναζητοῦντες θεάσασθαι, οὕτω περὶ τὴν ἑαυτῶν ἐσπουδάκασι τέχνην, ὡς ἐγὼ τὴν πόλιν ἐσκινδαλάβιζον ἅπασαν ἔχειν τὸν Ἀκεσίλαον ἣν μεθεάσασθαι· ποτὲ γὰρ αὐτὸν πεποιηκέναι, τὴν μαινάδα Λευκίππην ἀκήκοα· καὶ ῥαγδαῖος, σκηπτὸς ἡμῖν ἐπεδήμησε· καὶ τὸ πάθος ἀπαρηγόρητα φλεγμαίνει μοι δάκρυα. διὸ δὴ τραγῳδίας συνέριθος ἔσομαι· οὐ γὰρ αἰσχύνται λοιπὸν ἥλιον θεασόμεθα· οὕτω καὶ Μηδείας καὶ Φαίδρας φοβερωτέρα γενήσομαι.

Ηθ, Σωσίπατρος. Ἀξιόχῳ.

τ Ον ἀδελφὸν ἐναγχός σε θάψαι φασί· καὶ λίαν τῷ πάθει ἀπαρηγόρητα δυσφορεῖν. ἢ πῶς σε φιλόσοφον ἄνδρα θαυμάσαιμι, τὸν τοσοῦτον ὑπὸ τοῦ πάθους ὑπερνικώμενον· ὕπνος γάρ τις ἐστὶν ὁ παρ' ἡμῖν θρυλλούμενος θάνατος. τοῦ μὲν συνήθους τούτου μακρότερος· πρὸς δὲ τὴν μέλλουσαν ἡμέραν βραχύτατος. τὴν μικρὰν ἀποδημίαν οἱ τεθνηκότες ἐστάλησαν· οὐκ ἐπὶ πολὺ τούτων ἡμῖν ὁ χωρισμός. καρτέρησον τὴν διάζευξιν, ἀναμένων αὖθις τὴν ἕνωσιν. μὴ πάθῃς τι φιλοσωμάτου ψυχῆς. ἐπεὶ καὶ Πλωτῖνος ἐδόκει αἰσχυνομένῳ ὅτι ἐν σώματι εἴη· οὕτως ἐλύπει τὸν φιλόσοφον, τὸ θνητὸν τοῦτο περισκήνιον. στῆσόν μοι μέχρι τούτου τὸ δάκρυον· ὅρους νομοθέτει τῇ λύπῃ. φρονήσει τὸ πάθος θεράπευσον. ἰατρὸς γενοῦ σαυτοῦ. ἔχεις λόγον τὸ φάρμακον. νηπενθές ἄχολόν τε κακῶν ἐπίληθον ἁπάντων. οὐκ ἐκ κρείττονος ἐπὶ τὸ χεῖρον παράγει ποτὲ ὁ δημιουργὸς τὰ κτήματα.

Τοῖς

τοῖς θνητοῖς τὰ θνητὰ καταλείψω μὲν. μεγάλαις γὰρ κηλῖσιν ἐνθάδε τὸ βασιλικὸν τῆς ψυχῆς καταστίζεται. ἐγὼ τὴν γένεσιν ἢ τὸν θάνατον μᾶλλον δακρύσαιμι. τὸ μὲν γὰρ δακρύων ἀρχή. τὸ δὲ τῶν αἰωνίων κατάλυσις. ἄγνοια περὶ δεῖς ἡμᾶς ἀπεργάζεται. καὶ θάνατον εὐλαβούμεθα. οὐχ ὅτι κακόν. ἀλλ᾽ ὅτι τοῖς ἀνθρώποις ἠγνόηται. οὐ γάρ τις τὴν γνῶσιν ἀφήρηται. τούτου κατηγορεῖ προχειρότατα. μὴ γένοιο τοίνυν τῇ Νιόβῃ ἔφαμιλλος. ἵνα μήπου δόξῃς καὐτὸς, λίθῳ τὴν ἀνθρωπείαν φύσιν ἀμείβεσθαι.

Ετ. Κεκροπὶς. Δεξικράτει.

Τ Ην μαγνῆτιν λίθον ἐρᾶν τοῦ σιδήρου φασί. καὶ τοῦτο ζῶν ἱστορῶ τὴν λίθον, ὅσον γε ἐρωμένων καὶ συνόδειν. ὁπηνίκα γὰρ ἡ λίθος τοῦ ὁμοζύγου χωρίζηται, παραυτίκα νεκροῦται καὶ τὴν ἑαυτῆς ἐνέργειαν ἀποτίθεται. τοιαῦται προσπάθειαι Δεξίκρατες καὶ τοῖς ἀψύχοις ἐγγίνονται. ἐγὼ δὲ τί ἂν πάθοιμι εἴ ποτε, ὦ χρυσοῦ τοῦ ἀπολιμπανομένη τῆς σῆς ἐνδημίας. οἶμαι τὸ φράσαι τοῦ παθεῖν χαλεπώτερον. οὕτω λυπήσαιμι τοὺς λυπήσαντας. ὦ βέλτιστε γνοίμην τοῖς ἐρῶσι. ἀπινθὴρ ἀφροδίσιος θαλάττης φλογωδέστερος.

Αγ. Θερίστρῳ Σπείρωνι.

Επὶ τὴν αἴτνην τὸ σικελικὸν ὄρος ἀπαίρομεν. οἱ πάντες χαίρειν τῇ ἀττικῇ. οὐ πώποτε γὰρ δυστυχεστέραν γῆν πρὸς ἀπόδοσιν καρπῶν ἑώρακα μέν. ἀντὶ πυρῶν, μυρρίνας. ἀντὶ κριθῶν, κιττὸν ἡμῖν ἀπεκύησε. ἡ ἅλως λιμοῦ μοι πεπλήρωται. διά τοι τοῦτο

τῶν πρότων μοι μὴ ἐκφυσάντων σπερμάτων, οὐκ ἂν αὖθις τῇ ἀσυμφόροις καταβάλλοιμι. οὐ δύναται γὰρ ὁ λιμὸν καὶ στρατιώτην ἔχειν πολέμιον. οὔτε δὲ πλωτῆρσιν οἷοί πίεσι πνεύμασιν ἅμα καὶ κεραυνοῖς ἀντιμάχεσθαι.

Ηθ. Ἡρακλείδης. Ἀντιθέῳ.

ὁ Ὑπνώ μοι τῷ λόγῳ ὑφῆκας Ἀντίθεες. καὶ ἔτι χαλεπαίνεις ἡμῖν καὶ κρύπτεις τὴν αἰτίαν προσηνῶν ῥημάτων προσχήματι. ὥσπερ οἱ ἐν αἰθάλῃ σπινθῆρα πυρὸς ταμιεύοντες. ἐκκάθαρε λοιπὸν τῆς καρδίας τὴν λύμην. τοῦτο δ' οἱ ἡμέτεροι λόγοι πρεσβεύονται. εἰ δὲ μὴ καὶ θαλάσσης ἀπηνέστερος ἔσῃ. καίτοι δύναται δ' ἐκείνη τὸ ἄγριον. καὶ παρέχεται τοῖς πλωτῆρσιν ὄψιν φιλάνθρωπον, ὁπηνίκα τῷ ἐλαίῳ φιλοφρονοῦνται ἄγαν τοῖς κύμασι χαλεπαίνουσαν.

Αγγ. Λαχάνων Πηγάνωνι.

ἢ Κἀμοὶ πρὸς τοὔλαιον αὔλειον. ἐνδημήσαιμι γὰρ τοῦ ἄστεος καὶ δαιτυμὼν ἔσομαι φίλτατε. νύμφαις γὰρ ἐπὶ τῷ πανὶ τὰς ἀπαρχὰς τοῦ ποιμνίου ἀναθήσομαι. σύνεισι γὰρ ἡμῖν ὁπότε οἱ θεοί. τὰ κισσύβια πεπλήρωταί μοι τοῦ γάλακτος. αἱ ἄρνες εὐτόνως τετόκασι. περισκιρτῶσιν αἱ αἶγες περὶ τοὺς εὐτυχίαις ὥσπερ πιθόμεναι. πεπαύμεθα πενίᾳ μαχόμενοι δυσνουθετήτῳ θηρίῳ καὶ δυσκόλῳ. δίκην ἕλκουσ τοῖς κεκτημένοις ἐμπλέκεται. φιλοσουθές ἐστι καλόν. ῥαθυμοποιόν. κατηφές. πρὸς λύπην ἀπογνώρητον. πρὸς αἰτίαν ὀξύρροπον. ἄγρυπνον. φιλομέμψιμον. πολύμοχθον. κακῶν ἐφευρετικόν. ἄδοξον. εὐκαταφρόνητον. ἀνεπίφθονον. εἰ γάρ τις ἐθέλει τηλικούτῳ κακῷ συναυλίζεσθαι. οὐ δεῖ τὴν Ὀρέστου μανίαν νοσεῖν κατακλειθείη. ῥίψαντες τοίνυν τὰ τῆς πενίας τῇ πενίᾳ, ἑτέραν μετατησώμεθα λῆξιν μετὰ τῆς ψυχῆς ἀμείψαντες καὶ

τὸ

τὸ φρόνημα.

ΕΤ. Ῥοδίνη. Καλλιόπῃ.

ε [Ε]πὶ τῶν ἐραστῶν διασύρεις καὶ σκώπτεις ἡμᾶς τὸ καὶ τό. κεχαυνῶσθαί μοι τὸ σύντονον καὶ σφριγῶν τοῦ σώματος διαπαίζουσα. σὺ δὲ τὴν σὴν πανουργίαν κεκρύφθαι δοκεῖς. ἀτελεσφόρητα γὰρ τὰ κυοφορούμενα ἀποσπᾷς ὦ παμμιαρε. ἢ τὰς ἀμβλώσεις ἢ τοὺς τοκετοὺς αἱρετωτέρας πεποίηκας, δεινοῖς μυστηρίοις φαρμάκοις τὰ ζωογονούμενα ἐν τῇ σῇ γαστρὶ ἀποπνίγουσα. ἢ τῆς φονικῆς μηδείας ἀπηνεστέρους ἀπεργάζῃ τοὺς φόνους. παιδοκτόνον ἐκεῖνον ἐδίδαξεν ἀγνώμων ὁμόζυγος τὴν αἰνετὴν ἢ τῶν ἀγόνων τὴν σύμμαχον. σὺ δὲ διὰ τὴν τοῦ κάλλους εὐπρέπειαν, μυρίας συμφορὰς ἀπεργάζῃ πορνίδιον. παῦσαι δῆτα τὴν σὴν ἀπανθρωπίαν καλύπτουσα. καὶ τὴν ἡμετέραν εὐσέβειαν διαπαίζουσα. φιλανθρωπότερον γὰρ ἡμῖν ὁ τοκετὸς τῆς ἀμβλώσεως. ἴσθι δὲ καὶ τὴν τοῦ σοὶ χαλεπαίνουσαν. καὶ παιδοκτονίας τινὰς ἔργα θυμοῦσαν μὲ εἰσπράττεσθαι.

Ηθ. Ἡφαιστίων. Θάλητι.

τ [Ο] μηδικὸν ὄρνεον ὁ ταὼς καὶ τῶν μήδων τὴν ὑπεροψίαν κεκλήρωται μέγα τι καὶ ὑπέρογκον ἐπὶ τῷ κάλλει φρονῶν. τούτου καὶ τὴν θήλειαν ἡττᾶσθαι δοκεῖ. τὸ πτερὸν τοῖς γαροῦν οἷα δὴ κόμην ἀνίστησι. καὶ περιφανέστατόν τι τοῖς ὁρῶσι κάλλος περιφέρεται. καὶ κυκλικὸν ἀπεργάζεται σχῆμα. καὶ τὸν οὐράνιον εἰκονίζεται κόσμον. καὶ τοῖς ὀφθαλμοῖς τοῦ πτεροῦ τὴν τῶν ἄστρων διακόσμησιν ἀναπλάττεται. καὶ τοῦτο μὲν μηδικῶν ὀρνέων ἦθος φιλόκαλον. οὐ γὰρ βασκαίνουσι, τὴν ἑαυτῶν εὐκοσμίαν ζωγράφους διδάσκοντες. σὺ δὲ τοῖς σοῖς ἐφέζῃ συγγράμμασι. καὶ τὰς σὰς ἀρετὰς ἐγκαλύπτεις. καὶ τοὺς πόνους ἀνεπιδείκτους

ἐᾶς. τηλικαύτης ὠφελείας ἡμᾶς χηρεύοντας περιορῶν. εἰ μὲν οὖν βασκανία τίς ἐστιν ὑμᾶς τὸ λυπῆσαι, ἀφιλόσοφον τὸ ἐγχείρημα καὶ πόρρω σῆς ἐπιμελείας ἀλλότριον. εἰ δὲ ὄκνος τὴν ἀναβολὴν ταμιεύεται, τουτέστι πέπονθας ἀνδρὶ γεωργῷ πολλοὺς τοὺς ἱδρῶτας δεδανεικότι τῇ γῇ. καὶ θέρος ἀκμῇ μὲν δρεπομένῳ τοὺς στάχυας.

Ἀγρ. Πόας. Ἀμπελίῳ.

δ Εὐρο ζωναυλίαν γρόντιον κλαύσωμεν. ὁ ποταμὸς αὐσκίρτησε καινὸν ἡμῖν ὠρχήσατο σκίρτημα. ὅλον τὸν ἀγρὸν ἐπεκλύσατο. καὶ τὰ νεογόνα τῶν ἀμπέλων ὁ φοβερὸς ἐπεβύθισε. τὸ δὲ μεῖζον δυστύχημα, οὐκ ἐθέλει ὁ μιαρὸς τοῦ ἐντεῦθεν ἀπαίρειν. ἐμφιλοχωρεῖ δὲ τῷ γηδίῳ καὶ κοίτην τὸν ἀγρὸν πεποίηται τὸν ἡμέτερον. καὶ δακρύων ἄξιόν ἐστιν ἰδεῖν. ἀντὶ δὲ ἀμπέλων τοὺς ἰχθύας γεωργοῦμεν οἱ τάλανες. ὅταν ὁ ποταμὸς ἐθέλῃ, ἀγρεύομεν. ὅταν δὲ θέλῃ λιμώττομεν. καὶ μέγα τί μοι δῶρον φιλοτιμεῖσθαι δοκεῖ. εἴθε τῷ θέρει τὰς νεφέλας μηδαμῶς ἱκετεύομεν, ὄμβρον ἡμῖν αὐχμῶσι χαρίζεσθαι. οὕτω δὲ ἅπερ κεκτήμεθα, οὐκ ἂν ἀφῃρήμεθα. ποταμὸς δὲ καθ' ἑαυτὸν ἐπαχθής. εἰ δὲ καὶ ὄμβροι πλουτήσαιεν, τοῦ πυρός ἐστιν ἀκρατέστερος. καὶ μέτροις οὐ χαλινοῖ τὰ φρυάγματα.

Ἑτ. Γαλάτεια Θέτιδι.

ε Πάνυ σου τὴν φρόνησιν καὶ τὸ λίαν ἐμπειρότατόν σου ἄγαμαι. ὥσπερ γὰρ ἐκ τρίποδός τινος πυθικοῦ τὰ μέλλοντα διηγήσω μοι. καὶ τοῦ λυγκέως ὀξύτερον τὰ βαθύτερά τε καὶ ἀφανῆ τῶν πραγμάτων ἐσκόπησας. ὁ καλλίμαχος ἡμᾶς καταλέλοιπεν ἀπέπτη μετεωριζόμενος ὀξυτάτῳ τοῦ κόρου πτερῷ. ἐδραπέτευσεν ἡμᾶς ὁ παμμίαρος καὶ γέγονεν ὁ κόρος αὐτῷ τῆς ἐπιθυμίας πρεσβύτερος. σὺ δέ μοι πρὸ ἡμῶν πολλά. ὅρκοις μὴ πείθου Γαλάτεια.

τεια· ὅρκων τοῖς ἐρῶσιν οὐδὲν οὐδὲν εὐχερέστερον. ἐρωτικὸν γὰρ οἱ νέοι μεθύοντες ἡδονῶν, καὶ τὸ καλῶς ἀφαιροῦνται βουλεύεσθαι. καὶ πράττουσι καὶ φθέγγονται ὅσα νομοθετοῦσιν οἱ ἔρωτες. οὐ γὰρ αὐτοκίνητον ἔχουσι τῶν πραγμάτων τὴν ἔφεσιν. ἀπιστία πίστεως ἔοικεν ἀσφαλέστερον. ὁ πρὸς ἀπάτην ὅρκος σοφιστὴς οὐδὲν ἀξιόχρεως.

Ηθ. Θεμιστοκλῆς Χρυσίππῳ.

ε Περὶ δὲ σωφροσύνη καὶ πρὸ τῶν μύθων τετίμηται, ἄγε δὴ τὰ χρυσιππέδια μυθολογήσωμαί σοι μῦθον οὐκ ἄσημον, ἀφίκοντό ποτε πρὸς τὸν δία τὰ ὄρνεα καὶ ὀλύμπιον ἐπρεσβεύοντο ἡγεμόνα. ἦν γὰρ ἀναρχία τοὺς ὄρνιθας τὸ λυποῦν. καὶ μεγίστου τινὸς ἀγαθοῦ ἡγεμονίας ἔχρῃζον. καὶ πολλὴν διὰ τοῦτο τὴν ἀκοσμίαν ἐκέκτηντο. ἐπένευσε τοίνυν ὁ ζεὺς καὶ γίγνεται ἔργον τὸ βούλημα. καὶ δωρεῖται δῶρον τοῖς ἱκετεύουσι θαυμαστόν. βασιλέως δὲ τὸ ἀξίωμα τὸ διδόμενον. προσέταττε δὴ τοῖς ὄρνεσιν ἐπὶ λίμνας καὶ πηγὰς ἀφικέσθαι καὶ τὸν ἑαυτῶν ἀποσμήξασθαι ῥύπον. καὶ τοῖς ὕδασι τὴν βάσανον τῆς ἡγεμονίας ἐπίστευσεν. ἦν γὰρ εὐπρέπεια παρὰ τοῦ διὸς τὸ τιμώμενον. ἐλούσαντο δὴ τὰ οἱ ὄρνιθες. εἶτα πρὸς τὸν δία πάλιν δρομοῦσιν εὐθύς. καὶ τὴν ἑαυτοῦ ἕκαστος εὐπρέπειαν ἐνεδείκνυτο. ὁ δὲ κολοιὸς τὴν οἰκείαν δεδιὼς ἀμορφίαν, τὴν τῆς φύσεως δημιουργίαν ἐνόθευσεν, ἀλλοτρίῳ κόσμῳ τὴν ἑαυτοῦ καλλωπίζων εὐπρέπειαν. ἀλλ' ἤλεγξε τὴν ἀμορφίαν ἡ γλαῦξ. καὶ τὸν ἐπίπλαστον κόσμον ἐδείκνυε. τὸ γὰρ οἰκεῖον ἐπιγνοῦσα πτερὸν, ὡς ἴδιον ἀφείλετο. καὶ τοῖς ἄλλοις ὀρνέοις ἐδίδου παράδειγμα, ἕκαστον ἀφαιρεῖσθαι τὸ ἴδιον. καὶ γέγονεν αὖθις ὁ κολοιὸς κολοιός.

ὁ μῦθος ὦ χρύσιππε τὴν ἀλήθειαν καθάπερ ὑπερφθεὶς εἰς πολλὴν σωφροσύνην ἡμῖν διηγούμενος. οὕτω γὰρ καὶ οἱ ἄνθρωποι οὐδὲν τῶν τῇδε κεκτήμεθα ἴδιον. ἀλλὰ ζῶντες μὲν πρὸς ὀλίγον ἐπιπολαίῳ σεμνυνόμεθα κόσμῳ. τεθνηκότες δὲ ἀφῃρήμεθα ἅπερ οὐκ ἔστιν ἡμέτερα. ὑπερόρα τοίνυν χρημάτων καὶ σώματος. ἀθανάτου δὲ πράγματος ἐπιμελοῦ τῆς ψυχῆς. τὸ μὲν γὰρ ἀΐδιον καὶ ἀθάνατον. τὰ δὲ θνητὰ καὶ πρὸς ὀλίγον οὐκ ἔστιν ἡμέτερα.

Αγρ. Μυρωνίδης. Μοσχίωνι.

τ Ὸν ἀροτῆρα βοῦν κεχάρικα τῷ Τυκανίᾳ. ὃ γὰρ ἦν αὐτῷ τοῦ ζεύγους τὸ ἕτερον. ἐπηγγείλατο δὲ καὶ ὁ Τυκανίας τὸν ἑαυτοῦ μοι ταῦρον παρασχέσθαι. βοὸς δὲ ἐλπόμην κἀγώ. ὁ δὲ θαυμαστός μοι ταῦρος ἀπόλωλεν, ὁπότε ὁ χαλεπὸς ἐκεῖνος λοιμὸς τοῖς θρέμμασιν ἐνεδήμησεν. ὁ δὲ καλὸς Τυκανίας τὰς συνθήκας διέλυσε. καὶ μέχρις ὅτου ὁ σκοπὸς αὐτῷ διήνυετο, στέργειν ἐδόκει τὰ δόξαντα. ἐγὼ δὲ τὴν τύραννον αὐτὴν θρηνῶ. οὐ δὲ ἀροτῆρας βόας κεκτήμεθα. ὁ δὲ καιρὸς τῶν ἀρότρων ἤδη που καὶ παρῴχηκε. δικαστήριον τοίνυν τῷ Τυκανίᾳ ὁπλίσομαι καὶ δικαστὰς ἅπαν τὸ χωρίον προστήσομαι. καὶ δὲ ἀπάτης ἐκείνης δίκας ὑφέξεται. καὶ κακίας πείσομεν τοὺς ἀκολάστους ἀπέχεσθαι, ἕνα ἄνθρωπον φθορὰν σωφροσύνης διδάσκαλον ἔχοντες.

Ετ. Ερασμιος. Λυσιστράτῳ.

π Αἴζουσι τοὺς ἀνθρώπους οἱ ἔρωτες. καὶ δουλαγωγοῦσι τοὺς ὑπὸ σελήνην παῖδες ὑπόπτεροι. ἵνα τί δὲ τοῖς ζωγράφοις πειθόμεθα. ἔδει γὰρ ἦν τὸν πολέμιον ὁρᾶν. οὕτω δὲ βαλόντες ἔβαλον καὶ

οἱ

οἱ ἔρωτες. ἀγχοῦ γὰρ ἴσως τὸ ἤδη ἡ μέθη πλέον, ὅτι καὶ τοὺς ἐχθροὺς ἢ γνοίσομεν ὁποῖοι τὴν φύσιν ὄντες τυγχάνουσιν. οἵῳ δὲ ἀλογίστῳ πάθει συμπέπλεγμαι. μελανίππην διοσώρου ἀπόγονον εἰς τὸ πώποτε ποθῶ μὴ δὲ οὔπω ποτὲ τὸ γύναιον θεασάμενος. ἀλλὰ μόνον ἀκούσας ὑπό τινος, ἀφ' ἑκάστου τὴν θαυμαστῶς. καὶ βέβλημαι τὴν ψυχὴν μηδὲν ἐκ τῶν ὀφθαλμῶν ἀδικούμενος. ὅπερ εἰώθει παρέχειν λυσίστρατε. νῦν δέ τε γεγόνασί μοι ὀφθαλμοὶ καὶ τὰ ὦτα. τοσαῦτα ἡ φύσις ἐρώτων δεδυνῆσθαι. εἴτε οὖν ἐριννῦς ἐστὶ τὴν θεοφιλίαν ἣν συνῄκα. εἴτε φαντασία τίς ἐστι τὸ λεχθέν, οὐκ ἐπίσταμαι. οὐ δὲ εἷς μάρτυς ἀξιόχρεως πρὸς ἀλήθειαν. ἀλγῶ δ' ὅμως τὴν ψυχὴν καὶ περὶ οὐ χορῷ μὲν ὡς ἐρῶ καὶ παντικῆς μετειληφέναι μανίας δοκῶ. κἀκεῖνο ἀθέατον ὂν γὰρ ποθούμενον. καὶ δόκησις μόνη τῶν ποθουμένων ἔχει τὴν ὕπαρξιν.

Ηθ. Εὐελπίδης Κίμωνι.

ε Παγγέλλῃ πολλὰ, τὰ πράττεις ὀλίγα. καὶ τὴν γλῶτταν ἔχεις ὑψηλοτέραν τῆς πράξεως. ἀλλ' εἰ μὲν ῥημάτων κομψότης τεθαύμασται παρὰ σοί, οἱ ζωγράφοι τῆς σῆς δυνατώτεροι γλώττης τοσαῦτα πλασουργοῦντες τοῖς πίναξιν ὅσα πράττειν ἡ φύσις οὐ δύναται. εἰ δὲ τὸ χαίρειν δοκεῖς ὑποσχέσεσι τοὺς ἀκούοντας, μετ' ὀλίγον μὲν εὐφρανεῖς. ἀνιάσεις δὲ μετ' οὐ πολὺ χαλεπώτερον. ἐπεὶ καὶ τῶν ἐνυπνίων τὰ κάλλιστα, οὐ τοσοῦτον ἡμᾶς εὐφραίνει καθεύδοντας, ὅσον ἐγρηγορότας ἐλύπησαν. αἱ γὰρ ἐλπίδες μετὰ τοῦ ὕπνου συναπίπτουσι. σύμφωνα δὴ τῇ γλώττῃ τὰ πράγματα κέκτησο. ἵνα μὴ καὶ φίλοις ἀπεχθήσῃ ψευδόμενος. καὶ τοῖς ἐχθροῖς ὑπόθεσιν ψόγου πορίσειας ὡς ἀληθείας ὑπάρχων ἀμέτοχος.

Αγ. Τελέσιππος Ὀρτυγίωνι.

τ Ι δῆτα ὦ τρισάθλιε τὴν ἐσθῆτα διήλλαξας. ἢ τοὺς πέρδικ-

ἐξεπέτασας· οἷόν σοι γέγονε τὸ κακόν· οἶμαι καὶ τὸν κύκλωπος
ὀφθαλμὸν ὠμήσασθαι τὸν ὀδυσσέα φασί. διὸ εἰ μὴ συναθροίσειας
περιπτάντους ὄρνιθας, σὺν σοὶ κατακρημνίσαιμι ἐμαυτόν. καὶ
παῖδα γὰρ ἀκόλαστον ζῆν χαλεπόν. καὶ τάφον πρὸ τοῦ πατρὸς υἱὸν
σφετερίσασθαι καὶ λίαν ἐστὶ δυσφορώτατον.

Ετ. Θέτις. Ἀναξάρχῳ.

ὀ Υ δυνάσαι θέτιδος καὶ γαλατείας ἐρᾶν. οὔτε γὰρ μάχεται πό-
θος. οἱ γὰρ ἔρωτες οὐ μερίζονται, ἀλλ' οὔτε δι' ὅλων αἰσχύνε-
γνοις τὸν ἔρωτα. ὡς γὰρ ἡ γῆ δύο ἡλίοις οὐ δύναται θάλπεσθαι, οὕ-
τω μία ψυχὴ, δυοῖν πυρσῶν ἐρωτικῶν οὐκ ἀνέχεται.

Ηθ. Σωκράτης. Πλάτωνι.

ἀ Δικεῖται μὲν οὐδείς. ἀδικοῦσι δὲ πάντες αὐτομάτως ἕκα-
στος ἑαυτὸν ἀδικῶν. ἀρετῆς γὰρ καὶ κακίας ἐσμὲν αὐτο-
κράτορες. ἀφείλετο σου λεωνίδης τὸ γήδιον. τοῦτο τῶν ἐκτός. καὶ
τὴν σὴν ψυχὴν οὐδὲν ἐλυμήνατο. ἐζημίωσε φίλιππος καὶ τὸν δα-
κτύλιον σφετερίζεται. οὐδὲν ἠδίκησαι αὐτός. τὸ γὰρ κτῆμα τοῦ
οὐχ ἡμέτερον. τὸν σὸν υἱὸν ἀνεῖλον οἱ βάρβαροι. οὐ πέπονθάς τι δει-
νόν. οὐ γὰρ ἀΐδιον τὸν παῖδα ἐκέκτησο. ἔσχες ὃς σοι μὴ κεκτημένῳ
προσεγένετο. καὶ πάλιν οὐκ ἔστιν. ἐπεὶ πρὶν οὐκ ἦν, ἀπεγένετο. οὐκοῦν
ἀδικοῦσιν οὐκ ἀδικοῦνται οἱ ἄνθρωποι. καὶ τὸν ὁμηρικὸν τεθαύμα-
κα κύκλωπα. οὐδένα γὰρ βλαπτόμενον ἀδικούμενον ἔφασκε, καὶ ἦν
τῷ ποιμένι ἀπόφασις ἡ τῆς ἀληθείας κατάφασις.

Αγ. Μαράθων. Πηγάνωνι.

τ Οὐ πολιτικοὺς κλύδωνας ἐκφυγὼν καὶ τοὺς ἀπ' αὐτῆς
θορύβους τοῦ ἄστεος, ἐμισθωσάμην τὸν ἀγρὸν τουτονί. καὶ με-
ταβολὴν τύχης ἐδόκουν εὑρεῖν. ἀλλὰ μείζοσι κακοῖς ἐμβεβλήμεθα.

ποτὲ

ποτὲ δὲ τὴν ἐρισίβην ἔχω πολεμοῦ. ποτὲ τὰς ἀκρίδας. ἄλλοτε καὶ τὴν χάλαζαν. ἡ δὲ πάχνη λυμαίνεται τοὺς καρποὺς ὡς ἀπὸ τοῦ οὐρανοῦ. καὶ τοὺς ἱδρῶτας ὁ τάλας τοῖς ἀνέμοις χαρίζομαι. οἴμοι ὁ δύστηνος ὅποι τράπωμαι. ὅταν τῶν γεωργικῶν πόνων μνησθῶμεν, τὰ τοῦ ἄστεος ἀσπαζόμεθα. ὅταν τὴν πολιτικὴν ταραχὴν ἀσπασώμεθα, τῶν δὲ ἀγροικίας ἐρῶ. καὶ τοῦ παρόντος ἐστὶ τὸ μὴ παρὸν εὐτυχέστερον. μία τῶν λυπηρῶν ἀνάλυσίς ἐστιν ὁ θάνατος, εἴτε φυσικὸς ἐστὶν, εἴτε πάλιν αὐθαίρετος. οὐκοῦν ἀγχόνη μοι τὸ φάρμακον. βδελύττεται. ἀφορεῖν γὰρ τὸν θάνατον τοὺς δυστυχοῦντας ἠλίθιον.

Ετ. Περικλῆς. Ἀσπασίᾳ.

ε´ Εἰ δῶρα ζητεῖς, ὑποθεῖς. ἀδωροδόκητοι γὰρ οἱ ἔρωτες. καὶ τοὺς τεθηρευκότας τοῖς τοὺς διδάσκουσιν. εἰ μὲν οὖν ἐρᾷς, τὸ διδόναι μᾶλλον ἢ τὸ λαβεῖν οἰκειότερον. εἰ δὲ χρημάτων ὀρέγῃ, τὸ δὲ εὐποιεῖν τὸ ποθεῖν ἀναπέπλασαι, τὴν συνήθη σοι γλῶσσα διήλεγξε πωλοῦσα χρυσῷ τὰς ἡδονὰς τῷ ἐθέλοντι.

Ηθ. Διογένης Δημονίκῳ.

τ Ὁ τεχνίτης γύναιον. τὸ δὲ γένος ἡμιάνδριον. τὸ παρὰ τῇ φύσει καὶ μηδὲν ἐντελὲς, ὑβρίζει Λυδὸς εὐνοῦχος. ἅπαντα γὰρ τὰ τοῦ σώματος μέλη γλώττας ἔχειν ἀσχήμονας ἐπαγγέλλονται. ἐγὼ δὲ καὶ τὸν ὁμηρικὸν ὀδυσσέα τῶν ἐκείνου βελῶν οὐκ αἰσθάνομαι. ἀδρανὲς γὰρ πλήττειν τὸ γυναικεῖον φῦλον τοὺς ἥρωας. ἵνα τί σοι καὶ σαφέστερον ἀποφθέγξωμαι τὸν διομήδη μου μῦθος. ὑλακτεῖν δὴ τὰ καὶ μεμηνέναι τοῖς εὐνούχοις ἐστὶν ἁρμόδιον. τῶν χειρῶν γὰρ ἐστερημένοι δυνάμεως, ἅπαντα διὰ τῆς γλώττης πράττειν ἐθέλουσιν. οἱ δὲ ἄλλοι πολλοὶ εὐήθειαν κατηγοροῦσιν ἡμῶν. ἐπειδὴ τὸν ὑβριστὴν οὐ ποιμαίνοντες ἠμυνάμεθα. οὕτω γὰρ τὸ ὂν εἰλακτεῖ

σειόν, οὐκ ἂν δικαστήριον αὐτῷ συγκροτήσαιμεν. τοῦτο δέ τοι καὶ τῷ Σωφρονίσκου Σωκράτει καλῶς διηγόρευται.

Ἀγρ. Πραμίδης. Κορύδωνι.

ά Υελον ἔσομαι δαιτυμών. ἅπαντα πρὸς τὸν γάμον μοι παρεσκεύασται. ἔτνος. ἐρέβινθος. ἰσχάδες πολλαί. καὶ πλακοῦς. καὶ μελιττοῦττα. καὶ πόπανα. αὐτὸς δὲ κόμιζε τὴν ἔντεχνον σύριγγα. ταῖς ὑπὲρ ὕμνους μελῳδίας ᾀσόμενον. ἧσθαι δὲ ποιμενικῆς μουσουργίας ὦ ἐπιστῆμον Κορύδων. τὴν δὲ παστάδα βεβούλημαι πρὸς ἡδονὴν κινεῖν ἀφροδίσιον τοῖς ὑπὸ τῆς σάλπιγγος θελγομένην ἠχήμασιν.

Ἐτ. Λέανδρος. Γυλάδῃ.

λ Ιαν ἡμῖν οἱ ἔρωτες ἀπεχθάνονται. ἐγὼ μὲν ἐρῶ. ἡ δὲ ποθουμένη μισεῖ. καὶ τί δράσαιμι ἂν ὁ δυσάθλιος; οὐκ ἰσόρροπον ἔχουσιν οἱ ἔρωτες πλάστιγγα. ἄνισα τοῖς ἀνθρώποις ζυγοστατοῦσι τὰ δάκρυα. εἰ μὲν οὖν ἀδικοῦσι, θεοὶ μὴ κεκλήσθωσαν. εἰ δὲ τὴν προσηγορίαν οὐ ψεύδονται, ὀρθῶς δικαζέτωσαν. καὶ τὰς ἀλγηδόνας ἐμοὶ κατὰ τὸ δίκαιον μεριζέτωσαν.

Ἠθ. Διογένης. Ἀριστάρχῳ.

κ Ἀπέπληττε τὴν Μακεδονίαν Ἀλέξανδρος, τῷ Βουκεφάλῳ ἐποχούμενος ἵππῳ. τὸν δὲ ἵππον χαλινῷ ἱστοροῦσι μὴ πείθεσθαι. μήτε δὲ χειροήθεσι κολακείαις μαλάττεσθαι. καὶ δὲ ἀτιθάσσευτον τὸ ζῶον. καὶ τῷ θυμῷ τὸν ἵππον εἶναι ἀφηνιαστικόν. καὶ ἄκοντι ἀπρόσιτον ἦν. καὶ τοῖς ἐντυγχάνουσι λίαν δυσάντητον. ὅτε τοίνυν ἐπιβάτην Ἀλέξανδρον ἐκληρώσατο, τὴν ἀπήνειαν ὥσπερ πρᾳότητι συνεκέρασεν, ἀμειβόμενον τῇ κατηφείᾳ τὸ φρύαγμα. καὶ ἦν ἰδεῖν σώφρονα τὸν ἀκόλαστον. οὐ γὰρ Ἀλεξάνδρῳ θέμις ἦν ἀντιμάχεσθαι. ἔσο τοίνυν Ἀρίσταρχε καὶ σὺ τῆς τύχης ὑπήκοος. οὐ γὰρ Ἀλεξάνδρῳ ἀλλὰ τῇ τύχῃ ὁ Βουκέφαλος ἐπείθετο.

Ἀγρ. Ποιμνίων Ἄρνωνι.

τ Ὰ τῶν προβάτων οὔθατα ὑπὸ τοῦ γάλακτος μέλλει μοι διαρρήγνυσθαι· καὶ κισσυβίων οὐκ οἶδα πῶς ἠπορήμεθα. διὸ δίδου μὲν αὐτὸς τὰ κισσύβια· ἐγὼ δέ σοι γάλα παρέξομαι, μεγάλοις δώροις μικρὰς ἀμειβόμενος χάριτας.

Ἑτ. Χρυσογόνη. Τερπάνδρῳ.

μ Η μέμφου λοιδορουμένη τε καὶ ὑβρίζουσά με· οἱ γὰρ κεθοῦντες γλυκείας καὶ τὰς τέρψεις προσφέρονται. ταῖς πληγαῖς δὲ ταῖς μώλωψι πολλάκις ὡραΐζονται. εἰ δὲ δυσαναχετεῖς ὑβριζομένη, οὐδὲ ῥόδον τρυγήσεις τὴν ἄκανθαν εὐλαβούμενος.

Ἠθ. Λεωνίδης. Γελάνδρῳ.

ἠ Δέσθη καὶ Πρίαμον ὁ τῆς Θέτιδος πρεσβευόμενον. τὴν πολιὰν γὰρ ἐχθρῶν ὁ τοῦ Πηλέως ᾐσχύνετο· καὶ δίδωσι τῷ πατρὶ τεθνηκότα τὸν παῖδα, δυστυχεστάτῳ φιλοτιμούμενος δώρῳ τὸν Πρίαμον· καὶ τοῦ μὲν, τὴν τόλμαν τεθαύμακα· τοῦ δὲ τὴν φιλανθρωπίαν ἐπήνεσα. γίνου μοι καὶ αὐτὸς Αἰακίδης· καὶ πολιᾶς ἐλέησον δάκρυα, τὸν παῖδά μοι ζῶντα δωρούμενος. δυστυχοῦμεν γὰρ τὴν ἡμεῖς ὥσπερ καὶ ὁ Πρίαμος· οὐ γὰρ αὐτὸν ὄντα σε πολέμιον ὑπὲρ παιδὸς ἐπρεσβεύσαμεν δακρύοις οὐ μέλανι τὰ τῆς ἐπιστολῆς ἐγχαράξαντες γράμματα. ἀλλ᾽ εἰ μὲν τῆς σῆς καὶ σὺ φιλανθρωπίας ἐρᾷς ἐπιδείξασθαι, προφθανέτω τὸ δῶρον τὴν αἴτησιν. εἰ δὲ μὴ λόγοις παρὰ σοὶ βασιλεύει, ἀλλὰ θυμός τε καὶ λύπη τὰ πρεσβεῖα κεκλήρωται, πρὸς ὀλίγον μὲν εὐφρανθήσῃ· λυπηθήσῃ δὲ μειζόνως ἀφιλοσόφου θυμοῦ μεγάλας καὶ τὰς ποινὰς εἰσπραττόμενος.

ἐ Ι γεωργὸς εἶναι βεβούλησαι, τὸν πολιτικὸν θόρυβον ἀφεί-
σας. οἱ δὲ ῥήτορες παρὰ τοῖς δικαστηρίοις βήματα περι-
σπουδάσαι, τὴν δίκελλαν ἀφεὶς, καλαμίδας καὶ χάρτας ἀράμενος
ἐς κόρακας χώρει γερόντιον. οὐ γὰρ συκοφάντας ἄνδρας καὶ τὸ, αὐ-
δρῶν δικαστὰς φθειρομένους πυκνότερον, ἢ τῆς γεωργοῦ πολιτείας προ-
σίεται.

Ετ. Ροδόπλεια. Ὑψιπύλῃ.

τ Ον πειραιᾶ χθὲς τῇ νυκτὶ περιεπόλουν. καὶ τὸν σὸν ἐρα-
στὴν μετὰ τῆς Χρυσίππης ἑώρακα. καὶ μειράκιον ἐδόκει δού-
χος. καὶ προσωπόμετωπος ἡ Θαλία, γραῦς ὑπάρχων ἀβρότου). ὅτε ἢ τὴν
προαγωγὸν προσεῖπον, ἐνεκελεύετο ὁ σὸς ἐραστὴς, ἵνα τῷ σκότῳ
τὸ πραττόμενον διαλάθοι. οὐκοῦν μήτε ὀμνύντι μήτε κολακεύοντι
πείθου. γλώττης γὰρ σόφισμα δεινὸν ἐστιν ἑκάτερον.

Ηο. Σωκράτης. Κλέωνι.

ὅ Ταν οἱ λύκοι μεγάλης περιτύχωσι θήρας καὶ τῷ κόρῳ φι-
λοσοφήσωσιν, ὥσπερ ἐγκράτειαν ἀρνῶν ἔχουσι. τὸ ἦθος καὶ
τὸ ἄγριον πρὸς φιλανθρωπίαν μεταβάλλουσι. καὶ θαυμαστήν τινα
δικαιοσύνην ὁ κόρος ἐκδιδάσκει τοὺς λύκους. μετὰ τῶν προ-
βάτων συννέμονται. καὶ γεραίρουσιν ἄχρις ἂν αὐτοῖς ἡ γαστὴρ ἀναπνεύ-
σειεν. ἀλλὰ σὺ καὶ τῶν λύκων τὸν τρόπον ἀναιδέστερον κέκτησαι. καὶ
μᾶλλον πλεονεκτικώτερον τὸ ἀκόλαστον ἔχεις, ὅταν ὁ χρυσὸς ὑ-
περαναβλύζῃ τῶν σῶν θησαυρῶν ὥσπερ οἱ μέθυσοι. διψῶσι γὰρ
ὅταν κορεσθῶσι τοῦ οἴνου. καὶ σοφίζονται τῇ μέθῃ, μέθης [illegible]. διὰ γὰρ
τὴν ἐς ἄκρον δυσκρασίαν πρὸς τὴν ἐναντίαν διάθεσιν μεταπίπτουσι
περιγανοῦντος τοῦ οἴνου τὰς οἰνόφλυγας καὶ ἐκκαίοντος. ἀπαγ-

τῆς ἀκολάστου μέθης ἀπόλαυε· ἵνα μὴ πρὸς τὴν ἐναντίαν ῥέπῃς τὴν μεταχθῇς, ἀφαιρουμένης τῆς τύχης ἅπερ δέδωκε. τοιαύταις γὰρ τοὺς ἀχαρίστους ποιναῖς σωφρονίζεται.

Ἀγρ. Μίνθῃ. Ῥίζωνι.

Ποταμὸς χρυσορρόας τοῦ γηδίου τοῦ ἡμετέρου μοῖραν ἐσύλησε τῷ σῷ ἀγρῷ προσεκύρωσε. μωρόν τι ποιῶν καὶ ἠλίθιον, ἀγόραιον ἐπαγγέλλεται. ἀλλ' εἰ μὲν δικαστηρίου φόρτον ἐπὶ τοῖς ὤμοις φέρειν οὐχ οἷός τε εἶ, δῶρα ποταμῶν μὴ προσίεσο. εἰ δὲ τῶν ἀγοραίων ἐρᾷς, μετὰ πολὺ δακρύσεις τῶν ἰδίων στερόμενος.

Ἐρ. Μήδεια. Ἰάσωνι.

Ὑδὲν τοῖς ἀνθρώποις περισπούδαστον οὕτως οὔτε δὲ προσκορέστερον ἐρωτικῆς καθέστηκε σχέσεως. ποῦ σοι τῶν δακρύων τὰ ῥεῖθρα, ἃ τοῖς ἡμετέροις ποσὶν ἐπικύμαινε. ποῦ σοι διέπτησαν τὰ μνείας ἐχόμενα τῶν λόγων ἐκείνων τῶν τε ῥημάτων τὸ ὑφειμένον τε καὶ χαμαίζηλον. οἶμαι μήτε τοὺς δανειζομένους τοιούτοις πρὸς τοὺς δανειστὰς κεχρῆσθαι τοῖς ῥήμασι, μήτε θαυματοποιοὺς τῶν πολεμίων ἁλόντας χερσίν. ἡ σύντονος ἀγρυπνία παρῴχηκε. τὰ ἑωθινὰ καταλέλοιπας ἄσματα. παρῶσω τὰς μνείας πρεσβείας. τὰς σπονδὰς τοὺς ὅρκους, ἃς διὰ τῶν προσαγορευθῶν γυναικῶν ἐσπεισάμεθα. πρὸς ἑτέραν ἄφνω παρθένον ὤλισθησας ὥσπερ οἱ καθεύδοντες ἀμέσως ἀφ' ἑτέρας πρὸς ἑτέραν ἐνυπνίων ὑπόθεσιν μεταβαίνοντες. ἐπαινῶ τοὺς ζωγράφους. ὑποπτέρους τοὺς ἔρωτας ἀναγράφουσι καὶ τέχνῃ διαμορφοῦσι τὰ πράγματα. καὶ τοῖς πλάσμασι τὴν ἀλήθειαν περαίνουσι.

Ηθ. Προμηθεὺς Χρυσοθέμιδι.

Ὁ μὲν ἐγρηγορέναι διὰ παντὸς, ἀθανάτου φύσεως ἴδιον· ὕπνου δὲ μετρίως, τῶν καθ' ἡμᾶς ἐστὶν ὡς ἔοικε καὶ ἀνθρώπινον.

τὸ δὲ πέρας καθεύδειν τοῦ πρέποντος, τοῖς τεθνηκόσι μᾶλλον ἢ πρὸς τοῖς ζῶσιν ἁρμόδιον. πῶς πλειστάκις χρυσωθεὶς τῆς σῆς ζωῆς μοίρας ἀφῄρησαι. ἀεὶ γὰρ καθεύδεις. καὶ τῆς ἐνθάδε μεταβέβηκας λήξεως, οἷά τις ὀδυσσεύς, τῆς καθ' ἡμᾶς οἰκουμένης ἔξω πλανώμενος. ὠκεανῷ τινι τῷ ὕπνῳ χρώμενος. καὶ μήτε ἀνίσχοντα μήτε δυόμενον προσβλέπων τὸν ἥλιον.

Αγρ. Δάφνων. Αἰγείρῳ.

α Ι συκαῖ σου πρὸς τὸ ἐμὸν χωρίον τὰς ῥίζας ἥπλωσαν. ὑπὸ τὴν σὴν ἐξουσίαν ἔτι τελεῖν οὐκ ἐθέλουσαι. καὶ τὸ σὸν ἀφελόμεναι δίκαιον, φιλοτιμοῦνταί μοι τὰ κυήματα. τοῖς ἐμοῖς γὰρ ηὐτομόλησαν ἔργοις. καὶ τοῦτο νόμος ἐστὶ γεωργοῖς. καὶ γεγηρακόσι νόμοις πείθου γέροντι ὤν. εἰ δὲ τοῖς παρ' ἡμῖν ἔθεσιν ἀντιφθέγγεσθαι θέλεις, ὡς καινὸν ὄντα σε νομοθέτην καὶ πρόσφατον τῶν γεωργικῶν συλλόγων ἐκβάλλομεν. καὶ τῶν ἡμετέρων ὅρων ἐξοστρακίζομεν ὡς ἀλλότριον.

Ερ. Πυῤῥίας, Φιλωνίδῃ.

ε Ι ἐρᾶς, μὴ κατηγόρει τῆς ἐρωμένης ἀπρέπειαν. οὐ δύναται γὰρ μὴ τυφλωθῆναι ἐρῶσα ψυχή. ἀπειθὴς γὰρ ἡ τῶν ἐρώντων προσπάθεια. εἰ δὲ οὐκ ἐρᾶς, τί δακρύεις καὶ στένεις. καὶ κλύδωνας σαυτῷ προσφέρεις αὐθαίρετον. ἀδικεῖς οὖν ἑκάτερον. ποτὲ μέν, ὡς ἐραστὴς ἐλεούμενος. ποτὲ δὲ ὡς ἀνταγωνιστὴς βδελυττόμενος.

Ηθ. Δάμασκος. Ἀντιγόνῳ.

ε Ι μὴ βίου Σωκράτης ἐνέχυρα κέκτηται, παιδαγωγὸς τοῦ σοῦ μὴ προχειριζέσθω παιδὸς. ἐνέχυρα τοῦ βίου, παῖδες νοείσθωσαν. ὃν γὰρ εἶναι πατέρα φύσις ἐδίδαξε, τοῦτον καὶ παιδαγωγεῖν ἐστιν ἀξιόπιστον. πείρᾳ μανθάνουσι γεννήσεως σχέσιν καὶ στοργῆς ἀλγηδόνα.

Ἀγρ. Κηπίας. Κορισκῷ.

Σὺ μὲν εἴθισο ἔσ μοι μεσημβρίας ὥρᾳ κορίσκε. αἱ μασιαῖ γὰρ τὸν ἀγρὸν περιφράζομαι. κακοὺς γὰρ τοὺς ἐσθίοντας κεκτήμεθα. οὐχ οἷός τέ εἰμι καὶ ζώοις ἀλόγοις καὶ τοῖς ἀνθρώποις συμπλέκεσθαι. ὁ λαγωὸς τὰς ἀμπέλους. ἡ κάμπη τὰ λάχανα ὄλλυσι. τί δῆτα περὶ τῶν ἀσπαλάκων λέξαιμι. φοβοῦνται γὰρ τοῦ γεωργοῦ τὸ κακὸν καὶ δυσανταγώνιστον τὸ πολέμιον. δεῖ μοι συμπαρατάττου. καὶ τῶν πόνων συναντιλαμβάνου. κἀγὼ δέ σε αὖθις τοιούτοις ἔργοις ἀμείψομαι. οὕτω γὰρ καὶ οἱ μύρμηκες συμμαχοῦντες ἀλλήλοις, τὸν μόχθον σοφίζονται. καὶ τῶν μεγίστων πόνων ἐφάπτονται.

Ἑτ. Ἀνθύλα. Βείωνι.

Πάντα τῷ γυναικείῳ φύλῳ δεδούλωται. Λαΐδος ὁ
ἄλ Διογένης ἐρᾷ. Σωκράτης, ὁ Φρύγιος. ἡ τῆς φιλοσοφίας κομψότης διόλωλε. τὸ σεμνὸν ἦθος παρώσαντο. τὸ αἰθέριον καταλελοίπασι φρόνημα. τὸ μετάρσιον ἐπίστελμα δὲ ἐψεύσαντο. ἅπαντα φροῦδα τὰ πρὶν αὐτοῖς μεμελετημένα πρὸς ἄσκησιν. ἄωρόν μοι παίγνιον εἶναι δοκεῖ, ἄνδρα πρεσβύτην πολιὸν αἰδέσιμον ἔχοντα. ὑπερωφρυωμένον τῇ σεμνότητι, νεανίδος ἑταίρας ἐρᾶν. ἐγὼ δὲ καγχάζω τὸν γέλωτα φέρειν οὐ δύναμαι, ὁπηνίκα συναντήσαιμι τοῖς γεροντίοις. πολλὰ γὰρ τῆς Ἀφροδίτης κατηγόρουν πάλαι πρὸς τοὺς ἐρῶντας μανίαν νοσεῖν αὐθαίρετον ἔφασκον. ἔφεσιν ἀκολάστου ψυχῆς τοὺς ἔρωτας ὁριζόμενοι. ἅπαντα φέρειν σοφόν. τὸ δὲ ἐλπίζειν λίαν ἐστὶν ἐμφρονέστερον. πολλὰ γὰρ χρόνος καὶ τύχη δεδύνηται.

Πειδή σοι πολλὰ καὶ θαυμαστὰ παραινέσαντες τὸν Πη-
ἐ νελόπης ἔδοξα μὲν ὑφαίνειν ἱστόν, φέρε δή τοι φέρε τῶν
μυθικῶν ἀπαρξώμεθα λόγων. ἴσως γὰρ τῆς διανοίας ἐφίκοιτο δὴ τὰ λεγόμενα. ἐν τοῖς νεοβλάστοις τῶν δένδρων ὁ τέττιξ ὀχούμενος, ὥρᾳ καύματος ἐκελάδει. καὶ τῆς ἑαυτοῦ ἁρμονίας αἰσθανόμενος ἐπετέρπετο. ὁ δὲ μύρμηξ περὶ τὴν τοῖς θερίζουσι καὶ περὶ τὴν ἅλω τὰς διατριβὰς ἐπεποίητο. καὶ τοῖς κόλποις τῆς γῆς τὴν ἑαυτοῦ τροφὴν ἐθησαύριζεν, οἷα προμηθέστερος ὢν ὁ μύρμηξ τοῦ τέττιγος. παρῳχήκει τοίνυν εἰς τὴν βόρειον ὁ ἥλιος. ἀπῄει γὰρ μετόπωρον. καὶ ὁ χειμὼν ἀπήντα τῇ γῇ. ἡ δὲ θάλαττα τὰς γαληνιαίας σπονδὰς διελύσατο. οἱ πλωτῆρες τοὺς λιμένας ὡς σωτῆρας ὄντας ἠσπάζοντο. καὶ ὁ γεωργὸς ἐπὶ τὴν ἑαυτοῦ ἀλέαν κατέφυγε. καὶ ὁ μύρμηξ ἐν τοῖς λαγόσι τῆς γῆς καὶ τοὺς πόνους εἶχεν ἑστίασιν ἐπιτήδειον. ἱκέτευε δὴ ὁ τέττιξ τὸν φιλόπονον μύρμηκα τῶν θησαυρῶν μεταχεῖν. ὁ δὲ τὸ μελῳδὸν τῶν ἑαυτοῦ θυρῶν ἀπεπέμπετο πολλὴν αὐτοῦ τῆς ἀργίας καταχέων τὸν γέλωτα. τὰ τῶν θερινῶν ᾀσμάτων αὐτὸν ἀνεμίμνησκε. διόπερ ὁ μὲν εἶχε λιμὸν τὴν ᾠδήν. ὁ δὲ τοὺς πόνους τρυφήν. ἁρμόττει σοι ὁ μῦθος Λυσίστρατε. σὺ γὰρ ὢν ἀθλιώτερος ἐπὶ τοῦ πυρέσσοντος ἐσθίων μάτην διπλάσια. ἄπαγε δή τοι τῆς ἀργίας ὦ βέλτιστε. τὰ τῆς φύσεως γὰρ δῶρα κατῄσχυνας. τηλικαύτην ῥώμην καὶ εὐρωστίαν τοῦ σώματος ἀκόσμητον περιορᾷς ἐπιστήμην τινὰ ἀσκεῖν μὴ βουλόμενος.

Τεττίγων Πορφυρίωνι.

ὁ Κορύδων εὐδαίμων ἀνὴρ καὶ τῆς τύχης φίλος ὡς ἔοι-

κεν. αἱ ἄμπελοι τοῖς βότρυσιν ἄχθονται. αἱ ἀχράδες βρίθουσι καὶ τῶν φυτευθέντων ὀρέγονται. αἱ ἐλαῖαι τῇ γῇ προσμενήκασι. καὶ τῷ πλήθει τοὺς ἐνεγκαμένους κλάδους βιάζονται. οἱ λειμῶνες κατάκομοι. ἡ ἄλως τοῖς μελῳδοῖς ἐφάμιλλος αὐλαζιν. ἀγαθὰ καὶ τὸ γυμνάσιον μετὰ τῶν ἄλλων εὐφραίνει τὸν ἄνδρα. τοσοῦτοι γὰρ παῖδες αὐτῷ, ὥστε καὶ Δαναὸν καὶ Αἴγυπτον τοὺς εὐτεκνίαις νικᾶν. ἄλλος μὲν γὰρ ἔστιν ὑπομάζιος. ἄλλος δὲ γαλουχείας ἐπαύσατο. ἕτεροι δὲ ἕρπουσι μήπω δὲ ὀρθῆς βάσεως ἀπεξάμενοι. ἔνιοι παραψαυλίζουσι ἐπὶ τοὺς ὀδόντας ἀμείβουσιν. ἄλλοι δὲ ἀκμῆς ἐπιβαίνουσι. καὶ τὸ βούπαιδες εἶναι κεκλήρωνται. σύευπος δὲ καὶ αὐλῶν· ἡ δὲ ἡλικίας αὐτῶν τάξις συντέτακται. σὺ δὲ περιήνεγκες τὸ θυγάτριον μὴ παρεπεῖναι τῷ κορύδωνι. ἐπὶ τὴν ἀγχιστείαν ἐμακκίζες ὥσπερ ἀφοσιούμενος τὴν δυσγένειαν. οἴμοι βεβουκόλημαι ὁ δείλαιος. καὶ κοῦφον ἔχου τὸ φρόνημα. τοῖς ἀνθρώποις ἀνόνητον ἡ δυσγένεια. πλούτου γὰρ παρὰ πᾶσιν οὐδὲν ἐνδοξότερον.

Χρυσὶς. Ἡφαιστίωνι.

ο Υκ ἔτι δὲ Διοδότης ἐρᾷς. τὰς ἐρωτικὰς θρυαλλίδας ἀπέσβεσας. οὐ γὰρ ζηλοτυπεῖς ἐπ᾽ αὐτῇ, ἐμφιλοχωροῦσαν τῷ Λυσιστράτῳ θεώμενος. φιλομεικώτερον ἐρώτων οὐδέν. ἐπεὶ πῶς ἐρᾷς τηλικαύτης ἀλγηδόνος φιλόσοφος ἀνεχόμενος.

Ηθ. Σωκράτης. Μελανιππίδῃ.

ς Υ μναστὰς μὲν παιδοτρίβαι ἀπαραιτήτους ποιοῦσι. δὲ σωφροσύνης δὲ διδάσκαλοι. ἐπειδὴ γὰρ φρονήσεως ἔτι καὶ νόμων οἱ παῖδες εἰσὶν ἀνεπίδεκτοι, ἀπειλαῖς χαλινῶμεν τὸ τοῦ

των ἀκόλαστον. τοὺς γὰρ παῖδας λόγοις μᾶλλον ἢ μάστιξιν ἐκ τοῦ ῥάττομεν. ἐγὼ δὲ τὴν σὴν ἀναίδειαν ἄγαμαι. οὐ γὰρ κολάσεις δι κασηκείωνσοι φοβεραί. οὔτε λόγος ἐσηπτικός ἐστιν αἰδέσιμος. τῶν παίδων ἀφρονεστέραν ἐν γήρᾳ τὴν διάνοιαν ἔχεις. ἴθι τοίνυν εἰ βούλοιο πρὸς βάραθρον. ὃν γὰρ λόγος καὶ μάστιγες σωφρονεῖν οὐ διδάσκουσι, τοῦτον πείθειν καιρίαν ἀνέχεσθαι λίαν ἐργῶδες. καὶ τοι καθαίρειν τὴν αὐγέου κόπρον ἐστὶ δυσχερέστερον. ἢ κοτύλῃ τὸ ἀτλαντικὸν ἅπαν ἐκροφῆσαι πέλαγος.

Ἀγρ. Βουβαλίων Κιττυβίωνι.

Ὁ Γοργίου παῖς ἡμᾶς ἀδικεῖ. ξυνοικεῖται γὰρ ἱππαζόμενος ὁ παμμίαρος. καὶ προσχήματι θήρας περιπέττει τὴν πανουργίαν ὁ κάκιστος. οὔτε γὰρ λαγὼς φοιτᾷ παρ' ἡμῖν οὔτε δορκὰς ἔνδημοι. οὔτε βουβαλίδες. οὐκ ἔλαφοι, οὐκ ἄλλο τι τῶν πρὸς θήραν ἐπιτηδείων ὄντων. αἱ μὲν γὰρ εἰρηταὶ καὶ πάγαι τοὺς λαγωοὺς ἀπελαύνουσι δι' ὧν καὶ ἁλίσκονται. δορκάδας δὲ ἢ καὶ βουβαλίδας οἱ γείτονες λέοντες. καὶ τί δεῖ τοσοῦτα μνεία τῶν θηρίων ἀπαριθμήσαιμι γένη. οἷς καὶ ἡμεῖς συλλιμώττομεν· ἀνανδρίαν γὰρ ἡμᾶς. ἀθηρία δὲ τοὺς θῆρας κολάζεται. ἐπειδὴ οὖν ἀγχιστεύουσι πρὸς τὸν ἀδικοῦντα κιττύβιε, ἐσηγοῦ τὸ συμφέρον. καὶ σωφρονέστερον τούτων οἷς οἴσε διδασκέτωσαν λόγοι. ἴσθι γὰρ αὐτὸν κυσὶ σπαραξόμενον, εἰ ἐν τοῖς ἐμοῖς ἀγροῖς τὸ λοιπὸν ἐνδημήσειεν. ἤδη γὰρ καὶ ἡ θήλεια κύων σὺν τοῖς τέκνοις περιφρουρεῖ μου τὸ γήδιον ἀνθρωπίνης ὀργῶσα ἐπιμελῆς ἐφάψασθαι.

ε Υπρέπειαν οὐκ ἦθος σεμνὸν οἱ ποθοῦντες μᾶλλον ἀσπάζονται. οὐ γὰρ σωφρονεῖν οἱ ἔρωτες ἐπαγγέλλονται. ἀλλὰ κάλλει σώματος, ὀφθαλμὸν ἀκόλαστον δελεάζουσιν. εἰ τοίνυν διὰ τοὺς τρόπους τῆς ῥοδοκλείας ἐρᾷς, τῶν σῶν ἡδονῶν οὐ βασιλεύουσιν ἔρωτες. φιλοσοφοῦντος γὰρ λογισμοῦ βέλος ἀφροδίσιον οὐχ ἅπτεται.

Ηθ. Ερασιθέρης. Αἰσχίνῃ.

ε Σθίεις τοὺς ὅρκους ὡς λάχανα. καὶ κτύπος ὀδόντων εἶναί σοι δοκεῖ τὸ τελούμενον. καὶ τοῖς ἐγκαλοῦσιν ἀντιφθέγγῃ παμπόνηρε. ἡ γλῶττα ὀμώμοκεν. ἡ δὲ φρὴν ἀνώμοτος. οὐκ εἰδὼς, ἀχαλίνωτον γλῶτταν, μείζονα τοῦ πλημμελήματος εἰσπραττομένην τὴν κόλασιν. ἃ γὰρ λόγοις ἁμαρτάνομεν, ἔργοις τὴν τιμωρίαν ὑπέχομεν. τὴν γλῶτταν δῆτα σώφρονα κέκτησο, ὄμνυθι καὶ πρὸς ἀλήθειαν εὐλαβούμενος. ἀβαρές τι γάρ χρῆμα ὁ ὅρκος εἶναι δοκεῖ. καὶ παντὸς ἄχθους ἐστὶ δυσφορώτερον. ἐντεῦθεν καὶ Τάνταλος ἐκολάζετο. περὶ τὰ θεῖα γὰρ εἶχε τὴν γλῶτταν ἀκόλαστον.

Αγ. Σωτλίων. Κοριάννῳ.

ει Λον ὀψέ ποτε τὴν κακίστην ἀλώπεκα. καὶ λαβὼν, ποικίλοις δεσμοῖς περιφρουρῶ τὴν παμμιαρόν. ἄξω διὰ τῆς λεωφόρου Κοριάννε τοὺς ἀγροίκους συγκαλεσάμενος ἅπαντας. καὶ τὴν πολεμίαν θριαμβεύσω. καὶ δημοσίᾳ δίκας παρέξεται ἀντὶ πολλῶν ἀδικημάτων μίαν ὑφέξουσα κόλασιν.

Ετ. Καλλιόπη. Λαΐδι.

Ρωβύλῳ καὶ τέττιγι ὁ γοργίας σεμνύνεται. μήπω τοῖς ἰούλοις κατασκιάσας τὸ πρόσωπον. καὶ βρενθύεται τῷ κάλλει. καὶ δέλεαρ ἀνοίας προστίθησιν ἡμῖν τὴν εὐπρέπειαν. ἐγὼ δὲ γῆρας καὶ νόσον καὶ λύπην, πίναξιν ἐγχαράξομαι. καὶ πρὸ τῶν θυρῶν ἀναθήσομαι τοῦ ἀγνώμονος. ταῦτα γὰρ ἕξει ποτὲ τῆς ἀπρεπείας τὰ ἀντίπαλα.

Ηθ. Πλάτων. Ἀξιόχῳ.

Νίκιας καὶ μάστιγι τοὺς ἵππους ἰθύνομεν. καὶ ναυτιλλόμενοι τῇ μὲν τοῖς ἱστίοις τὴν ναῦν ἐκπετάσαντες. τῇ δὲ ταῖς ἀγκύραις χαλινώσαντες καθυβείζομεν. οὕτω κυβερνητέον τὴν γλῶτταν ἀξίοχε. τῇ μὲν τοῖς λόγοις ὁπλίζοντες. τῇ δὲ σιωπῇ καταδυνάζοντες.

Αγ. Ρόδων. Κυπριανῷ.

Οἱ δ᾽ λυκαμοὺς ὠδίνας πάλιν φασί. καὶ τὸ δρέπανον ἀπορρίψας, λόγχην καὶ σαυρωτῆρα χαλκεύσομαι. καὶ τὴν ἐνυάλιον τέχνην ἀσκήσαιμι. οὐκ ἐᾷ γὰρ ἠρεμεῖν ὁ δαίμων ἡμᾶς. ἐμοὶ τοῦ χειμῶνος τὸ θέρος ὄζει κρυωδέστερον. τί γὰρ τοῦ πολέμου γένοιτ᾽ ἂν φρικωδέστερον. ἦρος φανέντος ἐδάκρυσα. ὡς κομᾷ τοῖς ἄνθεσιν ὁ ἀγρός. ὡς εὐώδες ἐν ταῖς μυρρίναις τὸ γήδιον. ὡς κοσμία κομῶσα ἡ πλάτανος. χλοάζει τὸ λήϊον. πάντα μοι πρὸς εὐθηνίαν ἐπείγεται. ἀλλ᾽ ἀδικοῦσιν ἡμᾶς οἱ πολέμιοι. ἀρότρου γὰρ αὐτοῖς ἡ μάχαιρα ποθεινοτέρα.

Ετ. Σώπατρος. Τελεσίλλῃ.

ἐ Μὴ τοῖς ἀφροδισίοις ἡδοναῖς τὸν ἀτερπῆ κόρον ἡ φύσις ἐνέμιξεν, ἐδουλαγωγεῖτο τὸ ἄρρεν τῷ γυναικείῳ φύλῳ τελέσιλλα. μὴ τοίνυν μέγα φρόνει πορνίδιον. ὁ γὰρ ἀφροδίτης μοι πυρσὸς ἀπηθάλωται. οὐ γὰρ ἀθανάτους τὰς ἀλγηδόνας τὰ τῶν ἐρώτων βέλη παρέχεται.

Ηθ. Πρόκλος. Αρχιμήδει.

τ Οὓς πολύποδας φασὶν ἀθηρίας τυγχάνοντας, τοὺς ἑαυτῶν καταπεδίζειν πλοκάμους ὄψον ὥσπερ ἀληθῶς ἐμπαρασκευάζον τὰ ἑαυτοῦ δυστυχέστατα μέλη. ἐσθίουσι γοῦν οἱ τάλανες τῶν ἑαυτῶν μορίων τὰ καίρια. καὶ δαιτυμόνες τῶν ἰδίων σαρκῶν ἀναδείκνυνται. ἆρ᾽ οὖν τε ξάνθιππε ὁ πολύπους τὴν συνωμην εἶναι τοῖς ὅλοις δοκεῖς. ἐγὼ μὲν οἶμαι τοῦτο σαφέστατον. ἀδικεῖς γὰρ λίαν ἀπαμερωπότατον σὸν πατέρα. μήτε τὴν φύσιν αἰδούμενος μήτε τὴν δίκην ὡς βάραθρον εὐλαβούμενος. ἀλλ᾽ εἰ μὲν μεταγνοίης ἀμνήμονα τῶν παρῳχηκότων κακῶν ἕξεις τὴν πρόνοιαν. εἰ δὲ τὴν φιλόχρυσον ἐρινὺν ἀμετακίνητον πάθος κεκλήρωσαι, τὴν ἰσόρροπον πλάστιγγα τὸ θεῖον σοι ταλαντεύεται. καὶ παῖδας ἕξεις πατρικῆς κακίας εἰκόνας ἀληθεῖς καὶ ἰνδάλματα. οὕτω γὰρ καὶ τὰ τῆς ἐχίδνης κυήματα μητρικὴν ἀνοσιότητα διαδέχεται. τὴν κυοφόρον καὶ τιθήνην γαστέρα διαρρηγνύοντα.

Αγ. Ἐλάφων. Δόρκωνι.

γ Οἶμος πρὸς εὐκαρπίαν ὁ τῶν θρεμμάτων ὄνθος καθέ-

στῆκεν· οὐκοῦν δίδου μοι τῶν σῶν θρεμμάτων τὴν κόπρον. καὶ λήψῃ καὶ αὐτὸς μισθοὺς εὐηθείας ἀχράδας καὶ λάχανα. ἐπὶ τὸ σὸν φιλότιμον λαμπροτέραις ἀμείψομαι χάρισιν.

Ετ. Ἀριστόξενος. Πολυξένῃ.

ε Τῶν ἐραστικῶν ἡδονῶν οὐδὲν ἀθεμίστερον ἄπιστα τὰ τῶν σῶν χειλέων φιλήματα. ἀφύλακτος γὰρ πόθος θᾶττον μαραίνεται. ἐγὼ τὴν σωφροσύνην λοιπὸν ἀνήδονον οὖσαν παρὰ τοῖς πολλοῖς μᾶλλον προσδέξομαι. τὸ γὰρ σταθερὸν ἐπαγγέλλεται καὶ προοίκιον τὸν γάμον ὀνήσομαι. πρίασθαι γὰρ πᾶσιν ἑταιρικὴν χαλεπώτατον.

Ηθ. Διογένης. Σωτίωνι.

τ Ο μικρὸν τοῦτο δοξάριον ὑπὲρ ἐνύπνιον εἶναι τοῖς εὖ φρονοῦσι δοκεῖ. καὶ τῶν πεπλασμένων μύθων τερατωδέστερόν ἐστι καὶ φαυλότερον. ἄστατον. κουφότατον. παίγνιον ἠχῶν καὶ πνευμάτων φαντασιωδέστερον. τοῦτο καὶ μὴ παρὸν ἀνιᾷ. καὶ προσγινόμενον πλεῖον ἐλύπησε. μετ' οὐ πολὺ γὰρ τοὺς ἐραστὰς ἠγνωμόνησε. καὶ πρὶν γενέσθαι πρὸ τοῦ μὴ εἶναι μετέδραμε. μήσε καταπληττέτω τὰ τῆς τύχης φυσήματα. διαπαίζει γὰρ τοὺς ἀνθρώπους ὥσπερ καὶ βούλεται. εἴδωλα γὰρ εἰδώλων τὰ τῶν ἀνθρώπων τετύχηκε πράγματα.

Αγ. Βουκολίων. Μυρωνίδῃ.

ο Σὸς ἔγγονος ὑπερμαζῶν Μυρωνίδη. Ἐρυθρῷ ῥάκει τὰ βουκόλια διετάραξε. καὶ τὴν δαμάλην τὴν πιεσθεῖσαν κατε

κρήμνισεν

κρήμνισεν. οἱ δὲ ἡλικιῶται τὴν συμφορὰν ἐπεποίηντο παίγνιον. μὴ παρέχον δυοῖν χοινίκοιν τῷ παιδὶ πρακτέρῳ. οἱ γὰρ νέοι καὶ σφριγῶντες ἀκόλαστοι καὶ ζυφῶντες εἰσὶν ἀκρατέστεροι.

Ετ. Περικλῆς. Καλλιόπῃ.

π Αρθενικῶν ἡδονῶν τοι δεξάσθαι ἀγαυὸν δυσχερὲς καὶ λίαν. ἐγὼ δὲ ῥᾴθυμος τὴν ψυχήν. καὶ τί δράσαιμι ἄν. ἀσύμβατος γὰρ ὁ ἔρως ὑπὲρ πέμπων τὸ βέλος. αὐτή μοι δίκαζε καὶ τῷ ἔρωτι καὶ δίδου μοι ψῆφον φιλανθρωπίας. βασιλεύουσι γὰρ οἱ ἐρῶντες τὸ μὲν ποθεῖν παρεχόμενοι. τὸ δὲ τυχεῖν ἀφαιρούμενοι.

Ηθ. Ἰσοκράτης. Διονυσίῳ.

ϖ Ρόπομποι καὶ ῥαβδοῦχοι καὶ κήρυκες καὶ θρόνων ὑψηλοτάτων ὑπέρταξις, φιλοσοφίας ἐστὶν ἀχλὺς καὶ διαιρετικώτατος πέφυκε τῆς ἀρετῆς χωρισμός. οὐκ ἤμειψας μετὰ τῆς τύχης τὴν φύσιν. ἔτι τὸν θύλακον ἔνδον δερμάτινον. ἢ τὴν γὰρ ἔχεις ἐκ προοιμίου τὴν σύστασιν. τί δῆτα τὸ κενὸν τοῦτο δοξάριον ὑπὲρ τοσοῦτον τὸν πόλεμον ἀσκὸν ἐνεφύσησε. μεγάλης ἀνοίας ἐνεφορήθης ὦ δύστηνε τῆς φύσεως τὴν γνῶσιν ἀφῄρησαι. οὕτω τὰ μετέωρα τῆς τύχης κινήματα ἐκστῆναί σε τῆς πάλαι θεωρίας ἠνάγκασαν. καὶ τῆς σώφρονος ἐκείνης μανίας ἀπαναχωρεῖν παρεσκεύασαν. ἦν σοι πάλαι μετάρσιον τὸ χαμαίζηλον. νῦν δὲ καὶ χθαμαλὸν καὶ περίγειον ὁ τῆς τύχης ὄρος ἀκρότατος. οὐκοῦν τῆς ψευδοῦς εὐδαιμονίας ἀφίστασο. καὶ τὴν δραπέτιν τύχην δραπέτευε. προφθάνων γὰρ τὴν ἀγνώμονα, ἄφνω τὴν μεταβολὴν οὐ δυσφορήσεις προσπίπτουσαν.

ψ iiii

Οὐκ ἔστι τί γεωργῶν ἀθλιώτερον· τυραννούμεθα καὶ τοῖς ἀνέμοις οἱ τάλανες· ἀπόλλυσιν ὁ βορρᾶς ἡμᾶς· τοὺς ἀστάχυας δ᾽ ἐξιτήλους μοι ἀπειργάσατο· τὴν ἄμπελον ἐλυμήνατο· καὶ τὰς ῥᾶγας διέφθορε· καὶ πρὸς δικαστήριον ἕλκειν οὐχ οἷός τέ εἰμι τὸν λυπήσαντα· διὸ καὶ τὸ δρέπανον ἐπὶ τὴν ἄμμην ἀποίσομαι· ἀσπίδα ἐπὶ κράνος καὶ ξίφος ἀράμενος· καὶ στρατιώτης γενήσομαι, ἢ τὴν τέχνην ἀμείψας, τὴν τύχην σοφίσομαι.

Ἑτ. Λέανδρος. Καλλινόμῳ.

Εἰ μέντοι τοῖς ἀνθρώποις χρυσοῦ τιμιώτερον, δίδωσιν ἐπὶ μεγίστοις δώροις ἀμείψομαι τὴν ἀπόλαυσιν· εἰ δὲ μή, δίδου μοι θᾶττον τὰς χάριτας· οὐ γὰρ Δανάης ἔχεις τὸ κάλλος οὔτε σὺ σεμνότερον, οὔτε Διὸς ἐγὼ πλουσιώτερος, χρυσῷ τὴν παρθενίαν ὠνούμενος.

Ἠθ. Σωκράτης. Ἀλκιβιάδῃ.

Καὶ τὰ περὶ ποιήσεως παίγνια, πάσης σύμπλεα σοφίας καθέστηκε· κηρῷ τοὺς Ὀδυσσέως ἑταίρους διαβύσαι τὰ ὦτα φησὶν ὁ τοῦ Μέλητος, ὅτε τοῖς ὁλκάσι πρὸς τὰς ἀκολάστους σειρῆνας ἀνήγοντο· τὸν δὲ Λαέρτου δεσμοῖς ἀπειργάσθαι ὡς ἐν εἱρκτῇ δυσφύκτῳ τινί· μυθολογεῖται τὰ περὶ φιλοσοφίας ἀπόρρητα· σειρῆνας γὰρ δηλῶ τὰς ἀσχήμονας ἡδονὰς τὴν ποίησιν ἀναπλάττεσθαι· καὶ θαυμάζω λίαν τὸν Ὅμηρον συγκρίνοντα

ται τοῖς πράγμασι τὴν ἀλήθειαν· καὶ κυκεῶνα νέκταρος προσηνέστερον ταῖς ἀκοαῖς ἡμῶν ἀναμίξαντα· οἷά περ ὕδωρ τὸ ψεῦδος οἴνῳ γονιμωτάτῳ τινὶ τῇ ἀληθείᾳ κεράσαντα. οὕτω γὰρ οὔτε τοῖς πλάσμασιν ἀπατώμεθα. οὔτε τῇ δυσεφίκτῳ τῶν ὄντων καταλήψει τὸν νοῦν μεθυσκόμεθα. διὸ κηρῷ μὲν τὴν ἀπειρίαν. δεσμῷ δὲ τὴν φιλοσοφίαν ἐδήλωσεν. ἐντεῦθεν ὀδυσσέα μόνον τῶν ὑπερκυκρίων μελῶν ἀκούοντα περατεύεται, καὶ τοῖς δεσμοῖς τὴν ἔφεσιν διακόπτεσθαι. ἡ μὲν γὰρ τῶν κακῶν σαφήνεια, ἡ φιλόσοφος ἀρετή. ἡ δὲ τῶν ἡδονῶν ἀναχώρησις φιλοσοφίας ἐναγώνιον τρόπαιον. Ἐπειδὴ τοίνυν ἀντίμαχος ὁ Ὀδυσσέως πλάνης ὁ παρὼν βίος εἰκόνισμα, καὶ τῇ θαλάττῃ τῶν θορύβων ὁ δείλαιος ἄνθρωπος περινήχεται, καὶ σειρηναίων ἡμᾶς ἡδονῶν, προσπλοῦσιν ἠχήματα, καὶ πνευμάτων δίκην, ποτὲ μὲν ἐνθένδε, ἄλλοθεν δὲ ποτε περικρατοῦσιν ὀξεῖα, τὸν πηνελόπης ὁμόζυγα μιμησώμεθα ἄρρηκτόν τινα τῶν ἀρετῶν καὶ θεῖον δεσμὸν τὴν φιλοσοφίαν ἀσκήσαντες.

Αγρ. Αμθιμος. Αμπελίνῳ.

ο Τρυγητὸς ἤδη προκέκυφε. καὶ ὁ βότρυς γλεύκους πεπλήρωται. περιφρούρει νῦν τὴν λεωφόρον κάλλιστα. καὶ τὴν κρῆσαν κῦμα συνέριθον κέκτησο. ὁδίτου γὰρ χεῖρες ἀκόλαστοι· καὶ γεωργικοὺς ἱδρῶτας ἀδικεῖν ἑτοιμόταται.

Ετ. Χρισίππῃ. Σωσιπάτρῳ,

ε Ρωτικοῖς δικτύοις οὐχ ἑάλως Σωσίπατρε. ὁ αὐθούσιος ἐρῶν. φρονίμων ὀφθαλμῶν ὕβρει τεκμήριον νεανί-

δος ἐραστοῦ εὐπρεποῦς. μὴ στέναζε κάλλει νικώμενος. μείζονα γὰρ τῶν πόνων τὴν ἀπόλαυσιν ἕξεις. ἐρωτικὸν δάκρυον προσήμων. ἡδονῇ γὰρ τὸ τῆς ἀνίας κεκέρασται. καὶ τέρπουσι λυποῦντες οἱ ἔρωτες. ποικίλοις γὰρ πάθεσιν ὁ τῆς ἀφροδίτης κεστὸς ἐγκεχάρακται.

Ηθ. Πλάτων Διονυσίῳ.

ε Ι λύπης ἐθέλεις κρατεῖν, περιπόλει τοὺς τάφους· καὶ τοῦ
πάθους ἕξεις τὸ φάρμακον. καὶ τὰς μετά
στασις τῶν ἀνθρώπων εὐδαιμονίας ἐπὸ
τῆς περιστέρου κόνεως κεκτη
μένους τὸ
φύση-
μα.

*
***
*

Τῶν Θεοφυλάκτου Ἐπιστολῶν
Τέλος.

*

ΕΚ ΤΩΝ ΑΙΛΙΑΝΟΥ ΑΓΡΟΙΚΙΚΩΝ ΕΠΙΣΤΟΛΩΝ.

Εὐθυνομίδης. Βλεψαίῳ.

Δ ιαψύχοντί μοι πρὸς τὴν εἵλην τοὺς βότρυς, ἡ Μανία προσελθοῦσα ἐθρύπτετο· καὶ ὡραϊζομένη, πολλοῖς ἔβαλλε τοῖς σκώμμασιν· ἐγὼ δὲ πάλαι δή τι ὢν τεθυμημένος αὐτῆς, διενοούμην τί δρᾶσαι θερμόν. ὡς οὖν ἄσμενος ἐλαβόμην, πλησιάσας, τὰς μὲν ῥᾶγας εἴασα· ἐφορμήσας δὲ καὶ μάλα ἄσμενος, τὴν ὥραν ἐτρύγησα. ταῦτά σοι πρὸς τοῦ Πανὸς μυστήρια τὰ μεγάλα ἔστω.

Κωμαρχίδης. Δρωπαίῳ.

Η Μέρων ὁ μαλακὸς φελλέα ἐπέκοψε τὸ σκέλος πάνυ χρηστῶς· καὶ θέρμη ἐπέλαβεν αὐτόν· καὶ βουβὼν ἐπήρθη. βουλοίμην δ' ἂν αὐτὸν ἀναρρωσθῆναι, ἤ μοι μεδίμνους ἰσχάδων ὑπέξαι τέτταρας. τὴν οὖν τὴν τὰ μαλακὰ ἔργα ἐπαινοῦ πρὸς σέ, παρ' ἐμοῦ πρόσειπε· καὶ τὸ βοΐδιον καὶ τὴν κύνα καὶ τὴν Μανίαν· καὶ αὐτὴν χαίρειν κέλευε.

Εὐπειθίδης. Τιμωνίδῃ.

α Δικεῖ με ἡ παρὰ σοῦ σκύλη παραιρουμένη τῶν δραγμάτων τὰ παραλείπουσα. ἐὰν μὲν οὖν παύσηται, καλά σοι· καὶ μένοιμεν φίλοι. ἐὰν δὲ ἔχηται ἔργου, δικάσομαί σε βλάβης· καὶ γὰρ ἂν εἰκότως μοι στενάξαι τὰ τῶν προγόνων ἱερά, εἰ Εὐπειθίδης ὁ κορυδαλλὸς ἐμαυτὸν περιόψομαι προσκλούμενον. καὶ ταῦτα ὑπὲρ ἀνδραπόδου ἴσως δυεῖν μναῖν ἀξίου.

Ἀνθεμίων· Δράκωντι.

Ἴσθι καλὸν εἴργασαι καὶ πίσσῃ πεπόρηται χρηστόν. ἐγὼ γὰρ ἀμπελίδος ὄρχον ἐλάσας, εἶτα μοσχίδια συκιδίων παραφυτεύσας ἁπαλὰ, καὶ ἐν κύκλῳ περὶ τὸ αὐλίον κατέπηξα ἐλαίας. εἶτά μοι δεῖπνον καὶ πότον ἔτυχε καὶ τρεῖς ἁδρὰς ἐξεκάναξα κύλικας. ἦ ἀσμένως κατέδαρθον.

Βαίτων· Ἀνθεμίωνι.

Ἀσμένῃ μοι τῶν μελιττῶν κενά. καὶ ἀπεφοίτησαν τῆς ἑστίας οὐκ οὖσαι τέως δραπέτιδες. ἀλλὰ γὰρ καὶ πιστοὶ διέμενον. καὶ ᾤκουν ὡς οἴκους εἰς τοὺς αὐτῶν σίμβλους. καὶ εἶχον λειμῶνα εὔδροσον καὶ δὴ καὶ ἀνθῶν εὔφορον. καὶ εἱστιῶντο μὲν αὐτοὺς πανδαισία. αἱ δὲ ὑπὸ τῆς φιλεργίας τῆς ἄγαν αὐθεσίων ἡμᾶς πολλῷ καὶ καλῷ τῷ μέλιτι. κοὐδέ ποτε τῆς δὲ τῆς ὠδῖνος τῆς γλυκείας ἦσαν ἄγονοι. νῦν δὲ ᾤχοντο ἀπιοῦσαι λυπηθεῖσαι πρὸς ἡμῶν οὐδέν. οὐ μὰ τὸν Ἀρισταῖον, οὐ τὸν Ἀπόλλω αὐτόν. καὶ αἱ μὲν εἰσὶ φυγάδες. ὁ δὲ οἶκος αὐτῶν χῆρός ἐστι, καὶ τὰ ἄνθη τὰ ἐν τῷ λειμῶνι περὶ αὐτὰ γηρᾷ. ἐγὼ δὲ αὐτῶν ὅταν ὑπομνησθῶ τῆς πτήσεως καὶ τῆς εὐχαρίστου χορείας, οὐδὲν ἄλλο ἢ νομίζω θυγατέρας ἀφῃρῆσθαι. ὀργίζομαι μὲν οὖν αὐταῖς. τί γὰρ ἀπέλιπον τροφέα αὐτῶν καὶ ἀτεχνῶς πατέρα καὶ φρουρὸν καὶ μελεδωνὸν οὐκ ἀχάριστον. δεῖ δέ με ἀνιχνεῦσαι τὴν πλάνην αὐτῶν. καὶ ὅποι ποτὲ ἀποδρᾶσαι κάθηνται. ἢ τίς αὐτὰς ὑπεδέξατο. ἢ τοῦτο. ἔχει γάρ τοι τὰς μηδὲν προσηκούσας. εἶτα εὑρὼν ὀνειδιῶ πολλὰ τὰς ἀγνώμονας ἢ ἀπίστους.

Κάλλαρος

Κάλλαρος. Καλλικλεῖ.

κ Αἴ ποτέ τις ἀποτρέψει τὸ ῥεῦμα. εἰ γὰρ μήτε εἰς τὴν ὁδὸν ἐμβαλεῖ, μήτε εἰς τὴν τῶν γειτόνων διαβήσεται, οὐ δήπου κελεύσεις ἡμᾶς ἐκ τῶν αὐτοῦ. πάλαι μὲν οὖν λέλεκται κακὸν εἶναι γείτων κακός. πειράσονται δὲ νῦν οὐχ ἥκιστα τοῦ σοῦ. ἀλλ' οὐδέν σοι πλέον τῆς βίας. οὐ γὰρ ἀποδωσόμεθά σοι τὸ χωρίον. δικάσεται δὲ πρότερον ὑπὲρ τούτων πρὸς σὲ ὁ δεσπότης ἐὰν περὶ τὴν διάνοιαν ὑγιαίνῃ.

Δέρκυλλος. Ὀπώρᾳ.

ο Υχ ὅτι καλὴ λέγεις εἶναι, οὐδ' ὅτι πολλοὺς ἐραστὰς λέγεις ἔχειν, διὰ τοῦτο ἐπαινῶ σε. ἴσως μὲν γὰρ ἐκεῖνοι διὰ τὸ εἶδος θαυμάζουσιν· ἐμὲ δὲ ἀρέσκεις διὰ τὸ ὄνομα. καί σε οὕτως ὡς καὶ τὴν γῆν τὴν πατρῴαν ἐπαινῶ. καὶ τεθαύμακα τὸν οὕτω σε καλέσαντα τῆς εὐνοίας· ἵνα μὴ μόνοις ἐπιμαίνωνται δηλονότι οἱ ἐν τῇ πόλει, ἀλλὰ γὰρ καὶ ἄγροικος λεώς. τῆς ὀπώρας ἐὰν καταγελάσαις, τί ἀδικῶ; ἐπεὶ τἄλλα καὶ ἐφολκόν ἐστιν ἔρωτι τὸ ὄνομα. καὶ ταῦτα ἀνδρὶ γεωργίᾳ ζῶντι. ἀπέσταλκά σοι τῆς ὁμωνύμου τῆς ἐν ἀγρῷ σῦκα καὶ βότρυς τρυγήσας ἀπὸ κλημάτων. ἦρος δὲ ἀποπέμψω καὶ ῥόδα τὴν ἐκ τῶν λειμώνων ὀπώραν.

Ὀπώρα. Δερκύλλῳ.

σ Υ μὲν εἴτε σπουδάζεις εἰς τὸ ὄνομα τὸ ἐμὸν, εἴτε παίζεις, οἶσθα δήπου αὐτός. ἐγὼ δὲ οἷς πέμπεις οὐκ ἀξιῶ πρός με ὡραΐζεσθαι. καλὰ γάρ σου τὰ δῶρα, καλὰ ἀκρόδρυα δυοῖν ὀβελοῖν. καὶ ὑβριστὴς οἶμαι διὰ νεότητα. ποῖοι δ' ἂν ἡ Φρυγία αὐτόν. ἐγὼ δὲ λέσβιον πίνω καὶ θάσιον καὶ ἀργεῖον δέομαι. ὀπώραν ἢ

ὀπώρα ἀπαστέλλειν, αὐτόχρημα πῦρ ἐπὶ πῦρ φέρειν ἐστί. κἀκεῖνο δέ σε οὐ χεῖρον εἰδέναι ταύτῃ περ ἢ περὶ ὧν καὶ αὐτὴ νοῶ· τοῦ γὰρ χρηματίζεσθαι παρὰ τῶν βουλομένων μοι προσιέναι, τὸ ὄνομα αἴτιον. παιδιόθεν γάρ με ὅτι τὸ κάλλος τῶν σωμάτων ὀπώρᾳ ἔοικεν. ἕως οὖν ἀκμάζει, τὴν ὑπὲρ αὐτοῦ χάριν προσῆκόν ἐστιν ἀνταπολαμβάνειν. ἐὰν δὲ ἀπορρεύσῃ, τί ἂν ἄλλο εἴη τὸ ἡμέτερον ἢ δένδρου καρπῶν ἅμα καὶ φύλλων γυμνοῦ. καίτοι ἐκείνοις μὲν ἡ φύσις δίδωσιν ἀναθῆλαι. ἑταίρας δὲ ὀπώρα μία. δεῖ τοίνυν ἐντεῦθεν ταμιεύεσθαι πρὸς τὸ γῆρας.

Χρέμης Παρμένωνι.

ὈΨὲ ἔμαθον ὅτι μοι συνεβούλευσας καλῶς. παιδίων με ἀποδιδράσκειν τὰς ἑταίρας. λαβεῖν γὰρ κεχήνασι καὶ προσποιοῦνται φιλεῖν. καὶ ἀποκλείουσι συνεχῶς. ἦν τὸ πάντων μοι βέλτερον πρὶν ὑπὲρ πλησθῆναι καὶ γενέσθαι διακορεῖς, ἐβούλοντο συγκαθεύδειν. ἀλλὰ ἀκκίζουσι καὶ θρύπτουσιν ἑαυτάς. εἶτα μυστιλῶνται πάλιν. καὶ λάθρα μὲν ἀλοῶσι πάντα καὶ καταπίνουσιν ὑπὲρ τοὺς ἐργαστῆρας τοὺς ἐν ἀγρῷ. παρόντων δὲ ἡμῶν ὡραΐζονται. ἐγὼ δὲ κατὰ χεῖρος ποιῶ πάντα. καὶ σπεύδω καταλαβεῖν ἐς δύο τὰ σκελλάρας. καὶ ὑποστρέφειν ἐπὶ τὰς αἶγας πάλιν. ἐμέλλησα δ' αὖ τὴν καλλίστην ἀπολουμένην Θηβαΐδα, αὐλουμένην πρὸς με ἀράμενος μέσην, εἶτα ῥίψας εἰς τὸ κλινίδιον ἔχεσθαι τῆς σπουδῆς. ἀπόλοιτο δὲ ὁ στρατιώτης ὁ διακωλύσας με. Θρασυλέων οἶμαι τὸ ὄνομα αὐτῷ. ἢ ἄλλο τι τοιοῦτον συμπεπλεγμένον θηρίῳ.

Φιλέριφος. Σιμύλῳ.

Ἐπισημαίνουσι τὸν Πᾶνα εἶναι λάγνον. τί οὖν αὐτὸν οὐ βία
π συλλαβὼν ζημίαν ἐργάσω. ὅς περ εἰώθει μετὰ τοὺς τρά-
γους ἡμεῖς. τοῦτο γάρ τοι καὶ τὰ ζῶα ἀναπείθει ἡσυ-
χίαν τε ἔχειν καὶ σωφρονεῖν εὖ μάλα. εἰμὶ δὲ ἐγὼ περὶ ταῦτα δή-
που δεινός. ἀποφαίνω γὰρ παραχρῆμα ὁ λικλήρους στάξας ἀ-
λῶν καὶ ἐπαλείψας πίτταν. εἶτα ὑγιέστερος ἔσται κρότωνος δή-
που καὶ κολοκύντης. καὶ ἐρῶν παύσεται καὶ ἐπιτρίβων σοι τὴν
οὐσίαν. ἐνόρχην ἢ ἀκόλαστον, ὑγιαίνων τρέφοι τις ἄν.

Λαμπρίας. Τρυφῇ.

α Γαθὸν δῆλον οἱ νεανίσκοι τρέφουσι κύνας. δρομικώ-
τερον ἢ λαγὼν ἢ ἀσαρκώτερον οὐδὲ πώποτε ἐθεασάμην. θαῦμα
ταῦθ' ὅπως καὶ κατέλαβον αὐτόν. ἐπεὶ γὰρ ἐδάρη καὶ τὸ δέρμα
ἀπεδύσατο, φανερὸς τὴν καὐτὰ ἐγένετο. μᾶλλον δὲ οὐ γὰρ ὀρ-
θῶς λέγω, ἀφανὴς ἐστι νῦν ἔτι πλέον. σὺ δὲ ὦ Τρυφὴ κιχλίζουσα
παῦσαι πρός με. ἐὰν γάρ σε ὦ κακόδαιμον ὁ πατὴρ ἴδῃ, λήψῃ τι
πάντως κακόν. ἐγὼ δὲ αὐτὸν ὑποδέδοικα καίτοι πρόοντα ὄντα.
σὺ δὲ οὐκ οἶδα ὅπως διατέθρυψαι καὶ καταφρονεῖς αὐτοῦ.

Τρυφὴ. Λαμπρίᾳ.

π Ροσπαλαίσομαι ὦ Λαμπρία τοῦ λαγὼ τὴν δορὰν ἵ-
να σοι τῶν κυρηγεσιῶν ἄγαλμα ᾖ τοῦτο, κατὰ τοὺς μεγά-
λους ἐκείνους δήπου θηρευτάς. ἔσται δὴ καὶ τὸ σὸν εὔθηρον ἀνάγρα-
πτον. πότερον δὲ αὐτὸς ἤρηκας ἢ δῶρον εἴληφας. πῶς δὲ καὶ ὤ-
φθη τὴν ἀρχὴν διὰ σμικρότητα. εὐγενεῖς ἄρα ὄντως ἦσαν αἱ κύνες.

οὐ γὰρ ἦν αὐτὸν ἰδεῖν, ἀλλ' ᾔσθοντο αὐτοῦ. σὺ δὲ ἐξ οὗ θηρᾶν ἤρξω, γέγονας ἡμῖν αὐτόχρημα ἱππόλυτος. ὅρα δὴ τὴν ἀφροδίτην μή τι σοὶ διὰ τὴν ὑπεροψίαν μηνίσῃ.

Καλλιππίδης. Κνήμωνι.

α' Γροίκου βίου τά τε ἄλλα ἐστὶ καλά, τό δὲ καὶ τὸ ἥμερον τοῦ τρόπου. ἡ γὰρ ἡσυχία τὸ ἄγειν σχολὴν τοῖς ἐπιοῦσι, καλὴν πραότητα ἐνεργάζεται. σὺ δὲ οὐκ οἶδα ὅπως ἄγροικος εἶ καὶ γείτοσιν οὐκ ἀγαθὸς πάροικος. βάλλεις οὖν ἡμᾶς ταῖς βώλοις καὶ ταῖς ἀχράσι. καὶ μέγα κέκραγας ἰδὼν ἄνθρωπον ὡς διώκων λύκον. καὶ τὸ ὅλον γαλεὸς εἶ. τοῦτο δὴ τὸ λεγόμενον ἁλμυρὸν γειτόνημα. ἐγὼ δὲ εἰ μὴ πατρῷον ἀγρὸν ἐγεώργουν, ἄσμενος ἂν αὐτὸν ἀπεδόμην φυγὴν φοβεροῦ γείτονος. ἀλλ' ὦ βέλτιστε κνήμων τὸ σκαιὸν τοῦ τρόπου κατάλυσον. μὴ δέ σε ὁ θυμὸς εἰς λήθην προαγέτω. μή τι μανεὶς, σεαυτὸν λάθῃς. ταῦτά σοι φίλα παρὰ φίλου παραγγέλματα. ἔστω τι ἴαμα τοῦ τρόπου.

Κνήμων. Καλλιππίδῃ.

ε' Δεῖ μὲν μηδὲν ἀποκρίνασθαι. ἐπεὶ δὲ εἶ περίεργος τι βιάζῃ με ἀκούειν, ταῦτά σοι προσδιαλέγεσθαι, τοῦτο γοῦν κεκέρδακα τὸ δι' ἀπειλῶν σοι λαλεῖν, ἀλλὰ μὴ πρὸς σαυτόν σε. ἔστω σοι τοίνυν ἡ ἀπὸ σκυθῶν λεγομένη ἀπόκρισις αὕτη. ἐγὼ μαίνομαι καὶ φονῶ καὶ μισῶ τὸ τῶν ἀνθρώπων γένος. ὅθεν τοὺς βάλλω τοὺς εἰσφοιτῶντας εἰς τὸ χωρίον καὶ βώλοις τε λίθοις. μακάριον δὲ ἥγημαι τὸν περσέα κατὰ δύο τρόπους ἐκείνου. ὅτι τε πτηνὸς ἦν καὶ οὐδενὶ συνήντα. ὑπεράνω τε ἦν τοῦ προσαγορεύειν τινὰ καὶ ἀσπάζεσθαι. ζηλῶ δὲ αὐτὸν καὶ τοῦ κτήματος ἐκείνου δὲ μάλα ᾧ τοὺς συναντῶντας ἐποίει λίθους.

εἴπερ

ὅτι περ οὖν ἐμοί τις εὐμοιρία κατὰ τὸ χεῖν ἐγγένετο, ὅθεν αὖ τὴν ἀφθονώτερον λιθίνων ἀνδριάντων. καὶ σὲ δεῖν ἐργασάμενον τοῦτο πρῶτον. τί γὰρ μαθὼν ῥυθμίζεις με τὸν πρᾶον ἀπροφήνασι πλείχειν, ὥσπερ ἐχθρὰ πᾶσι νοοῦντα. ἐνδεῖ τοι ἐπὶ τοῦ χωρίου τὸ παρὰ τὴν ὁδὸν ἀργὸν εἴασα ἐπὶ τοῦτό μοι τῆς χειρὸς οὐδεὶς κ' ῥεπῶν. σὺ δὲ ἵνα σεαυτὸν τῶν ἀναγκαίων ἀπροφανεῖς. τὸν ἀποδείξεις με φίλου ἔχειν μὴ δὲ ἐμαυτοῦ φίλον ὄντα. τί γὰρ τὸν μαθὼν εἰμὶ αὐτός. Καγιπαίδης. Κνήμωνι.

σ Υμῶν τῶν ἀπροφράδων διαφέρεις οὐδέν. οὕτως ἄγριος ὢν καὶ πονηρὸς τὸν τρόπον. δεῖ δέ σε ὅμως τὸν μὴ βουλόμενον ἡμέραν ἡμῖν γενέσθαι αἰδοῖ ἐπὶ ταύτας γεστιάσεως. τὸν θεῶν ὀρείων τιμή. οἵ περ οὖν εἰσι κοινοί. θύω τοίνυν τῷ πανὶ τὸν φυλασίων τοὺς μάλιστα ἐπιτηδείους εἰς τὴν ἱερουργίαν παρακαλῶ. ἐν δὴ τούτοις ἐπὶ σὲ ἀφικέσθαι βουλοίμην ἄν. οὐδὲ ἐπὶ ἐμπιὼν τὸν κοινωνήσας σπονδῶν ἔσῃ τι καὶ πραότερος. ὁ γάρ τοι διόνυσος φιλεῖ τὰς μὲν ὀργὰς μαραίνειν τε καὶ κατακοιμίζειν. τὰς δὲ εὐφροσύνας ἐγείρειν. ἔσται δέ σοι ὁ αὐτὸς οὗτος θεὸς τὸν παιὼν καὶ ἀπολύσεις τῆς ἀκράτου χολῆς, οἴνῳ σβέσας τὸ τοῦ θυμοῦ ὑπέκκαυμα. ἐπὶ αὐλητρίδος δὲ ἀκούσας ἴσως ὁ κνήμων καὶ εἰς ὠδὴν ἐμπεσὼν, καὶ εἰς μέλος ὑπολισθών, ἕξεις τι καὶ γαλήνην ἐν τῇ ψυχῇ. οὐ χεῖρον δ' ἂν εἴη καὶ οἰνωμένους ε καὶ μαχαλλῶ ἄρασαι. εἰ δέ που τὸν μεθύων κόρῃ παραπέσοις ἅβραν ἀνακαλούσῃ ἐς τὴν τίτθην ὑπολειφθεῖσαν εὑρεῖν πειρωμένῃ, τάχα που τι ἐπὶ θερμὸν δράσεις καὶ νεανικὸν ἔργον. οὐδὲν ἀπεοικὸς εἴη καὶ τοιοῦτό τι παραχθῆναι, ἐν τῇ τοῦ πανὸς θυσίᾳ. καὶ γάρ τοι κἀκεῖνος ἐρωτικὸς εὖ μάλα καὶ οἷς ἐπαμίσασθαι τοῖς θέμοις. λῦσον δὲ τὸν τὴν ὀφρῦν. καὶ τὸ σκυθρωπὸν τοῦτο καὶ σύννεφον χάλασον εὐθυμίᾳ. φίλου ταῦτα παραίνεσις νοοῦντος εἰς ἀγαθόν.

Κρήμων, Καλλιπίδῃ,

ἱ Νασοι καὶ λοιδορήσωμαι, ταῦτ' ἂν τ' ἐπιστέλλω· καὶ ἀφῶ τι τῆς ὀργῆς εἰς σέ. μάλιστα γὰρ ἐδεόμην παρόντος, ἵνα σου καὶ αὐτόχειρ γένωμαι. τί γάρ με διαφθεῖραι τλίχῃ, τί δὲ παῖδας ἀπολέσαι με· εἰς ἑστίασιν καὶ θοίνην παρακαλῶν. πρῶτον μὲν γὰρ τὸ πολλοὺς ὁρᾶν καὶ συνεῖναι πολλοῖς, δεινῶς πέφρικα. φεύγω δὲ κοινὴν θυσίαν ὡς οἱ δειλοὶ τοὺς πολεμίους. ὑφορῶμαι δὲ καὶ τὸν οἶνον ὡς ἐπιβουλεῦσαι καὶ ἐπιθέσθαι γνώμῃ δεινῶς καρτερόν. τοὺς δὲ θεοὺς τούς τε ἄλλους καὶ τὸν Πᾶνα ἀσπάζομαί τε καὶ προσαγορεύω παριὼν μόνον. θύω δ' οὐδέν. οὐδὲ γὰρ αὐτοὺς ἐνοχλεῖν ἐθέλω. σὺ δέ μοι καὶ αὐλητρίδας προσίης καὶ ᾠδὰς ὦ κατάγελαστε. ἐπὶ μὲν δὴ τούτοις καιρῶς οὐχ ἅψαιμ' ἂν σου. καλὰ δέ σου κἀκεῖνα. ὀρχήσασθαι καὶ ὁμιλῆσαι κόρῃ θερμοτάτου. σὺ μέν μοι δοκεῖς κἂν εἰς πῦρ ἄλλεσθαι κἂν εἰς μαχαίρας κυβιστῆσαι. ἐμοὶ δὲ μήτε θύων εἴης φίλος. μήτε ἄλλως.

Δέρκυλλος, Αἰγέᾳ.

οὐ Κἀγὼ ἔλεγον ὅτι πλοῦτον ὁρῶμεν ὀξὺ καὶ οὐ τυφλὸν ἄνδρες, καὶ καταγέλασμα εἶναι τὸ τῆς τύχης. ἐπεὶ τῶν χρηστῶν τε ἐπιμέλειαν τίθεσθαι. σὺ νῦν ἀπεδείξω τῶν ὀλίγων μόνων ἐκείνων εἷς ὤν, οὓς ἐπὶ Κρόνου φασὶν ἐκ τῆς γῆς αὐτόματα ἔχειν πάντα τε κοινωνίαν ἐν αὐτοῖς ἄφθονον πολιτεύεσθαι. τε ἀφέλξαν τρόπον τε ἕνα οἶον οἰκεῖν τὸν ὑπουράνιον τόπον πάντα. πλουτήσαντι γοῦν σοι τίς οὕτω καὶ λόμωμ θ' ἢ κακὸς ὡς ἄχθεσθαι καὶ ζηλοτύπως νοεῖν. μή πω τοσαύτ κακίας ἀναπλησθείη γεωργῶν ἤθη. ζηλοτυπεῖν τε εἰς πλοῦτον καὶ ὑπὲρ χρημάτων φρονεῖν. εἰς ἀγρίας αἶγας ἀπείη ταῦτα καὶ εἰς τοὺς ἐν δικαστηρίοις ῥήτορας.

Δίμυλος. Βλεψίᾳ.

γ Ἑωργίαν καὶ γεωργεῖν ἀπολιπὼν ὁ γείτων Λάχης, ἐπέβη νεώς.

νεώς. καὶ πλεῖ τὸν αἰγαῖον φασί, καὶ ἅμα πελάγει μετρεῖ καὶ ἐπικυματίζει. καὶ λαρυβίον ζῇ καὶ ἀνέμοις μάχεται διαφόροις. ἄκρα τε αὐτὸν ἐξ ἄκρας διαλαμβάνει. καὶ περιβλέπων ἀθρόον κέρδος καὶ περιμένων πλοῦτον ἀθρόον μακρὰ εἶπε χαίρειν αἰγιαλοῖς ἐκείνοις καὶ νομευτικῷ τῷ προτέρῳ βίῳ. γλίσχρως τε καὶ κατ' ὀλίγον ἐκ τῶν ἀγρῶν ἀπολαύων οὐ δυνάμενος, οὐδὲ ἀρκούμενος τοῖς παροῦσιν, αἰγυπτίους καὶ σύρους φαντάζεται. καὶ περιβλέπει τὸ δεῖγμα καὶ πολύς ἐστι νῦν διὰ τόκους ἐπὶ τόκοις λογιζόμενος, καὶ χρήματα ἐπὶ χρήμασιν ἀριθμῶν. καὶ διαφλέγει τὴν διάνοιαν αὐτοῦ καὶ ἐκκάει κέρδος ἀμφοτερόπλουν. χειμῶνας δὲ οὐκ ἐννοεῖς οὐδὲ ἐναντία πνεύματα οὐδὲ τῆς θαλάσσης τὸ ἀστάθμητον. οὐδὲ τῶν ὡρῶν τὰς ἀκαιρίας. ἡμεῖς δὲ εἰ καὶ μικρὰ κερδαίνομεν μεγάλα πιστεύοντες, ἀλλὰ πολὺ ἡ γῆ τῆς θαλάττης ἑδραιοτέρα καὶ αὕτη πιστοτέρα, βεβαιοτέρας ἔχει τὰς παρ' ἑαυτῆς ἐλπίδας.

Μορμίας. Χρέμητι.

Ἐγὼ μὲν ἔθυον γάμους ὁ χρυσοῦς μάτην καὶ περιῄειν ἐστεφανωμένος. οὐ δέον. καὶ τούς τε ἔνδον καὶ τοὺς ἔξωθεν ἐκάλουν. ὁ δὲ παῖς, κατήγαγε μὲν καὶ αὐτὸς τὸ ζεῦγος ἐκ τῶν ἀγρῶν ὡς τὴν νύμφην ἐξάξων εἰς τὸ πατρῷον χωρίον ἐπανάξων. αὐλητρίδα δὲ λυσάμενος ἧς ἔτυχεν ἐρῶν, νυμφικὴν στολὴν αὐτῇ περιβαλὼν, ἐπεισηγάγετό μοι φάτταν ἀντὶ περιστερᾶς φασὶν ἑταίραν ἀντὶ νύμφης. καὶ τὰ μὲν πρῶτα αἰδουμένη κοσμίως δὴ μάλα καὶ κατὰ τὸν τῶν γαμουμένων νόμον ὑπέκρυπτε τὴν τέχνην. μόλις δὲ ἀπερράγη ἡ σοφία τε αὐτῶν καὶ αἱ κατ' ἐμοῦ μηχαναί. οὐ μὴν εἰς τὸ παντελὲς μου καταφρονήσουσιν ὡς παρὸν πλουτεῖν. ἐπεί τοι τὸν μὲν καλούμενον ἐς κόρακας ἀποκηρύξω ἐὰν μὴ τῆς ὑπερβαλλούσης τρυφῆς παυσάμενος, σὺν ἐμοὶ ταφρεύῃ καὶ βωλοκοπῇ. τὴν δὲ

νύμφην ἀποδώσομαι κἀκείνην ἐπεξαργυρῶ, ἐὰν μή τι καὶ αὐτὴ τῶν ἔργων τῇ Φρυγίᾳ τε καὶ τῇ θρᾴττῃ συναπολαμβάνῃ.

Φαιδρίας. Σθένωνι.

Φύεται μὲν ἐν τοῖς ἀγροῖς καλὰ πάντα. κεκόσμηταί τε ἡ γῆ τούτοις, καὶ τρέφει πάντας. καὶ τὰ μὲν ἐστὶ τῶν καρπῶν ἐπετήσια· τὰ δὲ καὶ πρὸς ὀλίγον ἀντέχοντα ἐστὶ τροφὴ τὰ ὡραῖα. πάντων δὲ τούτων, θεοὶ μὲν ποιηταί, ἡ γῆ δὲ μήτηρ ἅμα καὶ τροφὸς αὐτῶν. φύεται δὲ καὶ δικαιοσύνη καὶ σωφροσύνη, καὶ ταῦτα ἐν τοῖς ἀγροῖς δένδρων τὰ κάλλιστα καρπῶν τὰ χρησιμώτατα. μὴ τοίνυν γεωργὸν καταφρόνει· ἔστι γάρ τις καὶ ἐν ταύτῃ σοφία. γλώττῃ μὲν οὐ πεποικιλμένη οὐδὲ καλλωπιζομένη λόγου δυνάμει. σιγῶσα δὲ εὖ μάλα καὶ διὰ τοῦ βίου τὴν ἀρετὴν ὁμολογοῦσα. εἰ δὲ σοφώτερα ταῦτα ἐπέσταλταί σοι ἢ κατὰ τὴν τῶν ἀγρῶν χρείαν, μὴ θαυμάσῃς. οὐ γὰρ ἐσμὲν οὔτε λίβυες οὔτε λυδοί, ἀλλ' ἀθηναῖοι γεωργοί.

Θ

.Θ*Θ.

Θ

Τῶν Αἰλιανοῦ Ἐπιστολῶν.

Τέλος.

.*.

ΑΙΝΕΙΟΥ ΣΟΦΙΣΤΟΥ. ΕΠΙΣΤΟΛΑΙ
ΙΩΑΝΝΗ.

Σὸν ἐτύγχανε τὸ βιβλίον, ἤρων δέ, παρ' ἐμοὶ δὲ καλῶς
θ αὖ νῦν. τοιοῦτον ἡ φιλία. νῦν ἡ δεσπότης ἐγώ. σὺ δ'
οὐ δίδως. ἀλλὰ μὴ πρὸς φιλίας δεός. μὴ γάρ μοι τοῦ
τοῦ τι βιβλίον. ἐμοὶ γὰρ οὐσία τοῦτο. καί μοι τῶν ἱεροῦ
σου κτημάτων σεμνότερον εἶναι τὸ κτῆμα δοκεῖ. ἄλλος μὲν γὰρ σμι-
νύης ἐρᾷ. γεωργὸς οὗτος. ἑτέρῳ πρὸς κύνας ὁ ἔρως. κυνηγέτης οὗ-
τος. ἄλλο τόξον ἐν ἡδονῇ. τῷ δὲ, ἵππος τὰ παιδικά. ἐμοὶ δὲ βιβλία
καὶ λόγοι. ἀλλ' ὃ μᾶλλον τῶν ἄλλων τὸν κεκτημένον χαίρειν ποιεῖ, τοῦ-
το μᾶλλον τῶν ἄλλων ἀφῃρημένον λυπεῖ. εἰ μὲν οὖν ἀποδώσεις,
πείθομαί σοι τῇ διανοίᾳ τὸ βιβλίον ἐγγεγράφθαι. εἰ δὲ μὴ, δόξεις
οὐ τῶν γεγραμμένων ἐπιθυμεῖν, ἀλλὰ τὸ βιβλίον κεκτῆσθαι δο-
κεῖν. ἀλλὰ τί ταῦτά φημι. οὐ χθὲς πολλάκις εὐφράνθην, ἐντεῦ-
θεν αὖ ἰάσομαι.

Κάσῳ.

λ Αέρτης ὁ γέρων οὐκ ἤθελεν εἶναι βασιλεύς, οὐδ' ἀνθρώπων
ἄρχειν. ἀλλὰ κηπουρὸς γενέσθαι καὶ τῶν δένδρων ἐπιμέλε-
σθαι. σὺ δέ μοι δοκεῖς ἐζηλωκέναι τὸν ἄνθρωπον. οὐ γὰρ ἂν τὴν πόλιν
καὶ τοὺς σαυτοῦ ἀπολιπὼν, χρόνον οὕτω μακρὸν ἐν ἀγρῷ προσκα-
θήμενος τοῖς φυτοῖς διῆγες λαλῶν. ἔδει δὲ οὐ τοῦ Λαέρτου με-
μνῆσθαι. ἀλλὰ Σωκράτους καὶ τῶν Σωκράτους δογμάτων, ἐν οἷς ἐκεῖνος
χαριέντως καὶ σεμνῶς λέγων φιλοσοφεῖ. ὅτι τὰ χωρία καὶ τὰ δέν-
δρα οὐδὲν ἐθέλει διδάσκειν. οἱ δὲ ἐν τῷ ἄστει ἄνθρωποι, τούτῳ μᾶλλον
πειθόμενος, μακρὸν τῶν ἀγρῶν ὑπεριδὼν ἐν οἷς ἄπορον σοφίας

κεν τοὺς γεωργοῦντας διέπεσθαι, ἀναμνησθῆναί τι τῶν συνήθων ἐκείνων διατριβῶν ἐν αἷς ἔνεστι σοφόν τι μαθεῖν καὶ διδάξαι. καὶ τὸ δὴ μέγιστον εὐφραίνειν τοὺς φίλους.

Ἀλφείῳ Πρεσβυτέρῳ.

τ Οὐναντίον γέγονεν, ὁ μὲν Ἀναστάσιος ἡσυχίαν ἄγει. σὺ δὲ πολεμεῖς. ἀλλ᾽ οὐ πρὸς σοῦ πρέπον, οὔτ᾽ ἄλλως καλόν. βούλει σοι φράσω καὶ τοῦ πολέμου τὸν τρόπον. ὁ Κορνήλιος Ἀναστασίου χωρίον κατέλαβεν, ὃν ἐκεῖνος ἐπολέμει χρόνον. καὶ ἐπ᾽ αὐτῷ δὴ ἀφίκετο, ὁ μὲν ἠξίου τὸ πεδίον λαβεῖν ὁ δεσπότης. ὁ δὲ γεωργὸς ἠξίου κεκτῆσθαι, ἀλλ᾽ οὐ προῖκα. χιὰ καὶ τιμὴν ὥρισεν. ἔδοξε. καὶ περὶ τούτων ἧς γράμματα γίνεται. ἤδη δὲ ἐπὶ τὸ χρυσίον φέρων ὁ Κορνήλιος ἕτοιμος ἦν καταθεῖναι τὴν τοῦ χωρίου τιμήν. σὺ δὲ προσπεσὼν ἐξαίφνης ἐκέλευες μὴ τοῦτο ποιεῖν. σὸν εἶναι τὸ κτῆμα φάσκων. ἐντεῦθεν ὀργὴ καὶ πόλεμος. εἰ μὲν οὖν ἀδικεῖς καὶ πρὶν εἰς ἡμᾶς ἐλθεῖν τὸ γεγονὸς διάλυσον. εἰ δὲ δοκεῖς, ἧκε τὴν ταχίστην. ὡς παρὰ δικασταῖς ἀποδώσων εὐθύνας. οὔτε γὰρ ἀδικεῖν οὔτε δοκεῖν βουλοίμην τοὺς φίλους.

Ζοναίνῳ Σοφιστῇ.

π Ολλὰ ἀγαθὰ γένοιτο τῷ Ἐπιφανίῳ τῷ καλῷ. ὅτι περ ἡμᾶς ἐνέπλησεν ἡδονῆς. ἀγαθὸν γάρ σε ῥήτορα καλῶν, μᾶλλόν σου τὸν τρόπον ἢ τὸν λόγον ἐθαύμαζε. τὸ δ᾽ οὖν κεφάλαιον, φίλος ἐδόκεις ἀληθινός. καί με προσεῖπε πολλάκις παίζων ἅμα τῷ λόγῳ, ὑπὲρ σοῦ τοῦτο ποιῶν. σὺ γὰρ τοῦτο πράττειν ἐκέλευσας. οἶσθα δ᾽ οἷος ἐκεῖνός ἐστιν ὅτι τῶν χαρίτων ἐραστής. ἀμέλει καὶ ὀχληρὸς ἦν θαμά μοι παρὰ σοῦ χαίρειν κελεύων. σὺ δὲ αἴτιος. εἰ γάρ μοι σμικρὰν πέπομφας ἐπιστολήν, ἀπέλαβον ἂν ἡδέως μικρὰ χαίρειν εἰπὼν καὶ ἀκούσας.

Ουλπία.

κ Ακοὶ κακῶς ἀπόλοιντο· οἵτινες ποτὲ ἦσαν οἱ τὸν ὑμέτερον
οἶκον οὐ τῶ πονηρῶς διαθέντες· ὅσον γὰρ ἠνιάθην ἐγὼ μὰ
τοὺς θεοὺς οὐκ ἂν δυναίμην εἰπεῖν. ἀλλά μοι τις εὐτυχῶς ὁ τέ ποτε,
παραπέπτωκε παραμυθία. ἧς καλὸν ὑμᾶς κοινωνεῖν ἐνεθυμήθην. ὡς
οὐ παντελῶς ἄχρηστος ἡ συμφορά. νῦν γὰρ βεβαιότερον γνώσεσθε
ὅτι χρυσὸς καὶ ἄργυρος καὶ περιφανεῖς ἐσθῆτες, τοῖς μὲν πολλοῖς περι
μάχητοι. ἀβέβαιον δέ τι χρῆμα καὶ οὐχ ἑστηκὸς οὐδὲ τοῦ ἔχοντος ὡς ἀ
ληθῶς. ἔστι τῷ βουλομένῳ διαρπάζειν ἔξεστι. τὰ δὲ μαθήματα καὶ
ἡ σοφία τοῖς μὲν ἀνοήτοις καταγέλαστον. βέβαιον δέ τι κτῆμα καὶ
πεπηγὸς καὶ ἀνάλωτον καὶ τὸ ὅλον κρεῖττον λῃστείας. τούτου μᾶλλον
ἀντέχετε. καὶ οὐκ ἔτι πρὸς φυλακὴν δεήσεσθε, οὐ τείχους. οὐχ ὅ-
πλων. οὐ φυλαττόντων φύλακος.

Γάμπρῳ Γραμματικῷ.

α Φείλετό μου καὶ ἐπιστολῆς τὴν ἡδονὴν, καὶ λῃστείας ἡ λύπη.
δι' ἣν οὐ χεῖττον ἠνιάθην ἐγὼ, ἢ εἰ περ αὐτὸς ἐτύγχανον ὁ πεπον
θώς. καὶ οὐκ ἀπίθανος ὁ λόγος. εἰ γὰρ κοινὰ τὰ φίλων, κοινὴ δή-
που καὶ ἡ τούτων ἀφαίρεσις. ἀλλὰ τί ταῦτα συνάχθομαι. πάν-
τως ὁ τοῦ κέρδους κρείττων, καὶ ζημίας ἐγκρατής. ἐντεῦθεν ἡμῖν ἡ
παραμυθία. εἰ δ' ὀρθῶς γινώσκω, βουλοίμην παρὰ σοῦ μανθάνειν.

Διοδώρῳ Σχολαστικῷ.

δ Ιήλλαξεν ἡμῖν ὁ καλὸς ἡρόδοτος ἄτιμος ὢν καὶ ὅστις τυγχάνει. ὑπὲρ τὸν
ὀρφέα καὶ θάμυριν ἐκεῖνον, ἡ τοῦ ἀνδρὸς μουσική. νῦν σοι ἔγνω
μὲν ἀγῆλ ὥσπερ ἐν νυκτομαχίᾳ πρό τινος πολεμοῦντες. καὶ εἰρήνης οὐχ ἥ

ἀλλὰ κρατῆρα στησάμενοι οἷον ἐν εἰρήνῃ, σπονδὰς ποιησώμεθα θεῶν μὲν Ἑρμῇ, ἀνθρώπων δὲ Ἡροδότῳ· οἳ τὴν στάσιν ἡμῖν μόλις διέλυσαν· τούτοις ἄγοντες τὴν ἑορτὴν, τὴν μὲν κωμῳδίαν ἢ ἀναιδῶς περιτρέχουσα, ἐκλαλεῖ τὰ τῶν φιλτάτων, αὐτῇ σκευῇ τῶν ἀπὸ στολῶν ἐξελάσωμεν, εἰσκαλεσάμενοι ὅπως ἂν φιλίαν δορυφορεῖ, τὴν πειθώ· τὴν χάριν· τὴν ἡδονήν· τὸν κρότον· τὸν ἔπαινον· τούτοις καθίσωμεν σεμνότερον θέατρον ἀπειπόντες κωμῳδίᾳ μηδὲν ἐνοχλεῖν.

Ζωσίμῳ. Πρωτεύοντι.

Ὅτι πλέων διεσώθης, εὖ οἶδα· οὐ γὰρ κατὰ λῃστείαν γὰρ νηὸς ἐπέβης, οἷον οἶδα τῶν τοιούτων παλαιῶν· οὐδὲ ἂν κατ' ἐμπορείαν οἷς οἱ πολλοὶ τῶν νῦν ἔθνη τῶν, ἀλλὰ πόθῳ φιλτάτων ἀνθρώπων τε καὶ τόπων· ὡς τέσσι τὸν φίλιον μὴ οὐχὶ συμπλεῖν, λέγειν οὐ θέμις· ἀγάσσαι γένοιτο ἡ πόλις ἀπολειπομένη· μετὰ τὴν θάλατταν τυχὼν τοῦ ἑτέρου τοῦ παρὰ φίλων πρὸς φίλους ἐπανήκοις.

Σωπάτρῳ. Σοφιστῇ.

Ἐπῄνεσα τοῦ καλοῦ Κωνσταντίνου τὸν τρόπον, τὴν τύχην μέμφομαι· ἔδει γὰρ εἰ μακάριος ἦν μιᾶς ἀπολαύειν πόλεως τῆς πατρίδος. νῦν δὲ, οὐ γὰρ ἔδοξε τῇ τύχῃ, πολλῶν ἀνθρώπων ἴδεν ἄστεα. πλανᾶται δὲ κατὰ ζήτησιν βίου. καὶ τὴν ἀπορίαν ἀποσεμνύνειν ἀναγκάζεται ποιητικὴν ἐπαγγελλόμενος οὐκ ἐκ τῆς ἑλλάδος ἀλλ' ἐξ ἰταλίας πεποιημένην· φορεῖ γοῦν βαρύτητα ὑπὲρ ὄγκον· μετὰ ταύτης προσελθὼν ἐδεῖτό μου συμμαχεῖν. ἐγὼ δὲ σοῦ. πάντως δὲ καὶ σὺ διασώσεις πρὸς ἕτερον.

ει μὲν νέος ἦν ὁ χρηστὸς παῦλος ποιητὴς δὲ, τιμῆς ἄξιος ἦν. νῦν δὲ ποιητὴς καὶ γέρων· ἀμφότερα δὲ ταῦτα τοὺς θεραπεύειν εἰδότας ἐπιζητεῖ. τούτων ἐθέλησεν εἶναι καὶ πρῶτος καλῶς γηρῶν. ἔχεις οὖν ὃν δεῖ ποιήσεις.

Μαρινιανῷ ἀπὸ ὑπάτων.

τ Ων ἐμῶν γυμνασίων ὁ καλὸς γέντων, φιλοπονίᾳ τοὺς ἄλλους παραδραμὼν, μέγα δὲ τοῦτο συμβαλεῖται πρὸς μαθημάτων συλλογὴν, ἀμέλει ῥητορικῆς ἔσω παλαίσματα, καὶ νόμων προσέθηκε ποικιλίαν, καὶ οὐ παρὰ τῶν γενῶν ἐμπίμπλαται. ἀπῆρε δὲ πρὸς ὑμᾶς ὥσπερ ἀγαθὸς ἀθλητὴς εἰς ὀλυμπίαν ἀποδημῶν, ἤδη μὲν εἰς ἀγῶνα παρεσκευασμένος καλῶς. εἰ δὲ ὑμεῖς ἐμπνεύσητε, ὀλυμπιονίκην εἶναι τὸν νέον μαντεύομαι. γένοιτο δὲ ὑμᾶς λαμπρῶς ἀγωνοθετεῖν καὶ ἆθλα τιθέναι, οὐ πυγμῆς καὶ πάλης, ἀλλὰ λόγων τε σωφροσύνης. προσφθέγγομαι τὸν ἐνδοξότατον Βίκτορα. καὶ τὸν περίβλεπτον Στέφανον καὶ τὸν χαριέστατον Ἰωάννην. καὶ τοὺς ὑμετέρους οἰκείους καὶ ἐμοὺς ἑταίρους.

Ἐπιφανίῳ σοφιστῇ.

τ Οἷς μὲν ἄλλοις ἐρασταῖς καὶ ὑπόδημα τοῦ ἐρωμένου φανέν, ἱκανὸν παραμυθεῖσθαι τὸν ἔρωτα. σὺ δὲ καὶ τῆς ψυχῆς καὶ σώματος εἰκόνας ἐπιζητεῖς. οἱ μὲν οὖν λόγοι τὴν διάνοιαν σαφῶς ἑρμηνεύοντες, αὐτὴν ἀτεχνῶς ὑπογράφουσι τὴν ψυχήν. ἐπεὶ τὸ σῶμα τοῦτο, πρὸς ὑμᾶς ἀπῆραν. ἐμοὶ δὲ ἦν δεδογμένον μηκέτι τοῦ εἰδώλου τὸ εἴδωλον ἐγκαταγράφειν. ἀλλ' ὅμως αἰσχυνθεὶς τὸν ὑμέτερον ἔρωτα, προσκαλεσάμενος τὸν τὰ ζῶα γράφοντα, καὶ ἐναντίον καθήμενος, ἀτρεμίζοντι τῷ προσώπῳ σεμνῶς πάνυ σιγῶν καὶ

ἐμαυτὸν περιστέλλων, ἀφῆκα τὴν τέχνην τῇ φύσει συνάπτεσθαι. καὶ τοὐμὸν εἶδος ἀναρπάσασα ἡ τοῦ ζωγράφου δεξιὰ, τοῖς χρώμασιν ἐγκατατίθεται φέρουσα. καὶ νῦν ἐστι παρὰ σοὶ, ὡς ἐξεῖναι καὶ διαλέγεσθαι καὶ ὁρᾶν. καὶ τῶν ἐμοὶ προσόντων μηδὲν ἔλαττον ἔχειν. διακονεῖ δὲ ἡμῖν ὁ καλὸς εὔθυμιος. καὶ ὑπὲρ τούτου θάλατταν ἡδέως ὑπομένει. ὃ τοῖς ἀπειρασταῖς χαλεπὸν εἶναι δοκεῖ. ἀλλὰ θεραπείᾳ τοὺς πόνους αὐτῷ συγκαλύψωμεν.

Ἐγκρατίῳ.

χ Θὲς παιδαγωγὸς ἦν, ὁ σήμερον ὑπὸ παιδὸς ἀγόμενος. ὁ σεμνὸς ἐδόκει τοῖς νέοις, ὁ νῦν ἐλεεινὸς οὕτω φαινόμενος. τοιοῦτον ἐτύγχανε. τί οὖν ἡμεῖς συναχθόμεθα μὲν, οὐ βοηθοῦμεν δέ. μὴ σύ γε. εἰ στρατιώτης ὢν, εἶτα ἐξαίφνης αὐτοῦ τὴν δεξιὰν δι' ἧς ἠρίστευσεν ἐτύγχανε περιείλετο. ἆρ' οὐκ οἴει τοὺς μαχομένους τῶν στρατιωτῶν, τῶν λαφύρων αὐτῷ εἰς ἔρανον φέρειν τὸ μέρος. μὴ τοίνυν ἡμεῖς οἷς ἀπὸ τῶν λόγων ὁ βίος, τῶν ἐν τοῖς ὅπλοις ζώντων φαυλότεροι πρὸς φιλίαν ὀφθείημεν.

Ἰωάννῃ Πρεσβυτέρῳ.

τ Αλάχανα νῦν μᾶλλον εἶδον ἡδέως, ἢ πάλαι τὸν ἐκ μέλιτος καὶ ἀμυγδάλων συμπλακέντα κύκλον. τότε μὲν γὰρ ἡ κατὰ τοῦ παιδὸς διαβολὴ ἀφῃρεῖτο τοῦ μέλιτος τὴν ἡδονήν. νῦν δὲ ἡ τοῦ τρόπου πραότης, χρυσᾶ μοι δοκεῖν ἐποίει τὰ λάχανα. ἦ δὺ σοῦ ὁ πατὴρ οὐκ ἐκ διαβολῆς ὀργιζόμενος, ἀλλ' ἔπαρε τὴν εὐνοίας εἶναι παρακαλῶν. καὶ ἐγείρων εἰς προθυμίαν αὐτῷ τὸν διδάσκαλον.

Στεφάνῳ Πρεσβυτέρῳ.

ὁ Υ νῦν πρῶτον, ἀλλὰ σοὶ πάλαι δεῖ λέγειν. ἦν δὲ ἡμῖν ὁ λόγος περὶ τῆς νεάλῳ. οὐ περὶ τὰς ὄχθας τότε ταῖς μούσαις

συνέπαιζον. ἐκεκόμψευτο δὲ καὶ γελᾶν ἐδόκει σπουδάζων ὁ λόγος. καὶ ἄλλους ἦν ἀγών. κεῖται δὴ ὅσαν οἱ ἕλληνες. ἀγωνισταὶ δὲ Νιρεὺς ὃς κάλλιστος γένετο τῶν ἐπιχθονίων ἀνθρώπων, καὶ θερσίτης ὃς αἴσχιστος ἀνὴρ ὑπὸ ἴλιον ἦλθε. καὶ τὸ χαριέστατον, τὸ πλέον ἔχειν ὁ θερσίτης ἠξίου καὶ παρεῖχεν αὐτῷ τὸ ἆθλον ὁ λόγος. καὶ οὐδὲν ἐκώλυσεν ἡ τοῦ ὁμήρου κωμῳδία μέρος ἕκαστον τοῦ σώματος ἀπὸ τοῦ πάθους ὀνομάζουσα καὶ μέχρις ἴχνους γελῶσα τὸν ἄνθρωπον. τὰ μὲν οὖν τότε συνέπαιζες τοῖς ἀκροαταῖς. νῦν δὲ σεαυτοῦ δεῖξαι ἀκούω καὶ τοῖς ἱεροῖς τὸ καλὸν δόγμα κηρύττειν καὶ λόγῳ μεταρρυθμίζειν τῶν πολιτῶν τὸν τρόπον. καὶ νῦν ὁ οἰκοδόμος καὶ τέκτων ἔχουσί τι περὶ τῶν θείων εἰπεῖν. καὶ περὶ ἀρετῆς, μεταξὺ τῆς ἐργασίας διαλέγονται οἱ πρὸ τῶν σῶν λόγων λίθους καὶ ξύλα λαλοῦντες. ἀλλὰ πολλὰ κἀγαθὰ γένοιτο εὐστρατιώτῃ καλῷ. ὅτι πολλὰς πόλεις διαδραμὼν, τοῦ σοῦ ὀνόματος πάσας ἐνέπλησε. μηδεὶς γὰρ ἀγαθὸς λανθανέτω. οὗτος καὶ ταύτην ἀνέπεισε τὴν ἐπιστολὴν ὡς ὑμᾶς ἰέναι. ἐλπίδι με στεφανώσας καὶ μείζον' ὑποσχόμενος. χρύσεα χαλκείων ἀντὶ τῆς ἡμετέρας τὴν ὑμετέραν ἐπιστολήν. ἀλλὰ μὴ καλῆς ἐλπίδος διαμαρτοιμεν.

Σαραπίωνι.

τ Ὁ παρ' ὑμῖν ἀκήκοα δρᾶμα. καὶ αὐτὴν ἐδάκρυσα τὴν γῆν. ἐν ᾗ καὶ τῶν ἱερέων ὁ πόλεμος ἄρχεται, παρ' οἷς εἰρήνη τὸ κήρυγμα. εἰ γὰρ ὅθεν ἔδει σε σώζεσθαι, ἐντεῦθεν ἀπολλύμεθα, τίς πόρος σωτηρίας, ἡμῖν καταλείπεται. ταῦτα μὲν οὖν εἴποι τις ἂν οἶμαι θρηνῶν. ἐγὼ δὲ συνάχθομαι καὶ συνήδομαι.

ἀνιαρὸν μὲν γὰρ τῶν κινδύνων ἡ πεῖρα. ἀλλ' εὐσεβὲς τῇ δὲ μεγαλοψυχίας βάσανος ἡ ἐν τοῖς κινδύνοις εὐψυχία. ποίας δὲ ἀρετῆς τῆς ἴσης, ἧς ἀγαθὸν μὴ προηγήσατο. εἰ μὴ τὸν στρατηγὸν φαίης ἄριστον, τὸν μηδὲ πώποτε κατιδόντα πολέμιον. φέρειν δὲ δεῖ καὶ μὴ ἀθυμεῖν. ἐκ πολέμου γὰρ ἡ μὲν εἰρήνη βεβαιοῦται. εἰ δὲ μή, ἀγεννῶς τὸν πόλεμον διενεγκοῦσι μὲν ἀγνοία δρᾶται τοὺς φίλους. ἐγὼ δὲ ῥητορικῆς ἐρᾶν πρὸς ὑμᾶς ὁμολογῶ, ἐλπίσας παρ' ὑμῶν εὑρήσειν τὸ φάρμακον· ἀλλὰ τοὐναντίον γέγονεν. ηὐξήσατε γὰρ μᾶλλον ἢ διελύσατε τὸν ἔρωτα. θέατρον τῇ ὠδῖ σολῇ συλλέγοντες καὶ κρότον διεγείροντες. πῶς οὖν αὐτὴν ἀτιμάσῃ τὸ παρ' ὑμῶν ἐπαινούμενον.

Διονυσίῳ σοφιστῇ.

ϖ Ἄλλαι μὲν τὸ Πήλιον κοινὸν διδασκαλεῖον τῶν ἡρώων ἐδόκει. νυνὶ δὲ ἡ ὑμετέρα τῶν μουσῶν πόλις. τὴν ἐπίστευσαν οἱ πατέρες τοὺς υἱεῖς αὐτοῖς, ὡς ὑμᾶς φοιτῶντας ἢ λόγους μανθάνειν ἢ λόγους εἰδέναι δοκεῖν. καὶ θαυμαστὸν οὐδέν. ἡ γὰρ πόλις ἀρχαία τε παλαιᾶς μυθολογίας γέμουσα, περὶ ἧς ᾄδεται ἄλλα τε πολλὰ καὶ καλά, καὶ ὅτι καίγε ὅπῃ θαυμάζουσα τὴν πόλιν, ὁ μὲν παρακάθηται τὸν Ἑλικῶνα παραθέουσα καὶ τὰς ἀδελφὰς αὐτῇ Πειθοῖ συνοικεῖν. ὁ δὲ Ἑρμῆς πάντως οὐκ ἀνέξεται μὴ οὐ συμπαίζειν ταῖς ἀδελφαῖς. ἀλλὰ καὶ Ἀπόλλων μουσικὸς ὢν θεός, ταύτῃ ἐρᾷ μᾶλλον ἢ τοῦ Παρνασσοῦ. τὸ δὲ παραπλήσιον αὐτῷ δοκεῖ μάχαιρα δελφῶν τε τὸ κάλλος τῶν Πυθικῶν. τὸ δὲ περὶ ἀδελφῶν τε δὴ Δελφῶν τὸ ἄλσος· ἔνθα τὸ ὕδωρ ἐπαιθαίνεται τοῦ θεοῦ. καί τι μουσικὸν ὑποχεῖν λέγεται. τὸ δὲ κάλλιστον, ὁ Διόνυσος διδάσκαλος ὡς ἀληθῶς τὰς τῶν θεῶν τελετάς. ταῦτα διεγείρει πρεσβύτας.

ταῦτα

ταῦτα συγκαλεῖ νέους· διὰ ταῦτα καλὴν ἐλπίζω τὴν ἀποδημίαν γενέσθαι τῷ νέῳ. ἄγως τε ὅτι προτετελεσμένος ἐν τῶν παρ' ἡμῖν καλῶν ἐν παρασκευῇ γενόμενος, ἀπῆρεν ὡς ἀθήνησιν οἱ τὰ μικρὰ μυστήρια προτελούμενοι τῶν μεγάλων. δέχου τοίνυν εὐμενῶς τὸν νεανίσκον, δοκιμάζων αὐτοῦ τὴν φύσιν ἐκ τῆς μιᾶς ἐπιθυμίας. δι' ἣν καὶ θάλατταν πλεῖ καὶ πολλὴν ἤπειρον ἐλαύνει οὐ μάλα ἐρρωμένῳ τῷ σώματι. ἐχέτω δέ τι καὶ μεῖζον διὰ τὴν ἐπιστολήν. δεῖ δὲ ταύτην θαρρεῖν· μηδαμῶς τε ἐρυθριᾶν μὲν πρῶτον ὡς ὑμᾶς φοιτῶσαν. ἐρωτικῶς τε προσιέναι καί τι πρὸς αὐτὴν ἡδέως λαλεῖν, οὕτω πολλάκις ὡς ὑμᾶς ἴοι.

Θεοδώρῳ. σοφιστῇ.

ξ Ἔστω σμυρναῖος ὅμηρος. Ἀριστείδης κοινωνείτω τῆς φιλοτιμίας. ὁ ἐμὸς ῥήτωρ θεόδωρος. πάντως ἐμὸν καὶ τοῦτο ἔργον. τὰ τῶν παίδων καλὰ τοῦ πατρὸς εἶναι νομίζεται. ἀλλ' οὖν γε τῆς ὑμετέρας εὐφωνίας. δι' ἣν τῶν ἀθηναίων οἱ παῖδες οὐ παρὰ τῶν πατέρων παρὰ δὲ τῶν σύρων ἀττικίζειν ἀξιοῦσι μανθάνειν. οὐκέτι γοῦν εἰς τὸν πειραιᾶ καταίρουσι τῆς ἀκαδημίας ἐρῶντες. οὐ δὲ φοιτῶσι παρὰ τὸ λύκειον, παρ' ἡμῖν τὴν ἀκαδημίαν καὶ τὸ λύκειον εἶναι νομίζοντες. ἐγὼ γοῦν ἱκανὰς ἔχω παρ' ὑμῶν τὰς ἀμοιβάς. εἰ κἀμὲ πρόγονον δι' ὑμᾶς ἄσσουσιν ἱέμενοι. καὶ τῆς ἐμῆς ψυχῆς τὰς εἰκόνας καθαρῶς θεωροῦντες, ἤδη καὶ τοῦ σώματος τὸ εἶδος ὑπογράφουσιν. ἡ δὲ παρ' ὑμῶν στολή, ἐμοὶ μὲν λαμπρότερον ἀποφαίνει τὸ σχῆμα. σοὶ δὲ καλλίω τὴν φήμην ἐργάζεται.

Γεσίῳ ἰατροσοφιστῇ.

ἐ Μὸς προκόπτοις· γινέσθω δέ σοι· ἐλπίδος οὐ κτῆσις, ὃν ἠβουλόμην ἐπιζῆν· διὸ οὐκ ἤκμασε παρ' ἡμῖν ἰατρική· ἀλλὰ γὰρ χαλεπὸν παρὰ τοὺς λόγους φιλοπονεῖν καὶ τὸ σῶμα καλὸν διασώζειν. οἷα γοῦν πέπονθα ἐγὼ μὲν ὑπέγραφον· ὑμεῖς δὲ ὥσπερ θεαταὶ τοῦ πάθους γεγόνατε· ἀλλὰ τί δράσω. βραχεῖα μὲν αἰτία τῶν νεφρῶν ὁ δύναμαι καὶ ὁ ζέσαι· ὑμεῖς δὲ βραδεῖς ὡς ἔοικε χαλᾶν διδόναι. ἢ πόσον χρόνον ὑποστέλλομαι. τῷ δὲ κάμνοντι ἡ ἡμέρα μία πολλῶν ἐστι περίοδος. ἢ τὸ φιλοσοφοῦντι τὸ πάθος βραχύτερον· οὐ χρὴ τέχνη παρὰ σοί, οὐ χρήσιμος ἡ τοῦ φαρμάκου κατασκευή. τί οὖν ἐμποδών. πλὴν εἰ μὴ τῆς εὐνοίας ὑπολέλησαι εἴτε ἄμεμπτον ἀγνοίας μᾶλλον ἢ κακίας κρίνεσθαι. χαλεπαίνει γοῦν ὁ δικαστὴς οὐ πρὸς ἀγνοοῦντα, ἀλλὰ πρὸς ἐθελοκακοῦντα. ἀλλ' ὡς τῆς τῶν φιλτάτων προδοσίας. ἔτι μὲν ἡ νόσος παρ' ἐμοί· ἔτι δὲ τὸ φάρμακον παρὰ σοί, ἀλλὰ μεταξὺ λόγου τῷ πάθει πληττόμενον.

Τῷ αὐτῷ.

ὁ Καλὸς Νεμεσίων ἀπὸ τῶν νόμων ἐπιστήμης ἐπαινούμενος ἀπὸ τοῦ τρόπου μᾶλλον ἐπιθαυμάζεται· τί τούτου κάλλιστον σημεῖον. φίλους οἱ δὲ θηρεύει μετὰ τῶν· εὖ πράττουσι μὲν συνήδεται. πεπονθόσι δὲ οἷα περ οὐκ ἔδει συνάχθεται. βουλοίμην δὲ καὶ σὲ πρὸς τῆς ἄλλης φιλοσοφίας καὶ τοῦτο μελετᾶν. μελετήσειας δὲ τῶν ἀπόντων φίλων ἢ τῶν παρόντων μεμνημένος. ἕως μὲν γὰρ αὐτὰ πάθη λανθάνει, καὶ τὰ φάρμακα ἐν μέσῳ κείμενα λανθάνει. καὶ ἀκμάζει περὶ τὴν θεραπείαν ἡ πλάνη. ἡ δὲ τοῦ πάθους διάγνωσις, οἷον φῶς ἐξέλαμψε τῇ τέχνῃ· καὶ διανοίγει τὴν τῶν φαρ-

μάκων

μακῶν περιουσίαν. ὅθεν οὐκ ἔστ' ἀμφίβολον τὴν θεραπείαν συμφέρειν. ὑπεγράψαμεν τὸ πάθος ἔτι που μέμνησαι, ὡς συχνὴ προηγήσατο κίνησις. ὡς πολλὴ συνηκολούθησεν αὐτῇ τῆς περιττῆς ὑγρότητος, ἡ τοῦ αἵματος ῥύσις, ὡς ἡσυχία δὲ δίαιτα τὸ πάθος συνεσκίαζε. καὶ πάλιν κίνησις καὶ πάλιν αἵματος ῥύσις καὶ αὖθις ἡσυχία καὶ δίαιτα. καὶ ὡς οὐκ ἔτι τὸ πάθος συνεκρύπτετο. ἀλλὰ στύψις ἐπέκειτο. τὸ μὲν πρῶτον μετρία. εἶτα οὐκ ἀλγηρός. τελευτῶσα δὲ δυσφόρητος. αἰκιζομένη καὶ ἔνδοθεν ὑβρίζουσα καὶ ὅλως τὸν ὀμφαλὸν σπαράττουσα. τί γὰρ αὐτῆς πρὸς ὑμᾶς ἀποκρύπτοιτο, ἃ δημοσιεύειν ἡ φύσις οὐκ αἰσχύνεται. μᾶλλον δ' ἔτι καταλείπεται φάρμακον τῷ πάθει μονομαχεῖν. πλὴν εἰ μὴ ὑμεῖς ὑπὸ σοφίας ἕτερον ἐξεύροιτε. ὁ διὰ τῶν πόας συμπεπλεγμένος κύκλος ἣν φυσαλλίδα μάλα σεμνῶς ὀνομάζουσι τῶν ἰατρῶν οἱ παῖδες: τυχὸν δὲ μόνη ἱκανὸν τὰς τοῦ νοσήματος ἐνέδρας καὶ λόχους ἀμύνεσθαι.

Δωροθέῳ. Πρεσβυτέρῳ.

Οἱ μὲν πολλοὶ τὸ δὴ λεγόμενον ἀνίπτοις ποσὶν ἐπιπηδῶσι τοῖς ἱεροῖς, καθάπερ ὁ τοῦ Πλάτωνος χαλκεὺς ἐκεῖνος ὁ φαλακρός, ὃς ἔτι καπνοῦ καὶ δυσωδίας ὄζων ἐπανέστη τῇ δεσποίνῃ. σὺ δὲ ἐξ ἱεροῦ διαβαίνεις εἰς ἱερόν, ἐκ φιλοσοφίας εἰς ἱερωσύνην. ὁ δὲ τὴν ἐπιστολὴν κομίζων, ἱερῶν ἐστιν ὑπηρέτης. οὐκοῦν ὅσος οὗτος. ἐρᾷ δὲ ἡσυχίας. καὶ οὐκ οἶδ' ὅπως μαθὼν ὄρος εἶναι θεῷ κεχαρισμένον δι' ἐρημίαν εἰς ἡσυχίαν ἐπιτήδειον, πρὸς ἐκεῖνο πορεύεται. ἀλλ' ἡ ἐμποδὼν ἀπορία. καὶ τῆς ἀπορίας αἱ μηχαναί. ἃς δύνασαι διαλύειν τοῖς ἐν μέσῳ τῆς χώρας ἱεροῖς κελεύων, μέχρι τοῦ ὄρους διασώζειν τὸν ἄνθρωπον.

ἐπ Πόλεμος ἡμᾶς πρὸς ἀλλήλους πολλὰ κελεύει λαλεῖν· ἡ εἰρήνη δὲ συχνὴν ἐπάγει τὴν σιωπήν, μόνος οὗτος ὁ πόλεμος εἰρήνης κρείττων ἐστί. τί γὰρ χαλεπώτερον ἢ θαμὰ παιδικοῖς ἀδολεσχεῖν. λύσωμεν τοίνυν ἢ τὴν εἰρήνην ἢ τὴν σιωπήν. μὴ γὰρ τοὺς φίλους· μὴ γὰρ τοὺς ῥήτορας σιωπῶντας ὁ ἥλιος κατίδοι.

Ἐπιφανίῳ σοφιστῇ.

ἐπ Σκάλλος ζῶν ἡ γραφὴ μεμελέτηκεν, ᾧ δεδώκαμεν τὴν ἐπιστολήν. δύναται δὲ τὸ εὐδαιμονοῦσαν οἰκίαν τῶν κεκτημένων διασώζειν καλῶς. πόσοι σοῦ τοῦ βίου κοινωνὸν ἔχειν ἐβούλοντο. ὁ δὲ τῆς πατρίδος μᾶλλον ἢ περιουσίας ἐρᾷ. πολλὰς δὲ πόλεις καταμαθών, οἷά τις Ὀδυσσεύς, ὡς ὑμᾶς οἷα πρὸς Ἀλκίνου ἀφίκεται. καὶ ὁ μὲν ὑμῖν διηγήσεται τὴν πλάνην, οἷον ἐκεῖνος ἐκείνῳ. ὑμεῖς δὲ καταλύσαντες τὴν πλάνην, οἴκαδε διασώσατε ὥσπερ ἐκεῖνος ἐκεῖνον. μὴ γὰρ διαμάρτοι τῆς δόξης δι' ἐμοῦ πρὸς ὑμᾶς καταφυγών.

Μαρκιανῷ.

φ Ιλεῖν ἐκέλευσας. ἐγὼ δὲ καὶ αἰτεῖν ἄρχομαι. ἠδίκηται γὰρ ᾧ δεδώκαμεν τὴν ἐπιστολήν. κατέβαινεν ἐπὶ Φοινίκων ὠνήν. φέρων χρυσίον τὴν τῶν Φοινίκων τιμήν. ἀλλ' ὢ τῆς τύχης. οὐ δὲ πενίαν αὐτὴν κίνδυνον ἐστὶν ἀμύνεσθαι. ὁ μὲν γὰρ ἤλαυνεν ἀγαθαῖς ἐλπίσιν ἐποχούμενος. τῶν δὲ φιλίαν ὑποκρινομένων βαρβάρων οἱ λῃστρικώτατοι προσπεσόντες, παίουσί τε καὶ στρεβλοῦσι. καὶ γυμνὸν τὸ ξίφος ἐπανατείναντες, ἀποσφάττειν ὅλως ἠπείλουν. τέλος δὲ τὸ χρυσίον λαβόντες, ἐκέλευον χάριν εἰδέναι, ὅτι τὴν τύχην οὐ τὸν

βίον

βίον μετήλλαξε. δίκη δ' ὑπέρτερος οὖσα τῶν ἠδικηκότων ἐνίους συλλαμβάνει. ἤκουσεν ὁ στρατηγός. ἐχαλέπαινέ τε μισῶν ἀεὶ τοὺς κλέπτας μᾶλλον, ἢ τοὺς φανερῶς πολεμίους. καὶ μάλα γε εἰκότως. τοὺς μὲν γὰρ ἔξεστι πόρρωθεν φυλάττεσθαι, οἱ δὲ τοῖς φίλοις ἐξ ἀφανοῦς ἐπιτίθενται. καὶ προσέταττεν ἐπανορθοῦσθαι τοῦ πένητος τὴν ἀπορίαν. καὶ ἀναλαμβάνειν ὅσων ἀφῄρηται. ὁ μὲν προσέταττεν ὁ στρατηγός. ὁ δ' ἄπορος ἔτι πενίαν ὀδύρεται. ἀλλὰ στῆσαί τε τοῖς μὲν τὴν λῃστείαν. τῷ δὲ, τὴν ἀπορίαν προσφθέγγομαι τὸν μεγαλοπρεπέστατον καὶ θεοφιλέστατον στρατηγόν.

Ἰουλιανῷ Ἀρχιτέκτονι.

Τ Οὐκ ἀληθινὸν τὸν κῆπον οἶμαι κεκτῆσθαι διὰ τὴν καλὴν μηχανήν, ἣν σὺ μὲν ἐξεῦρες, ἐποίησε δὲ ὁ τέκτων. ἐγὼ δὲ γράφω τῷ λόγῳ. ἥδιστον γὰρ τὸ θέαμα. δύο μὲν οἱ μέγιστοι κύκλοι σανίσι καὶ γόμφοις συναπτόμενοι. ὥστε ἐν αὐτοῖς ἔξωθεν θεωμένοις δοκεῖν εἶναι. ἐπὶ δὲ τῷ καταστρώματι πεδίον ἔνδοθεν ἐκτρέχει περὶ τὸν αὐτὸν τόπον μακρόν τινα δρόμον. ὁ δὲ κύκλος συμπεριθεῖ. καὶ τοσοῦτον ἀκολουθεῖ, ὅσον τὸ πεδίον βούλεται. ὁ δὲ ἄξων περὶ ὃν ὁ μέγιστος κύκλος, αὐτοῦ μένων στρέφεται. καὶ συγκινεῖ μικρὸν ἕτερον κύκλον τὸν ἐπὶ τῷ φρέατι. ἐπὶ τούτῳ τὰ χοινία καὶ οἱ χόες ἐπίκεινται κατὰ μέρος συνδεδεμένοι. ἀλλ' ὃ ξυντάττει μὲν ἡ κίνησις. τοῦ δὲ μικροῦ κύκλου τὸ μέσον στενοχωρεία. ὥστε μόνον τὰς ἀπαρχὰς τῆς ἐκροῆς ὑποδέχεσθαι. τὸ δὲ πλέον τοῦ ὕδατος ἐπὶ τὸ φρέαρ ἐκχεόμενον, ῥᾳδίως αὖθις καταδυθὲν, μόλις ἀνάγεται. τουτὶ μὲν οὖν ἐπανορθώσασθαι δεῖ. περὶ δὲ τὴν ἀρχὴν ἐξευρόντι, οὐ χαλεπὸν τὸ τέλος γίνεται. μὴ γὰρ περὶ ἴδω μὲν οὕτω καλὸν θέαμα τῆς ἑτέρου σοφίας δεόμενον. μὴ ταυτὸν πάθοιμεν ὥσπερ ἂν εἴ τις ζωγράφος τὴν Ἑλένην εἰς κάλλος γράφων τῆς κεφαλῆς ἐπιλάθοιτο.

Τῶν Αἰνείου τοῦ σοφιστοῦ ἐπιστολῶν Τέλος.

A

Νηφαλίῳ.

ἡ σθην δεξάμενος τὴν ὑμετέραν ἐπιστολήν· εἰς ἔργον δὲ ταύτην ἄγειν βουλόμενος, οὐκ ἔχον ὑπουργοῦσαν τῇ προθυμίᾳ τὴν χρείαν. τὸ δ' αἴτιον τυχὸν μὲν οὐκ ἄν ποτε εἴποιμι καὶ μάλιστα πρὸς ὑμᾶς. θεοῦ δὲ πάντως πρόνοιαν κυβερνῶσαν ὡς βούλεται τὰ ἡμέτερα.

Φιλίππῳ ἀδελφῷ.

τ Οἷς ἀγαθοῖς τῶν ἀνδρῶν ἀρκεῖ μὲν εἰσοῦσα σιν φιλίας ὁ τρόπος· ἀλλ' ἐπειδὴ καὶ ἀφορμὴν εἶναι προσήκει τινὰ δι' ἧς δεῖ πρῶτον εἰς λόγους ἐλθεῖν, εἶτα πειραθέντας θαυμάζειν, τούτου χάριν ἐπέδωκα τῷ λογίῳ Θέωνι τὴν ἐπιστολήν. πρῶτον μὲν διὰ ταύτης οἶμαι αὐτὸν ὄψει· ὕστερον δὲ περιττὰ νομίσας τὰ γράμματα, δι' αὐτὸν οἶμαι θαυμάσεις τὸν ἄνδρα.

Καισαρείῳ καὶ Ἀλεβούλῳ.

π Υθαγόρας ὁ σάμιος τοῦτον φασὶν ὡς οὐ μέχρι παντὸς ἐπίταμα σιγήν· ἀλλ' ὥρισε χρόνου αὐτοῖς μεταβολὴν ἄγων ἐπὶ λόγους καὶ μεταβάλλοντα ἀλλ' οὐ πρὸ τοῦ ἐσιώπων χρόνον, ἔδει δὴ πυθέσθαι μηδὲν παρ' ἀλλήλων εἰδέναι· ἀλλὰ τὴν μὲν γλῶτταν εἶχε σιγή· ἡ δὲ χεὶρ διηκονεῖτο τῇ γλώττῃ. καὶ διὰ τῶν γραμμάτων πάλιν ἐφθέγγοντο. ὑμεῖς δὲ εἰ μὲν τὸν πυθαγόραν ζηλοῦτε, καὶ δὴ παρ' ἃς ἔσω σιγῆς· λύσει γὰρ αὐτὴν εἰκότως ὁ χρόνος. εἰ δέ τι πλέον φέροντες ἥκετε, σκληροί τινες ὑμεῖς καὶ αὐστηροὶ οὐκ εἰδότες. καίτοι τὸν ἀλφειὸν λόγος ποταμὸν ὄντα καὶ τοσοῦτον ἀρεθούσης ἀπεχόμενον, μέχρι καὶ νῦν ἐκ πελοποννήσου τὴν σικελίαν ὁρᾶν· καὶ διὰ μέσης θαλάττης ἀγόμενον, σκοπεῖν πῶς καλός τε εἴη καὶ διαμένοι γλυκὺς τῇ πηγῇ· ἡ δὲ δέχεται τὸν ἐραστὴν κεκμηκότα· καὶ δίδωσιν ἑαυτήν· καὶ ἴδοις ἂν αὐτὸ πεζέ

γνην ἀφροδίτην κατὰ μοῦ καὶ πηγῆς. ὑμεῖς δὲ οὔτε φοιτᾶτε πρὸς ἡμᾶς τοῖς λόγοις, οὔτε φοιτῶντας ἀμείβεσθε. ἀγαθὸν, δοίητε τέλος ἐγκλημάτων ἡμῖν. εἰ δὲ μή, ἀλλ᾽ οἱ βούλομαι λέγειν ἵνα μὴ λυπήσας ἀπέλθω.

Γερμανῷ.

ὅ Σον ἀγαθοὶ λυποῦσιν ἄνδρες πεῖραν αὐτῶν παρέχοντες καὶ ἀφιστάμενοι τῶν ἐγνωκότων, νῦν ἔργῳ μαθὼν καὶ διηγοῦμαι τοῖς ἄλλοις. ὑμᾶς γὰρ ᾔδειν μὲν καὶ πρὶν εἰς λόγους ἐλθεῖν. εἰ δὲ θαυμάζειν ὁπόθεν, διδασκαλίας εἶχον ὅσοι πειραθέντες ἐθαύμαζον. ὡς δὲ κατὰ συμμίξας ἐμάνθανον, χάριν μὲν ὡμολόγουν τῇ τύχῃ. πάλιν δὲ ταύτην ἐμεμφόμην εἰ τοσούτου γεύσασα πράγματος ἄκρῳ δακτύλῳ φασίν, εἶτα τὴν ἡδονὴν ἀφαιρήσεται. καὶ τοσοῦτον εὔφραινε τὸ παρὸν, ὅσον αἱ τοῦ μέλλοντος ἐλπίδες ἐλύπουν. ἐλογιζόμην γὰρ ὅτι δὴ θᾶττον τοῦ ἡμᾶς οἰχήσῃ καταλιπών. τοῦτο καὶ γέγονε καὶ συμβὰν λυπεῖ. καὶ ἀποροῦμαι τῷ πράγματι. σὺ δὲ φιλονεικεῖς ἐπὶ τὸ μεῖζον ἡμῖν ἐξάπτειν τὸν ἔρωτα, καὶ πόρρω γινόμενος. τῇ γὰρ εἰς ἐμὲ σπουδῇ καὶ τὰς ἐμὰς ἐλπίδας ὑπερβαίνων ἐνίκας. ἀλλ᾽ εἴθε χάρις θεῶν εὐμενὴς ἡμῖν γένοιτο. καὶ σὲ θᾶττον ὡς ἡμᾶς αὖθις ἐνέγκοι.

Ἰωάννῃ.

ἐ Ι δὲ περὶ φίλους ὀλιγωρίας ἦσαν γραφαί, καί με τις εἰσήγαγεν εἰς τὸ δικαστήριον αὐτὸ δὴ τοῦτο κατηγορῶν, ὡς ἀδικοίην οὐ μετρίως, ἐν οὐδενὶ φίλον ποιούμενος, οὐκ ἂν ἄλλως ᾤμην τὴν νικῶσαν λαβεῖν, ἢ σὲ παρεχόμενος μάρτυρα τὸν οὐκ οἶδ᾽ ὅπως ὀφθέντα κατήγορον. οὕτω μοι παρ᾽ ἐλπίδας ἐξέβη τὰ παρὰ σοῦ. εἰ βραχύ τι σε πρᾶγμα διστάζειν ἐπ᾽ ἐμοὶ παρεσκεύασεν. ἐγὼ γὰρ οἶδα καὶ μὴ φίλους πυκνὰ δὴ τοῖς γράμμασι βάλλοντας ὅταν λανθάνειν ἐθέλωσι. καὶ φίλους σιωπῶντας, ὁπόταν τῇ μνήμῃ τὴν ἀντὶ τῶν ἀρκούμενοι πρὸς ἑτέρους ἀσχόληνται. ἐκ τῶν ὑπὲρ τὸ γράφειν εὐνοίας,

οὔτε τὸ σιωπᾶν ἐγκλήματος, μηδὲ συνθήκης βεβαιώσεως ἀμφοτέρα· οὐ κοινῇ ταῦτα πράττεις, ἐκεῖνα δὴ σκόπει· εἰ μηδέν μοι τῶν ὑμετέρων δίδωσι λήθην, εἰ διὰ παντὸς ἀξιολόγου καὶ θαύματος ὥσπερ ὑπὸ τῇ μνήμῃ κοσμούμενος, εἰ τὸν Ἰωάννην εἰπὼν, τὸ γλυκὺ πάντως τῷ λόγῳ προσέθηκα, ταῦτα σκοπῶν, ἀγαπήσεις σιωπῶντα μᾶλλον ἢ φθεγγόμενον ἑτέρου, εἰ καὶ τὸ δωδώνης αὖ περὶ χαλκεῖον ὑπὸ τῆς γλώττης ἠχεῖ. ἀλλ᾽ ὅπως μὴ ταύτην ἀπολογίαν ἔχειν ἡγούμενος, σιωπήσεις, ᾆδε. μὴ τὰν ἀντία φθεγξώμεθα.

Φιλίππῳ.

μ Ἄκρον ἡμῖν ἐσίγησας χρόνον καὶ τὸ πρᾶγμα φέρειν οὐκ ἔχω· σκόπει γάρ· χειμὼν ἦν καὶ οὐ μετρίως ἐφερόμεθα· ὤφθησαν χελιδόνες καὶ οὐ μετὰ τούτων ἐφθέγξω. καὶ νῦν ᾄδουσι τέττιγες· καὶ παρ᾽ ἐλπίδας ἡμῖν ἡ σιγή· εἰ μὲν πρὸς λύπην ταῦτα, ἀγνοοῦμεν ὅ,τι ποτὲ παθὼν ἐλύπεις· ὅμως οὐκ ἂν οἶμαι μείζω τιμωρίαν λαβεῖν. εἰ δὲ διὰ πάλαι/ σπουδῆς εἰς ῥᾳθυμίαν μετέστης, ἀδικεῖς μὲν συνηθείας νόμον· παραβαίνεις δὲ φιλίας θεσμόν. εἰ δὲ μὴ δυσχερὲς εἰπεῖν, τάχα τις σφαίη καὶ σαυτοῦ κατήγορον γεγενῆσθαι. οἷς γὰρ ἡμῖν σιωπῶσιν ἐπέπληξας, τούτοις ὤφθης αὐτὸς ἁλισκόμενος. καὶ πῶς ἔχοι λόγον τὸν πεπεικότα λαλεῖν, τὸ τοῦ πεισθέντος μεταλαμβάνειν σιωπήν. ἀλλ᾽ ὅρα λοιπὸν καὶ σοφιστήν με καλεῖν καὶ παίζειν ἅμα τῷ λόγῳ· οὐδὲν τοῦτο πρᾶγμα πάντως. καὶ ὅ,τι ἂν λέγῃς, οἷς ὡς μετρίως, εἰ φθεγγομένου μόνον ἀκούσομαι,

Τοῦ αὐτοῦ.

μα Μὲν λυποῦσα διὰ τὴν σιγὴν ὥρα, καὶ δὴ πέρας ἔχει καὶ πέπαυται. ἐγὼ δέ τοι μέγα φρονεῖν ἐθέλων ἐλπίδι γραμμάτων τῶν παρὰ σοῦ, ἐμαυτοῦ τε γίνομαι καὶ μνήμην λαμβάνω τῶν παρελθόντων. ὅσον γὰρ τοῦτό τι σοὶ σιωπῶντι τὸ παρ᾽ ἡμῖν οὐκ ἔστιν, ἔργον

χειμών. μᾶλλον δὲ καὶ τοῦ θέρους νότερον ἡμῖν τὸν ὄντως χειμῶνα ποιεῖς. ὅσον ἐν ἐκείνῳ μὲν φέρειν παραμυθίαν, τὸ τὴν σιγὴν ἀναφέρειν, τῇ τῆς ὥρας ἀνάγκῃ. τοῦ δὲ θέρους λείπεται ἡμῖν δακρύειν, ὅτι μηδεὶς παρὰ σοὶ λόγος τῶν ἐραστῶν. τὸ γὰρ ἀπεῖναι μὲν τὴν ἀνάγκην σε δὲ πάλιν σιγᾶν, ἡμῖν τοῦ καταφρονεῖσθαι παρέστησι δόξαν. ἀλλ' ὦ πάντες ἔρωτες εἰς πεῖραν ἄγετε τοῦτον τοῦ ἡμετέρου. ὅπως αἴσθησιν λάβῃ ποτέ, δεινὸν ὅσον ὑπάρχειν ἐραστὴς παρορώμενος.

Ζαχαρείᾳ.

λ Ἴσον ἡμῖν μετὰ τοῦ χειμῶνος τὴν σιωπήν. ἀμφότερα μὲν γὰρ ἐπαχθῆ. εἰ δὲ ἦν διὰ παντὸς σοῦ λαλοῦντος ἀκούειν, ὁ χειμὼν ἂν ἡμᾶς οὐδὲν ἐλύπει τοσοῦτον. ἀγαθὰ γὰρ ὅλῳ ῥεύματι τὴν σὴν ἡμῖν ἔπεμψες πηγήν. νικᾷ γὰρ αὕτη παρ' ἐμοὶ τὴν ἐκ τοῦ ἔαρος ἡδονήν, εἰ καὶ νέον ἐν τούτῳ τὸ φῶς. εἰ καὶ χελιδόνες ἐν τούτῳ πληροῦσι τὰς ἀκοὰς τῆς ᾠδῆς, ἐμοὶ δοκεῖν ὑμνοῦσαι τὴν ὥραν. καὶ τὰ ῥόδα τῆς κάλυκος ἀναδύνται, μέσην τινὰ καὶ κεκραμμένην παρέχει τὴν θέαν. ἃ εἰς μνήμην ἄγει διηγημάτων ἀρχαίων. ὡς ἦν ἄδωνις καλός, καὶ ἀφροδίτη τοῦτον ἐζήτει. καὶ ἡ τεκοῦσα τοὺς ἔρωτας, οὐκ οἶδ' ὅπως ἐρᾶν ἐπαιδεύετο. τῶν δὲ παιδικῶν ἀντιτυχοῦσα, πλήττεται τε τὸν πόδα καὶ φαίνει τὸ ῥόδον. ἀλλ' ἡμῶν ἐρώντων ὡς πρὸς τὴν σὴν φωνήν, μικρὰ ταῦτα νομίζεται.

Τῷ αὐτῷ.

ι Δοὺς σοι καιρὸς πάλιν ἀπαιτῶν, τὴν πρὸς τοὺς δεομένους ῥοπήν. ὁ δὲ τὴν ἀφορμὴν πάλιν διδοὺς, πάλιν ἐγώ. ὡς πεδηχόθεν δή οἶδ' ὅτι χάριν ὁμολογήσεις. ὅτι παρὸν εὖ ποιεῖν εὗρες. καὶ ὅτι σοι τοῦτο γέγονε δι' ἐμοῦ. χαίρεις γὰρ, ὄντως εὖ ποιῶν, ἢ πάσχοντες ἕτεροι. καὶ τὴν ἀφορμὴν δεδωκότα καὶ εὐεργέτην προσεῖ

ποιῶ. ὡς γίνωσκε χάριν δώσων μᾶλλον ἢ ληψόμενος, οὕτω σε μνύομαι. ἀλλὰ τί τὸ πρᾶγμα; γελῶν δ' οἶδ' ὅτι πυνθάνῃ. Ἀλέξανδρός τις παρ' ἡμῖν ἐπὶ ξύλοις τὴν ἐμπορείαν ποιεῖται· κἀντεῦθεν ἔχει τὸν βίον. οἷα δὲ εἰκὸς τοὺς τοιούτους, κοινωνίαν τινὰ ποιεῖται τοῦ πράγματος Εὐθύμιος αὐτῷ τοὔνομα. ὅπως ὁ μὲν πέμπει τὰ δοκοῦντα, ὁ δὲ μένων δέχεται. τὴν ἐμπορείαν οὕτω ποιοῦνται ἔτος τοίνυν τὴν ῥόδιον οἰκεῖ παρ' ὑμῖν ἀξιῶν. καὶ ὅμως φησὶ μὴ δίκαια πάσχειν· τὸν γὰρ ἀδικοῦντα ῥωμαίων γλώττῃ κοιαίστωνα εἴποις. νομοθετεῖ γὰρ μὴ εἰωθότα· καὶ καινοτέρου κέρδους ἀφορμὴν μηχανᾶται. ὥσπερ οὐχ ὑμῶν ἀρχόντων τὴν ῥόδον. ἀλλὰ ταῦτα μὲν ὡς εἰκὸς ὑμῶν οὐκ εἰδότων. οὐκοῦν παυέσθω μαθόντων. ὅπως ἐγὼ μὲν σοὶ χάριν εἰδείην, ὁ δὲ τυχὼν τῶν δικαίων ἐμοὶ διηγούμενος ὡς ἠδίκητο καὶ πέπαυται.

Φιλίππῳ.

Πάλιν γράμματα παρ' ὑμῶν. καὶ πάλιν τῶν σιωπώντων ὑμεῖς. καὶ δέδοικα μὴ καὶ φλυαρίαν τινὰ καταγνῷς. παντελῶς γὰρ σιγῶν, καὶ τοὺς ὁπωσοῦν λαλοῦντας φλυάρους εἶναι δοκεῖς. εἰ δὲ σὺ τοὺς φίλους ἀπωθῶν παρορᾷς, πᾶσι τοῖς ἀποῦσι λείπεται τὸ σιγᾶν. οὐκοῦν γενοῦ πάλιν ἐκεῖνος καὶ φθέγγου πρὸς ἡμᾶς. οἱ γὰρ ἀγαθοὶ τὸ προσῆκον ποιοῦντες, παράδειγμα πρόκεινται τοῖς πλημμελεῖν βουλομένοις. σὲ δ' ἂν βουλοίμην καὶ συνθεισμα φέρειν ἀνδρός. μηδὲν ἔτι γένοιτο τῶν προσηκόντων ὑπερορῶντος. πρὸς γὰρ τὴν χρείαν τὴν ὑμῖν γραφεῖσαν οὕτω σπουδαίους ἑαυτοὺς ἐπεδείξατε, ὡς ἡμῖν ταύτην ἀνύοντες. ὀκνῶ γὰρ εἰπεῖν ὡς τὰ πλείονα. τὴν προθυμίαν γενέσθαι βούλομαι παρ' ὑμῶν. αὐτὴ γὰρ πλείστων χαρίτων μίαν ταύτην ἐκτίνομεν τῷ δεομένῳ τὰς χρείας.

Στεφάνῳ καὶ Ἰλασίῳ.

π Αλιν ὑμῖν ἐκ τῶν ἀμπέλων ἰχθῦς. ἢ ἀγροὶ τὰ τῆς θαλάσσης ὡς ἔοικε χορηγοῦσι. καὶ ἅμα χωρία καὶ θάλατταν ὑμῖν ὑπάρχει τρυγᾶν. καὶ νῦν μὲν βότρυς λαμβάνειν. νῦν δὲ πάλιν ἰχθῦς. καὶ ἔοικεν ἡ θάλαττα τοὺς ὑμετέρους τρόπους μιμεῖσθαι. ὑμεῖς τε γὰρ προθύμως χορηγεῖτε, κἀκείνη πρὸς τὴν ὑμετέραν ὑπουργεῖν ἐθέλει φιλοτιμίαν. ἡ δὲ παρ' ἡμῖν θάλαττα ἴσα τῇ ἠπείρῳ ταῖς ἡμᾶς ἀπεργάζεται. πλὴν ὅτι παρέχει τὰ κύματα, καὶ χορηγεῖ τὴν ἐξ αὐτῆς ἀπειλὴν ἰχθύων χωρίς.

Ἰωάννῃ.

ὁ Λογιώτατος Διόδωρος, λύσις ἡμῖν ἔστω τῆς πρὸς ἀλλήλους σιγῆς. καὶ σὲ γράφειν ἁπάντων καὶ τὰ παρ' ἡμῶν σοι διδούς. φίλος μὲν σαφῶς οὗτος ἐμός. ἤδη δὲ πρὶν ἰδεῖν τῆς σῆς ἐτύγχανεν ἐραστής. οἱ γὰρ ἐξ ἡμῶν λόγοι τὰ περὶ σοῦ διηγούμενοι, καὶ πρὸ τῆς θέας ἐποίουν τὸν ἔρωτα. ὁ γὰρ ἀνὴρ ἐρωτικός ἐστι τῶν καλῶν. καὶ πολυπραγμονεῖ τοὺς χρηστούς. ὥσπερ δεδιὼς μή ποτέ τις τοιοῦτος ὢν διαλάθῃ. καὶ πίστει τὰ περὶ τούτου λέγειν μέδει. πάντως γὰρ τῇ πείρᾳ τοῦτο μαθὼν, ἐλάττω νομίσεις τὸν ἔπαινον. ἢ ἀσθενῆ με καλέσειας ῥήτορα, ὃς οὐδὲ τὰ προσήκοντα λέγειν δυνάμενον.

Εὐσεβίῳ.

ἐ Ι τοὺς ποθοῦντας καὶ μία γηράσκειν ἡμέρα ποιεῖ, ἐξ ὅσου με χρόνου γεγηρακέναι δοκεῖς. οὕτω μέν σου βληθέντα τῷ πόθῳ (τίς γὰρ πειραθεὶς οὐκ ἐρῶν ἀπαλλάττεται) τοσοῦτον δὲ χρόνον ἐστερημένον τῆς θέας. ἀλλ' εὖ γε ποιῶν τοῖς γράμμασιν ὑποκουφίζεις τὰ δυσχερῆ. τοὺς σοφοὺς ζηλώσας τῶν ἰατρῶν. οἳ μὴ δὲ θεραπεύειν ἔχοντες, μόνον παραμυθοῦνται τὸ πάθος. τοιοῦτος ἡμῖν γέγονας ἀντὶ σαυτοῦ παρέχων τὰ γράμματα. καὶ νῦν

τοὺς σφοδροὺς μιμούμεναι τῶν ἐραστῶν. καὶ διὰ τοῦτο εἰκότως παραμυθοῦμαι τὸν ἔρωτα. τῷ δὲ καλῷ Μεγάλῳ σὲ μὲν φύσις, ἐμὲ δὲ τέχνη πατέρα ποιεῖ. ὥστε δι' ἐμοῦ παρεῖναι νόμιζε τὸ παιδίον. εἰ δέ τι παραλείψω, τοῦτο νόμιζε μήτε δύνασθαί με ποιεῖν. τὸ μέμφομαι τὴν τύχην μή, καὶ πάντα δυνάμενος. ἵνα σοι χαρίσωμαι τοσοῦτον, ὅσον καὶ βούλομαι. ἀλλ' ὦ θεοὶ μὴ διαμάρτοιμεν ἄμφω τῆς ἐλπίδος ἣν ὑπὲρ τῷ παιδίῳ πεποιήμεθα.

Ἰλασίῳ.

ε Εἰ τὰ τῶν φίλων κοινὰ παλαιὸς εἶναι βούλεται λόγος, ἐμοὶ δὲ φίλος ὁ λογιώτατος πέτρος, καὶ σὸς ἂν εἰκότως νομίζοιτο. εἰ δὲ δικαίως τοῦτον ἀσπάζομαι, δείξει μὲν πολλάκις ἡ πεῖρα. εἰ δὲ θεάσῃ τέως μαρτυρήσει τὸν τρόπον. οὗτος ὑμῶν τι δεόμενος, καὶ βουληθεὶς πάντως τυχεῖν, ἐμὲ πρὸς ταύτην ἐκίνησε τὴν ἐπιστολήν. νομίζων τοσοῦτόν με δύνασθαι παρ' ὑμῖν, ὡς μηδὲν ἂν εἰκότως διαμαρτεῖν. ἀλλ' εἰ μὲν ἀληθῆ νομίζει, βεβαίωσον ἔτι τὴν γνώμην. εἰ δὲ ψευδῆ, καὶ οὕτως ὑπούργησον. ἵνα μὴ δειχθῶμεν ἐν τοῖς ἄλλοις τὴν πρὸς ἀλλήλους φιλίαν πλαττόμενοι. ἔχει δὲ καὶ τὸ δίκαιον συμμαχοῦν. ὅπερ σοι καὶ μηδενὸς αἰτοῦντος καθέστηκε φίλον. τὸ δὲ δυνάμενον ἀδικίαν κωλῦσαι περιιδεῖν, ἐν ἴσῳ καθέστηκε τῷ ποιεῖν. ὅπερ τῆς σῆς γνώμης ἀλλότριον. ἴσθι δὲ ὡς πάντως ὑπενδώσεις ἢ τοῖς γράμμασι τοῖς ἐμοῖς ἢ τῇ παρουσίᾳ πειθόμενος. σὺ μόνον λυπήσεις ἀμβλυτέραν τῇ ἀναβολῇ τὴν ἀρετὴν ἐνδεικνύμενος.

Φιλίππῳ ἀδελφῷ.

ϛ Πόσα δύνανται καὶ μεταβάλλουσιν ἔρωτες. καὶ βεβαιοῦσι τοῖς ἔργοις ὡς οὐδὲν αὐτῶν ἐκείνων μεῖζον ἰσχύει. ἐοίκασι γὰρ λέγειν ὡς μάλιστα πάντων μισούμενοι ὑπεροψίαν καὶ τὴν ὀφρῦν.

πίσ

τῆς ἀναπαύσει καὶ περὶ δοιὰ λόγοις ἐρῶντος. ἐν ἤλλαξαν οὗτοι τὴν τάξιν. καὶ ὁ σεμνὸς ἐκεῖνος ἐξαίφνης ἐρᾷ καὶ φθέγγεται ταπεινόν. ἀλλὰ τί μοι βούλεται ταῦτα. ἤδη μὲν πάντως ὤισθα σοι καὶ γελᾷς. ἀλλ᾽ ὅμως τιμῆς ἕνεκα τῶν ἐκείνων εἰρήσεται. ἐμοὶ γὰρ ὁ σὸς πόθος ὅλῳ ῥεύματι προσβαλών, εἷλε τὸν λογισμὸν ὑφ᾽ αὑτόν. καὶ δεῖ νῦν ὡς ἤγρουν καὶ οὐκ εἶχον ὅτι καὶ γένωμαι. μίαν τοίνυν ἐδόκουν εἶναι παραμυθίαν ἐπιλέξας ἀεὶ σῶν, καὶ φθεγγομένου πολλάκις ἀκούσω. ὡς οὖν ἔγνων τὸ πρᾶγμα πένθος τι ξένον οἶμαι καὶ πρὸς ἄλλαζον εἴαν ἐπήρθης. καὶ ἐγὼ μὲν ἤρων. οὐδὲ παντάπασιν ὁ προσεῖχες. ἐδεόμην. καὶ ἦν μοι πλέον οὐδέν. πρόσφορον τὴν συγγένειαν. ἀδελφὸν προσεῖπεν. ὑπέμνησα φιλίου διός. σὺ δὲ καὶ πάλιν ἐσίγας. ἀμήχανον ἦν τὸ πρᾶγμα λοιπόν. τί οὖν καὶ ἔγνων. εἶπόν τι πρὸς τοὺς ἔρωτας καὶ ἐδάκρυσα. καὶ παρεκάλουν τὰ τόξα. καὶ πείθονται. καὶ οἱ μὲν ἔβαλλον. σὺ δὲ πειραθεὶς μετεβάλου. καὶ ὁ πρὶν ἡμῖν ἀλαζών, ἤτεις με γενέσθαι φιλάνθρωπον. ὅπως μὴ τῶν αὐτῶν πειραθῇς παρ᾽ ἡμῶν, ὧν παρ᾽ ἡμεῖς παρὰ σοῦ. ἀλλ᾽ ὦ φίλοι ἔρωτες. ἐγὼ μὲν πείθομαι καὶ πρὶν ἀμύνασθαι διαλλάττομαι. εἰ δέ τι πάλιν νεανιεύσεται, ἀλλ᾽ οὐκ ἂν οἶμαι τολμήσει,

Ηλία.

Τ Ης ὑμετέρας δωρεᾶς ἡ μὲν πεῖρα τοὺς ἐγνωκότας, ἡ δὲ μνήμη τοὺς ἄλλους εἰς θαῦμα κινεῖ. ἐμὲ δὲ ἀμφότερα πρὸς τὸ ἀναγκαῖον ἐσπάκει τὴν ὑμετέραν ἔχειν εὐεργεσίαν. καὶ θαυμαζόμενος ἐφ᾽ οἷς τοιούτων ἀγαθῶν γέγονα τῇ πατρίδι ὑπηρέτης, εἰς ὑμᾶς ἀνάγω τῇ μνήμῃ τῶν ἀγαθῶν τὴν αἰτίαν. ὅθεν ἀεὶ παρὰ τὸ προσῆκον παρρησιάζομαι τὰ μικρὰ προσάγων ὑμῖν. οὐδὲ γὰρ οἱ τοῖς θεοῖς λιβανωτὸν ἐπιθύοντες πρὸς ἀξίαν τὴν

χαίρειν. πρὸς γὰρ δύναμιν τῷ δοκεῖν εὐγνωμονοῦσιν ἐπιδείκνυνται. τὸ ἐπὶ τῶν ὑμῖν προσαγομένων τὰ μέγιστα τοῖς ἐλαχίστοις τὴν αὐτὴν ἔχειν δύναμιν πρὸς τὴν εὐεργεσίαν μετρούμενα.

Θωμᾷ.

ν ῦν ὄντως ἡμῖν ἀνθοῦσι δίκη καὶ μοῦσαι. καὶ σύνοικοι γίνονται τὴν σὴν εὑροῦσαι ψυχὴν, μετεωριζομένην ψήφῳ δικαίᾳ καὶ λόγοις. σύνεισι τοίνυν ἀλλήλαις ὥσπερ εἰκὸς ἀδελφαί τε οὖσαι καὶ κοινὸν ἔχουσαι πατέρα τὸν δία. ἐξ οὗ γὰρ ἀπέλιπες πάλαι διὰ χειρὸς οὐκ ἔχων ἔτι τὴν καίσαρος, οἷα δήπου καὶ γέγονεν, ἀπέλιπον μὲν τὰς πόλεις ἡμῖν, ὑπερεωρᾶτο δὲ τὰ ὑμέτερα. ἦσαν γὰρ παρὰ τῷ πατρὶ κατηγοροῦσαι τῶν ἐπὶ γῆς. ἀλλ' ἐπένδυσε πάλιν καὶ γέγονας περ ἡμῖν. καὶ νεάζει πάλιν τοῖς ὑπηκόοις ἡ τύχη. κἂν γὰρ ψῆφον ἐνέγκῃς οὐκ ἀρνεῖται ταύτην ἡ δίκη. κἂν λόγον εἴπῃς, ἐπαινοῦσι πάντως αἱ μοῦσαι. ὃ γὰρ μάλιστα τεθαύμακα λέξω. τὸ γὰρ τοσούτων προὔχοντα, μὴ τῶν ἐλαττόνων ὑπεριδεῖν, ἀλλὰ καὶ λόγων ἄρχειν καὶ φιλίας μεμνῆσθαι, καίτοι λεγόντων ἐθέλειν ἀκούειν, σοὶ μὲν προσθήκη τοῦτο τοῦ θαύματος τὸ σωκράτους οἶμαι φιλοσοφοῦντι. ἐμοὶ δὲ τὸ χρῆμα βαρὺ κατ' ἐμαυτὸν ὡς δυνάμεως ζῶντι τὸ εὐχόμενον λαθεῖν. καὶ εἰ μὴ κερδαίνειν ἐβουλόμην ἑτέραν αὖθις ἐπιστολὴν, ἐσίγων ἂν ἀπορῶν ὅ,τι φθέγξωμαι μετὰ σέ. νυνὶ δὲ καὶ γράφειν ἐρυθριῶ καὶ σιωπᾶν οὐκ ἀνέχομαι. τὴν σὴν ἐγείρων γλῶτταν μουσικὸν αὖθις ἠχῆσαι καὶ μικροῖς τὰ μεγάλα θηρώμενος. πολλὰ δὲ κἀγαθὰ γένοιτο περὶ τὰς πόλεις ἡμῖν ἐπιτροπεύειν λαχόντι. δεῖξαι γὰρ πρὸ τῆς πείρας τὸ μέλλον βουλόμενος τὸ πάλαι ἃς τύχης ἄγειν ἐς μνήμην, ὑμᾶς ἐκάλει συνεργοὺς καὶ πρὸς τὸ μέλλον εὐθὺς ἐμαντεύετο· τὸν δὲ καλὸν Μέγαν ἠγάπων μὲν τὸ πρώην

ὅσον

ὅσον εἰκὸς καὶ ὅσον εἶχον ἐδίδουν. ὁ γὰρ τῆς τέχνης οὕτω βούλεται νόμος. ἀλλὰ καὶ πατὴρ ὑπάρχει ἡ κηδεστὴς, ἱκανοὶ δι᾽ ἀρετὴν ἐμποιῆσαι καὶ τῷ ῥαθυμοῦντι σπουδήν. ὑμῶν γ᾽ οὖν νῦν προστεθέντων τῷ νέῳ, εὔχομαι δικαίαν αἰτεῖν. ζῶν ἄγοι τε θεοί. δυναίμην τι μεῖζον ἢ πρότερον καὶ ὄναιτο μέγα σἡμῶν ὁ τόσον ὁ κηδόμενος βούλεται.

Στεφάνῳ.

ε Τί παρὰ τὸν νεῖλον οἰκεῖς, ἔτι ποθοῦντας ὑπερορᾷς. τί τοσοῦτον ἐπέμοι παθών. εἰ μὲν γὰρ οἷς τὸ βράδος ἐπὶ πλέον ἡμῖν ἐξαπατῆσαι τὸν ἔρωτα, ἴσθι δὴ καλῶς ὡς εἰς ἄκρον ἀφῖκται. καὶ οὐκ ἂν ἔχοις ὅτι προσθήσεις ἔτι τῷ πράγματι. οἶδας τε τοῦ μακεδόνος ἡ πόλις ἐφέλκεται, χαίρω τῶν ἕνεκεν καὶ τοῦ δοκεῖν αὐτὸν ἔχειν ἤδη τὸν ἑλικῶνα, ζήλου τὸν ὀδυσσέα. καὶ παρελθὼν τὰς σειρῆνας μέμνησο τῆς ἰθάκης. καὶ γὰρ σε νῦν ὥσπερ ἐκ θυμῶν ἀρχαίων σχήματι πεπληγοφόρον ἰδεῖν, κέχηνα τῇ θαλάττῃ. καὶ περισκοπῶ τὰς ὁλκάδας εἴποτε παρέσονται θεάσομαι. σὺ δέ μοι δοκεῖς τὸν θησέως ἐκεῖνον ἐζηλωκέναι. καὶ ταῦτα τοῖς παισὶ καὶ θησέως μέν. νυμφίε δημοφόων ἄδικε ξένος οὐδὲ παιδὸς, θέλεις ὧν μεμνῆσθαι καλοῦντε ὄνγος καὶ ἐγὼ παρέσης ἥδιστε δυνάμενος πατέρα καλεῖν.

Φιλίππῳ.

ε Τοῖς γονεῦσι τὸ προσῆκον ἀποδιδόναι, παλαιοί τε λόγοι καὶ ὁ τῆς φύσεως βούλεται νόμος, τοσοῦτον εἰκὸς παρ᾽ τρίτοις χάριν ἐκτίνειν, ἐξ ἧς προῆλθε. καὶ τοῖς γονεῦσιν ἀρχή. ἐπὶ ταύτην σε νῦν ὁ καιρὸς καλεῖ. ἡ δόκει τί ἐνεγκεῖν ἔσεσθαι ταύτην σοι δι᾽ ἐμοῦ φωνὴν ἀφεῖναι, οὕτω δὲ καὶ τὸ δέον ἐστὶ πεπληρωκὼς, καὶ μνήμην ἡμῖν παράσχοις τοῦ πράγματος, ὅσῳ καὶ περὶ τῶν μεγίστων ἡ χρεία. βαρὺ δὲ προσδόκαμεν.

ἀλλὰ σοὶ μὲν ῥᾷστον δοῦναι, μέγα δὲ τοῖς λαβοῦσι τυχεῖν. βασιλεῖ τῷ μεγάλῳ τὰς ὑπὲρ τῆς πόλεως δεήσεις ἐπιδοθῆναι βουλόμεθα διὰ τοῦ παρ' ὑμῖν ἀρχιερέως ἢ τοῦ βασιλέως ἀδελφοῦ. ἵνα τὸ τοῦ ἐπιδιδόντος ἀξίωμα λόγον τινὰ παράσχῃ τοῖς δεξαμένοις. ταῦτα γὰρ τὴν σὴν κοινὴν καταθήσει χάριν καὶ τοῖς αἰτήσασι καὶ τοῖς αἰτηθεῖσιν ἡμῖν.

Ζαχαρίᾳ.

τ Ἣν παρ' ὑμῶν ἐδεξάμην ἐπιστολήν, ὅπερ ἔδει μὲν πάλαι γενέσθαι, ὅμως δ' οὖν δὲ νῦν γενόμενον ἀπήμβλυνε χάριτος. τοιοῦτόν τι τὸ τῶν ἐρώντων πάθος. ἐπειδὰν μὲν ἀτυχῶσι, δυσχερὲς αὐτοῖς τὸ πρᾶγμα δοκεῖ καὶ φέρειν οὐ δύνανται. ἡνίκα δ' ἂν λάβωσι τοῦ ποθουμένου, ὡς μηδὲν παθόντες τῶν προλαβόντων πόνων ἐπιλανθάνονται. ἀλλ' ὅπως μὴ νῦν τούτου μαθών, πρίν τι γράφειν αὖθις ἡμᾶς ἀνιάσῃς τῇ σιωπῇ. οὐ δὴ γὰρ βουλοίμην ἔγωγε πολλὰ παθών, εἶτα πάλιν εὐφραίνεσθαι. οὐδὲ γὰρ οἱ δελφοὶ ὅλως αὐτῶν ἀπεῖναι τὸν πύθιον ἕλοιντο, εἰ καὶ παρόντος εὐθὺς ἑορτὴν ἄγουσι τὴν ἐπιδημίαν ἀπόλλωνος.

Θωμᾷ.

τ Ὧν ἀγαθῶν ἀνδρῶν εὐφραίνει οἶδε καὶ χωρὶς θέας ἡ μνήμη. καὶ τότε μᾶλλον ἡνίκα τοὺς πειραθέντας ὅλου πληρώσαντες ἔρωτος, μηκέτι παροῦσι χορηγοῦντες ἃ ἐν τῇ θέᾳ τὴν ἡδονήν. τότε γὰρ ἀποροῦντες οἵτινες γένωνται, τὸν πόθον ἔχουσιν ἀντὶ τῆς θέας ἀεὶ χορηγοῦντα τὴν μνήμην. ἑαυτοῖς γὰρ ἀνατυποῦσι τοὺς ἀπελθόντας, καὶ παρόντων σώζονται μίμημα. ταῦτα συνομολογῶ τοιούτῳ πάθει περιπεσών. ἐξ οὗ καὶ σε φρασθεὶς ἐθαύμασα καὶ μὴ παρόντα πάλιν ζητῶ. καὶ τὴν τύχην προσδέχομαι μηχανήσασθαί τι καινόν, καὶ συνάγειν ποτὲ τοὺς τοσοῦτον ἀλλήλων ἀπέχοντας ἐραστάς.

Κάσσει

Κάστορι.

τ Ω φέροντι τὴν ἐπιστολήν, πολλὰ παρὰ σοῦ τὴν εὔνοιαν ἀπαιτεῖ, γνωτός, συνάπτον ἐμοὶ γάμος τὴν οἰκειότητα βεβαιῶν. καὶ τὸ δὴ μέγιστον ἡμέτερα γράμματα. καὶ οὐκ ἀλαζονείας ὁ λόγος. θαῤῥοῦντος δὲ μᾶλλον, ὡς τἀμὰ μικρὰ μὲν τῇ φύσει, μεγάλα δὲ δύναται παρὰ σοί. δεῖται δὲ γλώττης δικαίας καὶ λόγων εὐροίας σβέσαι δυναμένης συκοφαντίαν. οἶδα τοίνυν ὡς τῆς ἐμῆς ἐλπίδος κρείττων γενήσῃ. φιλοτιμῇ δὲ ἀεὶ μεῖζον εἰς πεῖραν ἐλθεῖν, ὧν αὐτὶς ἐλπίσειε περὶ σοῦ. σὺ δ᾽ οὐδὲν ἔχεις λοιπὸν ἢ τὴν ἐμὴν ἐλπίδα νικῆσαι τοῖς ἔργοις, ἢ μὴ ταύτης ἐλάττω δεῖξαι τὰ πράγματα.

Νεστορίῳ.

χ Ρεμύλος πεπλούτηκεν ἐξαίφνης ἡ κωμῳδία φησί. καὶ σὺ νῦν πλουτεῖν ἔοικας οὐ πώποτε τοῦτο μαθών. Ἴρου δὲ πτωχότερος ἀεὶ γεγονώς. ἐκεῖθεν ἄρα σοι ποθεινοτέρα γέγονεν ἡ πατρὶς ἣν πρότερον ἀπεκάλεις τῆς οἰκουμένης τὸ βάραθρον. ὅλως δὲ τῆς ὕλης γέγονας τῇ φιλοσοφίᾳ χαίρειν εἰπών. τὸ δὲ πρᾶον ἐκεῖνο καὶ ἥμερον ὅ, σοι μόλις ἐνεποίησα πρότερον, καὶ τὰς ὑπὲρ σοῦ τοῦ προκόψειν ἐλπίδας, φροῦδα πάντα πεποίηκας. νῦν ὡς εἰκὸς ὄρφος γέγονας. καὶ οἷον ὁ τῆς χώρας βούλεται νόμος. τοιαῦτα παρὰ τῆς τύχης ἀπήλαυσας, ὁ παρὰ τὴν πενίαν πάλαι φιλοσοφῶν. ὅθεν ἐμφιλοχωρεῖς τῇ πατρίδι καὶ σκοπεῖς οὐχ ὅθεν ἔσῃ σοφώτερος. ἀλλ᾽ ὅθεν ἂν ἰδίοις κομῶντα τὰ λήια. ἐγὼ δέ σε ποθῶν, τοὺς ἔρωτας μέμφομαι, εἰ μὴ δύνανται τὴν ψυχὴν μίαν οὖσαν αὐτέραν ποιῆσαι τῶν οὕτω ποθούντων.

Εὐσεβίῳ καὶ Ἡλίᾳ.

ε Γὼ καὶ παρόντας ἡμᾶς ἡδέως ὁρῶν, καὶ ἀπόντων ἀεὶ μεμνημένος, οὐκ ᾠήθην δεῖν σιγῇ τὸν καιρὸν παρελθεῖν. ἀεὶ μὲν γὰρ

ὑμῖν ὥστε ἄλλφ ἡδύ. τὸ δὲ κοινὸν οὐδαμῇ μετὰ γραμμάτων προ
πέμπειν, οὗ τοῦ ὑμεῖς ἐπῃνέσατε, καίτοι ποιεῖν ἠξιούμην. ἕως μὲν
οὖν μοι περιῆν, σπουδῆς αὐτῷ χαίρειν ἐδόκουν καὶ φύσει γεγονέναι πατὴρ
νυνὶ δὲ τὴν ἐξ ἡμῶν ἰόντι μόνον εὔχεσθαι δύναμαι διηγουμένων ἀλ
λων ἀκούειν, ὡς οἷον ἔβαλε τὸν νέον, θεὸς ἐπένδυσεν ἤδη τὸ γέγονεν. ἀγα
θὸς γένοιτο οὕτω τῶν λόγων πατήρ. οὕτως μὲν οὖν καὶ μᾶλλον. κρείττων
δὲ ἴσως.

Φαίδρῳ.

ου Τως ἄρα καὶ ψυχῆς εἰκόνες ἦσαν οἱ λόγοι, καὶ τοὺς ἀπόν
τας ἔδειξαν οἵαν ἔχουσι γνώμην, οὐχ ἧττον ἢ ζωγράφος ἂν
τὸ αὐτὸ θέλημα μιμεῖσθαι. τοῖς γὰρ ὑμετέροις γράμμασιν ἐντυχὼν, ὃν
ἠγνόουν τῇ πείρᾳ, τοῦτον ἐκ ἐκείνων ἐδόκουν ἔχειν. ὡς ἔτι ἐξελὼν τὸ
πρόγραμμα τὴν ἐπιστολὴν ἐπεδίδου, ᾤμην ἂν παρ᾽ ὅσον εἶναι φιλο
στόργου πρὸς παῖδα τὰ γράμματα. τοιούτους ἡ ἀρετὴ τοὺς ἑαυ
τῆς ἔοικε τροφίμους δεικνύναι. τὸ γὰρ σε μήτε ἰδόντα μήτε προ
πεπειραμένον, καὶ λόγου προκατάρχειν, καὶ κοινὰ πρός με ποιεῖσθαι
τὰ προσόντα τῶν ἀγαθῶν, τίνος εὐφημίας οὐκ αὐτὸ χρὴ δικαίως. ἀλ
λ᾽ ὅμως προῄρημαι μηδ᾽ ἂν ἔτι γένοιτο τὴν ἐμὴν ἰθάκην ὑπερι-
δεῖν· ἀγαθὰ καὶ τὸν ὁμηρικὸν ὀδυσσέα διὰ ταῦτα ζηλῶ, ὅτι πάντων προι
δὼν, τὴν μικρὰν ἐπεθύμησεν. καὶ ἧς οὐκ αὐτῆς τῶν βελτίστων ἐμνήσθη.

Ἱερωνύμῳ.

π Αλιν αἴγυπτος καὶ τρυφή. καὶ πένητες ἡμεῖς παρ᾽ ἀσοὶ τὸ λό
γος ἀπόντων οὐδείς. οὐδὲν τοῦτο πρᾶγμα. γέλα μόνον χρυ
σῷ ῥέοντα τὸν νεῖλον ὁρῶν· κἂν ἔτι μᾶλλον τὴν ὀφρῦν ἀνασπάσῃς, οἷ
σθα μὲν πάντως ὑπερορωμένοις ἔσεται γὰρ ἡμῖν ὅτε πάλαι ὄψει τὴν ἑλοῦ
σαν. τὸ δακρύσεις ψάμμον μεθιστάμενον τοῖς πνεύμασι, τὸ τέμνου
σ᾽ εἰς εἶζας τὴν ἄμπελον. ἔνθα τὸ νύμφαι ξένα τινὲς καὶ θαλάττιαι

καὶ

καὶ ζεῦξις ἕτερος οὐδαμοῦ. τὸ πηλάσω μὲν ἐγὼ τὸ κωμῳδῆσαι τὴν τύχην. σὺ δὲ νομίσεις δυσδαίμονα τὸν νοῦν ἀπερριμμένον ἐμέ. πλὴν ἐν ὅσῳ αὖ σοι δίδωσιν ὁ νεῖλος ξυφαῶν, γράφε μόνον τὸ καλῶς σμικροὺς ἡμᾶς ὡς χαμαί τινας ἐρχομένους. οὕτω γὰρ καὶ σοῦ γράφοντος ἀπολαύσομεν· καὶ τὴν σὴν ἀλαζονείαν τῇ τοῦ μέλλοντος ἐλπίδι παραμυθήσομαι.

Ἰλασίῳ.

τ Ὁ παρ' ὑμῖν χωρίον καρποὺς μὲν τίκτειν ἔοικεν ἀγαθούς. ἀντικεῖσθαι δὲ μόνοις τοῖς σώμασι. Τοὺς μὲν γὰρ θαῦμα τοῖς ὁρῶσι παρέχει, καὶ τὴν τῆς ὥρας βιάζεται φύσιν. τὰ δὲ λαβὼν ἐρρωμένα, μικρὸν ὕστερον ἀπέδωκεν ὠχριῶντα. ὅθεν οὐκ ἂν ἑλοίμην ὀλίγων καρπῶν ἀπολαύσας νοσεῖν. καὶ τὴν αἰτίαν ἐρωτῶ μὴ αἰσχύνεσθαι τὸ σιγᾶν. ὃ δὴ ποιεῖν εἴωθας σιγῇ τὰ χωρία κοσμῶν. σὲ δὲ βούλομαι τῶν πλείστων ἀγαθῶν ἀπολαύειν καὶ τῇ τοῦ σώματος ῥώσει τὴν τοῦ χωρίου φύσιν νικᾶν.

Διοδώρῳ.

δ Ἐδεγμαί σου πάλιν ἐπιστολὴν τοῖς μὲν λόγοις σαφῆ τὸ λίαν καλήν. τοῖς δὲ γράμμασιν ἀσαφῆ καὶ τῶν λόγων τὴν χάριν καλύπτουσαν. δοκεῖς γάρ μοι δεδιὼς μήποτε πρὸς λήθην ἔλθῃς τῆς φύσεως πρὸς τὸ σαφὲς αὐτὴν βιασάμενος, διὰ τοῦ τύπου τῶν γραμμάτων παραμυθεῖσθαι τῶν ῥημάτων τὸ σύσσημον. ὅπως αὖ πάλιν ἐκ τῆς συνήθους ἀσαφείας ἔχῃς τὸ σύσσημα. οὕτως σοι πλεονέκτημα τὸ πρᾶγμα φαίνεται. καὶ δεδιέναι μοι δοκεῖς ἐκπεσεῖν τοῦ προσρήματος. θάρρει τοίνυν ὡς οὔποτε μεταθείμην τῆς δόξης ἣν ἔτρεφον ὧν περὶ σοῦ. οὐδ' ἂν ἑκὼν εἶναι σε τῆς θαυμαστῆς εὐκλείας στερήσαιμι. μόνον μή με ἀναγκάσῃς πυθοῦ δέεσθαι τὸν δεικνῦντα τὰ γράμματα, φράσον λέγειν ὦ μαντικὲ πύθιε τί ποτε λέγειν ὁ γράφων ἐβούλετο. Ταῦτα δέ μοι πεπαίχθω πρὸς σὲ τὴν ὑμετέραν χάριν ἐκμιμουμένῳ.

τ Ἧς περὶ ἡμᾶς εὐνοίας γλυκύ σου καθέστηκε τὸ σύμβολον καὶ μιμεῖται τὴν γνώμην τὸ δῶρον τῷ μέλιτι συμπλεκόμενον. λόγων γὰρ γενόμενος ἐραστὴς καὶ τούτων ἐμφορηθεὶς, ἔγνως ὡς μέγα ἐστί χρῆμα φιλία συμπροιοῦσα χρόνῳ καὶ μὴ τῇ διαστάσει δεχομένη τὴν λήθην. ὅθεν σε καὶ πρὶν ἐπαινῶν, νῦν ἔτι πλέον τεθαύμακα, ὅτι καὶ μὴ παρὼν, καθέστηκας παραπλήσιος. ἀγά μοι πρᾶττε καλῶς καὶ τῶν νόμων ἐμφοροῦ. καὶ γίνου δὴ θᾶττον ἵνα τὸ καὶ λέξω ποιητικὸν, πατρίτε σῷ μέγα χάρμα πόληΐ τε παντί τε δήμῳ.

Στεφάνῳ.

η Ἔσθην δεξάμενος τὴν ὑμετέραν ἐπιστολήν. ὃν ἢ δόμην ἀεὶ τῇ μνήμῃ λαβὼν, τοῦτον διὰ τῶν γραμμάτων θεώμενος. εἰσὶ γὰρ ψυχῆς εἰκόνες ὄντως οἱ λόγοι. καὶ ἔμοι δίδως εἰπεῖν, μείζων ἢ κατ' ἐμαυτὸν ἐδόκουν γίνεσθαι. σκοπῶν ὥς με φίλων ἐγκαταλέγεσθαι χορῷ, καὶ λόγος ἐμοὶ παρὰ σοί. τὸ γραμμάτων ἄρχειν προκαλούμενον τὰ παραπλήσια. δι' ὧν δὲ θαυμάζειν ἐδόκεις, σαυτὸν ὁρᾶν παρεῖχες τοῖς γράμμασι. δι' ἐμοῦ μέσου τὰ σαυτοῦ διηγούμενος. ὥστε μεμψιθῶντα λέγειν πρὸς ἐμαυτὸν, ὡς ἀληθεῖς οἱ λόγοι, καὶ τοὺς θεοὺς εἰ περὶ τοῦ γεγραφότος ἐλέγοντο. νυνὶ δὴ λέγειν ἐλάνθανες ὁποῖος ἐγώ. ἀνάξιον εἶναί με δεῖ τοιούτων ἐπαίνων τυγχάνομεν. ἀλλὰ δέ σοι κἀγαθὰ γένοιτο καὶ σπουδῆς ἕνεκα καὶ τρόπων πρᾳότητος. καὶ μνήμης εὐνοίας. τὸ δὲ μέγιστον ὅτι καὶ μὴ παρὼν καθέστηκας παραπλήσιος.

Παγκρατίῳ.

οι Τὰς σειρῆνας ποτὲ παραπλέοντες, τὰ μέλη ταῖς ἀκοαῖς ἀρυόμενοι, οὐ πατρίδος ἐπόθουν οὐ παίδων ἀνεμιμνήσκοντο. πάντα δὲ πάσχειν αὐτοῖς ἐδόκει καλὸν, ἢ τούτων ἀπάν

ρξιν ὧν τῆς ἡδονῆς ἐπειράθησαν. ἡμεῖς δὲ τῆς σῆς μούσης ἄκρῳ φασὶ δακτύλῳ γευσάμενοι, οὕτως ὅλῳ πόθῳ πρὸς αὐτὴν ἐβακχεύσαμεν, ὡς μηδὲ μικρὸν ἀπεῖναι ταύτης αἱρεῖσθαι, καὶ ἀνάγκῃ διεστάναι τοῖς σώμασιν. ἀναγομένοις δὲ ἡμῖν τῇ διανοίᾳ συναναγόμεθα. καὶ τὴν Ἀλεξάνδρου νῦν οἰκοῦμεν, τὸ σὺν ὑμῖν εἶναι τῇ φαντασίᾳ πλαττόμενοι. τοιαύτην μοι γνώμην ἐναποτίκτουσιν ἔρωτες. καὶ πρὸς ὀλίγον ἀνενεγκὼν, ἐν ἐμαυτῷ πάλιν γίνομαι, τοῖς σοῖς ἐντρυφῶ διηγήμασι. καὶ πάντες ἀνὰ μέρος τὰ ὑμέτερα μνημονεύουσιν. ὁ μὲν τοῦ λόγου τὸ ἥμερον. ὁ δὲ τῶν τρόπων τὸ σεμνόν. ἄλλοι τὴν καὶ προσωνόμασαν. ὁ δὲ τῆς γνώμης λέγει τὸ μέτριον. ὁ δέ σε φέρειν ἐπὶ τῆς γλώττης εἶπε τὰς μούσας. καὶ πῶς τις φιλονεικεῖ φθάσαι τοὺς ἄλλους, μόνος τὰ σὰ διηγούμενος. σὺ δὲ γράφε τὴν ἀπουσίαν θεραπεύων τοῖς γράμμασι. καὶ τὸν φέροντα τὴν ἐπιστολὴν ἡδέως ἰδεῖν καταξίωσον.

Νηφαλίῳ.

Ὅσον ἡμῖν πάλαι τὸν θυμὸν ἐπέφηκας τοῖς γράμμασι, τοσοῦτον νῦν χρηστότητι τὰς ἡμετέρας ἐλπίδας ἐνίκησας. τὸ δὲ διορθοῦσθαι τὰ φθάσαντα καὶ παραμυθεῖσθαι τὸν εἰς φιλίαν ἀδικεῖσθαι πειθόμενον, πῶς οὐ σοφοῦ τὴν γνώμην ἀνδρὸς καὶ τὸ λυποῦν θεραπεύειν εἰδότος. ἐμὲ μὲν μόνον τῶν ὑμετέρων ἠνίασεν. εἰ τοσοῦτον ἐμὲ πεπονθέναι δοκεῖς, ὡς καὶ δώρων δεῖσθαι μεταβαλλόντων τὴν γνώμην. ὥσπερ καὶ Ἀγαμέμνων τὸν θετταλὸν στρατιώτην. πλὴν καὶ τὰ δῶρα δέχομαι προθύμως, οὐ ταῦτα ζηλώσας μᾶλλον, ἢ τὴν τοῦ πεπονθότος προαίρεσιν. ὁ δὲ φέρων τὴν ἐπιστολὴν τῆς ὑμετέρας εὐνοίας δεόμενος, τυγχανέτω ταύτης, ἐν οἷς καὶ τῶν οὐ λυπεῖ.

β Ἐδεξάμην σου τὴν φίλην καὶ γέμουσαν ὄντως ἀφροδίτης ἐπιστολήν. τὸ μὲν μακρᾶς σιωπῆς, σωκρατικῶς αἰτιωμένην ἡμῖν τὸ δαιμόνιον. τὸν δὲ χαμαὶ κείμενον ἐμὲ καὶ πρὸς ὕψος ἀρετῆς ἀναβλέπειν οὐκ ἔχοντα, καὶ τί γὰρ ἕτερον ἢ σοφιστήν, ὡς ἂν αὐτὸς ἐπισκώψας, εἰς αὐτὴν φιλοσοφίαν τοῖς ἐπαίνοις ἀνάγουσαν. μᾶλλον δὲ τὴν ἀκοὴν ὑποσυρομένην, ὅπως κλαπεῖσα τοῖς μηδὲν προσήκουσιν ἐπαίνοις, ἀνάξιον τὸ πρώως κατηγορουμένης ῥητορικῆς. καὶ φέροι τὰ συνήθη ταῦτα δὴ περιτίσματα τὸ πολιτικῆς μορίου εἴδωλον, καὶ τὸ δήμοις ὁμιλεῖν καὶ ὅσα δὴ παίζοντες ἐθέλουσι λόγοι. οὐ γὰρ ἂν εἴποιμι φθονούντων αἰδοῖ φιλοσοφίας καὶ πλάτωνος. καὶ αὐτὸς δὲ οἶμαι περὶ τῆς τέχνης ὦ σοφώτατε τἀναντία φρονῶν, σκωμμάτων ὡς ἔοικε χάριν, ὄνου φασὶ σκιὰν, ἐγκαλεῖς Θρασυμάχους ἡμῖν καὶ πώλους ἐπικυκλῶν, καὶ ὅσα δὴ Πλάτωνος ἀνέπλασαν χαρίεντες. ἀλλὰ παῦσαι λοιπὸν ὦ λῷστε τὰ μέγιστα τῶν πραγμάτων ἀγορεύων κακῶς. εἰ δὲ μὴ, ἀλλ' εἰς ἀμείνω καιρὸν ἐπέχω τὴν ἀπειλήν.

Διοδώρῳ.

γ Οἷς ὑμετέροις γράμμασιν ἐντυχὼν, παλαιᾶς εὐδαιμονίας ἀφικόμην εἰς μνήμην. τὸν νεῖλον ἐκεῖνον, καὶ τὴν παραυτῷ τῆς ὑμετέρας θέας ἀπόλαυσιν, τῇ διανοίᾳ τυπούμενος. καί μοι δακρῦσαι ἐπῆλθε τὴν τῆς τύχης ῥοπὴν ὡς ἄνω καὶ κάτω στρεφομένην. νῦν μὲν συνάγει τοὺς ἀνθρώπους ὡς οὐκ αὖτις ἐλπίσειε, νῦν δὲ πάλιν διίστησιν οὓς παρ' ἐλπίδα συνήγαγεν. ἀλλὰ σοφόν τι πρὸς αὐτὴν ἐμηχανήσαντο φάρμακον, ἐπιστολαῖς ἀνακινοῦντες τὸν πόθον καὶ τὴν παρουσίαν τρόπον τινὰ τοῖς γράμμασι μηχανώμενοι.

τ Οἷς περὶ φιλίαν ἐσπουδακόσιν ἀρκεῖν ἡγοῦμαι τὴν εὔνοιαν. καὶ τὸ ταῖς τῶν συνήθων χρείαις ὑπουργεῖν ἑτοιμότερον. τὸ δὲ προσαναλίσκειν οἴκοθεν, οὔτ᾽ ἄλλως δίκαιον, οὔτε τῷ δεξαμένῳ τὴν χάριν καλόν. ὁ γὰρ ἅπαξ ζημιωθεὶς, περὶ δευτέραν χρείαν καθέστηκεν ὀκνηρότερος· ὅπερ εἰ καὶ μὴ πάθοιτε, νόμῳ φιλίας ἀεὶ βεβαιούμενοι, ἀλλ᾽ οὖν ἐγὼ τοι γράφειν ὑπὲρ τῶν δεομένων, ὑπ᾽ αἰδοῦς ἀνακόπτομαι. ὅθεν εἴ με βούλεσθε τῇ πρὸς ὑμᾶς παρρησίᾳ χαίρειν ἀεὶ, οὐκ ὀκνήσετε χρέος λαβεῖν ὀφειλόμενον.

Ἰουλίῳ.

ὅ Ἰά μοι συνέβη δεξαμένῳ τὴν ὑμετέραν ἐπιστολὴν, οὐ χεῖρον πρὸς ὑμᾶς διηγήσασθαι. πρώην γάρ τις τὰ οὐράνια σοφὸς εἶναι βουλόμενος, καὶ τέχνην ἔχων ὡς ἔλεγεν ἐκ τῶν ἀστέρων προλέγειν τὰ μέλλοντα, περιτυχὼν ἐξαίφνης ἐμοὶ καὶ θεὶς ἐπὶ δακτύλων τὴν ψῆφον, ὡς εὐτυχὴς φησὶν ὑπάρχων ἐλάνθανες. μέγα τί σοι καὶ λαμπρὸν ὅσον οὔπω παρ᾽ ἐλπίδα γενήσεται. ἐγὼ δὲ τούτων ἀκούσας, τὸν πλοῦτον ἐφανταζόμην αὐτόν. ἀξιωμάτων ἐγέμον τὴν διάνοιαν καὶ ὅλως ἐν ἐλπίδι τύχης σοβαρωτέραν εἶχον τὴν γνώμην. ὡς οὖν οὕτως ἔχοντί μοι προσιόντες ἐπεδίδουν τὰ ὑμέτερα γράμματα. τοῦτο ἔφην ἐκεῖνο. προῆλθεν εἰς ἔργον ὁ λόγος. χρηστὰ γάρ μοι μηνύειν μαθόντες, πρὸ τῶν ἄλλων ἐπείγονται. τί γὰρ ἂν καὶ παθόντες, οὕτω νῦν παρ᾽ ἐλπίδας ἐπέσταλται. ὡς δὲ τοῖς ἔνδον ἐντυχὼν κάλαμον αὖ ἐξυνων ἀπόβλητον, καὶ ἐμπειρίαν ἀτιμοτάτην, ἰοὺ ἰοὺ πρὸς ἐμαυτὸν ἔφην παρ᾽ ἐλπίδας εὐτύχηκα. τὸ δὴ λεγόμενον ἀφ᾽ ἵππων ἐπ᾽ ὄνους μεταβέβηκα μὲν. πάντα μὲν οἶμαι καινίζειν οἶδεν ἡ τύχη, ἀλλ᾽ οὐ ταῦτ᾽ ἂν ἤλπισα κα-

λάμων γενέσθαι πατὴρ ὑπὸ καλύβῃ καθήμενος. ταῦτά μοι ζῶ ὡς ἔοικεν ἀνατέλλων χαρίζεται. καὶ γέλως διὰ τῶν ἀκουόντων, ἐπῆξε χεῖν ἐπ' ἐμοί. καὶ δέχου τὸν ἄνδρα φησὶ καὶ τὸν ὄρνιν τοῦ θεοῦ.

Διοδώρῳ.

σ Υ μὲν σιωπᾷς ἡμῶν τὴν σιωπήν. ἐγὼ δὲ σου φέρειν τὴν ἀλαζονείαν οὐκ ἔχω. δι' ἣν ἴσως οἴει τις εἶναι σεμνὸς ἢν ἡμῖν διὰ πλείστου φανῇς καί που λόγον πολλάκις ἐμβάλλῃς ἡμῖν. πότε πρὸς ἡμᾶς ὁ καλός. ὁ τὴν θέαν ἡδύς. ὁ τὰς σειρῆνας ἀποκρύπτων ταῖς ἡδοναῖς. ὁ τὴν πατρίδα παρορῶν ἵνα σώσῃ τὴν καίσαρος. τοιαῦτα λογοποιεῖν ἡμᾶς ἡ σὴ τῇ μελλήσει κατατείνων ἀεί. καὶ παρὰ σαυτῷ πάντως συνωμολογεῖς ὡς τὸ σπάνιον ἀεὶ τοῖς ζητοῦσιν ἐπιτείνει τὸν πόθον. ὅθεν ἡμᾶς παρορᾷς. καὶ οὐ τοῦτο δεινὸν, καίπερ ὂν τοιοῦτον. ἀλλὰ καὶ τὰς πατρίους πανηγύρεις ἐν οὐδενὶ λόγῳ ποιῇ. ἀλλὰ πολλάκις ἐμβαλὼν ἐλπίδας ὡς ἥξεις, εἶτα πάλιν ἀνέδυς καὶ διεψεύσμεθα. ὥστε δέδοικα καὶ πρεσβείαν πέμπειν ἡμᾶς καὶ καλεῖν τὸν ἀνδρ' ἐπὶ τὴν. οὕτω γὰρ καὶ χαίρεις λεγόμενος. ἀλλὰ φάνηθι μόλις ὅλως τὴν μεθ' ἡμῶν ἐπιτελέσων πανήγυριν. εἰ δὲ τὴν πρεσβείαν περιμένεις, ὥρασι κατωμένειν ἐκεῖ. τῶν γὰρ καλούντων οὐδείς.

Γεαίῳ παραμυθητική.

ὦ Σ σχετλία τὰ καθ' ἡμῶν τῆς τύχης βουλεύματα. καὶ πρὸς δεινῆς ἀρκοῦντα τραγῳδίας ὑπόθεσιν. οὔπω παίδων οἰκτίστου τάφου πεπαύμεθα. καὶ τὴν τεκοῦσαν ἐφέλκεται ἐκείνη μὲν ἴσως δρῶσα καθήκουσαν, εἰ παισὶ φιλτάτοις προσέθηκεν. ἡμῖν δὲ πάθη συνάπτουσα πάθεσι. καὶ τάφῳ τάφον ἐργαζομένη βαρύτερον. καὶ τῆς μητρὸς ἀπεστέρησεν οἴμοι παιδεία ἔτι τῆς μητρώας δεηθ

τῇ μὲν ἀθηλῆς δακρύων ὄντως καὶ ταῦτα καὶ σκηνῆς ἐπέκεινα πάθη. καὶ οἷα βεβαιῶσαι μῦθον ὡς γυνὴ δυστυχὴς, ἀνθρώπου λίθος ἐγένετο. ἦν γὰρ ὡς ἔοικε Φρυγία καὶ βάρβαρος. τὸ δὲ πρὸς τὸ τῆς τύχης πόμα τοῖς ἐκ φιλοσοφίας φαρμάκοις οὐ προκατείληπτο τὴν ψυχήν. οἷα δὴ τὸν μέγαν ἐκεῖνον Ἀναξαγόραν λόγος προσαγγείλαντος αὐτῷ τινος τοῦ παιδὸς τὴν ἄωρον τελευτὴν, εἰπεῖν εὐθέως ὡς δὴ παρεσκευασμένον ἐκ πολλοῦ καὶ μηδὲν μέγα παθόντα πρὸ τῆς ἀκοῆς, ὡς ᾔδειν κἀγὼ θνητὸν γεννήσας. καὶ οἶμαί γε τοῖς εἰρημένοις τεκμαιρόμενος, ὡς εἰ καὶ τὸ γύναιόν τις ἀπήγγελλε ἐπὶ τῷ παιδὶ κεῖσθαι, πάντως ἂν προσέθηκεν, ὡς ᾔδειν καὶ θνητῇ συνοικῶν. ὅθεν ἐπαινῶ τοὺς πρώτους τραγῳδίαν εὑρόντας, ὅτι καταμαθόντες τὴν τύχην ἄνω δὲ κάτω κυκῶσαν τὰ τῶν ἀνθρώπων πράγματα, τὴν σκηνὴν ἡμῖν ἐπενόησαν. ἀλλοτρίοις δὲ μάλα καλοῖς τὰς τῶν οἰκείων προοίματα λαμβάνοντες συμφοράς. τί γὰρ δεινὸν ἐν ἡμῖν ὃ μὴ φθάσας ὁ χρόνος ἀπέδειξε. τί δ' ἂν γένοιτο καινὸν ὃ μὴ πρὸς εἰκόνα παραπλησίαν ἀνάγεται. ἀλλ' εἴγε φίλον ἡμῖν τῆς τύχης ὀφθῆναι κρείττοσι, πρὸς τὸν τῆς συνήθους φιλοσοφίας ὅρμον ὑποδραμούμεθα τίνες τε ἐσμὲν σκοποῦντες καὶ ὅθεν ἀφίγμεθα. καὶ τίνες ἄρα τῶν καθ' ἡμᾶς πραγμάτων οἱ λόγοι. καὶ ὡς δεθέντας λυθῆναι δεῖ πάντως ὁπηνίκα δόξῃ τῷ δήσαντι. καὶ ἀποθέσθαι τὸ προσωπεῖον ὅπερ ἡμῖν ὁ τοῦ μεγάλου δράματος περιτέθεικε ποιητής. τοῦτο γὰρ ὄντως ἡ τοῦ σαυτὸν γνῶθι παραίνεσις· τοῦτο σὸν ἔργον ὦ σοφώτατε. καὶ τῆς προνοίας ὡς οἶμαι λόγους συνεχῶς ἀνελίττοντος, καὶ τοῖς σοφίας ἀμυήτοις καρτερίας σαυτὸν παρεχομένου παράδειγμα. ὅθεν εἰς ἑαυτοὺς ἐπανέλθωμεν. ἀλλὰ τί κε ῥέξαιμεν λέγοντες καὶ τὸ, θεὸς διὰ πάντα τελευτᾷ. ταῦτα

σὺ δὲ σκοπῶν σαυτοῦ τε δράσεις ἄξια καὶ τὸ θεῖον παρασκευάσεις εὐμενέσι ποτὲ τὰ καθ' ἡμᾶς ἰδεῖν ὀφθαλμοῖς.

Διοδώρῳ.

ϡ Ἐδεξάμην τὰς καλὰς ἰσχάδας καὶ κρείττους οἶμαι τῶν ἀττικῶν, δι' ἃς φασὶν ὁ μέγας ἐκεκίνητο πόλεμος. ὅτε βασιλεὺς ἐπὶ τὴν γῆν ἐπεμβάλλων θάλατταν, καὶ διατέμνων ὄρος εἰς θάλατταν. δέδεγμαι δὲ καὶ ὑποδήματά σου καὶ λίαν καλά. πλὴν ἀλλ' οὐ ξύμβλητέστι κυνόσβατος, οὐδ' ἀνεμῶναι, πρὸς ῥόδα. ἀσταφὶς γὰρ μακρὰ καὶ συμμέτρῳ στύψει τὴν ἔμφυτον παραμυθουμένη γλυκύτητα, ποίων μὲν ἰσχάδων ἀττικῶν, ποίων δὲ πλακούντων ἐφ' οἷς ἀεὶ τὴν γλῶτταν προτείνεις, κρείττων καθέστηκε. πέπομφα δὲ καὶ στρουθοὺς ἐξ ἅλμης ἀδηφάγου γαστρὸς παραμύθιον. ἆρ' οὐ κρείττω πολλῷ τὰ ἡμέτερα, πῶς αὐτίς; οἶμαι πένθης φήσειε δικαστής. πλὴν ἴσως τὰς μελλούσας βλαύτας ἐρεῖς. ἐγὼ δὲ κέχηνα μὲν πρὸς αὐτάς. ἐπειδὰν δὲ πέμψῃς, ἀλλ' οὐ βούλομαι λέγειν οἷα δὴ καὶ σκώπτειν πειράσομαι.

Δωροθέῳ.

ϛη Νὴ ἄρα τοῖς ποθοῦσιν ἔαρ οὐ καιροῦ μεταβολή. ἡ ὥρας λαμπρότης καὶ χελιδόνες ᾄδουσαι. ἡ γῆ ποικιλλομένη τοῖς ἄνθεσιν. ἀλλὰ καὶ παιδικῶν φωνὴ χειμῶνας ἴσος, τὴν τῶν ἐρώντων ψυχὴν παρενοχλοῦντα, πρὸς εὔδιον ἀκολὴν μεταβάλλουσα. τοιοῦτός τις πέφηνας κρείττων πάσης ἡδονῆς τὰ γράμματα χαρισάμενος. ὡς ὅγε παρελπεύσας χειμὼν, ἐπῆλθε μὲν τῇ φύσει πολύς. σοῦ δὲ σιγῶντος ἔδοξε δυσχερέστερος.

Ὠρίωνι.

τ Οὐκ ἀγαθοὺς τῶν φίλων ἀπόντας μᾶλλον οἶδεν ἐλέγχειν ἡ πεῖρα. κρίσις γὰρ εὐνοίας οὐ τὸ παρόντα τιμᾶν. τοῦτο γὰρ ἔσθ' ὅτε ποιήσειεν αὖτις καθάπερ ἐπὶ σκηνῆς ὁ τῶν ἀγαθῶν τὸ

πρόσω

πρόσωπον περικείμενος, ὃ μὴ πέφυκεν, ὑποκρίνεται. εἰ δέ τις τῷ τρόπῳ διεστὼς, εἰς ἓν χωρεῖ τῇ σπουδῇ καὶ τῇ γνώμῃ συνάπτεται, οὗτος ἐκεῖνος ὁ φιλίας νόμον περιστέλλειν εἰδώς. τοιοῦτος ἡμῖν προῆλθες ἀρετῇ τῶν δευτέρων τὰ φθάσαντα παρελθών. εἰ δὲ καὶ πατέρων εἰκόνες οἱ παῖδες, εἰκότως ἄρα με καὶ φήμη κομίζει μετάρσιον. διὰ παιδὸς ἀγαθοῦ μικρὸν πατέρα μείζω ποιοῦσα δοκεῖν. καὶ πανταχοῦ καθάπερ ἔφης τοῖς πόλεσι παραπέμπουσα. ἀλλά μοι περιέποις τὴν ἀρετὴν, ἣν παρ' ἐμοῦ τῶν λόγων. τὴν αὐτὴν ἔχειν περὶ τοὺς νόμους σπουδὴν καὶ φύσιν ἐπιδεικνύμενος.

Κυριακῷ.

τ Α μὲν σὰ δῶρα τοιαῦτα. τὰ δὲ ἡμέτερα κἂν αὐτὸς ἐπαινέσειας οὕτω τῇ γαστρὶ χαριζόμενος. λίχνος γάρ τις ὢν καὶ τὸ γαστρίζεσθαι μελέτην πεποιημένος, καὶ βρώμασι τὴν μεγάλην εὐδαιμονίαν μετρῶν, ἔπου τῇ θηρευούσῃ ἡδὺ, προτείνας εὐθέως τὴν γλῶτταν, καθάπερ τις Αἴας τὴν μεγάλην ἀσπίδα. καὶ μάρτυς ὁ καιρὸς ἐν ᾧ πλακοῦντα παρ' ἑτέρων ὑφήρπασας, ὅλον εὐθὺς παραπέμψας τῷ στόματι.

Παγκρατίῳ.

ὁ Υτω περορᾶς τοὺς ποθοῦντας; οὕτω δὲ γλώττης ἐπέχεις τὰ νάματα; ἀλλ' ἐμοὶ καὶ διαγράφει τὴν ὑμετέραν θέαν ὁ πόθος. καὶ νῦν ἔσυνων ὀνειροπολεῖν ἐγρηγορότος τοῦ σώματος. ἀλλὰ δὴ δὸς σαυτὸν μέχρι γοῦν γραμμάτων ἡμῖν. τοῖς γὰρ ποθοῦσι παραμύθια καὶ τὸ, μικρόν τι σύμβολον τῶν ἐρωμένων ἰδεῖν. μέμνησο δὲ καὶ τῶν λόγων ἐκείνων ἐν οἷς ὑποσχέσεις ἦσαν ἢ θᾶττον ἐλθεῖν εἰς ἡμᾶς ἢ γράμμασι πυκνοῖς ἀνεπαίσθητον τὴν ἀπουσίαν ποιεῖν. νυνὶ δὲ κινδυνεύω γράφεσθαί σε παρὰ ταῖς μούσαις ὡς ὁ σοφὸς πολυκράτιος δεινὸς ἦν λέγειν, ἃ μὴ ποιεῖν ἐλογίζετο.

ο Υ τὴν τυχοῦσαν ἡμῖν ἡδονὴν ἐνεποίησεν ὁ σοφὸς Καισάριος τὴν σὴν σπουδὴν ἀφηγούμενος. οἷα γὰρ χρηστὸς ἀνὴρ καὶ τοῖς λόγοις ἀνατεθραμμένος, ἀνεπίφθονον ἡμῖν τὸ καθαρὸν ἐδίδου τὸν ἔπαινον, μειδιῶν τε ἅμα καὶ συνηδόμενος ἐμοὶ τῆς γονῆς. ἐγὼ δὲ σὲ μὲν ἐμακάριζον τῶν ἐπαίνων. ἐκεῖνον δὲ τῆς προαιρέσεως. ἐμαυτὸν δὲ τῆς τύχης, εἰ τοὺς παρ᾽ ἐμοὶ φοιτῶντας ἀνὴρ ἀγαθὸς ἐνεμαρτύρησεν. ἀλλ᾽ ἐπιδίδου πρὸς ἀρετὴν τῇ σωφροσύνῃ κοσμούμενος. καὶ μειζόνων ἐπαίνων ὑποθέσεις δίδου τοῖς ἀπαγγέλλουσιν.

Ἡλίᾳ ἐπισκόπῳ.

π Ολλῶν ὄντων εἰπεῖν δεξιῶν αὖτις τὰ τῆς τύχης τραγῳδήσειε παίγνια, μεταποιούσης ἀεὶ πρὸς τὸ δοκοῦν τὰ ἡμέτερα, καὶ μηδὲν ἑστάναι συγχωρούσης ἐπὶ τοῦ σχήματος, ταῦτα μὲν σιωπήσω πρὸς ἄνδρα πάλαι κατεγνωκότα τῶν ἐπὶ γῆς καὶ τὴν τύχην νικῶντα δι᾽ ὧν ὑπερορᾷ μηδὲν ἐκείνης θαυμάζειν ἐθέλων. τοσοῦτον δὲ μόνον ὑπεμνήσω, ὡς οὐδὲν οὕτως ἡμέτερον ὡς ἡμεῖς ἑαυτῶν. τί δὲ ἡμεῖς. οὐ σῶμα δήπουθεν τὸ γὰρ ῥευστὸν οὐδὲ χρημάτων ὕθλος, οὐδ᾽ ὅσα τὴν ἰσχὺν παρασκευάζει τῇ τύχῃ. ἀλλὰ ψυχὴ λογικὴ δεσμοῖς τισι δὴ λόγοις πεπεδημένη τῷ σώματι. ὅθεν οἱ φρονεῖν ἐγνωκότες τὰ δέοντα, πᾶν ὁτιοῦν παρὰ ταύτην ἀπεσκευάζοντο ὥσπερ ἄχθος ἀλλότριον, μηδὲν πρὸς ἰδίαν οὐσίαν ταῦτα τείνειν ἡγούμενοι· καὶ οὐδὲν ἐποιοῦντο τῆς γνώμης ἐμπόδιον, οὐ σώματος αἰκισμόν. οὐ χρημάτων ἀποβολὴν, οὐ καιροῦ δυσκολίαν. ἀλλ᾽ εἰς

ἑαυτοὺς

ἑαυτοὺς ἀναβρέχοντες ἐλεύθεροι γεγήθασιν καὶ μίαν ηὐλαβοῦντο ζημίαν τὴν ἀρετῆς ἐκπεσεῖν. τὸ χρῆμα τῶν ἠθῶν καὶ φειδοῖ τοῦ σώματος ἐν ἀνδραπόδου λόγῳ τετάχθαι. τὸ κρεῖττον ἀναξίως ὑποβαλόντες τῷ χείρονι. καὶ θαυμάζοντες ἄνδρας ὑβριστὰς πάντα μᾶλλον πλουτοῦντας ἢ περὶ αὐτούς. ἔθει ὁ μὲν ὡς ἀλλοτρίῳ κεχρημένος σώματι, τὴν ἐλευθέραν ἐκείνην φωνὴν, πέπαυται λέγειν πέπαυται τὸν δὲ ἀνάρχου θύλακον, αὐτὸν γὰρ ἀνέξεχον οὔποτε πέπεισθε. ὁ δὲ τῶν ὑπαρχόντων ἐκβολὴν αὐθαίρετον ποιησάμενος, κράτησε ἔφασκε κρατῆσαι ἐλευθεροῖ. ταῦτα καὶ τὰ τοιαῦτα γενναίας ὄντως τῆς ψυχῆς. ἥτις ἑαυτῆς ὅλη πατοῦσα τὰς ἡδονάς. τοῖς καιροῖς οὐκ οἶδε συμμετατίθεσθαι. μέμνησο τοίνυν ὡς ἐπὶ σκηνῆς τῷ δοκεῖ ὅτι ὑποκριτὴς εἶ δράματος οὗ ἂν θέλῃ ὁ ποιητής. καὶ πλούτωνι δέχου δοκεῖ, ὡς ὁ σοφὸς εὐδαίμων, καὶ πάντα δὴ τὰ μὴ ἐπὶ τούτῳ πράττει καλῶς. ἡνίκα γὰρ τὰ ἐφ᾽ ἡμῖν εὖ πράττει, τῶν ἔξωθεν δήπουθεν ὀλίγη φροντίς. ἑτέρῳ γὰρ ἐκεῖνα φέρεται ῥεύματι.

Κληδονίῳ.

Εὖγε τὴν ἐν τοῖς γράμμασι χάριτος καὶ γλώττης ἀκωλύτως ῥεούσης. καὶ λέγειν δυναμένης ὅσα βούλεται. ὅπου γὰρ ἐμὲ τὸν μικρὸν ἐν λόγοις καὶ τὴν τέχνην μέχρι τοῦ σχήματος περικείμενον, τοσοῦτον ἦρας ἄνω, ὡς ἀπρεπεῖν με λοιπὸν μή ποτε πρὸς ἄλλους γράφων, εἶτά μου κατὰ λήθην προσηγορίαν ἐπέγραψας, τί οὐκ ἂν ῥαδίως εἴποις βουλόμενος. καί μοι δοκεῖς τοσοῦτον κεκινηκέναι τὴν γλῶτταν, δηλῶσαι θέλων ὡς ἀπαιτήσεις παρ᾽ ἐμοῦ τὸ παιδίον οὕτω λέγειν δυνάμενον. ὅθεν μοι καὶ τοσοῦτον ἀγῶνα πεποίηκας, ὥστε μικροῦ δεῖν, καὶ τὴν τοῦ διδάξειν αὐτὸν ἀνεδυόμην ὑπόσχεσιν. εἰ μή με λογισμὸς εἰσῆλθεν ὡς τὴν τοῦ

πατρὸς

παρὰ φύσιν λαχὼν, ἐκ τῶν εἰκότων ὁ νέος νικήσει τὴν ἐμὴν δυσκαλίαν τὸ λεῖπον ἐκ ταύτης οἴκοθεν ὑπαρχόμενος· ὥστε πισοὶ καιρὸς μὴ παρ' ἐμοῦ τὸ πᾶν ζητεῖν, ἵνα μὴ πρὸς τὰς εὐθύνας ἀπορῶν σιωπήσωμαι. τὴν δὲ πρὸς αὐτὸν εὔνοιαν τοσαύτην κατεπαγγέλλομαι, ὅσην ἂν αὐτὸς παρέχῃς εἰ δι' ἀδείας ὧν ἐτύγχανες. προσεφέλκεται γάρ με πρὸς ταύτην ὁ νέος τῇ φύσει τὴν σπουδὴν ἐφάμιλλον παρεχόμενος.

Γεαίῳ.

Τῆς μέχρι νῦν ὡς ἄλλως τε πρὸς τὸ γράφειν ὁρμῆς σωκρατικῶς εἰπεῖν, δαιμόνιόν τι πέφηκεν ἐναντίωμα. νοσήμασιν ἡμᾶς δὲ ἄλλων ἄλλοις περιβάλλον. οἷα δὴ συμβαίνει τῆς παρούσης ἡμᾶς ἀπολαύειν ζωῆς. μυρίων γὰρ ὄχλος κακῶν τὸν τῶν ἀνθρώπων οἶκ' οἶδ' ὅπως ἐκληρώσατο βίον. καὶ τὸν μὲν, πενία παρενοχλεῖ. τὸν δὲ πάθη παρατείνει ψυχῆς. ἄλλῳ διάκειται τὸ σῶμα κακῶς. ἕτερος παιδίον οὐκ ἔχων θρηνεῖ. ὁ δὲ τοὺς ὄντας ὀδύρεται. καὶ τί δεῖ λέγειν γυναικῶν καὶ παίδων ἀποβολήν. ἃ πρὸ ὑμῖν οὐχ ὡς ἔδει συνιέναι τῇ πείρᾳ παρέχειν ἡ πεῖρα. καὶ μακρὸν ἂν εἴη τῷ λόγῳ περιινοσεῖν ἃ πρόκειται τῇ θέᾳ. καὶ δείκνυσιν ἡμῖν ἐπὶ τῶν ἔργων ὁ βίος. οὕτως ἄγοντος τοῦ θεοῦ τὰ ἡμέτερα. ἐμοὶ δοκεῖν ὅπως ἀβουλήτων πλήθει περιπεσόντες, τῶν ἐπὶ γῆς μηδαμῶς ἀντεχώμεθα μηδὲν ἐχόντων ἑστηκὸς καὶ ἀκίνητον. ἀλλὰ καταλιπόντες τῶν συμφορῶν τὸ χωρίον, πρὸς ἑτέραν ζωὴν ἐπειγόμεθα, ἐπαίροντες ἀνάπλαντες τῇ διανοίᾳ τὸν οὐρανὸν, εἰ καὶ μένειν ἔτι τὸ σῶμα βιάζεται. μηδὲ θρηνῶμεν τὸν ἀπελθόντα τῶν ἐν τοῖσδε δεσμῶν φανέντα μόγις ἐλεύθερον. ἐπαινῶ γὰρ τὸν εἰπόντα ὅς τις ποτ' ἦν ὁ τοῦ λόγου τούτου

πατὴρ

πατὴρ, ὡς ἄρχηθεν μὴ φῦναι τοῖς ἐπὶ γῆς ἄριστον. φύντα δ' ὅτι
τάχιστα πύλας ἀΐδαο περῆσαι. ὅπερ ἡ σκηνὴ παραιτήσασα, δεῖν
ἡμᾶς φησιν ἐπὶ συλλόγων ἰόντας τὸν φύντα θρηνεῖν εἰς ὅσ' ἔρχεται
κακά. τί οὖν ἔτι θρηνοῦμεν ἐκ τῆς τοῦ βίου ζάλης ἀσφαλῶς τοὺς
φιλτάτους προπέμψαντες, πρὶν ἐν πείρᾳ γενέσθαι τῶν ἐντεῦθεν
κακῶν. τί δὲ πρὸς τὸ δοκοῦν ἡμῖν τὸ θεῖον εἶναι βουλόμεθα, δέον
τοῦτο κεκρικέναι καλὸν, ὅπερ ἂν ἐκείνῳ δοκῇ. τοιοῦτος ἦν ὄντως ὁ τὸν
πολὺν ἐκεῖνον Πυθαγόραν ἐζηλωκώς. ὅς τις γε δὴ πρὸς τὸν ἐν εὐχῆς
εἰπόντα μέρει, δώῃσι ὁ θεὸς ἅπερ ἂν τύχῃς βουλόμενος, εὐφήμει
φησίν. ἀλλὰ βουλοίμην ἅπερ καὶ δίδωσι. πολλὰ γὰρ ἡμῖν γενέσθαι
πολλάκις εὐξάμενοι, εἶτα μὴ τυχόντες, ἔγνωμεν ἐκ τῶν ἔργων ὡς δε-
όντως οὐ γέγονε. πολλῶν δὲ καὶ κατὰ γνώμην δῆθεν τυχὼν, μικρὸν
ὕστερον ἐμεμψάμην τὴν τύχην ὅτι καὶ γέγονεν. οὕτως ἄρα πρὸς μι-
κρὰ βλέποντες ἄνθρωποι, τὴν φύσιν οὐκ ἔχουσι διαρκῆ. δ' ἅπερ
ἂν μέλλῃ καθυποτάξ, λυσιτελεῖν ἠγνοήκαμεν. τοῖς γὰρ οὖν παραχω-
ρεῖν ἀνάγκη τοῖς κρείττοσι, σοφῶς ἄγουσι τὰ ἡμέτερα καὶ ἡμῖν ἀ-
συνόητα τὰ δόγματα.

Μουσαίῳ.

Ὁ λογιώτατος Παλλάδιος, χρυσοῦν ὅλον ἧκεν ἄγων τὴν ὑμε-
τέραν ἐπιστολήν. καὶ εἴ γε μοι τὰ κροίσου κεκόμικε τάλαν-
τα, οὐκ ἂν οὕτως εὐμενέσιν εἶδον αὐτὸν ὀφθαλμοῖς. ἄλλοις μὲν γὰρ
ἀγαθοῖς μέγα φρονεῖ. ὁ λυδὸς χρυσῷ. ὁ σπαρτιάτης τῷ δόρατι. χορδαῖς
Ἀρίων καὶ κρούσμασιν. ἐμοὶ δὲ σεμνολόγημα σή τε θέα καὶ γράμματα
σά. καὶ πᾶν ὅ, τι ἂν ὑμῶν ἀπολαύειν δέῃ. ὥστε τῷ δὲ νέῳ καὶ μι-
σθὸν ἡμεῖς ἐκ τῶν δικαίων ὀφείλομεν. ὃν οὐκ ἀποδιδόντες,
εἰκότως ἂν αἰσχυνοίμεθα. ὁ δὲ μισθὸς, οὐ μὰ δία χρυσὸς,

οὔτε λίθοι τινὲς ἰνδικοί. οὔτε γὰρ τούτων πλουτῶ, οὔτε τούτων θηρεύσων ὁ νέος ἀφῖκται. ἀλλ' οὐδὲ λόγων κάλλος. οὐ γὰρ μουσῶν εὔφορος ἐγώ. οὐδὲ γὰρ τοῖς ἐξ ἀττικῆς ἐναβρύνομαι. ταῦτα γὰρ εὐδαιμόνων εὐτύχησαν παῖδες. ἀλλ' ἔστι τὴν ἐμὴν δόσιν ἥ τις ἐστὶν ἐθέλεις σκοπεῖν, εὔνοιά γε καὶ προθυμία. τούτων γὰρ κύριος ἐγὼ Δημοσθένης φησίν. τῶν δὲ ἄλλων τύχη καὶ μοῦσαι πρὸς τὸ δοκοῦν αὐταῖς τὴν δωρεὰν πρυτανεύουσαι.

Μεγέθιος Προκοπίῳ.

Ὅτε πρῶτον εἰς μέσους ἡμᾶς τὸν ἐπιτάφιον λόγον παρήλθες, τοσοῦτον ἥσθην ταῖς ἀττικαῖς σου μελίτταις. ὥς τε καὶ ἡγούμην τὸν μουσηγέτην αὐτὸν συνεργάσασθαί σοι μετὰ τῶν χαρίτων τὸν λόγον. ἐφ' ἑκάστῳ μὲν οὖν τῶν ὀνομάτων, ἐγώ τε καὶ ὅσοι τῶν ἀκροωμένων ἐνέπλησαν τότε τὸ θέατρον, βοῶντες ἕκαστοι τὸ σεῦ τώειον. ὡς δὲ κατὰ τὴν πόλιν γεγόναμεν, ἐντεῦθεν μᾶλλον ἐπετείνετό σοι τὸ θαῦμα. καὶ ἦν ἐν τοῖς ἁπάντων στόμασι τὰ χρυσᾶ σου γεννήματα. κρινόντων μὲν ταῦτα πρὸς ἄλληλα, τῷ μὴ τῷ παραπλήσιον εἶναι. ἀπορουμένων δὲ ποῖα δεῖ μᾶλλον τῶν ἄλλων στεφανῶσαι τῷ κάλλους, ἴσαι προσέβαλλον αἱ χάριτες. ἐπεὶ οὖν ὅσοις δι' ἀσχολίαν ἀνηκόοις γενέσθαι τοῦ λόγου συμβέβηκεν, ἱκέτευον ἀπογεύσασθαι δι' ἐμοῦ τῆς ἀττικῆς σου μελίττης, πέμπε τὸν λόγον εὖ εἰδὼς ὡς μυρίοις αὖθις αὐτὸν κατεστέψαντες τοῖς ἐγκωμίοις, εὖ σ' αὖθις ἀποτελοῦμεν.

Προκόπιος Ἡλίᾳ.

Τὴν ὑμετέραν ἐπιστολὴν εἰς χεῖρας λαβών, αὐτόν σε προὔντα χαίρειν ἐδόκησα. οὕτω σου τὴν χάριν ὅλην ἐνέθηκας τοῖς γράμμασιν.

ἀπῄ

καὶ τῇ ἐπιστολῇ προσεγγίζων πυκνότερον ὥσπερ ὅτε σε ἔβλεπον ἐνε-
φορούμην τῆς ἡδονῆς. εἰ δὲ μέμνησαι τῶν φίλων ἀπόντων, θαυμα-
στὸν καὶ παρ' ἐλπίδας οὐδέν. ἀλλὰ τοῦτο γέγονεν ὃ προλαβόντες ἠλ-
πίσαμεν. ἐγὼ δὲ καὶ καθεύδων προσδιαλέγεσθαί σοι δοκῶ. καὶ πολ-
λάκις ἀναστὰς ἠνιάθην, ὅτι περ ὄνειρος ἦν. τὸν δὲ ἑταῖρον Μέγαν εἰ
διδόναι ῥαδίως εἶχεν ὡς κούλομαι, πάντως ἂν αὐτὸν ἤδη καὶ τέλει-
ον ἀπείληφας τὸν ῥήτορα. Ζαχαρίᾳ.

Ὁ Μὲν χειμὼν ἡμῖν ἤδη πέρας ἔχει καὶ πέπαυνται μεμφομέ-
νοις ἀμφότερα καὶ τὴν σιγὴν καὶ τὴν ὥραν. τὸ δὲ ἔαρ ἀσμένοις
ἀφῖκται καὶ μᾶλλον ἢ περ εἰώθει γέγονεν ἔαρ. οὐ γὰρ μόνον ᾄδου-
σιν αἱ χελιδόνες τὴν ὥραν, ἀλλὰ καὶ τὴν ἐπὶ σοὶ ψῆφον ἡ φήμη
βοᾷ, ὡς ἐπὶ μέγα προῆλθες. ὡς εὐδαιμόνων ῥητόρων ἐγκατελέ-
γης χορῷ. εἰ δὲ τὸ ὅσον βουλόμεθα προσετίθει, πάντως ἂν οὐδὲν εἰς
εὐτυχίαν ἀπῆν. εἰ μὲν οὖν γέγονε ταῦτα, τὰ μείζω πάντως αἰτήσο-
μαι. εἰ δὲ μέχρι λόγων ἡδόμεθα, τὴν μὲν φήμην ἐπαινῶ. τὰ δ' ἔργα,
διὰ τὴν φήμην μανθάνομαι. Τῷ αὐτῷ.

Ν Υν ὄντως ἔγνων, ὡς οὐκ ἦν ἄρα λόγος, ἀλλ' ἔργον ἡ φήμη. καὶ
θαυμάζω πάλαι τὸν νόμον τὸν ἀττικόν, ὃς ἐν θεοῖς καὶ ταύτην
ἱδρύσατο. οὐ γὰρ δὴ μόνον Ἡσίοδος θεὸν αὐτὴν ἀνυμνεῖ, ἀλλὰ καὶ
ἀθηναῖοι τὴν ἐν μυκάλῃ μάχην αὐθήμερον ἐγνωκότες οὐκ ἀνε-
κτὸν ἔφασαν εἰ μὴ θεὸν ἡγοῖντο τὴν φήμην. εἰ μὲν οὖν πρὸς ἄλλον ὑπῆρ-
χεν ὁ λόγος, εἶπον ἂν εὐθὺς ὡς ἀνασπάσεις ἡμῖν τὴν ὀφρῦν. καὶ δεινὰ
φήσεις πάσχειν εἰ μή σέ τις πυκνῶς ἐπάρχων καλέσειε ῥήτορα. καὶ μεῖ-
ζον φρονήσεις ἢ Δημοσθένης ἐκεῖνος ἐπὶ βήματος ἀττικοῦ. ὁ μὲν γὰρ
μίαν ἦγε πόλιν δημηγορῶν. σὺ δὲ δικαστηρίου κρατήσεις, δι' οὗ προ-
έρχεται τοῖς βασιλέως ὑπηκόοις ἡ δίκη. ταῦτα πρὸς ἄλλον αἰνί-
ττων ἐπὶ σοῦ σιωπήσομαι. ὃν ἐν τοῖς δὲ ἀκούειν. καί τοι γε

γὰρ ἐπιστέλλειν ὡς εἰκὸς ἐμηχανήσαντο ἄνθρωποι, ὅπως ἀποῦσι μίμημα σώζοιεν παρόντων. καὶ λέγοιεν τι τοῖς γράμμασιν ὥσπερ ἂν εἰ καὶ συνόντες. ἐγὼ δέ σου τὴν ἐπιστολὴν ἀναγνοὺς ὑφ' ἡδονῆς ἐδάκρυσα. καί σου παρόντος ὥσπερ εἰώθεις ἐδόκουν ἀκούειν. καὶ ἡδύ τι πνεύσας, τοῦτο εἶπον ἐκεῖνο ἡ φιλτάτη φωνή. ἀλλὰ πρὸς ἔρωτος αὐτοῦ καὶ φιλίας ἐκείνης, εἴπου ταύτην ἔτι οἶσθα καὶ μέμνησαι, μή μοι τοῖς γράμμασιν ἀποδήμει. μηδὲ τὴν μόνην ἀφέλῃς παραμυθίαν. μή ποτε τάχα ζηλώσω τοὺς μηδὲ τὴν ἀρχὴν ἐρῶντας. οὓς μηδὲ συμβαίνει τοιαῦτα παθόντας ὀδύρεσθαι.

Τοῖς αὐτοῦ ἀδελφοῖς.

π Αλιν ἥκει καιρὸς γράμματα πρὸς ὑμᾶς ἀπαιτῶν. καὶ πάλιν εὐτυχεῖν νενομίκαμεν. τίς γὰρ ἡμῖν γένοιτο βίος τοῦ λέγειν τι πρὸς ὑμᾶς καὶ γράφειν ἐστερημένοις; εἰ δὲ τῶν ὁμοίων τύχοιμεν παρ' ὑμῶν, ἡράκλεις ὅσον ἡμεῖς εὐτυχήσομεν. οὐκοῦν μὴ μέλλετε πρὸς ἔργον ἄγειν τὸν πόθον. ἵνα μὴ μόνον ἔρωτος ἀτιμάσαντες, τῶν ἐκείνου βελῶν πειραθείητε. δεινὸς γὰρ ὁ θεὸς καὶ βέλη κινεῖν καὶ τόξον αἴρειν. καὶ σκοπὸν ποιεῖται τοὺς ἀτιμάζοντας ἐραστήν.

Ἰωάννῃ.

ἐ Ζήλωκά σε τῆς γονῆς, εἰ τοιαῦτα τίκτειν ἐπίστασαι. εὐδαίμονων γὰρ πατέρων παῖδας ἀποφαίνεις εὐδαίμονας, μουσικῶς τινι νάματι τὰ θεῖα σοφῶς προφερόμενος, τοιοῦτος ἡμῖν ὁ λογιώτατος ἀφῖκται Μουσήλιος. ὃν ἐπαινεῖν ἐθέλων καὶ τὰ προσόντα μὴ λέγειν δυνάμενος, μόνην τὴν σιωπὴν ἀρκεῖν ἡγοῦμαι πρὸς ἔπαινον. ἀλλ' εἴ μοι τι πείθῃ, τὴν ἀγαμέμνονος ἐπὶ σοὶ μεθαρμόσω φωνήν. βάλλ' οὕτω φίλε τεῦκρε. καὶ μὴ φείσῃ φθεγγόμενος.

δ Ιεψεύσθημεν ἐλπίδος μακρᾶς μὲν καὶ τῷ χρόνῳ λυπούσης ὅτι μὴ τὸ πέρας ἐδέχετο. εὔφραινε δὲ ὅμως καὶ μετριωτέρους ἐποίει. τὴν δὲ σὴν ἐπιστολὴν εἰς μνήμην ἄγουσι παρεῖχε μὲν ἐννοεῖν ὅτι δὴ θᾶττον ἡμῖν ἐπανέλθοις. νυνὶ δὲ καὶ τῆς ἐλπίδος αὐτῆς ἐκπεσόντες, πῶς ἂν ἔχοι μὲν φέρειν μετρίως. ἀλλ᾽ ὦ τύχη τύχη, τραγῳδήσω γάρ τι μικρὸν εἰς παραμυθίαν τῆς λύπης. τίσι τοσοῦτον εὐφραινόμεν ἀνιώμενοι. ὤφελες γὰρ ἢ μὴ συναγαγεῖν εἰς ταὐτὸν ἀνθρώπους, ἢ γοῦν ἀπολαύειν ἀλλήλων ἐᾶν. τὸ μὴ, χωριζομένοις ἐφήδεσθαι. ἀλλὰ γὰρ ξένον οὐδὲν ἀνθρώποις ἡμᾶς ὄντας τοιούτων πειρᾶσθαι. ἀλλ᾽ ὑποκύπτειν δεῖ τὸν αὐχένα καὶ ζυγὸν ἀνάγκης ὑπομένειν ἑκόντας. οἱ γὰρ ἑκούσιοι πόνοι τοῖς κάμνουσι μετριώτεροι.

Ζαχαρίᾳ καὶ Φιλίππῳ.

ὁ Τὴν ἐπιστολὴν ὑμῖν ἐπιδίδωσι, τῶν ἐς ἐμοῦ φοιτησάντων ἐστὶν ἀνήρ. χρόνον μὲν οὐ πολὺν, ἀλλ᾽ ὅμως ἱκανὸν ἡγεῖται πρὸς τὴν ἐξ ὑμῶν εὐποιίαν καὶ τὸ ψιλὴν ἐπιγραφεῖσάν μου προσηγορίαν. εἰ δὲ δεόντως ἔγνωκε, διδάσκαλον ἀναμένει τὴν πεῖραν. οὐκοῦν ἀγὼν ὑμῖν κἀκεῖνον μὴ ψευσθῆναι τῆς γνώμης, κἀμὲ μὴ καταισχῦναι τοσοῦτον ἔχειν παρ᾽ ὑμῖν νομιζόμενον. Ζαχαρίᾳ.

ὅ σης με φιλοτιμίας ἐνέπλησας τὴν μικρὰν δεξάμενος ἐπιστολὴν καὶ τὴν ὡς ἂν αὐτὸς εἴποις λακωνικήν. ἰδοὺ δή σοι τὸ σοβαρὸν ὁρῶ. καὶ σπαρτιάτης αὐτόχρημα γεγένημαι. καί μοι πάντα λυκοῦργος. ὁ δὲ σόλων οὐδέν. μικροῦ δεῖν καὶ δωρικὴν ἀφῆκα φωνὴν, τῆς ἀττικῆς ἐκείνης εἰς λήθην ἐλθών. λυπεῖ με δὲ καὶ πατρὶς ἐκ μέρους τετειχισμένη, ὅτι δὴ μὴ τῆς ἀτειχίστου σπάρτης ἐστὶν εἰκών, τοιαῦτα δύναται ῥήτωρ ἀγαθὸς, πρὸς πάθος ἕλκων οἷον καὶ βούλεται. εἰ δέ με πάλιν ὡς ἀττικὸν ἐπαινέσεις,

ὅρα μὴ τὴν Σπάρτην αὖθις ἀρνησώμεθα. οὕτω πόθῳ τῶν σῶν γραμ-
μάτων μεθέλκομαι. ἀλλ᾽ ὅπως μὴ παίζειν ἐθέλων, ἐπαινέσεις τὴν
Αἴγυπτον, καὶ τῷ λόγῳ γενοίμην Αἰγύπτιος. οὐκοῦν φεῖσαι πρὸς
Διός. οὐ γὰρ ἔχω μὴ θαυμάζειν ὁπόσα καὶ σύ. Νηφαλίῳ.

ς Υμεῖς ἐν πλήθει χρημάτων ἀπορίαν θρηνεῖς. ἐγὼ δὲ τὰ χρή-
ματα καὶ τοὺς πλουτοῦντας περιφρονῶ καίτοι πενίᾳ θαυμαστῇ συ-
νεχόμενος. οὕτως ἄρα τὸ πένεσθαι καὶ πλουτεῖν ἡ γνώμη ποιεῖ. οὐ
χρήματα παρὰ τῆς τύχης τῇδε κἀκεῖσε πλανώμενα. τοιγαροῦν
παῦσαι μικροψύχως ἡμῖν ὀδυρόμενος. μηδὲν μέγα νομίζων πλὴν
εἰ μή τι φέροι πρὸς ἀρετήν. ὅτι γὰρ μὴ τοιοῦτον, ἀλλότριόν τε ἐστὶ καὶ
πρὸς ἀπάτην ἐφέλκεται. ὅθεν οἱ φρονεῖν εἰδότες ὥσπερ τινὰ μέθην
καὶ φλυαρίαν ταῦτα ἀποσεισάμενοι, τὴν γῆν καταλιπόντες τῇ γῇ,
μεταρσίῳ γνώμῃ περιπολοῦσι τὸν οὐρανόν. τὰς αἰσθήσεις καὶ τὴν ὕ-
λην καὶ τὸ τῆς πλάνης χωρίον ὥσπερ τινὰ χαλεπὴν διανηξάμενοι θά-
λατταν. Μουσαίῳ.

δ Ἐδεξάμην τὴν βίβλον ποθεινοτέραν μοι γενομένην, ὅτι ταῖς
ὑμετέραις ἀναληφθεῖσα χερσί, τάχα τι καὶ μουσικὸν ἐπεσπάσατο.
ὡς τὸν κεχρημένον λοιπὸν ὀξυτέρας οἶμαι τῆς διανοίας αἰσθάνεσθαι.
οὐχ ἧττον ἢ Σωκράτης, ἡνίκα δὴ παρὰ τὸν Ἰλισσὸν ἐκαθέζετο. ἔν-
θα καὶ νυμφῶν ἱερὸν καὶ Πανὸς ἦν δίαιτημα. ἀλλ᾽ ἐθέμην καὶ τὰς ἄλ-
λας βίβλους λαβών, τοιαύτας ἐργάσαιτο. ὥστε με κατὰ μέρος
ἑκάστῃ προσβάλλοντα, ἑτέρας ἀεὶ τῆς ἐπιπνοίας αἰσθάνεσθαι.

Ἐπιφανίῳ.

η Ἄλλως ἄρα ᾔδει τὸ τῶν ἐρώντων πάθος ἡ παροιμία. κἂν ἐ-
πιορκεῖν ἐθέλωσι, συγγνώμην αὐτοῖς ἐκ θεῶν ἐπαγγέλλεται.
ἰδοὺ γάρ σοι γέγραφα καίτοι μὴ γράφειν ὑπεσχημένος. οὕτως ἀσ-

μεθο

μέθα τῶν πόθῳ καὶ γίνομαι ζηλωτὴς ἐρωτικός. ἀλλὰ γράφε πολλάκις. καὶ δίδου τύπον γοῦν εἰκόνος ἀντὶ θέας τοῖς ἐρασταῖς.

Τῶν Προκοπίου ἐπιστολῶν Τέλος.

ΔΙΟΝΥΣΙΟΥ ΣΟΦΙΣΤΟΥ ΑΝΤΙΟΧΕΙΑΣ ΕΠΙΣΤΟΛΑΙ

Φιλοξένῳ Ἐπισκόπῳ.

π Ρᾶγμα ἐμοὶ ποθεινὸν, ἐπιστολὴ παρ' ὑμῶν. ἐπεὶ δὲ μὴ ἐξεγένετό μοι τῆς αὐτῆς συνιέναι τῆς φωνῆς. οὕτω δὲ αὖ ἥδιον ἔχον, ὥσπερ τις ἐραστὴς αὐτὴν ὁρῶν τοῦ ποθουμένου τὴν ὄψιν. οὐ μὴν ἀλλὰ καὶ τὰς εἰκόνας εἰώθαμεν ἀγαπᾶν τῶν ἐρωμένων, ὅταν αὐτοὺς μὴ δυνηθῶμεν ἰδεῖν. τὰ σύμβολα δὲ, ὅτι μὲν τῆς ἑορτῆς ἐστὶν ἀγαθά μοι δοκεῖ. διότι δὲ παρ' ὑμῶν, διπλάσια δικαίως νομισθήσεται.

Διονυσίῳ.

α Υτὴν ἐδάκρυσα τὴν γῆν, ἐπειδὴ τὴν σὴν ἤκουσα σιωπήν. εἰ γὰρ ὁ κύκνος σιγᾷ, τίς ᾄσεται μουσικήν. εἰ ὁ μεγαλόφωνος Διονύσιος μικρὰ φθέγγεται, τίς οὐ σιωπήσεται. ὡς ἔδει τὴν ψυχὴν πολλοῖς σώμασιν ἐγχεῖν, ὅπως ἂν ἦ τοῦτο κἀμοὶ πρὸς ὑπηρεσίαν τῆς τέχνης. δεινὸν γὰρ εἴ τις ἄριστος αὐλητὴς κατεαγότων αὐτῷ τῶν αὐλῶν, δι' ἀπορίαν ὀργάνων εἰς θέατρον μὴ καταβαίνει.

Στεφάνῳ.

ό Τι γραμμάτων ἐμῶν ἐπιθυμεῖς, ἠγνόουν. ὡς δὲ ᾐσθόμην ἀφῶν ὁ γραμματικὸς βερονικιανός μοι διελέχθη, γράφων μὲν οὐ παύσομαι. φιλῶν δὲ οὐκ ἐπαυσάμην.

Ευσεβίῳ.

π Οἱ ἥσαντες ὑμῶν ἐραστὴν, ἐποιήσατέ με καὶ τολμηρόν. ὥστε οὐ παύσομαι γράφων, κἂν πολλάκις αἰτιάσησθέ με θρασύτητος. τί γὰρ ἂν καὶ ποιήσειεν ἄνθρωπος ἐρῶν. καὶ παύσασθαι μὴ δυνάμενος.

Τῷ τὰ ὀξίδια πέμψαντι.

τ Οὓς κεράμους ὅτι μὲν πρωτείους ἐπέγραψας εἶδον. ὅτι δὲ μὴ προσέθηκας ὄξους, ἐπελαβόμην. τοῦτο γὰρ ἐπιγράφων καὶ ἀληθεύειν ἐδόκεις, καὶ ἀσφαλεστέρους ἐποίεις τοὺς πειρωμένους. νῦν δὲ ὑπὸ τῆς ἀγνοίας ὡς οἶνον ἁρπάζοντες, λανθάνουσι κινδυνεύοντες.

Τῷ αὐτῷ.

ἡ Φιλότιμος καὶ δικαία σου δωρεὰ, μέχρι μὲν πρώην ἀνέπαφος ἦν. ἐπεὶ μηδὲ ἰδεῖν αὐτὴν ἠνειχόμην οὕτω μεγάλην οὖσαν ἐρυθριῶν. ὡς δὲ ἔδει τῶν κεράμων ἕνα πέμψαι φίλῳ συνησίῳ κατὰ χρείαν ἐπιδημοῦντι, τότε ᾐσθόμην ὅτι καὶ δόλον εἶχεν ἐν ἀπορρήτῳ. καὶ τὸν πέμψαντα ὡς ἀληθῶς ἐμιμεῖτο. γελοῖον δέ. ὅτι καὶ σημεῖον ἐπέθηκας αὐτοῖς, οἷον εὐφρᾶναι τὸν ἀπατώμενον. οὐδὲν δὲ ἀπεικὸς ἐπεπόνθειν ἄν, πολλάκις ἐφοῖς ἐπείσθην διαμαρτών.

Τῷ αὐτῷ.

ὁ Ι κέραμοί σου κενοὶ μὲν ἦσαν ἀρθέντες. ὄξος δὲ ἔφερον ἀνοιχθέντες. οὕτω καὶ ὀλίγον ἐν αὐτοῖς ὑπῆρχε καὶ πονηρόν. ὥστε εἰ τὰ τοιαῦτα τιμᾷς, ἀμείνων ἂν εἴης ἀγνωμονῶν.

Τῷ ἄρχοντι ἱεραπόλεως.

ὁ Ι τὰς ἀρχὰς ἐνδόξως μετιόντες ὥσπερ ὑμεῖς, πλέον τοῦ γε ἐπιτηδεύουσι φίλους ποιεῖσθαι πλείους ἐν ταῖς ἀρχαῖς. γινώμεθα τοίνυν φίλοι τῆς μεγαλοπρεπείας τῆς σῆς, ἐγώ τε καὶ ὁ τὴν ἐπιστολὴν ὑμῖν ἐπιδιδούς. ἐγὼ μὲν ὡς γεγραφώς. ὁ δὲ ἑταῖρος μόδεστος ὢν βούλεται ῥαδίως ἐπιτυχών.

Εὐσταθίῳ.

ἆ Ρα μὴ φαίνωμαι βραδὺς εἰς ἐπιστολήν, ἢ τοὐναντίον καὶ ὀχληρός. ἀλλ' εἰ καὶ τὸ δεύτερον δοκοίην, αὐτὸς αἴτιος ἐπιστέλλων. ὅτι μετέωρος ἡ χάρις ἐστὶ τὴν ἐμὴν ἀπόλειψιν περιμένουσα.

Θεοδώρῳ.

ἤ Ιθελον καὶ πυθέσθαι, ὅπως ἡμῖν τοῦ σώματος ἔχεις. ἐπειδή σοι τοῦτο καὶ μόνον ἐνοχλεῖ. τὰ γὰρ τῆς ψυχῆς ἀμείνω καὶ θειότερα πέφυκε. κἂν εὐξαίμην οὕτως ἔχειν ἑτέρους. ὥστε εὐδαιμονέστερον ἐντεῦθεν εἶναι τὸν χρόνον. γράφε οὖν ὁσάκις ἐνδιδῶσι τὸ νόσημα, καὶ πότε ἢ ὅσον νενίκηται. καὶ ὅπως παρεχώρησε ταῖς ἡμετέραις εὐχαῖς. τὸν δὲ ἑταῖρον ἀρχέλαον ἐκ τῶν ὑμετέρων γραμμάτων ἔχω δι' εὐνοίας ἀεί. μεγάλην σύστασιν ἠπιστάμενος ἐπιστολὴν ἀνδρὸς ἀγαθοῦ.

Ἰλασίῳ.

ἆ Ρα μὴ λέληθα ἐμαυτὸν εἰς παροιμίαν ἐλθών, καὶ γέγονα λύκος χανὼν διακενῆς; ἢ τίς ἂν πιστεύσειε ταύτην ἐπ' ἐμὲ τὴν παροιμίαν ἰσχύειν, ὅτε ὑμεῖς αὐτὴν προσδοκίαν ἐποιήσατε, συζεύξαντες τὰ ἆθλα τοῖς ἐπιτάγμασιν. εἰ μὲν οὖν ὡς ἐχρῆν ἠγωνισάμεθα, πάλαι μὲν προσαιτοῦμεν τὴν δωρεάν. εἰ δ' ἧττον ὧν ἐξελέξαμεν ἢ νομίζομεν

ἀλλ' οὐ χεῖρον ἠβουλήθη μὲν ἢ πρὶν ἐφάνη μέν. βουλήσει δὲ ἴσως ἅπαντα κρίνεται. ἀπόδοτε τὴν σύνταξιν ἀνθρώποις ἢ δυναμένοις ἢ βουλομένοις. καὶ δότε πρόφασιν ὑμνῆσαι τὴν φιλότιμον καὶ σοφωτάτην ἀρχήν. αὐτοὶ πρὸς ἕκαστον ὑφηγούμενοι τῶν πεπραγμένων.

Ἀζυγίῳ.

δ Ος μοι τὰς ὑποσχέσεις ἢ μᾶλλον ἀπόδος. λέγω δὲ ἀπόδος, οὐ κατὰ τὸν τῶν ὑποσχέσεων νόμον, ἀλλ' ὅτι τὸ θεραπεύειν ἡμᾶς, ὡς ὄφλημα σαυτὸν ἀπαιτεῖς. καὶ περὶ ὧν ἤδη τυγχάνω δεηθεὶς ἐπίστειλον ἀκριβῶς. ὡς ὅτι τὸ θέρος ἐκδίδωσιν ἢ θαῤῥεῖν δεῖ ἡμᾶς ἢ δραμεῖν πρὸς ἡμᾶς.

Ῥωμύλῳ.

ε Κ μὲν τῆς ἤδη γραφείσης ἐπιστολῆς, καὶ περιττὸν εἶναί σε διὰ τῆς προθυμίας ἐνόμισα. χρόνου δὲ ἐγγενομένου καὶ πεμφθέντος οὐδενὸς ὧν προσεδόκησα, γράφειν εὐθὺς ἐγκλήματα πικρὸν ἡγησάμην. παρακαλῶ δὲ ἔτι, σπεῦσον. ἢ πάντως ἔλπις τὰ ἐγκλήματα.

Φιλοξένῳ.

ϛ Οὔ τ' ἐστὶ παλαιὸς ἐραστής. τοῦτο ῥήτωρ δεξιός; οὔτε πρότερος οὔτε δεύτερος ἐπέστειλας. καίτοι φιλοῦντός τε ἦν καὶ ἱκανοῦ λέγειν. μαρτυρῶ παρ' ἡμῖν τὸ πέμπειν ἐπιστολάς. τί οὖν τοῦτο ποιεῖς. ἀποκνεῖς γράφων. εἰ μὴ καὶ τοῦτό με ζημιοῖς. ἀλλ' ἐν ταὐτῷ καὶ σεαυτὸν ἀδικεῖς καὶ ἐμέ. σεαυτὸν μέν, κυρίαν ἐῶν κατὰ σοῦ τὴν αἰτίαν. ἐμὲ δὲ μὴ δὲ ὑπὲρ ὧν ᾐτιασάμην ἀπολογίας ἀξιῶν.

Πλακιδιανῷ.

ζ Δὴ σοι γράψας ἐπιθυμοῦντι, τὸ μὲν ἡδέως δεχθῆναι τὴν ἐπιστολὴν παρὰ τοῦ κομίσαντος ἔμαθον. παρὰ σοῦ δὲ οὐδέν. ὥστε ὀξέων μὲν οὐκ ἀπεκείνω, συμβουλεύω σε ἔτι μὴ γράφειν. ἐπεὶ

δὲ καὶ

δὲ καὶ ὁ νῦν αἰτήσας ἀπὸ τῶν ὁμοίων ὢν περ καὶ ὁ πρότερος ἤτει πάλιν συγγράφω. τὴν δὲ ἐγκαλοῦσαν οὐ πέμψω.

Εὐτοκίῳ.

π Ρὸς σαυτοῦ καὶ τῆς παλαιᾶς φιλίας ἡμῶν, οὐ δικαίως σοι γράφων, ἀναισχυντεῖν; ἀνδρὶ μὴ δὲ εἰδέναι μου βουλομένῳ τὰ γράμματα; ἀλλ' ἔτι μὲν ἐλπίζων μεταθήσειν ὑμᾶς καὶ ἐπὶ τοῦ παρόντος ἐπεστάλκειν. ἀποτυχὼν δὲ νῦν αὖθις, ἀναιδὴς οὐκ ληθήσομαι. τοῦ Μοδέστου δὲ πολύν τινα ἔπαινον ὑπὲρ σοῦ κινοῦντος παρὰ πολλοῖς, ἀναγκαῖον ἡγησάμην καὶ δι' αὐτοῦ, καθάπερ διὰ τῆς ἐπιστολῆς, ὑμῖν ὁμιλῆσαι.

Λεοντίῳ.

ε Ιχον μὲν τινὰ λύπην ἄχρι τοῦ παρόντος καὶ δικαίαν πρὸς σέ. τὴν δὲ αἰτίαν ἀγνοεῖς. εἰ δὲ ἀγνοεῖς, ἀναμνήσω. γεωργοῖς ὁμοίοις ἐβοήθεις ἀδικοῦσιν ἐμέ. παυσάμενος οὖν τοῦ λυπεῖν, ἐπανήγαγες αὖθις εἰς τὸ φιλεῖν. φιλήσω δὲ ἔτι μᾶλλον ἐγώ, εἰ μελήσειέ σοι τῶν ἐμῶν ἀλλὰ μὴ τῶν ἀδικούντων ἐμέ.

Δημοφίλῳ.

α Ρχες μὲν εὐτυχῶς. εὐτυχήσεις δὲ ὢν ἀγαθός. ἐπεὶ καὶ φιλεῖ τὸ θεῖον τοὺς ἀγαθούς. τὸ δὲ μεμνῆσθαι τῶν φίλων, εἴπερ ἄλλο τι καὶ τοῦτο βέβαιον παρὰ σοί. ἀλλὰ τῶν πραγμάτων ἀφελκόντων εἰς λήθην, ἔδωκα διπλῆν ἀνάμνησιν ὧν παρεκάλεσα καὶ τὸν ἐπιδιδόντα καὶ τὸ διδόμενον.

Ἀραβιανῷ.

η Μὲν ἐπιστολὴ γέγραπται παρ' ἐμοῦ. τὴν χάριν δὲ οὐκ αἰτῶ μόνος ἀλλὰ πολλοὶ δέχονται μετ' ἐμοῦ. σκόπησον οὖν ὅπως μήτε τὴν ἐπιστολὴν τοῖς αἰτήσασι καταλίπωμεν. μήτε οἱ δεηθέντες ὑμῶν ἀποτύχωσι δι' ἐμοῦ.

α' Νδρα ἐπιεικῆ καὶ παρὰ τοῦ ὄντως αὐτῆς μαρτυρούμενον, τὸν ἀναγνώστην Οὐλπιανὸν, εὐτυχησάτω τὸ μέγεθος τὸ σόν. καὶ δι' ὑμᾶς μὲν ὡς ἐγνωσμένους δεξιῶς, δι' ἐμὲ δὲ ὡς ἱκανὸν εἶναι νομίζοντα περὶ ὧν ἐπιστέλλω περὶ ὑμῖν. ἡ δὲ τῆς δυσχερείας αἰτία, φιλοπράγμονος ἀντιδίκου καὶ ἀποδιδόντος ἐπηρεάζειν ἐλευθέροις.

Ἀνθεμίῳ.

ὀ Υπαύσομαι γράφων ἕως ἂν ἀπείπωμεν, ἐγὼ μὲν γράφων, αὐτὸς δὲ ἐνοχλούμενος. ὅπως ἂν καὶ μάθω βεβαίως εἰ δεῖ με περὶ ὧν ἐδεήθην τὰς ἐλπίδας τηρεῖν, ἢ μᾶλλον ἀπολαβεῖν.

Νείλῳ.

σ Υνὼν μὲν ἐλύπεις. ἀποδημῶν δὲ νῦν ἀδικεῖς. τῶν γὰρ ἐν τῇ συνουσίᾳ τερπνῶν ἀποστερεῖς. ἀλλὰ μὴν καὶ γράφων ἐγγύου βαρύτερος. τὸ γὰρ ἡδὺ τῆς ἐλπίδος ἀνῄρηκας. ὥστε οὐκ ἂν ἔχοις εἰπεῖν, ὥστε ἡμᾶς οὐκ ἠνίασας.

Καλλιοπίῳ.

μ Εἶζόν με λυπεῖς, ὧν ὠφέλησας οὐ γράφων ἐξ ὅτου ὠφέλησας. ὥστε εἰ τὸ τυχεῖν ἀγαθῶν, τοὺς ποθουμένους παρασκευάζει σιγᾶν, κινδυνεύω μᾶλλον ἀγαπᾶν τὴν βραδυτῆτα τοῦ τάχους, εἰ μέλλοιεν συνησιώτεροι φοιτηταί, διότι μὴ ταχὺ χαρίζονται, συχνότερον ἐπιστέλλειν. τοῦτο μὲν οὖν ὦ μουσικώτατε μὴ παύσῃ ποιῶν. μηδὲ ἀφαιροῦ με τοῖς ἐμοῖς καρποῖς ἐντυγχάνειν, ὑμετέραις ἐπιστολαῖς. ἃ δὲ ὑπὲρ ἐμοῦ πρακτέον, ἀφίημι τῷ θεῷ καὶ ὑμῖν. ὡς ἂν μὴ δοκοίην ἀπειρόκαλος εἶναι, περὶ τῶν αὐτῶν πολλάκις διαλεγόμενος.

Σεβήρῳ.

Σεβήρῳ.

ὁ Υ̓́τε πατὴρ οἷός τε εἶναι μισῆσαι τοὺς ἐξ αὐτοῦ φύντας, οὐδέποτε, καὶ παιδευτὴς ἀμείνων ἔοικεν εἶναι πατρός. ὁ μὲν γὰρ ἐν ἡδονῆς τύχῃ παῖδα ποιεῖται. ὁ δὲ ἐν προαιρέσει τέχνης, ἀγαθοὺς εἶναι περισπουδάζει. μηδὲ οὖν θαρρῶν ὡς ἀγαπῶσι κατὰ τὸν ἀμείνω πατέρα τὸν τῆς τέχνης. καὶ μηδέποτε μικροψυχίας ἄλλως. εἴτις ἄρα καὶ γένοιτο. ἐπεὶ καὶ πατέρες οἱ τῆς φύσεως, ἐνίοτε παραλυποῦσι τοὺς παῖδας, ἀλλ' οὐκ ἔτι καὶ πολεμοῦσιν ἀλλήλοις.

Φιλοξένῳ.

ε̃ Ὑ πρᾶττε φίλων ἄριστε καὶ ῥητόρων. οὕτω γὰρ ἐγὼ διατελῶ περὶ σοῦ, τὰ μὲν εὐχόμενος, τὰ δὲ προσδοκῶν. καὶ σὺ μὲν ὅτι μέμνησαι φίλων καὶ σπουδάζεις ὑπὲρ ἡμῶν, εἰσὶν οἱ δεῦρο ταῦτα συνεχῶς ἀπαγγέλλοντες. προστίθει δὲ τούτοις τὸ λεγόμενον καὶ δίδου συνεχῶς ὑμετέραις ἐντυγχάνειν ἐπιστολαῖς.

Εὐσταθίῳ.

ὁ Γράφων ἐγὼ τὴν ἐπιστολὴν, φίλος ὑμῖν. ὁ κομίζων φίλος ἐμοὶ γένοιτο τοίνυν καὶ σοὶ δι' ἐμέ. καὶ γνωσθῆναι αὐτοῦ θᾶττον, ποδαπός τις εἰμί. φίλους εἰσάγων τοῖς φίλοις. ἐφ' οἷς δὲ ἥκει καὶ ὅπως αὐτὸν χρὴ διαθεῖναι, τὰς μὲν αἰτίας αὐτὸς διηγήσεται. πρὸς δὲ τὸ δεύτερον ὑμεῖς ὑφηγήσασθε καὶ φιλοῦντες ἄγαν καὶ φρονοῦντες ἱκανῶς.

Ἰωάννῃ.

ἀ Εἰ μὲν φόβος ἡγεῖταί μοι τῆς πρὸς ὑμᾶς ἐπιστολῆς. θεραπεύει δὲ αὐτὸν ἡ πραότης ἡ περὶ ὑμῖν. γράφω τοιγαροῦν τῆς εἰς ὑμᾶς ἐλπίδος ἀντεχόμενος, ὥσπερ οἱ κυβερνῆται βλέποντες εἰς τὸν ἀπευθύνοντα τῶν ἀστέρων. ἐπεὶ οὖν καὶ ὑμεῖς οὕτω καταλάμπετε, μένετε καὶ οὕτως εὐεργετοῦντες.

κ Αἱ προθυμίαι καὶ προσδοκίαι, οὐ μικρὰ παρῆν μοι. πρῶτον μὲν ἰδεῖν ὑμᾶς. ἔπειτα δὲ καὶ εἰπεῖν εἰς ὑμᾶς. ἀλλὰ τὸ μὲν πρότερον ἐν ὑμῖν. τὸ δὲ δεύτερον ἐν τῇ πόλει κἀμοί. μᾶλλον δὲ καὶ τοῦτο ἐν ὑμῖν. οὐ γὰρ δὴ μικρὸν κώλυμα εἰς πανήγυριν, πόλις ἀθυμοῦσα. καὶ παιδευταὶ μετριάζειν οὐκ ἀνεχόμενοι.

Ἑλιαδίῳ.

μ Ια πρὸς ἡμᾶς ἐπιστολὴ παρὰ σοῦ· παρ' ἐμοῦ δὲ ἔτι πρὸς ὑμῖν ἀποδέδωκεν, αὕτη τετάρτη. πρᾶττε τοίνυν καλῶς καὶ μέμνησο τῶν φίλων. κἄν τι σε δεξιὸν περιστῇ, γράφε πρὸς ἐρῶντα μαθεῖν.

Πλακιδιανῷ.

ὁ Πρότερον πιστεύσας σοι δι' ἐμὲ, νῦν ἐμὲ μέμφεται διὰ σέ. λῦσαι οὖν τὸ χρέος. ἵνα μὴ κἀγώ σοι μέμψωμαι δι' ἐκεῖνον.

Σαλβιανῷ.

τ Ας ἐπιστολὰς οἱ τὴν ἀρχὴν εὑρόντες, δοκῶ μοι διὰ πρόσρησιν εὗρον. πραγμάτων δὲ ἴσως ἐγγινομένων, παρηκολούθηκέ τι καὶ νεώτερον ὑπὲρ αὐτῶν ἐν ταῖς ἐπιστολαῖς διαλέγεσθαι. οὐκοῦν εἰ μὲν ἐμπέσοι πράγματα, ἢ μακρολογεῖν ἀνάγκη. τούτων δ' ἀπόντων πῶς αὖτις χαρίσαιτό σοι μακροτέρας ὁμιλίας ἐρῶντι. καλῶ γὰρ ὁμιλίαν καὶ τὴν ἐν τοῖς γράμμασιν· οὐδὲν πολὺ συνουσιῶν διαφέρουσαν.

Ἰσείῳ.

ε Ιτα ὦ σοφώτατοι τῶν ἐν τῇ γῇ, χρήματα μὲν αἰτήσας ἔλαβον ἂν καὶ ῥαδίως. ἐπιστολὴν δὲ ὑμετέραν ἰδεῖν, πολλάκις μὲν εὐξάμενος, πολλάκις δὲ ἱκετεύσας, ἀνάξιος εἶναι τοῦ τυχεῖν ὑποπτεύομαι; καί τοι φιλῶ μὲν ὡς ὀλίγοι, τιμῶ δὲ ὑπὲρ τοὺς ὀλίγους.

Ἡσυχίῳ.

ε Τῷ καὶ συγκήδομαι καὶ τιμοθέου. σοῦ μὲν ὡς μὴ ἀδικοίης τιμοθέῳ δὲ ὡς μὴ ἀδικοῖτο. εἰ δὲ καί σοι δοκεῖ μετὰ πλάτωνος τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι μεῖζον εἶναι κακόν, ἔοικά σοι μᾶλλον ἢ τούτῳ χαρίζεσθαι, δεόμενος ὑπὲρ αὐτοῦ πραττομένου δίκας ὑπὲρ ὧν οὐκ ἐξήμαρτε.

Σεργίῳ.

π Ὁ λαλῆς ἐνέπλησέ με φροντίδος κομίσας τὶς περὶ ὑμῶν ἀπαγγελίαν ἐπαχθῆ. καίτοι τὰ βελτίω προσεδεχόμην ἀκούειν. πέμψον οὖν θᾶττον ἐπιστολὴν περιμένοντί μοι συνδιατεθῆναι τοῖς γραφομένοις.

Λεωνίδᾳ.

ϛ Ῥώσο. τοῦτο χαῖρ᾽ ἐγώ σοι συνεύχομαί σοι. καὶ ἀκοῦσαι περὶ σοῦ. καὶ ὅτι τοῦτό σοι παρ᾽ ὑμῖν ἐπιστέλλῃς, οὐ μικρὰν ἔχειν δωρεὰν ἡγοῦμαι παρὰ τῆς τύχης.

Καλλιοπίῳ.

τ Οἷς σοῖς ἁπάντων ἀεὶ καὶ ὅπως ἔχεις ἐρωτῶ. εἴ του δέονται μὴ σιγᾶν ἀπαιτῶ. λεγόντων δὲ ἀμφότερα, σὲ μὲν ὑγιαίνειν, αὐτοὺς δὲ χρῄζειν οὐδενός, χαίρων ἐγὼ δικαίως ἀπέρχομαι.

Σεργίῳ.

σ Φόδρα μὲν σου περιεπτυξάμην τὰ γράμματα φιλοσοφοῦντα καὶ παραινοῦντα. γίνωσκε δὲ ὡς οὐδὲν οὔτε τῶν καιρῶν οὔτε τοῦ συμφέροντος ἰσχυρότερον.

Μοπερνίῳ.

η Αἰ βραχέα τῷ μεγέθει σου γράφων, ὅτι φιλῶ σε μέμνημαι δείκνυμι. ποιῶν δὲ καὶ αὐτὸς ὥσπερ ἐγώ, τοῦτο δείξεις ὅπερ ἐγώ.

Αἰγυπτίῳ.

θ Ἴδε καὶ τὰς ὑπερηφάνους τῶν ἑταιρῶν οὕτω ποιούσας σε πάντα ἐπιτάττειν βουλομένας τοῖς ἐρασταῖς. ἀλλ᾽ ἐκεῖναι μὲν ἴσασι καὶ θεραπεύειν ὅταν κελεύωσι. σὺ δὲ λαΐδα τινὰ κορινθίαν ἀπομιμῇ, κελεύων μὲν ἑτοίμως, ὑπακούων δὲ οὐδὲ μόλις.

τ Ον οἶνον τὸν κνίδιον φασὶν οὕτω πολὺν ἔχειν ὑμᾶς, ὥστε καὶ ἐπὶ γήρως αὐτὸν διατίθεσθαι. ἡμεῖς δὲ οἱ τὴν σύρον οἰκοῦντες, ἄλλας μὲν εὐτυχοῦμεν ἀμπέλους. τὰς δὲ παρ' ὑμῖν μακαρίζομεν, οὐ τῶς εὐδαιμονέστερον, ὅτι καὶ ἀναγκαιότερον. πέμψατε οὖν μοι κεράμους ἀρκοῦντας εἰς ἔτος, ἢ ληψόμενοι τὴν τιμὴν ἢ χάριν αὐτὶ χάριτος ἀπαιτήσοντες.

Ἀβραμίῳ ἐπισκόπῳ.

ἔ Δεῖ πρὸς ἄνδρας ἀρετὴν τοὺς μέλλοντας γράφειν, καὶ χρόνου μῆκος περιζητεῖν, καὶ δύναμιν λόγων ἀξίαν εὑρεῖν. ἁμάρτημα γὰρ οὐ φορητὸν, τοιούτοις πράγμασιν ἐγχειρεῖν. ἀφ' ὧν καὶ τὰ τῆς προπετείας ἐλέγχεται, καὶ τὰ τῆς ἀρετῆς ἐκ τῆς μικρολογίας ὑβρίζεται. τοῦτο τοίνυν ἡμῖν καὶ τὴν ἀναβολὴν πεποίηκε, καὶ τὸ δοκοῦν ἔγκλημα περιέθηκε. φίλων γὰρ ἐδόξαμεν ἀμνημονεῖν πρὸς αὐτοὺς μὴ δὲ γράμμασι φανέντες. γνοὺς τοίνυν τὴν αἰτίαν καὶ σκοπῶν τὴν φιλίαν, μὴ παντελῶς τὴν ἐμὴν ἀβέβαιον νομίσῃς διάνοιαν. οὐδὲ γὰρ οὐδὲ αὐτὸς οἶμαι, τὴν τοιαύτην κακίζειν ἐπείγῃ προαίρεσιν, ἥτις μικρᾶς γοῦν ἀσφαλείας πεφρόντικεν. εὔχου τοίνυν περὶ ἡμῶν. τοῦτο γὰρ κἀμοὶ ποθεινὸν καὶ σωτήριον. καὶ σοὶ προσφιλὲς ἅμα καὶ νόμιμον.

Διονυσίῳ. Ἐπισκόπῳ.

ἔ Λαβόν σου τὴν ἐπιστολὴν ὑγιαίνων. ἀντεπιστέλλω δέ σοι νασῶν. νοσῶ δὲ ἐκεῖνα τὰ εἰωθότα. ἐν οἷς ἀλγήματά τε οὐ φορητὰ τῶν ποδῶν, καὶ τὰ ἀπὸ τοῦ μὴ εἶναι καθεύδειν κακά. καὶ τὸ ἐρᾶν θανάτου. πρὸς ταῦτα εὐχῶν δεῖ τῶν ὑμετέρων. εὐχῶν δὲ λέγω τῶν ἐνθέων, τοῦ δυσωπεῖν τὸν θεὸν, ὡς ἐγὼ πολλάκις ἤδη καὶ

τὰ

τὰ κοινὰ καὶ τὰ ἴδια μαθητὴν ἀνεξόμενον. τοιοῦτον ἐστὶν ἁμαρτίας βαρεῖαι τε καὶ πολλαί. εἰ δέ τι παρ᾽ ὑμῖν εὕρηται τοιοῦτον ὃ δύναιτο ἂν ἐς καὶ μὴ τὸ πᾶν ἀνελεῖν τῶν πόνων, ἀλλ᾽ ἀφαιρεῖν μέρος, πέμπε τάχιστα. καὶ βοήθει φίλου σώματι.

Εὐσεβίῳ.

κ Αἱ τῶν ἵππων λέγουσι τοὺς ἀρίστους, ἐπειδὰν εἰς ἀγῶνα ἔλθωσιν, εἶναι τὰ τελευταῖα βελτίους ἢ τὰ πρῶτα τῶν δρόμων. ὃς ὁ καλὸς Ἀκυλῖνος, φιλοτιμότερος ἐστὶν ἐν τοῖς πόνοις νῦν μᾶλλον, ἢ πάλαι. ὃς προθυμεῖται μὲν οὐδὲν εἶδος ἀγνοῆσαι παιδείας. τοὺς δὲ περὶ αὐτοῦ παλαιοὺς ἔπεισε ὑποδεῖξαι μικρούς. αἱ τοιαῦται δὲ τῶν νέων ἐπιθυμίαι, βιβλίων ἐπιδέονται πλήθους. τοῦτο δ᾽ οὐκ ἂν γένοιτο εἰ μὴ παρείη χρυσός.

Ἰουλιανῷ.

ε Πεπεδήμηκέ τις ἡμῖν ἐκ τῆς ὑμετέρας. καὶ τὸν υἱὸν ἐπαγόμενος ἐπὶ λόγους. ἐγὼ δὲ ἰδὼν ἄνδρα λίαν εὐτρεπῆ τῷ ὡς ἂν τύχῃ τοῖς ἀπαιτοῖς ἀγόμενον, ἠρώτων τί τοὔνομα εἴη τῷ ξένῳ. τῶν παρόντων δέ τις εἰδέναι δοκῶν, Μακάριος ἔφησεν. ἐγὼ δὲ ὡς ἤκουσα τὸ, Μακάριος, πάνυ γε ἔφην, εἴπερ οὐκ ἐπεδήμησεν.

Τῷ αὐτῷ.

ε Πέστειλά σοι γαμοῦντι. καὶ συγγνώμην ἔχω μετὰ τὸν γάμον σιγῶντι. οὐδὲ γάρ ἐστιν ὡς ἔοικεν οὐδενὶ παρρησία, δεδεμένῳ γυναικείαις ἀπάταις.

Ῥούφῳ σχολαστικῷ.

λ Ὅπως ἐστὶ παλαιός. μὴ ῥᾳδίως Κίλικας ἀληθεύειν. καὶ δέδοικα μὴ Κιλικίαν ἰδὼν, ἐκοινώνησας αὐτῇ τῶν τρόπων. τοῦ γὰρ τὰ γράμματα. τοῦ δὲ τὸ συνεχῶς ἐπιστέλλειν. ἢ οὐχ αὕτη μὲν ἦν ἡ ὑπόσχεσις, μεμένηκε δὲ λόγος ὑπόθεσις ἐμὲ μὲν λυπεῖσθαι τεῶν. σὲ δὲ Κίλικα δεικνύων.

ΛΥΣΙΔΟΣ ΠΥΘΑΓΟΡΕΙΟΥ

Ἐπιστολὴ πρὸς Ἵππαρχον.

Ἐπεὶ τὸν Πυθαγόραν ἐξ ἀνθρώπων γενέσθαι, οὐδέποκα διασκεδασθήσεσθαι τὸ ἄθροισμα τῶν ὁμιλητῶν, ἐς τὸν ἐμαυτοῦ θυμὸν ἐβαλόμαν. ἐπεὶ δὲ παρ' ἐλπίδας ὥσπερ ἀπὸ ναὸς μεγάλας φορτίδος ἐν ἐρήμῳ πελάγει λυθείσας, ἄλλος ἄλλοσε φορεύμενοι διεσπάρημες, ὅσιον κἀμὲ μνασθῆ τῶν τήνου θείων καὶ σεμνῶν παραγγελμάτων μὴ δὲ κοινὰ ποιεῖσθαι τὰ σοφίας ἀγαθὰ, τοῖς μηδ' ὄναρ τὰς ψυχὰς κεκαθαρμένοις. οὐ γὰρ θέμις ὀρέγειν τοῖς ἀπαντῶσι τὰ μετὰ τοσούτων ἀγώνων περιωθέντα. οὐδὲ γὰρ βεβάλοις τὰ ταῖν Ἐλευσινίαιν θεαῖν μυστήρια διηγεῖσθαι. κατ' ἰσότητα δὲ ἄδικοι καὶ ἀσεβέες ἀμφότεροι οἱ ταῦτα πράξαντες. καλὸν δὲ ἀναλογίζεσθαι ὅσσον χρόνου μᾶκος διαγαγόμες ἐκμετρήσαντες, ἀπορρυπτόμενοι σπίλους τοὺς ἐν τοῖς στάθεσιν ἡμῶν ἐγκεκολαμμένους. ἕως πέντε διελθόντων ἐτέων, ἐγενόμεθα δεκτικοὶ τῶν τήνου λόγων. καθάπερ γὰρ οἱ βαφεῖς προεκκαθάραντες ἔστυψαν τὰ βάψιμα τῶν ἱματίων, ὅπως ἀνέκπλυτον τὰν βαφὰν ἀναπίωντι, καὶ μηδέποκα γενησομέναν ἐξίτηλον, τὸν αὐτὸν ὁ δαιμόνιος τρόπον ἀνὴρ, παρεσκεύαζε τοὺς φιλοσοφίας ἐρασθέντας, ὅπως μὴ διαψευσθῇ περί τινα τῶν ἐλπιζομένων ἐσεῖσθαι καλῶν κἀγαθῶν. οὐ γὰρ κιβδήλους ἐνεπορεύετο λόγοις. οὐδὲ πάγας αἷς πολλοὶ τῶν σοφιστῶν τὼς νέως ἐμπλέκοντι, περὶ οὐδὲν κρήγυον σχολάζοντες. ἀλλὰ θείων τε καὶ ἀνθρωπίνων πραγμάτων ἦς ἐπιστάμων. οἱ δὲ, πρόσχημα

ποιησά

μ

ποιησάμενοι τὰν τήνου διδασκαλίαν, πολλὰ καὶ δεινὰ δρῶντι σοφιστεύοντες οὐ κατὰ κόσμον, ᾧ δὼς ἔτυχε τὼς νέως. τοιγαροῦν χαλεπούς τε καὶ προαγέας ἀπεργάζονται τοὺς ἀκούοντας. ἐγκιρνᾶντι γὰρ ἤθεσι τεταραγμένοις τε καὶ θολεροῖς θεωρήματα καὶ λόγους ἐλευθέρους. καθάπερ εἴ τις εἰς φρέαρ βαθὺ βορβόρου πλῆρες ἐγχέαι καθαρὸν καὶ διειδὲς ὕδωρ, τόν τε βόρβορον ἐτάραξε καὶ τὸ ὕδωρ ἠφάνισεν, ὁ αὐτὸς δὲ τρόπος τῶν οὕτω διδασκόντων τε καὶ διδασκομένων. πυκιναὶ γὰρ καὶ βαθεῖαι λόχμαι περὶ τὰς φρένας καὶ τὴν καρδίαν ἐμπεφύκαντι τῶν μὴ καθαρῶς ὀργιασθέντων, πᾶν τὸ ἅμερον καὶ πρᾶον καὶ λογιστικὸν ἐπισκιάζουσαι προφανῆ μὲν αὔξησιν. ἐγκατα δεδύκαντι δὲ τᾷ δάσει τούτᾳ παντοῖαι κακότητες ἐκνοσηόμεναι καὶ κωλύουσαι καὶ μηδαμῶς ἐῶσαι προκύψαι τὸν λόγον. ὀνομάξαιμι δὲ πρῶτον ἐπελθὼν αὐτῶν τὰς ματέρας, ἀκρασίην τε καὶ πλεονεξίαν. ἄμφω δὲ πολύγονοι πεφύκαντι. τᾶς μὲν οὖν ἀκρασίας ἐξεβλάστησαν ἄθεσμοι καὶ μέθαι καὶ φθοραί. καὶ παρὰ φύσιν ἡδοναί. καὶ σφοδραί τινες ὁρμαὶ μέχρι θανάτων καὶ κρημνῶν ἐκδιώκουσαι ἤδη γάρ τινας ἠνάγκασαν ἐπιθυμίαι, μήτε ματέρων μήτε θυγατέρων ἀποσχέσθαι. καὶ δὴ παρωσάμεναι νόμον καὶ πατέρα καὶ πόλιν καὶ τύραννον, ἐκπεριαγαγοῦσαι τοὺς ἀγκῶνας, ὡς αἰχμαλώτους ἐπὶ τὸν ἔσχατον ὄλεθρον μετὰ κίας ἄγουσαι κατέστασαν. Τᾶς δὲ πλεονεξίας ἐκπεφύκαντι, ἁρπαγαί τε καὶ πατροκτονίαι ἱεροσυλίαι. φαρμακεῖαι. καὶ ὅσα τούτων ἀδελφά. δεῖ ὦν τό γε πρᾶτον τὰς ὕλας, τόσσ', ἐνδιαιτῆται ταῦτα τὰ πάθη, πυρὶ καὶ σιδάρῳ καὶ πάσαις μηχαναῖς ἐκκαθάραντα, καὶ ῥυσάμενον τὸν λογισμὸν ἐλεύθερον τῶν τοσούτων παθέων, τοτηνίκα φυτεύοντά τι χρηστὸν αὐτῷ παραδιδόμεν. Ἅπερ ἔμαθες μὲν Ἵππαρχε μετὰ σπου-

θᾶς, οὐκ ἐτήρησας δ' ὦ γεννάδα γευσάμενος σικελικᾶς πολυτελείας· ἇς οὐ χρῆν τυ γενέσθαι δεύτερον. λέγοντι δὲ πολλοί σε καὶ δαμοσίᾳ φιλοσοφεῖν· ὅπερ ἀπαξίωσε Πυθαγόρας· ὅς γε Δαμοῖ τᾷ αὐτοῦ θυγατρὶ τὰ ὑπομνάματα παρακαταθέμενος, ἐπέσκαψε μηδενὶ τῶν ἐκτὸς τᾶς οἰκίας παραδιδόμεν· ἁ δὲ δυναμένα πολλῶν χρημάτων ἀποδόσθαι τὼς λόγως, οὐκ ἐβουλήθη. πενίαν δὲ καὶ τὰς τῶ πατρὸς ἐπισκάψιας ἐνόμιζε χρυσοῦ τιμιωτέρας ἦμεν. φαντὶ δὲ ὅτι καὶ Δαμὼ θνάσκοντι Βιστάλιᾳ τῇ ἑαυτῆς θυγατρὶ τὰν αὐτὰν ἐντολὰν ἀπέσκαψεν. ἄμμες δ' ἄνδρες ἐόντες, οὐ γνησίως αὐτῷ ποτιφερόμεθα. ἀλλὰ παραβάται τῶν ὁμολογιῶν γινοίμεθα. εἰ μὲν οὖν μεταβάλοιο, χαρήσομαι. εἰ δὲ μή, τέθνακάς μοι.

Ἐπιστολὴ Ἀμάσιδος βασιλέως αἰγύπτου πρὸς Πολυκράτην ἄρχοντα σάμου φίλον αὐτοῦ τὰ πάντα εὐτυχοῦντα.

ἄ Ἄμασις Πολυκράτει ὧδε λέγει. ἡδὺ μὲν πυνθάνεσθαι ἄνδρα φίλον καὶ ξεῖνον εὖ πρήσσοντα. ἐμοὶ δὲ αἱ σαὶ μεγάλαι εὐτυχίαι οὐκ ἀρέσκουσι τὸ θεῖον ἐπισταμένῳ, ὡς ἔστι φθονερόν, καί κως βούλομαι καὶ αὐτὸς καὶ τῶν ἂν κήδωμαι, τὸ μέν τι εὐτυχέειν τῶν πρηγμάτων, τὸ δὲ προσπταίειν. καὶ οὕτω διαφέρειν τὸν αἰῶνα ἐναλλὰξ πρήσσων ἢ εὐτυχέειν τὰ πάντα. οὐδένα γάρ κω λόγῳ οἶδα ἀκούσας ὅστις ἕτερος οὐ κακῶς ἐτελεύτησε πρόρριζος εὐτυχέων τὰ πάντα. σὺ νῦν ἐμοὶ πειθόμενος ποίησον πρὸς τὰς εὐτυχίας τοιάδε. φροντίσας τὸ ἂν εὕρῃς ἐόν τοι πλείστου ἄξιον, καὶ ἐπ' ᾧ σὺ ἀπολομένῳ μάλιστα τὴν ψυχὴν ἀλγήσεις, τοῦτο ἀπόβαλε οὕτως ὅκως μηκέτι ἥξει ἐς ἀνθρώπους. ἤν τε μὴ ἐναλλὰξ ἤδη τὼ ἀπὸ τούτου αἱ εὐτυχίαι τοι αὐτοῖσι πάθεσι προσπίπτωσι, τρόπῳ τῷ ἐξ ἐμοῦ ὑποκειμένῳ ἀκέο.

ἀντὶ αὐ ἐναλλάξ

ἐς τέλος

πρόρριζος προθέλυμνος

Παγκρατίδῃ.

Αἱ ἐκ τῶν ἀπαγγελλομένων ἡμῖν περὶ σοῦ, καὶ ἐξ ὧν αὐτὸς ἐπέστειλας τοῖς υἱοῖς σου, τεκμαιρόμενος μὴ τὰ αὐτὰ τοῖς λαώδεσιν, ἀλλὰ περὶ οἰκεῖον ὅ δεῖ σε φρονεῖν περὶ φιλοσοφίας, προεθυμήθην κατὰ μὲν τὸ παρὸν, συνησθῆναί σοι ἐπὶ τούτοις. εἰς δὲ τὸ ἐπιὸν, συνεύξασθαι, μὴ ἐφ' ἕτερόν τι αὐτοὺς ἀποκλῖναι. τῆς οὕτως δὲ ἣν ἔχουσι νῦν πρόθεσιν ἄχρι τέλους φιλοσοφῆσαι. ἵν' αὐτοί τε διαπαλλάττωσι τὰ σε αὐτῶν ἐκ σοῦ ἔπαθον, ἀμείψασθαι δυνηθῶσι. δυεῖν γὰρ ὡς καθόλου εἰπεῖν οὐσῶν αἰτιῶν, παρ' ἃς ἄνθρωποι διατάκτως καὶ ὁ δὴ ζῶσιν, ἐμπειρίας τε καὶ ἐγκρατείας πῶς, ἂν δυναίμεθα ἢ πρὸς ἑαυτοὺς ἢ πρὸς ἑτέρους ποιεῖν τὰ δέοντα ὑπ' ἀγνοίας ἅμα καὶ ἀκρασίας κατεχόμενοι. ἡ μὲν οὖν τούτων ἀπόλυσις, ἀναγκαίως πάνυ ἔοικε τῶν ῥημῶν ἀπαιτεῖσθαι. πρὸς γὰρ τὸ τεταγμένως καὶ εὐσχημόνως ζῆν γεγόναμεν, τοῦ λόγου εἰς τοῦτο ἡμῖν καθαπερ ἐπισκόπου τε καὶ ἄρχοντος ὑπὸ τῆς φύσεως διδομένου. ἀπολυθῆναι μέντοι ἀγνοίας καὶ ἀκρασίας οὐχ οἷόν τε ἡμᾶς ἄνευ τοῦ ἐπιτρέψαι αὐτοὺς τῇ διὰ τοῦ λόγου ἰατρείᾳ. Προσελθοῦσα γὰρ αὕτη καὶ τὸ προσῆκον ἐν ἡμῖν ἐκ τοῦ παρὰ φύσιν εἰς τὸ κατὰ φύσιν ἀεὶ τρέπουσα, τὰς μὲν μοχθηρὰς τῶν κρίσεων καὶ ἐκ τῆς διαστροφῆς ἐγγενομένας, ἐπικόπτειν καὶ ἐξάγειν ἐκ τῆς ψυχῆς ἀεὶ πειρᾶται. τὰς δ' ὑγιεῖς καὶ ἀκολούθους τῇ φύσει ἀντεισάγειν. ἢ ἀσθενούσας ἀνακτᾶσθαι ἰσχὺν δὲ αὐταῖ καὶ εὐστάθειαν προσλαβοῦσαι, ὡς χρὴ ἡμᾶς ἐν ἅπασι τοῖς κατὰ τὸν βίον ὁδηγοῦσιν ὥστε καὶ ὁρᾶν ἀεὶ τὰ ἐπιβάλλοντα ἡμῖν, καὶ σύμφωνα οἷς ἐδοκιμάσαμεν πράττειν. τοιαῦτα δὲ οὐκ ἐπαγγελλομένης μόνον ἀλλὰ καὶ

παρεχούσης καὶ κατὰ τὴν ψυχὴν ἰατρείας, τίνα αὐτῆς δικαιότερον ἐπὶ τὸ βοηθεῖν τοῖς σοῖς παισὶν ἢ σὲ καλέσειεν; ἢ οὐκ εὐδαιμονεῖν μὲν αὐτοὺς προαιρῇ πατὴρ ὤν, ἑτοίμως δ' ἔχεις πᾶν ὁτιοῦν ὑποστῆναι, ἵνα αὐτοὺς ὁρᾷς ἐν ἀγαθοῖς ὄντας; ἢ οὐκ ἐπὶ ταῦτα καὶ ἐγέννησας αὐτοὺς καὶ ἀνεθρέψω; οὐ τοιαῦτα δὲ διηνεκῶς σὺ περὶ αὐτῶν εὔχῃ τοῖς θεοῖς; ἀρετῆς δὲ καὶ εὐσχημοσύνης βίου ἀντιποιούμενος, οὐκ ἂν ἐθελήσειας ὁρᾶν τοὺς ἑαυτοῦ παῖδας, εὐτάκτους μὲν ἐν ἐδωδαῖς καὶ πόσεσι, κρατοῦντας δὲ τῶν ὑπὸ τὴν γαστέρα ὡς πρὸς σπορὰν μόνον τέκνων, ὅταν εὔκαιρον ᾖ, τοῖς γεννητικοῖς μέρεσι χρῆσθαι, καὶ ὀλίγῳ μὲν ὕπνῳ πρὸς ἀνάπαυσιν ἀρκουμένους, ἐσθῆτι δὲ ἀπράγμονι καὶ μὴ ἐψδυσμένῃ, ἀλλὰ καθαρᾷ, καὶ πρὸς τὸ ἐκ τῆς φύσεως εἰς τὸ σκέπειν ἀπαιτούμενον ἡρμοσμένῃ ἠμφιεσμένους. βλέμμα δ' εἶναι καὶ βάδισμα αὐτῶν αἰδοῖ καὶ φρονήσει κεχαρακτηρισμένον, ὡς μὴ αὐτίκα θαρσῆσαι ἐπ' αὐτῶν ἢ ποιῆσαί τι ἢ εἰπεῖν ἄκοσμον. ἐν ἐντίμῳ δ' εἶναι αὐτοῖς ὁπότε βουληθεῖεν καὶ δεήσειεν ὅλῳ τε τῷ σώματι καὶ παντὶ μέρει αὐτοῦ εἰς ὃ πέφυκε χρῆσθαι; οὐκ ἂν δὲ ἐθελήσειας αὐτοὺς ἐπεσκεμμένους τὰ θεῖα καὶ τὰ ἀνθρώπινα, πρὸς μὲν θεοὺς εὐσεβείᾳ καὶ ὁσιότητι κοσμεῖσθαι, πρὸς ἀνθρώπους δὲ δικαιοσύνῃ καὶ ὁσιότητι; καὶ πατρίδα μὲν γονέων προτιμᾶν καὶ αὐτῶν τοῦτο βουλησομένων τῶν γονέων εἴπερ σωφρονοῖεν; γονεῖς δὲ τῶν οἰκείων καὶ συγγενῶν, αὐτῶν δὲ τῶν γονέων τῷ πατρὶ τὸ πρεσβεῖον ἀπονέμοντας, τὸ μὲν λυπεῖν ἢ μέμφεσθαι θάτερον αὐτῶν ἀσεβὲς ἡγεῖσθαι. τὸ δὲ ἀμείβεσθαι ὑπὸ τῶν προηγησαμένων εὐχαρίστῳ καὶ μνημονευούσῃ διαθέσει ἀναγκαῖον. ὡς ἂν μόνως οὕτως ἐκτίνειν δυναμένους παλαιὰς χάριτας ἐπὶ νέοις δανεισθείσας. ἑτοίμως δ' ἔχοντας ὑπερμαχεῖν αὐτῶν καὶ δι' αὐτοὺς εἰ δεήσειεν ἀποθνήσκειν.

ὁπότε

ὁπότε δὲ χαλεπήνειαν μὴ ῥήματα μόνον, ἀλλὰ καὶ πληγὰς καὶ τραύματα ἀπ' ὀργῆς οὐ διαθέσεως φερόμενα, πρᾴως ἐκδέχεσθαι· οὐχ ὑπὲρ ἑαυτῶν τότε, ἀλλ' ὑπὲρ τῶν γονέων εὐλαβῶς ἔχοντας, μὴ ἐκ τοῦ διατιθέναι αὐτοῖς τι κακὸν πάθωσι. τί δ' οὐκ ἂν ὑπομείνειας ὥστε πεισθῆναι περὶ αὐτῶν, ὅτι τὸν αὐτὸν μὲν οἰκήσουσι διὰ βίου οἶκον· ἑαυτοὺς δὲ καὶ τὰ ἑαυτῶν ἐν κοινῷ θέμενοι διατελέσουσιν ὁμονοοῦντες, ὡς καὶ σπουδαῖς καὶ ἀνέσεσι ταῖς αὐταῖς χρῆσθαι. ἢ ταῦτα μὲν ἐθελήσειας ἂν αὐτοῖς ὑπάρξαι. θανάτου δὲ καὶ πόνου καὶ δόξης οὐκ ἂν βούλοιο αὐτοὺς ὑπεράνω εἶναι; οἷς ὁ πολὺς καταδεδουλωμένος ὅποι ἂν ἀπίῃ τῶν δι' αὐτῶν κατισχύοντι, ὥσπερ τι ἄτιμον ἀνδράποδον ἄγεταί τε καὶ φέρεται. τὸ δὲ τῇ φύσει μὲν πολὺ, ῥᾳδιώτερον τῶν προτέρων· ἐν δὲ τοῖς καθ' ἡμᾶς χρόνοις, ὑπὸ τῆς ἐπὶ τοσαῦτα κατεχούσης διαστροφῆς γεγονὸς δυσχερέστερον. οὐκ ἂν εὔξαιο αὐτοῖς ὑπάρξαι, ὥστε μὴ ἀργυρίῳ αὐτοὺς πάντα μετρεῖν καὶ αὐτοὺς μᾶλλον καὶ γονεῖς καὶ τέκνα ἢ χρήματα προΐεσθαι. ἀλλὰ κτήσεως μὲν ἄν τι ποιεῖσθαι ἐφ' ὅσον ἀναγκαῖον, διὰ τὰς εἰς αὐτοὺς καὶ τοὺς οἰκείους αὐτῶν χρείας. θησαυρισμοῦ δὲ καὶ τοῦ πλείονος παρὰ τὸ ἀρκοῦν ὑπερφρονεῖν. ὑφ' ὧν ἰδίᾳ τε καὶ κοινῇ εἰς κακὰ ἐπάλληλα καὶ ἀνήκεστα ἄνθρωποι ἐκτρέπονται. ἀλλὰ ταῦτα μὲν εὐκτά. οὐκ ἐπίσης δ' εὐκτὸν τὸ, τι ἄρχειν αὐτοὺς καὶ δικάζειν δύνασθαι κατὰ νόμους καὶ τὸ δίκαιον; καὶ τὸ συμφωνοῦντας ἑαυτοῖς τε καὶ ἀλλήλοις καὶ ἐν οἷς πράττουσι καὶ ἐν οἷς λέγουσι, τὸν μὲν βίον ἔχειν ἀεὶ προαιρησόμενον τοὺς λόγους. τὸν δὲ λόγον ἐννοῶν καὶ τῷ φρονεῖν τὰ ἄριστα βεβαιούμενον. καὶ εἰς προφορὰν ὅταν ᾖ καιρὸς ἐντεινόμενον. καὶ τὸ ἀνδρίζεσθαι, ἐπειδὰν ὑπὲρ μάχεσθαι μέλλωσιν ἱερῶν. πατρίδος. γονέων. φίλων. ἀληθείας. νόμων. καὶ συλλαβόντι εἰπεῖν τῶν ἀδικουμένων. οὔτε γὰρ σὲ οὔτε ἕτερόν τινα

οἴομαι, εἴπερ εὖ φρονοίη, ὡς πολιτικὸν δοκιμάζειν λόγον τὸν μὴ εἰς ταῦτα, ἀλλ' εἰς τἀναντία ἐντεινόμενον. εἰ τοίνυν καὶ δίκαια ταῦτα καὶ αἱρετά, πῶς οὐ καὶ τὸ φιλοσοφεῖν θείη ἄν τις καὶ δίκαιον καὶ αἱρετόν· δι' οὗ μόνου περιγίνεται ταῦτα. φιλοσοφεῖ μὲν γὰρ ὁ ὑπὲρ καθάρσεως τοῦ λόγου ἐπιμελούμενος· καὶ ἐπιτηδεύων λόγον ὀρθόν. ὁ δ' ἐπιμελούμενος λόγου, ἑαυτοῦ τε ἅμα ἐπιμελεῖται, καὶ πατρίδος καὶ πατρὸς καὶ ἀδελφῶν· καὶ φίλων· καὶ συλλαβόντι εἰπεῖν πάντων. θεωρὸς γὰρ ἡ φύσις κόσμου καὶ τῶν ἐν αὐτῷ κατασκευάσασα, διὰ τοῦ μεταδοῦναι ἡμῖν λόγου, κοινοῦ μὲν ὄντος πρὸς τούτους, ἰδίου δὲ παρὰ τὰ ἄλλα ζῷα, ἀξιοῖ ἡμᾶς τοὺς μὲν θεοὺς καθάπερ τινὰς ἀιδίους καὶ πρώτους ἡγεμόνας καὶ κοινοὺς εὐεργέτας τε ἡμῶν καὶ γονεῖς ζηλοῦν τε καὶ ἀμείβεσθαι, διὰ τῆς πρὸς αὐτοὺς εὐπειθείας· ἀνθρώπων δὲ καὶ κατὰ τὸ κοινὸν καὶ κατὰ τὰς ἰδιαίτερον γινομένας ἐπιπλοκὰς καὶ κηδεμονικῶς καὶ εὐποιητικῶς προΐστασθαι. Ἐπειδὰν δὲ νόμῳ καὶ δίκῃ συγκεράσωμεν τὰ ἀνθρώπινα καὶ τὰ θεῖα φησὶν ἄκρως μὲν κατὰ φύσιν ἡμᾶς διατεθήσεσθαι ἅτε τελείους γεγονότας. καὶ ἐπὶ τὰ ἄνω ταῦτα προελθόντας νόμον καὶ δίκην, οἷαν καὶ τὰ θεῖα οἰακίζεταί τε καὶ μακάρια γίνεται. τοιούτους δ' ὄντας διὰ τὴν τοῦ λόγου καὶ τοῦ κατ' αὐτὸν σχηματιζομένου ἤθους ὀρθότητα καὶ βιώσεσθαι εὐδαιμόνως καὶ καταστρέψειν τὸν βίον εὐδαιμόνως. ὥσπερ τι δρᾶμα εὖ συντεταγμένον ἀπ' ἀρχῆς μέχρι τέλους ἀεὶ ὑπηρειναμένους καὶ ἀπαρτίσαντας. Θαρρῶν οὖν ὦ Παγκρατίδη μὴ ἐπίτρεπε μόνον ἀλλὰ καὶ παρακάλει τοὺς παῖδας φιλοσοφεῖν. καὶ πᾶσαν ἁρμοδιωτάτην παρρησίαν παρασκεύαζε. ἐξέσται γάρ σοι τοιαῦτα προελομένῳ, καὶ πρὸς τοὺς ἐξ αἵματος ὑμῖν δικαίους ὄντας λέγειν, ὅτι οὐ τέκνα μόνον εἰς τὸ γένος, ἀλλὰ καὶ τοιάδε τέκνα εἰσήγαγες.

καὶ

καὶ πρὸς τὴν πατρίδα ὅτι οὐχ οἵους ἔτυχε μόνον αὐτοὺς αὐτῇ, ἀλλὰ καὶ οἵους δεῖ τελείους παρέστησας. εἰ δὲ θαρρήσετε κοινῇ τε πρὸς τὴν ἑαυτῶν τε καὶ ἀλλήλων θεραπείαν, ὡς ἄξιόν ἐστι διαναστῆτε τὰς ψυχάς, εὐθὺς μὲν ἐν τῇ ἀγωνοθεσίᾳ τοῦ θεοῦ συμφιλοσοφήσετε ἀλλήλοις, οὐ μόνον τὰ νομιζόμενα παρασκευάζοντες αὐτῇ, ἅπερ ἐκ βαλαντίου ψιλοῦ γίνεται, ἀλλὰ καὶ οὗ ἕνεκεν νενόμισται ἀκολουθοῦντες τῇ ἱερᾷ καὶ ἀρχαίᾳ παραδόσει. ὅπερ ἐκ μόνης τῆς εὐσεβοῦς καὶ φιλοσόφου περιγίνεται διαθέσεως. καὶ ἀπὸ τῆς ἐν τῷ ἀγῶνι εὐταξίας ἐπὶ τὸν κοινὸν ὑμῖν τε καὶ πᾶσιν ἡμῖν ἀγῶνα τραπήσεσθε οὐδὲν μὲν τῶν κατὰ φύσιν ἀφαιρησόμενον. μόνα δὲ τὰ λύπης καὶ θορύβου αἴτια ἡμῶν περισπάσοντα. ἐν ᾧ ἀγῶνι ἡττηθῆναι μὲν ἀνάγκη τὸν ἀπαράσκευον. ἡττηθέντα δὲ ἐκπεσεῖν χρὴ εἰς δουλείαν καὶ κακοδαιμονίαν, ἣν οὐδ' ἐξομόσασθαί τινι ἡμῶν συγκεχώρηται. κρατούμεθα γὰρ ἐν αὐτῇ, ὑπό τε τῶν αἰδίων καὶ τῶν τῆς φύσεως καὶ ὑπὸ τῶν θέσει νόμων, εὐτακτεῖν ἑκάστῳ καὶ ζῆν δικαίως ἅμα καὶ ὁσίως προσταττόντων. Ταῦτα οἶμαί σε ὥσπερ παρὰ πατρὸς παίδων πατέρα προσδεξάμενον, αὐτόν τε ἀμείνον' ἔξειν τε τοῖς υἱοῖς εἰς τὰ ἄριστα συλλήψεσθαι.

ἀσπάζομαί σε καὶ διὰ τἆλλα καὶ διὰ
τὴν εἰς ἡμᾶς εὔνοιαν. ἴσθι οὖν
ὑπὲρ ἡμῶν στεργόμενος. τοι-
ούτων δὲ καὶ ἑτέ-
ρων φιλοσο-
φοῦντες
εὐπορή-
σε

ΤΕ περὶ φί- ΛΟΣ.

λων

ὦ Σ μὲν ἐντετύχησι τὸ παρὸν ἐντυπωθὲν βιβλίον, καὶ ὅτι περὶ ἄλλων, καὶ ὡς οὐκ ἄνευ προοιμίου, καὶ ὅτι μουνυχιῶνος φθίνοντος τρίτῃ, χιλιοστῷ υ̅ ἐννενηκοστῷ θ' ἀπὸ τῆς θεογονίας ἔτει, ταῦτα δὴ οὔτε πρὸς ἐμοῦ λέγειν, οὔτε τῶν φιλολόγων οὐδεὶς ἄν ποτε τῆς τοιαύτης ἀπειροκαλίας οὐδὲν ἀπόναιτ' ἂν ἀγαθόν. Εἰ δέ τις τῶν ἀκριβῶς τοῖς τῶν παλαιῶν ἐλλείμμασιν ἐπεξιόντων, ἀηδῶς ἔχοι πρὸς ἣν ἔκκεινται τάξιν αἱ τῶν ἡμῶν ἐπιστολαί, ἐνθυμείσθω καὶ ἡμᾶς οὐκ ἂν οὕτως αὐτὰς ἀσυνοήσαντας διαθέσθαι, ὡς ὁ χρόνος ἀπῄτει καθ' ὃν τῶν ἐπιστειλάντων ἕκαστος ἤνθησεν, εἴγε πασῶν ηὐποροῦμεν εὐθὺς ἀρχομένης τῆς πραγματείας. αἷς γὰρ εἴχομεν ἐπιχειρήσαντες ὀλίγαις οὔσαις, τὰς ἑκάστοτε μνηστευομένας ἡμῖν, ὁποίας οὖν ἀξιῶσαι προειλόμεθα λήξεως, ἢ τὴν ἐκ τούτων ὠφέλειαν ἀφελέσθαι τοὺς φιλολόγους. Ἔτι κἀκεῖνο πάντας εἰδέναι βουλοίμην, μάλιστα μὲν ἡμῖν τοῦ ἄριστα διορθώσεως τὴν πραγματείαν ἕξειν μελῆσαν. εἰ δέ τι που παρέδραμεν, ἢ διεστραμμένον εἶναι γράμμα, ἤ τι τοιοῦτον, οἷον οὐδὲ τοῖς ἄκροις φασὶ δακτύλοις τῆς ἑλληνικῆς γευσαμένοις φωνῆς, ἐμποδὼν ἂν πρὸς τὴν ἔννοιαν τοῦ κειμένου γενέσθαι. Ἐν μέν τοι τοῖς Ἀλκίφρονος ἔστιν οὗ τὰ τῆς ἐννοίας διημαρτῆσθαι, μηδὲν ἡμῶν παρὰ τὰ ἐν ἀντιγράφοις ἀνηκέστως οὖσι διεφθαρμένοις ῥιψοκινδύνως καινοτομεῖν τολμησάντων. Ὅθεν οὐδ' ἂν ἐκεῖνό γ' ἀνεικῇ μάλα φορτικὸν εἰπεῖν ὑποστελλαίμην, μηδένα τῶν καθ' ἡμᾶς τὰ τοιάδε μεταχειριζομένων, ἐπὶ τοῖς αὐτοῖς οἷς ἡμεῖς ἐνετύχομεν ἀντιγράφοις, ὑγιέστερον

ἂν

αὐ ταύτην ἐπανορθῶσαι τὴν βίβλον. εἰ δ᾽ ὁμοίως ἡμῖν οὐ φθονῶ. ὥς
τε τὸν ἐφάπαξ πᾶσι σκώμμασι τῶν εὐπορούντων μῶμον, ἐν ταῦθα μη-
δὲν ἔχειν μωμήσασθαι τέλειον, ὃ δικαίως ἂν ἡμῖν προσγρι-
βείη. ἐκ τοῦ ἐμὴ τυχὸν αὐτά γε ταῦτα τὰ
κατὰ τὴν κορωνίδα δυ-
χεραίνοι
σωμύ
λα.

ΤΕΛΟΣ.

*

Ἐπιστολαὶ	ϛ	
Epiſtolares	τὴν μέλλου	τοι περὶ
φιλικὰ	τῆς συνηθείας	ποβάντες
α	σάμενος τοι	τνεῖν καὶ
ΣΥΝΕΣΙΟΥ	ἰδὼν	σαλευθῆ
ναυκλήρω.	Ἰωάννη	ϛ
ἀποτρέψας	σει χαίρομαι	τὰ μὲ
πείθεται	δ	θέμαι
καὶ ἀπο	λεται	σαμένῳ
βουλομένοις	σάμεθα	φου συγγέ
β	Ἀνυσίῳ	νίου τῶν
τὸ γαρ	τῇ θόαντος	μήτε τὴν
ρᾶς ἀπεῖναι	φυ αὐτὶ	ζ
σε. εἰ μὲν	Θεοφίλῳ	ἐπιστολὴν
πολλοὺς	ε	ἐπὶ τῶν
λιπαρῶν	ραν βέλτιον	ἑτέρας
τει τὴν	οἷον αὐτὸ	λύρας ὅτι

η
ΔΗΜΟΣΘΕ-
μικρὰν (ΝΟΥΣ
μαντείας
ἐν ἧ παρεῖ

θ
πυθέα παρα
εἰπὼν
ΠΡΟΣ ΤΑΣ
δουλείας
Δημοσθένης.

ι
ἐλθεῖν
ἐνεῖδες
εἰς τὸ παρὸν
ζεται

κ
περὶ φιλο
ἀνθρώπων
διέβαλον
τὴν εἰς τὸν

λ
τὰ μεμαθη
πηιον
ροιαῦ
τὴν ναυκλη

μ
τὴν πρώτην
σαι θανάτου
πλαυτων
τὸ δὲ γένος

ν
ΙΠΠΟΚΡΑΤους
Υστάνης
Φιλοποίμενι
σιος ἐπὶ

ξ
περὶ τοι
τούτων
πεσώς
παρηγορίαν

ο
πῶς οὐκ
μενοι. καὶ
ΕΠΙΣΤΟΛΑΙ
οὐκ ἐπὶ

π
ἐπειδὴ
ΕΠΙΣΤΟΛΑΙ
αζ. καὶ
ΕΠΙΣΤΟΛΑΙ

ρ
σὺν ἀρχελάῳ
αὐτοῖς
χεται. καὶ
ματος

σ
περον.
περὶ ἄγρας
παρ' ἐμοῦ
κωνοπο

τ
τυγχάνου
χίδος.
δύσ. μύρα
σωμαι.

ττ
πεισμαι
τῇ αὐτῇ
ἑρμηνεύσω
γρύλλου

υ
Φιλοστράτου
περὶ αἰτίας
Μιθρανίῳ
ἐπὶ ταύτας

φ
ἔστω καὶ

ΘΕΟ
ὕβρεσι τὸν
Αγροὶ
χ
τοῖς θνητοῖς
τὸ φρόνημα
πεια. ὅρκων
οἱ ἔρωτες
ψ
κεν αἱ
Ετ. Γεθθώ.
Ετ. Σώπατρος
κρήμνισεν

ω
οὐ περὶ
νεως καὶ
ΑΙΝΕΙΟΥ
Οὐλπία.
Α
βίον
νην ἀφρο
χειμών.
στεφάνῳ
Β
ῥεῖν ὧν
περὶ αὐτοῦ

τημένα
πρόσωπον
Γ
μεθα περὶ
τῶν ἄρ
δὲ καὶ
Σευήρῳ
Δ
ὁ πότε
καὶ πρὸς
αὖ ταύτην

α. β. γ. δ. ε. ς. ζ. η. θ. ι. κ. λ. μ. ν. ξ. ο
π. ρ. σ. τ. ℸ. υ. φ. χ. ψ. ω. Α. Β. Γ. Δ.

Ἅπαντα τετράδια πλὴν τῶν α. β. γ. δ. ε. ς. ἑξαδίων. καὶ θ. πενταδίου. καὶ *. ℸ. τριαδίου. καὶ Δ. δυαδίου.

Omnes quaterni præter α. β. γ. δ. ε. ς. sexternos. & θ quinternũ. & *. ℸ. ternos & Δ duernum.

Venetiis apud Aldum mense Martio. M. ID. cum priuilegio ut in cæteris.